Πνεῦμα ἅγιο». Ἦταν βέβαια βαπτισμένος στό ὄνομα τοῦ Ἰησοῦ. Σ' αὐτόν ἀποκρίθηκαν οἱ Ἀπόστολοι ὅλοι μαζί· «Φύγε, ἄνθρωπε· ἡ χάρη τοῦ Θεοῦ δέν ἀνέχεται νά ἀγοράζεται». Ἐπειδή ὅμως ἐπέμενε νά χτυπᾶ τήν πόρτα μέ λόγια, τοῦ εἶπαν γιά δεύτερη φορά· «Γιατί ἀγοράζεις αὐτό τό ὁποῖο βρίσκεις δωρεάν, ἄν ζήσεις ὅπως πρέπει;». Μόλις ὅμως σκέφθηκε τούς κόπους τῆς ζωῆς καί τήν ὀκνηρία τῆς διάνοιάς του καί τό ἀβέβαιο τοῦ πράγματος, πάλι ἔβγαλε τό χρυσάφι ἀπό τό βαλάντιο, νομίζοντας πώς θά δελεάσει μέ ἀπάτη τούς μαθητές τοῦ Σωτήρα. Ἀφοῦ ἀγανάκτησε γι' αὐτά «Ἐκεῖνος πού συλλαμβάνει τούς σοφούς στήν πανουργία τους»[8] μίλησε μέ τό στόμα τοῦ Πέτρου λέγοντας· «Τό χρῆμα σου νά χαθεῖ μαζί μέ σένα, γιατί νόμισες πώς ἡ δωρεά τοῦ Θεοῦ ἀποκτιέται μέ χρήματα». Τοῦ χορήγησε ὅμως τό φάρμακο τῆς μετάνοιας, ἀλείφοντας αὐτόν μέ μακροθυμία, «Μετανόησε», λέγοντας, «μήπως σοῦ συγχωρηθεῖ ἡ ἐπινόηση αὐτή τῆς καρδιᾶς σου. Γιατί βλέπω νά εἶσαι γεμάτος πικρή χολή καί δεμένος ἀπό τήν ἀδικία». Γιατί ὁ Θεός, ἐπειδή εἶναι φιλόψυχος δέ θέλει τήν ἀπώλεια ἐκείνων πού ἁμαρτάνουν. Ἀφοῦ λοιπόν ἀπέδειξα, ὅσο μποροῦσα, τά προηγούμενα, Θεόδωρε μεγαλόφημε καί διάκονε τῶν μυστηρίων τῆς ἀλήθειας, πληροφορήσου ἀπό μᾶς ἐκεῖνα τά πράγματα πού ἐπιθυμεῖς νά μάθεις.

Ο ΔΙΑΚ. Ἀπό ποῦ μᾶς ἦρθες τώρα;

Ο ΕΠΙΣΚ. Ἀπό τήν Ἀνατολή βέβαια· πρώτη φορά μάλιστα τώρα εἶδα τή Ρώμη.

Ο ΔΙΑΚ. Τί σέ ἔφερε κυρίως ἐδῶ;

Ο ΕΠΙΣΚ. Ὁ πόθος τῆς εἰρήνης σας.

Ο ΔΙΑΚ. Εἶναι δηλαδή διαφορετική ἀπό τή δική σας εἰρήνη;

Ο ΕΠΙΣΚ. Δέν εἶναι βέβαια ἄλλη, ἀλλά καί ἐντελῶς μία, αὐτή τήν ὁποία ἔδωσε ὁ Σωτήρας μας ἀπό τούς οὐρανούς, λέγοντας στούς Ἀποστόλους· «Σᾶς δίνω τή δική μου εἰρήνη»[9]. Καί γιά νά δείξει ἐξασφαλισμένη τή χάρη εἶπε γιά δεύτερη φορά· «Σᾶς ἀφήνω τή δική μου εἰρήνη». Ἔτσι λοιπόν τό «δίνω» τό ἔβαλε γιά τόν ἑαυτό του καί τό «ἀφήνω» γιά τό ἅγιο Πνεῦμα, γιά ν' ἀποκαλύψουν τή γνώση τοῦ Πατέρα στά ἔθνη μέ τό ἅγιο Πνεῦμα πού στάλθηκε ἀπό τό Χριστό. Ἀλλά ὅπως στήν περίπτωση τῶν παραλυμένων μελῶν τοῦ σώματος οἱ ἐνέργειες τῆς ψυχῆς στρέφονται στά ὑγιεινότερα ἀπό τά μέλη, αὐτό ἀκριβῶς ἔχει πάθει καί ἡ ἄθλια Ἀνατολή. Ἐπειδή λοιπόν ἔπαθαν παραλυσία τά μέλη της καί δέν μποροῦν νά ἐκτελέσουν τίς ἐνέργειές

οἰκείας ἐνεργείας ἀποτελεῖν μὴ δυναμένων διὰ τὴν τῆς ὁμονοίας φυγήν, οἱ πλεῖστοι τῶν εὐζώνων καὶ γλιχομένων αὐτῆς φυγάδες τῆς χώρας κατέστημεν, ἀκινδύνως καὶ ἀπραγμόνως οἰκεῖν τὴν θρεψαμένην οὐ δυνάμενοι διὰ τὴν σχέσιν τῆς
5 *ἀληθείας, εἴ πως ὑμᾶς εὑρόντες, τὰς ὀλίγας ταύτας ἡμέρας τὰς λειπομένας τῷ βίῳ κατὰ τὸ Εὐαγγέλιον ζήσωμεν.*

Ο ΔΙΑΚ. Ὡς ἔοικε, θαυμάσιε πάτερ, ὑπὸ τῆς προνοίας ἡμῖν ἀπεστάλης· συνᾴδουσαν γὰρ εὑρίσκω ταῖς ἡμετέραις ἀνίαις τὴν σὴν ἀλγηδόνα. Οἶμαι γάρ σε τῆς συνόδου εἶναι
10 *Ἰωάννου τοῦ ἐπισκόπου Κωνσταντινουπόλεως.*

Ο ΕΠΙΣΚ. Οὕτως ἔχει ὡς εἴρηκας.

Ο ΔΙΑΚ. Παρακέκλησο τοίνυν, ἐπὶ Θεοῦ μάρτυρος, μετὰ πάσης ἀληθείας ἡμῖν διηγήσασθαι περὶ ὧν κατὰ μέρος μαθεῖν ἐπειγόμεθα· ὡς εἰδὼς τοῦτο, ὅτι εἴ τι παρὰ τὴν ἀλήθειαν ἡμῖν
15 *ἀπαγγείλῃς, ἕξεις μὲν τὸν Θεὸν δικαστὴν καὶ κριτήν, ἐλεγχθήσῃ δὲ καὶ παρ᾽ ἡμῶν, ἑτέρως μαθόντων. Οὐ γὰρ εἷς ἢ δύο ἢ τρεῖς ἢ δέκα ἢ οἱ τυχόντες ἡμῖν ἀφηγήσαντο περὶ τῶν ἐν Κωνσταντινουπόλει συμβάντων, ἀλλὰ καὶ πλείους, καὶ τούτων οἱ μὲν ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ τοῦ τάγματος τῶν*
20 *μοναχῶν. Καὶ εἰ βούλει συντόμως μαθεῖν τὰ τῆς ἐκκλησίας Ῥωμαίων, παρέχω σοι τὴν γνῶσιν.*

Πρῶτος πάντων παραγέγονε πρὸς ἡμᾶς ἀναγνώστης Ἀλεξανδρεὺς μετὰ γραμμάτων Θεοφίλου τοῦ πάπα, ἐν οἷς προσανέφερεν καθῃρηκέναι τὸν Ἰωάννην. Οἷς γράμμασιν
25 *ἐντυχὼν ὁ μακάριος πάπας Ἰννοκέντιος μικρὸν ἀνετράπη, προπετείας καὶ τύφου καταγνοὺς Θεοφίλου, ὅτι καὶ μόνος γέγραφε καὶ σαφῆ τὴν γνῶσιν οὐκ ἔπεμψεν, ἢ δι᾽ ὃ καθεῖλεν ἢ μετὰ τίνων καθεῖλεν. Ἐπὶ τούτοις διαπορῶν ἔμενεν, ἀντιγράφειν οὐ θέλων διὰ τὸ κοῦφον τοῦ πράγματος. Ἐν οἷς Εὐσέβιός*
30 *τις διάκονος τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας, ἐκκλησιαστικῶν ἕνεκεν διατρίβων ἐν τῇ Ῥώμῃ, προσελθὼν τῷ πάπᾳ Ἰννοκεντίῳ, ἐντευκτικοὺς λιβέλλους ἐπέδωκεν, ὁρκίζων αὐτὸν μικρὸν ἀναμεῖναι χρόνον, ὀψόμενον τῆς συσκευῆς τὴν ἀποκάλυψιν. Ἐν οἷς ἐπέστησαν μετὰ τρεῖς ἡμέρας ἐπίσκοποι*
35 *τέσσαρες τοῦ μέρους Ἰωάννου, ἄνδρες εὐλαβεῖς, Πανσόφιος Πισιδίας, Πάππος Συρίας, Δημήτριος Γαλατίας δευτέρας,*

10. Τὴν ἐποχὴ ἐκείνη ὁ πατριάρχης τῆς Ἀλεξάνδρειας ὀνομαζόταν πάπας.

τους ἀπό ἔλλειψη ὁμόνοιας, οἱ περισσότεροι ἀπ' ἐκείνους πού εἶναι εὐκίνητοι καί ἐπιθυμοῦν τήν ὁμόνοια φύγαμε ἀπό τή χώρα μας, γιατί δέν μπορούσαμε νά μείνουμε χωρίς κινδύνους καί ἐνοχλήσεις στήν πατρίδα μας ἐξ αἰτίας τῆς ἀναστολῆς τῆς ἀλήθειας, μήπως, συναντώντας ἐσᾶς, κατορθώσουμε νά ζήσουμε σύμφωνα μέ τό Εὐαγγέλιο τίς λίγες αὐτές ἡμέρες πού μᾶς ἀπομένουν.

Ο ΔΙΑΚ. Ὅπως φαίνεται, θαυμάσιε πάτερ, στάλθηκες σέ μᾶς ἀπό τή θεία Πρόνοια. Γιατί βρίσκω πώς ὁ πόνος σου συμφωνεῖ μέ τίς δικές μας στενοχώριες. Νομίζω σίγουρα ὅτι εἶσαι ἀπό τή συνοδεία τοῦ Ἰωάννη τοῦ ἐπισκόπου Κωνσταντινουπόλεως.

Ο ΕΠΙΣΚ. Ἔτσι συμβαίνει, ὅπως τό εἶπες.

Ο ΔΙΑΚ. Σέ παρακαλοῦμε λοιπόν, μέ μάρτυρα τό Θεό, νά μᾶς διηγηθεῖς μέ κάθε ἀλήθεια, ὅσα ἐπιθυμοῦμε νά μάθουμε μέ λεπτομέρεια, γνωρίζοντας τοῦτο, ὅτι δηλαδή ἄν μᾶς πεῖς κάτι ἀντίθετο πρός τήν ἀλήθεια, θά ἔχεις τό Θεό δικαστή καί κριτή, καί θά ἐλεχθεῖς καί ἀπό μᾶς, ὅταν τό μάθουμε ἀπ' ἄλλου. Γιατί δέ μᾶς διηγήθηκαν τά συμβάντα στήν Κωνσταντινούπολη ἕνας ἤ δύο ἤ τρεῖς ἤ δέκα ἤ οἱ τυχαῖοι, ἀλλά περισσότεροι, καί ἀπ' αὐτούς ἄλλοι ἦταν ἐπίσκοποι, ἄλλοι πρεσβύτεροι καί ἄλλοι μοναχοί. Καί ἄν θέλεις νά μάθεις σύντομα τήν κατάσταση τῆς Ἐκκλησίας τῆς Ρώμης, σοῦ δίνω τήν πληροφορία.

Πρῶτος ἀπ' ὅλους ἦρθε σέ μᾶς ἀναγνώστης ἀπό τήν Ἀλεξάνδρεια μέ γράμμα τοῦ πάπα Θεοφίλου[10], στό ὁποῖο ἀνέφερε ὅτι εἶχε καθαιρέσει τόν Ἰωάννη. Διαβάζοντας αὐτό ὁ μακάριος πάπας Ἰννοκέντιος[11] λιποθύμησε λίγο, καταλογίζοντας στό Θεόφιλο ἀπερισκεψία καί ἀλαζονεία, γιατί καί μόνος ἔγραψε καί δέν ἔστειλε σαφή πληροφορία, ἤ γιά ποιό λόγο τόν καθαίρεσε ἤ μαζί μέ ποιούς τόν καθαίρεσε. Πάνω σ' αὐτά εἶχε ἀπορίες, ἀλλά δέν ἤθελε ν' ἀπαντήσει ἐξ αἰτίας τῆς ἐπιπολαιότητας τοῦ πράγματος. Τότε κάποιος Εὐσέβιος, διάκονος τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως, διαμένοντας στή Ρώμη γιά ἐκκλησιαστικά ζητήματα, ἀφοῦ πῆγε στόν πάπα Ἰννοκέντιο τόν παρακάλεσε, ὁρκίζοντας αὐτόν νά περιμένει λίγο χρόνο, γιά νά δεῖ τήν ἀποκάλυψη τῆς σκευωρίας. Μετά ἀπό τρεῖς ἡμέρες ἀπό τότε ἔφθασαν τέσσερις ἐπίσκοποι ἀπό τή μερίδα τοῦ Ἰωάννη, ἄνδρες εὐσεβεῖς, ὁ Πανσόφιος Πισιδίας, ὁ Πάππος Συρίας, ὁ Δημήτριος τῆς δεύτερης Γαλατίας, ὁ Εὐγένιος Φρυγίας, οἱ ὁποῖοι ἐπέδωσαν τρεῖς

11. Ὁ Ἰννοκέντιος ἦταν ἐπίσκοπος Ρώμης ἀπό τό 402 ἕως τό 417.

Εὐγένιος Φρυγίας, ἀναδόντες ἐπιστολάς, μίαν πρὸς ταῖς δυσί, τὴν μὲν 'Ιωάννου τοῦ ἐπισκόπου, τὴν δὲ τεσσαράκοντα ἐπισκόπων ἑτέρων κοινωνικῶν 'Ιωάννου, τὴν δὲ λοιπὴν τοῦ κλήρου 'Ιωάννου, συμφώνους τὰς τρεῖς ἀπαιδεύτων θόρυβον σημαινούσας. Εἶχεν δὲ τὸ ὕφος τῆς ἐπιστολῆς τοῦ ἐπισκόπου 'Ιωάννου·

ΚΕΦΑΛΑΙΟΝ Β´

«Τῷ δεσπότῃ μου αἰδεσίμῳ καὶ ὁσιωτάτῳ ἐπισκόπῳ 'Ιννοκεντίῳ 'Ιωάννης ἐν Κυρίῳ χαίρειν.

«Καὶ πρὸ τῶν γραμμάτων οἶμαι τῶν ἡμετέρων ἀκηκοέναι τὴν εὐλάβειαν ὑμῶν τὴν παρανομίαν τὴν ἐνταῦθα τολμηθεῖσαν. Τὸ γὰρ μέγεθος τῶν δεινῶν οὐδὲ ἓν μέρος τῆς οἰκουμένης ἀφῆκεν ἀνήκοον εἶναι τῆς χαλεπῆς ταύτης τραγῳδίας, ἀλλὰ καὶ πρὸς αὐτὰς τὰς τῆς γῆς ἐσχατιὰς φέρουσα ἡ φήμη τὰ γεγενημένα, πολὺν πανταχοῦ θρῆνον καὶ ὀλοφυρμὸν εἰργάσατο. 'Αλλ' ἐπειδὴ οὐ θρηνεῖν δεῖ ταῦτα μόνον, ἀλλὰ καὶ διορθοῦν καὶ σκοπεῖν ὅπως ἂν ὁ χαλεπώτατος οὗτος σταίη χειμὼν τῆς ἐκκλησίας, ἀναγκαῖον εἶναι ἐνομίσαμεν τοὺς κυρίους μου τοὺς τιμιωτάτους καὶ εὐλαβεστάτους ἐπισκόπους Δημήτριον, Πανσόφιον, Πάππον, Εὐγένιον πεῖσαι, τὰς ἑαυτῶν ἐκκλησίας ἀφεῖναι, καὶ πελάγους κατατολμῆσαι τοσούτου, καὶ μακρὰν ἀποδημίαν στείλασθαι, καὶ πρὸς τὴν ὑμετέραν δραμεῖν ἀγάπην, καὶ πάντα σαφῶς ἀναδιδάξαντας, ταχίστην παρασκευάσαι γενέσθαι τὴν διόρθωσιν. Οἷς καὶ τοὺς τιμιωτάτους καὶ ἀγαπητοὺς διακόνους Παῦλον καὶ Κυριακὸν συνεπέμψαμεν. Καὶ οὗτοι δέ, ὡς ἐν εἴδει ἐπιστολῆς, ἐν βραχεῖ διδάξουσιν ὑμῶν τὴν ἀγάπην τὰ γεγενημένα.

«'Ο γὰρ τῆς ἐκκλησίας τῆς 'Αλεξανδρείας τὴν προεδρίαν ἐγχειρισθεὶς Θεόφιλος, ἐντυχόντων τινῶν τῷ εὐσεβεστάτῳ βασιλεῖ κατ' αὐτοῦ, κελευσθεὶς ἀφικέσθαι μόνος, συναγαγὼν μεθ' ἑαυτοῦ πλῆθος Αἰγυπτίων οὐκ ὀλίγων παραγίνεται, καθάπερ ἐκ προοιμίων δεῖξαι βουλόμενος, ὅτι εἰς πόλεμον καὶ παράταξιν ἀφικνεῖται. Εἶτα τῆς μεγάλης καὶ θεοφιλοῦς Κωνσταντινουπόλεως ἐπιβάς, οὐκ εἰς ἐκκλησίαν ἦλθεν κατὰ τὸν

ἐπιστολές, μία τοῦ ἐπισκόπου Ἰωάννη, μία σαράντα ἄλλων ἐπισκόπων πού ἐπικοινωνοῦσαν μέ τόν Ἰωάννη, καί τήν τρίτη τοῦ κλήρου τοῦ Ἰωάννη, πού καί οἱ τρεῖς μαζί ἐπισήμαιναν τό θόρυβο τῶν ἀμορφώτων. Καί τό περιεχόμενο τῆς ἐπιστολῆς τοῦ ἐπισκόπου Ἰωάννη εἶναι τό παρακάτω.

ΚΕΦΑΛΑΙΟ Β΄

«Πρός τόν δεσπότη μου, αἰδέσιμο καί ὁσιότατο ἐπίσκοπο Ἰννοκέντιο, Ἰωάννης· νά ἔχεις τή χαρά τοῦ Κυρίου.

«Νομίζω ὅτι ἔχει ἀκούσει ἡ εὐσέβειά σας τήν παρανομία πού τολμήθηκε ἐδῶ καί πρίν ἀπό τήν ἐπιστολή μας. Γιατί τό μέγεθος τῶν δεινῶν δέν ἄφησε κανένα μέρος τῆς οἰκουμένης νά μή μάθει τή φοβερή αὐτή τραγωδία, ἀλλά ἡ φήμη, πού ἔφερε τά γεγονότα καί σ' αὐτά τά τελευταῖα σημεῖα τῆς γῆς, προκάλεσε παντοῦ πολύ θρῆνο καί ὀδυρμό. Ἐπειδή ὅμως δέν πρέπει νά θρηνοῦμε γι' αὐτά μόνο, ἀλλά καί νά τά διορθώνουμε καί νά ἐξετάζουμε πῶς εἶναι δυνατό νά σταματήσει ἡ φοβερότατη αὐτή τρικυμία τῆς Ἐκκλησίας, νομίσαμε ὅτι εἶναι ἀναγκαῖο νά πείσουμε τούς κυρίους μου, τούς τιμιότατους καί εὐσεβέστατους ἐπισκόπους Δημήτριο, Πανσόφιο, Πάππο, Εὐγένιο, ν' ἀφήσουν τίς ἐκκλησίες τους καί ν' ἀψηφίσουν τόσο πέλαγος καί ν' ἀναχωρήσουν γιά μακρινό ταξίδι καί νά τρέξουν στήν ἀγάπη σας καί, ἀφοῦ πληροφορήσουν τά πάντα μέ σαφήνεια, νά προετοιμάσουν τό ἔδαφος γιά νά γίνει πολύ γρήγορα ἡ διόρθωση. Καί μαζί μέ αὐτούς στείλαμε καί τούς τιμιότατους καί ἀγαπητούς διακόνους Παῦλο καί Κυριακό. Καί αὐτοί, σάν κάποια ζωντανή ἐπιστολή, θά πληροφορήσουν σύντομα τήν ἀγάπη σας γιά τά συμβάντα.

«Πραγματικά ὁ Θεόφιλος, πού εἶχε τήν προεδρία τῆς Ἐκκλησίας τῆς Ἀλεξάνδρειας, ἐπειδή μερικοί ἔκαμαν ἀναφορά στόν εὐσεβέστατο αὐτοκράτορα ἐναντίον του[1], διατάχθηκε νά ἔρθει μόνος. Αὐτός ὅμως συγκεντρώνοντας πάρα πολλούς Αἰγύπτιους ἐπισκόπους ἔφθασε ἐδῶ, σάν νά ἤθελε νά δείξει ἀπό τήν ἀρχή, ὅτι φθάνει γιά πόλεμο καί μάχη. Ἔπειτα ἀφοῦ ἔφθασε στή μεγάλη καί θεοφιλή Κωνσταντινούπολη, δέν ἦρθε στήν Ἐκκλησία, σύμφωνα μέ τή συνήθεια πού ἀπό

1. Ἐκπρόσωποι τῆς ὁμάδας τῶν Μακρῶν Ἀδελφῶν, τούς ὁποίους ὁ Θεόφιλος θεωροῦσε ὡς ὠριγενιστές, ἔκαμαν ἀναφορά στόν αὐτοκράτορα Ἀρκάδιο.

ἄνωθεν κρατήσαντα θεσμόν, οὐχ ἡμῖν συνεγένετο, οὐ λόγων μετέδωκεν, οὐκ εὐχῆς, οὐ κοινωνίας· ἀλλ' ἀποβὰς τοῦ πλοίου καὶ τὰ πρόθυρα τῆς ἐκκλησίας παραδραμών, ἔξω που τῆς πόλεως ἀπελθὼν ηὐλίζετο. Καὶ πολλὰ παρακαλεσάντων ἡμῶν
5 *καὶ αὐτὸν καὶ τοὺς μετ' αὐτοῦ παραγενομένους παρ' ἡμῖν καταχθῆναι (καὶ γὰρ πάντα ηὐτρέπιστο καὶ καταγώγια καὶ ὅσα εἰκὸς ἦν), οὔτε ἐκεῖνοι οὔτε αὐτὸς ἠνέσχετο. Ταῦτα ὁρῶντες ἡμεῖς ἐν ἀπορίᾳ ἦμεν πολλῇ, μηδὲ τὴν αἰτίαν δυνάμενοι τῆς ἀδίκου ταύτης ἀπεχθείας εὑρεῖν· ἀλλ' ὅμως τὰ παρ' ἑαυτῶν*
10 *ἐπληροῦμεν, τὸ πρέπον ἡμῖν αὐτοῖς ποιοῦντες, καὶ συνεχῶς αὐτὸν παρακαλοῦντες συγγενέσθαι ἡμῖν καὶ εἰπεῖν τίνος ἕνεκεν τοσοῦτον ἐκ προοιμίων ἀνεῤῥίπισεν πόλεμον καὶ τηλικαύτην ἐσκανδάλισεν πόλιν.*

«Ὡς δὲ οὐδὲ οὕτως ἐβούλετο λέγειν τὴν αἰτίαν, οἵ τε
15 *κατηγοροῦντες αὐτοῦ ἐπέκειντο, καλέσας ἡμᾶς ὁ εὐσεβέστατος βασιλεὺς ἐκέλευσεν πέραν, ἔνθα διέτριβεν, ἀπιέναι καί τῆς κατ' αὐτὸν ἀκούειν ὑποθέσεως· καὶ γὰρ ἔφοδον καὶ σφαγὰς καὶ ἕτερα ἐνεκάλουν μυρία. Ἀλλ' ἡμεῖς καὶ τοὺς νόμους τῶν πατέρων καὶ τὸν ἄνδρα αἰδούμενοι καὶ τιμῶντες,*
20 *καὶ αὐτοῦ δὲ τὰ γράμματα ἔχοντες, 'μὴ δεῖν ὑπερορίας ἕλκεσθαι τὰς δίκας, ἀλλ' ἐν ταῖς ἰδίαις ἐπαρχίαις τὰ τῶν ἐπαρχιῶν γυμνάζεσθαι', οὐ κατεδεξάμεθα δικάσαι, ἀλλὰ καὶ μετὰ πολλῆς παρῃτησάμεθα τῆς σφοδρότητος. Ὁ δέ, ὥσπερ τοῖς προτέροις ἐπαγωνιζόμενος, τὸν ἀρχιδιάκονον καλέσας*
25 *τὸν ἐμὸν ἐξ αὐθεντείας πολλῆς, ὥσπερ χηρευσάσης ἤδη τῆς ἐκκλησίας καὶ οὐκ ἐχούσης ἐπίσκοπον, δι' ἐκείνου τὸν κλῆρον πάντα πρὸς ἑαυτὸν μετέστησεν. Καὶ ἀνάστατοι αἱ ἐκκλησίαι ἐγίνοντο, ἀπαγομένων τῶν ἐν ἑκάστῃ κληρικῶν, παρασκευαζομένων λιβέλλους διδόναι καθ' ἡμῶν, πρὸς κατηγο-*
30 *ρίαν ἀλειφομένων. Καὶ ταῦτα ποιήσας ἔπεμπεν καὶ ἐκάλει εἰς δικαστήριον ἡμᾶς, οὐδέπω τὰς καθ' ἑαυτὸν ἀποδυσάμενος αἰτίας· ὃ μάλιστα καὶ παρὰ κανόνας καὶ παρὰ πάντας νόμους ἦν.*

«Ἀλλ' ἡμεῖς συνειδότες, ὅτι οὐ πρὸς δικαστὴν ἀφικνού-

2. Ἐγκαταστάθηκε στά ἀνάκτορα τῆς Πλακιδίας.

3. Στό ἀνάκτορο Ρουφινιανῶν πού βρισκόταν στή Χαλκηδόνα.

4. Ἀπό ἐπιστολή τοῦ Θεοφίλου πού στηρίζεται στούς κανόνες 5 καί 6 τῆς Συνόδου τῆς Νίκαιας (325).

τήν ἀρχή ἐπικράτησε, δέ μᾶς ἐπισκέφθηκε, δέ μᾶς ἀπηύθυνε λόγο, δέ μᾶς ἔδωσε εὐχή, δέν ἦρθε σέ κοινωνία μαζί μας. 'Αλλά, ἀφοῦ ἀποβιβάστηκε ἀπό τό πλοῖο καί προσπέρασε τά πρόθυρα τῆς 'Εκκλησίας, ἔφυγε καί ἐγκαταστάθηκε κάπου ἔξω ἀπό τήν πόλη[2]. Καί μολονότι παρακαλέσαμε πολύ καί τόν ἴδιο καί αὐτούς πού ἦρθαν μαζί του νά καταλύσουν στήν ἀρχιεπισκοπή (γιατί εἴχαμε ἑτοιμάσει ὅλα τά καταλύματα καί ὅλα τά σχετικά), δέ δέχθηκαν οὔτε ἐκεῖνοι οὔτε αὐτός. Βλέποντας ἐμεῖς αὐτά βρισκόμαστε σέ μεγάλη ἀπορία, ἐπειδή δέν μπορούσαμε νά βροῦμε οὔτε τήν αἰτία τῆς ἄδικης αὐτῆς ἀποστροφῆς. 'Αλλά ὅμως ἐκπληρώναμε τά καθήκοντά μας, κάνοντας αὐτό πού ἔπρεπε γιά τόν ἑαυτό μας καί παρακαλώντας αὐτόν συνέχεια νά συναντηθεῖ μέ μᾶς καί νά πεῖ γιά ποιό λόγο ἀνακίνησε ἀπό τήν ἀρχή τόσο μεγάλο πόλεμο καί σκανδάλισε τόσο μεγάλη πόλη.

«'Επειδή ὅμως οὔτε ἔτσι ἤθελε νά πεῖ τήν αἰτία, καί ἐνῶ οἱ κατήγοροί του πίεζαν τήν κατάσταση, μᾶς προσκάλεσε ὁ εὐσεβέστατος βασιλιάς καί διέταξε νά μεταβοῦμε ἀπέναντι, ὅπου ἔμεινε[3], γιά ν' ἀκούσουμε τή σχετική μ' αὐτόν ὑπόθεση. Πραγματικά τόν κατηγοροῦσαν γιά ἐπιθέσεις καί σφαγές καί πολλά ἄλλα. 'Εμεῖς ὅμως σεβόμενοι καί τιμώντας τούς νόμους τῶν πατέρων καί αὐτόν τόν ἴδιο, καί ἔχοντας τά γράμματά του, σύμφωνα μέ τά ὁποῖα «δέν πρέπει νά μεταφέρονται σέ ξένες χῶρες οἱ δίκες, ἀλλά οἱ ὑποθέσεις τῶν ἐπαρχιῶν πρέπει νά ἐξετάζονται στίς ἴδιες τίς ἐπαρχίες»[4], δέ δεχθήκαμε νά δικάσουμε, ἀλλά καί παραιτηθήκαμε μέ ἰσχυρή ἄρνηση. Αὐτός ὅμως, σάν νά ἤθελε νά ξεπεράσει τήν προηγούμενη διαγωγή του, κάλεσε τόν ἀρχιδιάκονό μου μέ πολλή αὐθεντεία, σάν νά εἶχε χηρεύσει ἤδη ἡ 'Εκκλησία καί δέν εἶχε ἐπίσκοπο, καί μ' ἐκεῖνον παρέσυρε στό δικό του μέρος ὅλο τόν κλῆρο[5]. Καί ἀναστατώθηκαν οἱ ἐκκλησίες, ἀφοῦ οἱ κληρικοί τους ὁδηγοῦνταν μέ βία, πιέζονταν νά δώσουν ἐναντίον μας λιβέλλους, προετοιμάζονταν γιά κατηγορία ἐναντίον μας. Καί ἀφοῦ ἔκαμε αὐτά, ἔστειλε καί μᾶς προσκαλοῦσε στό δικαστήριο, χωρίς ν' ἀπαλλαγεῖ ἀπό τίς ἐναντίον του κατηγορίες, πράγμα πού ἦταν ἀντίθετο πρός τούς κανόνες καί ὅλους τούς νόμους[6].

«'Εμεῖς ὅμως γνωρίζοντας ὅτι δέν ἐρχόμαστε σέ δικαστή (ἀληθινά

---

5. Αὐτό ἔγινε τό Φθινόπωρο τοῦ 403.

6. Βλ. κανόνα 6 τῆς συνόδου τῆς Κωνσταντινουπόλεως (381).

μεθα (ἢ γὰρ μυριάκις ἂν παρεγενόμεθα), ἀλλὰ πρὸς ἐχθρὸν καὶ πολέμιον, καθάπερ τὰ ἔμπροσθεν καὶ τὰ μετὰ ταῦτα ἐδήλωσεν, ἀπεστάλκαμεν πρὸς αὐτὸν ἐπισκόπους, τὸν Πισινοῦντος Δημήτριον, τὸν Ἀπαμείας Εὐλύσιον, τὸν Ἀπιαρίας
5 *Λουπίκινον, πρεσβυτέρους δὲ Γερμανὸν καὶ Σευῆρον, μετὰ τῆς προσηκούσης ἡμῖν ἐπιεικείας ἀποκρινόμενοι καὶ λέγοντες μὴ παραιτεῖσθαι κρίσιν, ἀλλ' ἐχθρὸν καὶ πολέμιον φανερόν. Ὁ γὰρ λιβέλλους μηδέπω δεξάμενος, καὶ τοιαῦτα ἐκ προοιμίων ποιήσας, καὶ ἀποῤῥήξας ἑαυτὸν ἐκκλησίας καὶ κοινω-*
10 *νίας καὶ εὐχῆς, καὶ κατηγόρους ἀλείφων, καὶ κλῆρον μεθιστάς, ἐκκλησίας ἐρημῶν, πῶς ἂν εἴη δίκαιος ἐπὶ τὸν τοῦ δικαστοῦ θρόνον ἀναβῆναι οὐδαμόθεν αὐτῷ προσήκοντα; οὔτε γὰρ ἀκόλουθον ἦν τὸν ἐξ Αἰγύπτου εἰς Θρᾴκην δικάζειν, καὶ τὸν ὑπεύθυνον ὄντα αἰτιῶν καὶ ἐχθρὸν καὶ πολέμιον.*

15 *«Ἀλλ' ὅμως οὐδὲν τούτων αἰδεσθείς, ἀλλ' ὅπερ ἐβουλεύετο, πληρῶσαι ἐπειγόμενος, ἡμῶν δηλωσάντων ὅτι ἕτοιμοί ἐσμεν, καὶ ἑκατὸν καὶ χιλίων ἐπισκόπων παρόντων, ἀποδύσασθαι τὰ ἐγκλήματα καὶ δεῖξαι ὄντας καθαροὺς ἑαυτούς, ὥσπερ οὖν καί ἐσμεν, οὐκ ἠνέσχετο. Ἀλλ' ἀπόντων ἡμῶν, καὶ*
20 *σύνοδον ἐπικαλουμένων, καὶ κρίσιν ἐπιζητούντων, καὶ ἀκρόασιν οὐ φευγόντων, ἀλλ' ἀπέχθειαν φανεράν, καὶ κατηγόρους ἐδέχετο, καὶ τοὺς παρ' ἐμοῦ δεδεμένους ἔλυσεν, καὶ αὐτῶν ἐκείνων οὐδέπω τὰ ἐγκλήματα ἀποδυσαμένων λιβέλλους ἐλάμβανεν, καὶ ὑπομνήματα ἔπραττεν, ἅπερ ἅπαντα παρὰ θεσμὸν*
25 *καὶ κανόνα καὶ ἀκολουθίαν ἦν. Καὶ τί γὰρ δεῖ τὰ πολλὰ λέγειν; οὐκ ἀπέστη πάντα ποιῶν καὶ πραγματευόμενος, ἕως ἡμᾶς μετὰ δυναστείας καὶ αὐθεντείας ἁπάσης καὶ τῆς πόλεως καὶ τῆς ἐκκλησίας ἐξέβαλεν. Καὶ πρὸς ἑσπέραν βαθεῖαν, τοῦ δήμου παντὸς ἡμῖν συσσυρομένου, ἑλκόμενος ὑπὸ τοῦ κου-*
30 *ριώσου τῆς πόλεως ἐν μέσῃ τῇ πόλει, καὶ πρὸς βίαν συρόμενος κατηγόμην, καὶ εἰς πλοῖον ἐνεβαλλόμην, καὶ διὰ νυκτὸς ἀπέπλεον, ἐπεὶ σύνοδον πρὸς δικαίαν κρίσιν ἐκάλουν. Τίς ἂν ταῦτα ἀδακρυτί, κἂν λιθίνην ἔχῃ τὴν καρδίαν, ἀκούσῃ; Ἀλλ' ἐπειδή, καθάπερ ἔφθην εἰπών, οὐ θρηνεῖν δεῖ μόνον, ἀλλὰ καὶ*
35 *διορθοῦν, τὴν ὑμετέραν ἀγάπην παρακαλῶ διαναστῆναι καὶ συναλγῆσαι καὶ πάντα ποιῆσαι, ὥστε στῆναι ταυτὶ τὰ κακά.*

7. Ὁ Εὐλύσιος ἀναφέρεται στὴν ἐπιστολὴ 148 τοῦ Χρυσοστόμου, ἐνῶ ὁ Λουπίκινος εἶναι γνωστὸς μόνο ἀπὸ ἐδῶ.

ὅμως εἴθε πολλές φορές νά ἐρχόμαστε σέ δικαστή), ἀλλά σ' ἐχθρό καί πολέμιο, ὅπως ἔδειξαν καί τά προηγούμενα καί τά ἑπόμενα, στείλαμε σ' αὐτόν ἐπισκόπους, τό Δημήτριο Πισινούντας, τόν Εὐλύσιο 'Απαμείας, τό Λουπίκινο 'Αππιαρίας[7], καί τούς πρεσβυτέρους Γερμανό καί Σευῆρο[8], ἀπαντώντας μέ τήν εὐγένεια πού ἁρμόζει σέ μᾶς καί λέγοντας ὅτι δέν ἀποφεύγουμε τή δίκη, ἀλλά φανερό ἐχθρό καί πολέμιο. Γιατί αὐτός, ὁ ὁποῖος δέ δέχθηκε ἀπό μᾶς ἔγγραφη κατηγορία ποτέ, καί ἔκαμε ἀπό τήν ἀρχή τέτοια πράγματα, καί ἀπέκοψε τόν ἑαυτό του ἀπό τήν 'Εκκλησία καί τήν κοινωνία καί τήν συνιερουργία μέ μᾶς, αὐτός ὁ ὁποῖος κατασκευάζει κατηγόρους καί μεταθέτει κληρικούς, ἐρημώνοντας τούς ναούς, πῶς θά εἶναι δίκαιο ν' ἀνεβεῖ στό θρόνο τοῦ δικαστῆ πού δέν τοῦ ταιριάζει μέ κανένα τρόπο; Γιατί οὔτε εὔλογο εἶναι νά δικάζει στή Θράκη αὐτός πού προέρχεται ἀπό τήν Αἴγυπτο, καί ὅταν εἶναι ὁ ἴδιος κατηγορούμενος καί ἐχθρός καί πολέμιος.

«Αὐτός ὅμως δέ σεβάστηκε τίποτε ἀπ' αὐτά, ἀλλά ἐπειδή βιαζόταν νά ἐκτελέσει αὐτό πού ἤθελε, ὅταν ἐμεῖς δηλώσαμε ὅτι εἴμασε ἕτοιμοι, ἐνῶ ἦταν παρόντες χίλιοι ἑκατό ἐπίσκοποι, ν' ἀποσείσουμε τίς κατηγορίες καί ν' ἀποδείξουμε ὅτι εἴμαστε καθαροί, ὅπως βέβαια καί εἴμαστε, δέν τό δέχθηκε. 'Αλλ' ἐνῶ ἀπουσιάζουμε καί ἐπικαλούμαστε σύνοδο καί ἐπιζητοῦμε δίκη καί δέν ἀποφεύγουμε ἀκρόαση σέ δικαστήριο, ἀλλά φανερή ἀπέχθεια, αὐτός δεχόταν κατηγόρους καί ἀπάλλαξε τούς κληρικούς πού τιμωρήσαμε, δεχόταν καταγγελίες ἀπό ἐκείνους τούς ἴδιους πού δέν εἶχαν ἀθωωθεῖ ποτέ, καί ἔκανε πρακτικά, τά ὁποῖα ὅλα ἦταν παράνομα καί ἀντικανονικά καί ἀνακόλουθα. Καί (τί χρειάζεται νά λέγουμε πολλά;) δέ σταμάτησε νά κάνει τά πάντα καί νά ἀγωνίζεται, μέχρι πού μέ κάθε βία καί ἐξουσία μᾶς ἀπομάκρυνε καί ἀπό τήν πόλη καί ἀπό τήν 'Εκκλησία[9]. Καί ἀργά τό βράδυ ἐνῶ συνωστιζόταν ὅλος ὁ λαός καί μέ ὁδηγοῦσε μέ βία ὁ ἐπιμελητής τῆς πόλης στό κέντρο της, συρόμενος βίαια ἐπέστρεψα, καί μπῆκα σέ πλοῖο καί ἀπέπλευσα τή νύχτα, ἐπειδή ζητοῦσα σύνοδο γιά δίκαιη κρίση. Ποιός θ' ἀκούσει χωρίς δάκρυα αὐτά, ἔστω καί ἄν ἔχει πέτρινη καρδιά; 'Επειδή ὅμως, ὅπως εἶπα παραπάνω, δέν πρέπει νά θρηνοῦμε μόνο, ἀλλά καί νά διορθώνουμε τά πράγματα, παρακαλῶ τήν ἀγάπη σας νά ξεσηκωθεῖ καί νά συμπονέσει καί νά κάμει τά πάντα, ὥστε νά σταματήσουν αὐτά ἐδῶ τά

8. 'Ιερεῖς τοῦ Χρυσοστόμου.

9. Σωζομενοῦ, 'Εκκλ. 'Ιστορία 8, 16 ἑ. Σύνοδος στή Δρῦ.

Οὐδὲν γὰρ ἐνταῦθα τῆς παρανομίας αὐτῶν κατέλυσεν, ἀλλὰ καὶ μετὰ ταῦτα τοῖς προτέροις ἐπαπεδύετο.

Ἐπειδὴ γὰρ ὁ εὐσεβέστατος βασιλεὺς ἐπιπηδήσαντας τῇ ἐκκλησίᾳ ἀναισχύντως καὶ ἀδίκως, ἐξέβαλεν, καὶ πολλοὶ τῶν 5 *ἐπισκόπων ἰδόντες αὐτῶν τὴν παρανομίαν εἰς τὰ ἑαυτῶν ἀνεχώρησαν, τὴν ἔφοδον αὐτῶν ὥσπερ πυρὰν πάντα ἐπινεμομένην φεύγοντες, ἡμεῖς μὲν πάλιν εἰς τὴν πόλιν ἀνεκαλούμεθα καὶ εἰς τὴν ἐκκλησίαν, ἧς ἀδίκως ἐξεβλήθημεν, ἐπισκόπων δὲ ἡμᾶς τριάκοντα εἰσαγαγόντων, καὶ τοῦ θεοσεβεστάτου βασι-* 10 *λέως νοτάριον εἰς τοῦτο ἀποστείλαντος, ἐκεῖνος δέ ἐδραπέτευσεν εὐθέως, τίνος ἕνεκεν καὶ διὰ τί μὴ γινώσκοντες. Εἰσελθόντες οὖν παρεκαλοῦμεν τὸν θεοσεβέστατον βασιλέα σύνοδον συναγαγεῖν εἰς ἐκδικίαν τῶν γεγενημένων. Συνειδὼς τοίνυν ἅπερ ἔδρασε, καὶ τὸν ἔλεγχον δεδοικώς, τῶν γραμμά-* 15 *των τῶν βασιλικῶν πανταχοῦ διαπεμφθέντων καὶ πανταχόθεν πάντας συναγαγόντων, λάθρᾳ μέσον νυκτῶν εἰς ἀκάτιον ἑαυτὸν ἐμβαλών, οὕτως ἀπέδρα μεθ' ἑαυτοῦ πάντας ἐπαγόμενος.*

«Ἀλλ' ἡμεῖς οὐδὲ οὕτως ἀπέστημεν, διὰ τὸ τῷ συνειδότι τῷ ἡμετέρῳ θαῤῥεῖν, τὰ αὐτὰ πάλιν παρακαλοῦντες τὸν 20 *εὐσεβέστατον βασιλέα, ὃς καὶ πρέποντα ποιῶν αὐτοῦ τῇ εὐσεβείᾳ, ἔπεμψε πάλιν πρὸς αὐτὸν ἐν τάχει ἐξ Αἰγύπτου ἀνιέναι καὶ τοὺς μετ' αὐτοῦ πάντας, ὥστε δοῦναι λόγον τῶν γεγενημένων, καὶ μὴ τὰ ἀδίκως οὕτως ἐκ μιᾶς μοίρας καὶ ἀπόντων ἡμῶν τολμηθέντα, καὶ παρὰ τοσούτους κανόνας,* 25 *νομίζειν ἀρκεῖν εἰς ἀπολογίαν αὐτοῦ. Ὁ δὲ οὐδὲ βασιλικῶν ἠνέσχετο γραμμάτων, ἀλλ' ἔμενεν οἴκοι προβαλλόμενος στάσιν τοῦ δήμου καὶ σπουδὴν ἄκαιρόν τινων δῆθεν, ἀντεχομένων αὐτοῦ· καί τοι γε πρὸ τῶν γραμμάτων τῶν βασιλικῶν αὐτὸς οὗτος ὁ δῆμος μυρίαις αὐτὸν ἦν πλύνας λοιδορίαις. Ἀλλ' οὐ* 30 *ταῦτα περιεργαζόμεθα νῦν, ἀλλ' ἐκεῖνο δεῖξαι βουλόμενοι, ὅτι κακουργῶν ἀπελήφθη, ταῦτ' εἰρήκαμεν. Πλὴν οὐδὲ μετὰ ταῦτα ἡμεῖς ἡσυχάσαμεν, ἀλλ' ἐπεκείμεθα ἀξιοῦντες δικαστήριον γενέσθαι καὶ κρίσιν καὶ ἀκρόασιν· ἕτοιμοι γὰρ ἦμεν δεῖξαι ἑαυτούς τε ἀνευθύνους ὄντας, ἐκείνους τε τὰ ἔσχατα* 35 *παρανομήσαντας. Ἦσαν δὲ καί τινες Σύροι, τῶν τότε μετ' αὐτοῦ παρόντων, ἐνταῦθα ἀπολειφθέντες, οἳ κοινῇ μετ' αὐτοῦ τὸ πᾶν ἐδραματούργησαν. Καὶ πρὸς τούτοις ἕτοιμοι ἦμεν*

---

10. Σύνοδος ἑξήντα ἐπισκόπων πού ἀποκατέστησε τόν Ἰωάννη (Βλ. Σωζομενοῦ, Ἐκκλ. Ἱστορία 8, 19 ἑ.). Αὐτὴ ὅμως ἡ σύνοδος δέν εἶχε συγκληθεῖ ἀπό τόν αὐτοκράτορα.

κακά. Γιατί δέν τελείωσε ἐδῶ τίποτε ἀπό τήν παρανομία τους αὐτή, ἀλλά καί ἀργότερα ἐπιχείρησε παρόμοια μέ τά προηγούμενα.

«'Αφοῦ λοιπόν ὁ εὐσεβέστατος βασιλιάς τούς ἀπομάκρυνε ἀπό τήν 'Εκκλησία, στήν ὁποία εἶχαν ἐπιπηδήσει ἀναίσχυντα καί ἄδικα, καί πολλοί ἐπίσκοποι βλέποντας τήν παρανομία τους ἀναχώρησαν στίς ἕδρες τους, ἀποφεύγοντας τήν ἐπίθεσή τους σάν φωτιά πού κατατρώγει τά πάντα, ἐμεῖς βέβαια ἀνακληθήκαμε πάλι στήν πόλη καί στήν 'Εκκλησία ἀπό τήν ὁποία ἄδικα ἀπομακρυνθήκαμε, καί ἐνῶ μᾶς ὑποδέχθηκαν τριάντα ἐπίσκοποι καί ὁ θεοσεβέστατος βασιλιάς ἔστειλε γι' αὐτό νοτάριο, ἐκεῖνος ὅμως δραπέτευσε ἀμέσως, ἀγνοώντας ἐμεῖς γιά ποιό λόγο καί γιά ποιό σκοπό. Ὅταν λοιπόν μπήκαμε στήν πόλη παρακαλέσαμε τό θεοσεβέστατο αὐτοκράτορα νά συγκαλέσει σύνοδο γιά ἐξέταση τῶν συμβάντων[10]. 'Αναγνωρίζοντας λοιπόν ὁ Θεόφιλος τί ἔκαμε καί φοβούμενος τόν ἔλεγχο, ἀφοῦ τά βασιλικά γράμματα στάλθηκαν παντοῦ καί συνάθροιζαν ἀπό παντοῦ ὅλους τούς ἐπισκόπους, μπῆκε κρυφά τά μεσάνυχτα σέ πλοιάριο καί ἔτσι ἔφυγε παίρνοντας μαζί του ὅλους τούς συνοδούς του.

«'Αλλ' ἐμεῖς οὔτε ἔτσι δέ σταματήσαμε, γιατί εἴχαμε ἐμπιστοσύνη στή συνείδησή μας, παρακαλώντας πάλι γιά τά ἴδια τόν εὐσεβέστατο βασιλιά. Καί αὐτός ἐνεργώντας ὅπως ἅρμοζε στήν εὐσέβειά του, ἔγραψε πάλι σ' αὐτόν ν' ἀνεβεῖ γρήγορα ἀπό τήν Αἴγυπτο, καθώς καί ὅλοι οἱ δικοί του, ὥστε νά δώσει λόγο γιά τά γεγονότα, καί νά μή νομίζει ὅτι ἀρκοῦν πρός ἀπολογία του τά τόσο ἄδικα, ἐνῶ ἀπουσιάζαμε, καί ἀντίθετα σέ τόσους κανόνες πού τόλμησε μία μόνο μερίδα. Αὐτός ὅμως δέν ὑπάκουσε στά βασιλικά γράμματα, ἀλλ' ἔμεινε στήν ἕδρα του καί μεταχειριζόταν σάν δικαιολογία τή στάση τοῦ λαοῦ καί τό ἄκαιρο δῆθεν ἐνδιαφέρον μερικῶν πού τόν ὑπεράσπιζαν[11]. Καί ὅμως πρίν ἀπό τά βασιλικά γράμματα ὁ ἴδιος ὁ λαός τόν ἔβριζε μέ ἄπειρες ὕβρεις. 'Αλλά δέν ἐξετάζουμε αὐτά τώρα, τά εἴπαμε ὅμως αὐτά, θέλοντας νά δείξουμε τοῦτο, ὅτι δηλαδή ἐμποδίσθηκε νά κάνει τό κακό. 'Εμεῖς ὅμως οὔτε ὕστερα ἀπ' αὐτά ἡσυχάσαμε, ἀλλ' ἐπιμέναμε νά γίνει δικαστήριο καί δίκη καί ἀκρόαση, γιατί ἤμαστε ἕτοιμοι ν' ἀποδείξουμε ὅτι ἐμεῖς εἴμαστε ἀθῶοι καί ὅτι ἐκεῖνοι παρανόμησαν πάρα πολύ. Ἦταν ὅμως καί μερικοί Σύροι, ἀπό τούς παρόντες τότε μαζί του, πού παρέμειναν ἐδῶ καί σκηνοθέτησαν μαζί του ὅλη τήν ὑπόθεση. Καί κοντά σ' αὐτά ἤμαστε ἕτοιμοι νά

11. Ἴσως ὁ Θεόφιλος εἶχε χλευασθεῖ στήν Κων/πολη ἀπό τό λαό καί μερικοί ὀπαδοί του εἶχαν ἐκτεθεῖ.

*δικάζεσθαι, καὶ πλειστάκις ἠνωχλήσαμεν ὑπὲρ τούτου, ἀ-
ξιοῦντες ἢ ὑπομνήματα ἡμῖν δοθῆναι, ἢ λιβέλλους κατηγόρων,
ἢ φύσεις ἐγκλημάτων γνωρισθῆναι, ἢ αὐτοὺς τοὺς κατηγό-
ρους· καὶ οὐδενὸς τούτων ἐτύχομεν, ἀλλὰ πάλιν ἐξώσθημεν
5 τῆς ἐκκλησίας.*

*«Πῶς ἂν τὰ ἐντεῦθεν διηγησαίμην λοιπόν, πᾶσαν ὑπερ-
βαίνοντα τραγῳδίαν; τίς ταῦτα παραστήσει λόγος; ποία χωρὶς
φρίκης δέξεται ἀκοή; ἡμῶν γὰρ αὐτὰ ταῦτα, ἅπερ ἔμπροσθεν
εἶπον, προτεινόντων, ἀθρόαυ στρατιωτῶν πλῆθος αὐτῷ τῷ
10 μεγάλῳ σαββάτῳ, πρὸς ἑσπέραν λοιπὸν τῆς ἡμέρας ἐπειγομέ-
νης, ταῖς ἐκκλησίαις ἐπεισῆλθον, τόν τε κλῆρον ἅπαντα τὸν
σὺν ἡμῖν πρὸς βίαν ἐξέβαλον καὶ ὅπλοις τὸ βῆμα περιεστοιχί-
ζετο. Καὶ γυναῖκες τῶν εὐκτηρίων πρὸς τὸ βάπτισμα ἀποδυ-
σάμεναι κατ' αὐτὸν τὸν καιρόν, γυμναὶ ἐφυγαδεύοντο ὑπὸ τοῦ
15 φόβου τῆς χαλεπῆς ταύτης ἐφόδου, οὐδὲ τὴν πρέπουσαν
εὐσχημοσύνην γυναιξὶ συγχωρούμεναι περιθέσθαι. Πολλαὶ δὲ
καὶ τραύματα δεξάμεναι ἐξεβάλλοντο, καὶ αἵματος αἱ κολυμ-
βῆθραι ἐπληροῦντο, καὶ τὰ ἱερὰ ἀπὸ τῶν τοιούτων τραυμάτων
ἐφοινίσσετο νάματα. Καὶ οὐδὲ ἐνταῦθα εἱστήκει τὸ δεινόν·
20 ἀλλ' ἔνθα τὰ ἅγια ἀπέκειντο, ἐλθόντες οἱ στρατιῶται (ὧν ἔνιοι,
καθὼς ἔγνωμεν, καὶ ἀμύητοι ἦσαν) πάντα ἐθεώρουν τὰ ἔνδον·
καὶ τὸ ἁγιώτατον αἷμα τοῦ Χριστοῦ, ὡς ἐν τοσούτῳ θορύβῳ, εἰς
τὰ τῶν προειρημένων ἱμάτια ἐξεχεῖτο. Καὶ ὡς ἐν αἰχμαλωσίᾳ
βαρβαρικῇ πάντα ἐτολμᾶτο. Καὶ ὁ δῆμος πρὸς τὴν ἐρημίαν
25 ἠλαύνετο, καὶ πᾶς ὁ λαὸς ἔξω τῆς πόλεως ἔφευγεν· καὶ κεναὶ
ἐν ἑορτῇ τοιαύτῃ αἱ ἐκκλησίαι τῶν λαῶν ἐγίνοντο, καὶ πλείους
ἢ τεσσαράκοντα ἐπίσκοποι, οἱ κοινωνοῦντες ἡμῖν, μετὰ τοῦ
λαοῦ εἰκῇ καὶ μάτην ἐλαυνόμενοι. Καὶ ὀλολυγαὶ πανταχοῦ καὶ
οἰμωγαί καὶ κωκυτοί καὶ θρῆνοι καὶ πηγαὶ δακρύων κατὰ τὰς
30 ἀγορὰς καὶ τὰς οἰκίας καὶ κατὰ τὰς ἐρήμους· καὶ τὸ πᾶν τῆς
πόλεως μέρος τῶν συμφορῶν ἐπληροῦτο τούτων. Διὰ γὰρ τὴν
ὑπερβολὴν τῆς παρανομίας οὐχ οἱ πάσχοντες μόνον, ἀλλὰ καὶ
οἱ μηδὲν τοιοῦτον ὑπομένοντες συνήλγουν ἡμῖν· οὐχ οἱ ὁμόδο-
ξοι μόνον, ἀλλὰ καὶ οἱ αἱρετικοὶ καὶ Ἰουδαῖοι καὶ Ἕλληνες·*

---

12. Ἐννοοῦνται ἐδῶ οἱ χῶροι τῶν Κωνσταντινιανῶν Θερμῶν, ὅπου γινόταν ἡ ἀγρυπνία τῆς ἀνάστασης καὶ ἡ ἑτοιμασία γιὰ τὸ βάπτισμα τὴν ἡμέρα ἐκείνη.

δικασθοῦμε καί πολλές φορές ἐνοχλήσαμε γι' αὐτό, ἀξιώνοντας ἤ νά μᾶς δοθοῦν τά πρακτικά ἤ οἱ καταγγελίες τῶν κατηγόρων ἤ νά μᾶς γνωστοποιηθεῖ ἡ φύση τῶν κατηγοριῶν ἤ νά μᾶς παραδώσουν τά ὀνόματα τῶν κατηγόρων. Καί δέν ἐπιτύχαμε τίποτε ἀπ' αὐτά, ἀλλά ἀπομακρυνθήκαμε πάλι ἀπό τήν 'Εκκλησία.

«Πῶς θά μποροῦσα νά διηγηθῶ τά γεγονότα ἀπό ἐδῶ καί στό ἑξῆς, ἀφοῦ ξεπερνοῦν κάθε τραγωδία; Ποιός λόγος μπορεῖ νά τά παραστήσει; Ποιό αὐτί μπορεῖ νά τά ἀκούσει χωρίς φρίκη; Γιατί ἐνῶ ἐμεῖς προτείναμε αὐτά πού εἶπα προηγουμένως, πλῆθος στρατιωτῶν μπῆκε ὁμαδικά στίς 'Εκκλησίες[12] κατά τό Μεγάλο Σάββατο, καθώς ἡ ἡμέρα βάδιζε πρός τό βράδυ, καί ἔβγαλαν βίαια ὅλους τούς κληρικούς πού ἦταν μαζί μας καί περικύκλωσαν τό ἱερό βῆμα μέ ὅπλα. Καί γυναῖκες πού εἶχαν ξεντυθεῖ γιά τό βάπτισμα ἐκείνη τήν ὥρα, φυγαδεύονταν ἀπό τά βαπτιστήρια γυμνές ἀπό τό φόβο τῆς σκληρῆς αὐτῆς ἐπίθεσης, χωρίς νά τίς ἀφήσουν νά ντυθοῦν κόσμια ὅπως ταιριάζει στίς γυναῖκες. Πολλές μάλιστα ἀπομακρύνθηκαν, ἀφοῦ δέχθηκαν καί τραύματα, καί οἱ κολυμβῆθρες γέμισαν αἷμα καί τά ἁγιασμένα νερά κοκκίνησαν ἀπό τά τραύματα αὐτά. Καί τό κακό δέ σταμάτησε οὔτε ἐδῶ, ἀλλά ἀφοῦ ἦρθαν οἱ στρατιῶτες (ἀπό τούς ὁποίους μερικοί, καθώς μάθαμε, ἦταν καί ἀβάπτιστοι) ἐκεῖ ὅπου ἦταν τά ἅγια, παρατηροῦσαν ὅλα ὅσα γίνονταν ἐκεῖ μέσα. Καί τό ἁγιότατο αἷμα τοῦ Χριστοῦ, μέσα σέ τόση ταραχή, χυνόταν στά ροῦχα τῶν στρατιωτῶν. Καί ὅλα τολμοῦσαν, σάν νά συνέβηκε βαρβαρική αἰχμαλωσία. Καί ὁ δῆμος διωκόταν στήν ἔρημο καί ὅλος ὁ λαός ἔφευγε ἔξω ἀπό τήν πόλη. Καί οἱ ἐκκλησίες ἔμεναν ἄδειες ἀπό ἀνθρώπους τή μεγάλη αὐτή ἑορτή[13], καί περισσότεροι ἀπό σαράντα ἐπίσκοποι, οἱ ὁποῖοι εἶχαν κοινωνία μαζί μας, διώκονταν μαζί μέ τό λαό χωρίς αἰτία καί λόγο. Καί παντοῦ παρατηροῦνταν κραυγές πόνου καί οἰμωγές καί ὀλολυγμοί καί θρῆνοι καί πηγές δακρύων στίς ἀγορές καί τά σπίτια καί τίς ἐρήμους· καί ὅλο τό μέρος τῆς πόλης ἦταν γεμάτο ἀπό τίς συμφορές αὐτές. Γιατί ἐξ αἰτίας τῆς ὑπερβολικῆς παρανομίας συμπονοῦσαν μαζί μας ὄχι μόνο αὐτοί πού ἔπασχαν, ἀλλά καί ἐκεῖνοι πού δέν ὑπέφεραν τίποτε ἀπ' αὐτά· καί ὄχι μόνο οἱ ὁμόδοξοι, ἀλλά καί οἱ αἱρετικοί καί οἱ 'Ιουδαῖοι καί οἱ εἰδωλολάτρες. Καί τά πάντα ἦταν σέ

13. Ἦταν τό Πάσχα τοῦ 404.

καὶ ὡς τῆς πόλεως κατὰ κράτος ἁλούσης, οὕτως ἐν θορύβῳ καὶ ταραχαῖς καὶ ὀλολυγαῖς πάντα ἦν.

«Καὶ ταῦτα ἐτολμᾶτο παρὰ γνώμην τοῦ εὐσεβεστάτου βασιλέως, νυκτὸς καταλαμβανούσης, ἐπισκόπων αὐτὰ κατα-
5 *σκευαζόντων, οἳ οὐκ ᾐσχύνοντο καμπιδούκτορας ἀντὶ τῶν διακόνων προηγουμένους ἔχοντες. Ἡμέρας δὲ γενομένης, πᾶσα ἡ πόλις ἔξω τειχέων μετῳκίζετο, ὑπὸ δένδρα καὶ νάπας, καθάπερ πρόβατα διεσπαρμένα, τὴν ἑορτὴν ἐπιτελοῦντες. Ἔξεστιν ὑμῖν τὰ ἐντεῦθεν λογίσασθαι λοιπὸν ἅπαντα· ὅπερ*
10 *γὰρ ἔφθην εἰπών, οὐχ οἷόν τε πάντα ἐπελθεῖν τῷ λόγῳ τὰ καθ' ἕκαστον γενόμενα. Καὶ τὸ δὴ χαλεπόν, ὅτι τοσαῦτα καὶ τηλικαῦτα κακὰ οὐδέπω καὶ νῦν λύσιν ἔλαβεν, ἀλλ' οὐδὲ ἐλπίδα λύσεως, ἀλλ' ἐπιτείνεται καθ' ἑκάστην ἡμέραν τὸ δεινόν, καὶ γέλως γεγόναμεν πολλοῖς· μᾶλλον δὲ γελᾷ μὲν*
15 *οὐδείς, κἂν μυριάκις παρανομήσῃ, θρηνοῦσι δὲ πάντες, ὅπερ ἔφην, τὸν κολοφῶνα τῶν κακῶν, τὴν καινὴν ταύτην παρανομίαν.*

«Τίς ἂν εἴποι τὰς τῶν λοιπῶν ἐκκλησιῶν ταραχάς; οὐδὲ γὰρ ἐνταῦθα ἔστη τὸ χαλεπόν, ἀλλὰ μέχρι τῆς ἑῴας ἔφθασεν.
20 *Καὶ καθάπερ ἀπὸ κεφαλῆς, πονηροῦ ῥεύματος ἐκχυθέντος, τὰ λοιπὰ διαφθείρεται μέλη, οὕτω δὴ καὶ νῦν ὥσπερ ἐκ πηγῆς τινος τῆς μεγάλης ταύτης πόλεως τῶν κακῶν ἀρξαμένων, ὁδῷ τὰ τῶν θορύβων πανταχοῦ προέβη. Καὶ κληρικοὶ πανταχοῦ ἐπανέστησαν ἐπισκόποις, καὶ λαοί, οἱ μὲν διετμήθησαν, οἱ δὲ*
25 *μέλλουσι· καὶ πανταχοῦ κακῶν ὠδῖνες καὶ τῆς οἰκουμένης πάσης ἀνατροπή. Μαθόντες τοίνυν ἅπαντα, κύριοι τιμιώτατοι καὶ εὐλαβέστατοι, τὴν προσήκουσαν ὑμῖν ἀνδρείαν καὶ σπουδὴν ἐπιδείξασθε, ὥστε παρανομίαν τοσαύτην ἐπεισελθοῦσαν ταῖς ἐκκλησίαις ἀναστεῖλαι. Εἰ γὰρ τοῦτο κρατήσειεν τὸ ἔθος,*
30 *καὶ ἐξὸν γένηται τοῖς βουλομένοις εἰς ἀλλοτρίας ἀπιέναι ἐπαρχίας ἐκ τοσούτων διαστημάτων καὶ ἐκβάλλειν οὓς ἂν ἐθέλοιεν, κατ' ἐξουσίαν ἰδίαν πράττοντες ἅπερ ἂν ἐθέλοιεν, ἴστε, ὅτι πάντα οἰχήσεται καὶ πόλεμος ἀκήρυκτος πᾶσαν ἐπιδραμεῖται τὴν οἰκουμένην, πάντων πάντας τε βαλλόντων*
35 *καὶ βαλλομένων.*

Ἵν' οὖν μὴ τοσαύτη σύγχυσις καταλάβῃ τὴν ὑφ' ἡλίῳ πᾶσαν, ἐπιστεῖλαι παρακαλῶ τὰ μὲν οὕτως γεγενημένα παρα-

τέτοιο θόρυβο καί άναταραχή καί όλολυγμούς, σάν νά εἶχε πέσει ἐντελῶς ή πόλη στούς ἐχθρούς.

«Καί ὅλα αὐτά γίνονταν παρά τή γνώμη τοῦ εὐσεβέστατου βασιλιᾶ, τά προετοίμαζαν ὅταν ἐρχόταν ή νύχτα οἱ ἐπίσκοποι, οἱ ὁποῖοι δέν ντρέπονταν νά ἔχουν προπορευόμενους ὁπλοφόρους ἀντί γιά διακόνους. Ὅταν ὅμως ἔγινε ήμέρα, ὅλη ή πόλη μετακόμισε ἔξω ἀπό τήν πόλη καί τελοῦσαν τήν ἑορτή κάτω ἀπό δένδρα καί θάμνους σάν διασκορπισμένα πρόβατα. Εἶναι δυνατό νά ὑπολογίσετε ὅλα ὅσα ἔγιναν ἀπό ἐδῶ καί ἔπειτα, γιατί, ὅπως εἶπα προηγουμένως, δέν εἶναι δυνατό νά ἐκθέσω μέ τό λόγο ὅλα τά πράγματα μέ κάθε λεπτομέρεια. Καί τό δυσάρεστο εἶναι ὅτι τά τόσο πολλά καί τόσο μεγάλα κακά δέν τελείωσαν οὔτε καί τώρα ἀκόμη, καί οὔτε ὑπάρχει ἐλπίδα νά τελειώσουν, ἀλλά τό κακό αὐξάνει καθημερινά καί ἔχουμε γίνει περίγελως στούς πολλούς. Ἤ καλύτερα δέ γελᾶ βέβαια κανείς καί ἄν ἀκόμη παρανομήσει ἄπειρες φορές, ἀλλά θρηνοῦν ὅλοι, ὅπως εἶπα, τό χειρότερο κακό, αὐτή τή νέα παρανομία ἐναντίον μας.

«Ποιός μπορεῖ νά διηγηθεῖ τίς ταραχές τῶν ἄλλων Ἐκκλησιῶν; Γιατί τό κακό δέ σταμάτησε ἐδῶ, ἀλλ' ἔφθασε μέχρι τήν Ἀνατολή. Καί ὅπως ὅταν χυθεῖ κακό ρεῦμα ἀπό τό κεφάλι, καταστρέφονται τά ὑπόλοιπα μέλη, ἔτσι λοιπόν καί τώρα, ἀφοῦ ἄρχισαν τά κακά ἀπ' αὐτή τή μεγάλη πόλη σάν ἀπό κάποια πηγή, οἱ θόρυβοι προχώρησαν παντοῦ. Παντοῦ στασίασαν κληρικοί ἐναντίον ἐπισκόπων, καί τά πλήθη, ἄλλα ἀποκόπηκαν καί ἄλλα πρόκειται ν' ἀποκοποῦν· καί παντοῦ ἐγκυμονοῦνται κακά καί ἀνατροπή ὅλης τῆς οἰκουμένης. Μαθαίνοντας λοιπόν τά πάντα, τιμιότατοι καί εὐσεβέστατοι κύριοι, δεῖξτε τήν ἀνδρεία καί τή φροντίδα πού σᾶς ταιριάζει, ὥστε νά σταματῆστε τή μεγάλη παρανομία πού εἰσχώρησε στίς Ἐκκλησίες. Γιατί ἄν ἐπικρατήσει αὐτή ή συνήθεια καί ἐπιτραπεῖ σ' ἐκείνους πού θέλουν νά μεταβαίνουν σέ ξένες ἐπαρχίες ἀπό πολύ μακριά καί ν' ἀπομακρύνουν ὅσους ἐπισκόπους θέλουν, ἐνεργώντας αὐθαίρετα ὅ,τι θέλουν, μάθετε ὅτι τά πάντα θά καταστραφοῦν καί πόλεμος ἀκήρυκτος θ' ἁπλωθεῖ σ' ὅλη τήν οἰκουμένη, καθώς ὅλοι θά βάλλουν ἐναντίον ὅλων καί θά βάλλονται ἀπ' ὅλους.

Γιά νά μήν καταλάβει λοιπόν τόση σύγχυση ὅλη τήν ὑφήλιο, παρακαλῶ νά δηλώσετε μέ ἐπιστολή ὅτι αὐτά, πού ἔγιναν ἔτσι παράνομα, ἀπό μία μεριδα καί ἐνῶ ἐμεῖς ἤμαστε ἀπόντες, χωρίς νά

νόμως, ἀπόντων ἡμῶν καὶ ἐκ μιᾶς μοίρας, καὶ οὐ παραιτουμένων κρίσιν, μηδεμίαν ἔχειν ἰσχὺν (ὥσπερ οὖν οὐδὲ ἔχει τῇ οἰκείᾳ φύσει), τοὺς δὲ τοιαῦτα παρανομήσαντας τῷ ἐπιτιμίῳ ὑποβάλλεσθαι τοῦ ἐκκλησιαστικοῦ νόμου· ἡμᾶς δὲ τοὺς οὐχ
5 *ἁλόντας, οὐκ ἐληλεγμένους, οὐκ ἀποδειχθέντας ὑπευθύνους, τῶν πραγμάτων ἀπολαύειν τῶν ὑμετέρων συνήθως, καὶ τῆς ἀγάπης, καὶ πάντων τῶν ἄλλων, ὥσπερ καὶ ἔμπροσθεν. Εἰ δὲ βούλοιντο καὶ νῦν οἱ τὰ τοιαῦτα παρανομήσαντες, τὰ ἐγκλήματα γυμνάζειν, ἐφ' οἷς ἡμᾶς ἀδίκως ἐξέβαλον, τῶν ὑπομνη-*
10 *μάτων ἡμῖν δοθέντων, τῶν λιβέλλων τῶν κατηγόρων φανέντων, δικαστηρίου καθίσαντος ἀδεκάστου, καὶ δικασώμεθα καὶ ἀπολογησώμεθα καὶ δείξωμεν ἑαυτοὺς ἀνευθύνους τῶν ἐπαγομένων ἡμῖν, ὥσπερ οὖν καί ἐσμεν. Τὰ γὰρ νῦν γεγενημένα παρ' αὐτῶν ἐκτός εἰσι πάσης ἀκολουθίας καὶ παντὸς νόμου*
15 *καὶ κανόνος ἐκκλησιαστικοῦ. Καὶ τί λέγω κανόνος ἐκκλησιαστικοῦ; Οὐδὲ ἐν τοῖς ἔξω μὲν οὖν δικαστηρίοις τοιαῦτα ἐτολμήθη ποτέ, μᾶλλον δὲ οὐδὲ ἐν βαρβαρικῷ δικαστηρίῳ. Οὐδὲ Σκύθαι καὶ Σαρμάται οὐκ ἄν ποτε ἐδίκασαν ἐκ μιᾶς μοίρας κρίναντες, ἀπόντος τοῦ αἰτιωμένου, καὶ παραιτουμέ-*
20 *νου οὐ κρίσιν, ἀλλ' ἀπέχθειαν, καλοῦντος δικαστὰς μυρίους, ἀνεύθυνον ἑαυτὸν λέγοντος εἶναι, ἑτοίμου ὄντος τῆς οἰκουμένης παρούσης ἀποδύσασθαι τὰς αἰτίας, καὶ δεῖξαι ἑαυτὸν ἀθῷον ἐν ἅπασιν ὄντα.*

«Ταῦτ' οὖν ἅπαντα λογισάμενοι καὶ παρὰ τῶν κυρίων μου
25 *τῶν εὐλαβεστάτων ἀδελφῶν ἡμῶν τῶν ἐπισκόπων σαφέστερον ἅπαντα μαθόντες, τὴν παρ' ἑαυτῶν εἰσενεγκεῖν σπουδὴν παρακέκλησθε. Οὕτω γὰρ οὐχ ἡμῖν μόνοις χαρίσησθε, ἀλλὰ καὶ τῷ κοινῷ τῶν ἐκκλησιῶν, καὶ τὸν παρὰ Θεοῦ λήψησθε μισθόν, τοῦ διὰ τὴν τῶν ἐκκλησιῶν εἰρήνην πάντα ποιοῦντος*
30 *διηνεκῶς.*

«Ἐγράφη δὲ αὕτη καὶ πρὸς Βενέριον, ἐπίσκοπον Μεδιολάνου, καὶ Χρωμάτιον, ἐπίσκοπον Ἀκυληΐας.

«Ἔρρωσο ἐν Κυρίῳ».

ΚΕΦΑΛΑΙΟΝ Γ΄

35 *Πρὸς τούτοις ἀνταπέστειλεν ὁ μακάριος Ἰννοκέντιος ὁ*

σταματήσουμε νά ἐπιζητοῦμε δίκη, δέν ἔχουν καμμιά ἰσχύ (ὅπως ἄλλωστε οὔτε ἔχουν ἀπό τήν ἴδια τους τή φύση), καί αὐτούς πού ἔκαμαν τέτοιες παρανομίες νά τούς τιμωρήσετε σύμφωνα μέ τόν ἐκκλησιαστικό νόμο, καί ἐμεῖς πού δέν πέσαμε στά χέρια τους, δέν ἐλεχθήκαμε καί δέν ἀποδειχθήκαμε ἔνοχοι, ν' ἀπολαμβάνουμε τήν κανονική σας ἀναγνώριση καί τήν ἀγάπη, καί ὅλων τῶν ἄλλων, ὅπως καί πρίν. Ἐάν ὅμως θά ἤθελαν καί τώρα αὐτοί πού ἔκαμαν τέτοιες παρανομίες νά ἐξετάσουν τίς κατηγορίες, γιά τίς ὁποῖες μᾶς ἀπομάκρυναν ἄδικα ἀπό τό θρόνο, ἀφοῦ μᾶς δώσουν τά πρακτικά, παρουσιάσουν τίς ἔγγραφες καταγγελίες τῶν κατηγόρων καί ἀφοῦ συνεδριάσει ἀδέκαστο δικαστήριο, θά δικασθοῦμε καί θ' ἀπολογηθοῦμε καί θ' ἀποδείξουμε τούς ἑαυτούς μας ἀθώους ἀπό τίς ἐναντίον μας κατηγορίες, ὅπως ἄλλωστε καί εἴμαστε. Γιατί ἐκεῖνα πού τώρα κάνουν αὐτοί εἶναι μακριά ἀπό κάθε λογική καί κάθε νόμο καί ἐκκλησιαστικό κανόνα. Καί γιατί λέγω ἐκκλησιαστικό κανόνα; Οὔτε στά πολιτικά δικαστήρια δέν ἔγιναν ποτέ τέτοια πράγματα, μᾶλλον ὅμως οὔτε σέ βαρβαρικό δικαστήριο. Οὔτε Σκύθες οὔτε Σαρμάτες δέ θά δίκαζαν ποτέ κρίνοντας ἀπό ἕνα μόνο μέρος, ὅταν εἶναι ἀπών ὁ κατηγορούμενος καί δέ δέχεται ὄχι δίκη, ἀλλά ἐχθρότητα δικαστῶν, καί ἐπικαλεῖται πολλούς δικαστές καί ἰσχυρίζεται ὅτι εἶναι ἀθῶος καί εἶναι ἕτοιμος ν' ἀποκρούσει τίς κατηγορίες ἐνώπιον τῆς οἰκουμένης καί ν' ἀποδείξει ὅτι εἶναι ἀθῶος σ' ὅλα.

«Ἐκτιμώντας λοιπόν ὅλα αὐτά καί μαθαίνοντας τά πάντα καλύτερα ἀπό τούς κυρίους μου, τούς εὐσεβέστατους ἀδελφούς μας, τούς ἐπισκόπους, σᾶς παρακαλῶ νά δείξετε ὅλη τή φροντίδα σας. Γιατί ἔτσι ὄχι μόνο σέ μᾶς θά κάνετε κάτι εὐχάριστο, ἀλλά καί στό κοινό τῶν Ἐκκλησιῶν, καί θά λάβετε τό μισθό ἀπό τό Θεό, ὁ ὁποῖος μεταχειρίζεται ὅλα τά μέσα συνεχῶς γιά τήν εἰρήνη τῶν Ἐκκλησιῶν.

«Γράφηκε ἡ ἐπιστολή αὐτή καί πρός τόν Βενέριο, τόν ἐπίσκοπο Μεδιολάνου, καί πρός τόν Χρωμάτιο, τόν ἐπίσκοπο Ἀκυληίας[14].

«Ὑγίαινε μέ τή βοήθεια τοῦ Κυρίου».

ΚΕΦΑΛΑΙΟ Γ΄

Ἔπειτα ὁ μακάριος πάπας Ἰννοκέντιος ἔστειλε ἐπιστολές καί

14. Βλ. Χρυσοστόμου ἐπιστολές 182 καί 155 ἀντίστοιχα.

πάπας ἀμφοτέροις τοῖς μέρεσι τὰ ἴσα τῆς κοινωνίας, ἀθετήσας τὴν δόξασαν γεγενῆσθαι κρίσιν παρὰ Θεοφίλου, εἰπὼν δεῖν ἑτέραν ἀνεπίληπτον συγκροτηθῆναι σύνοδον δυτικῶν τε καὶ ἀνατολικῶν, ὑποχωρούντων τοῦ συνεδρίου φίλων πρῶτον,
5 *ἔπειτα καὶ ἐχθρῶν, οὐδὲ γὰρ παρ' ὁποτέρων, ὡς ἐπὶ τὸ πλεῖστον, ὀρθὸν αὐτῶν ἐστι τὸ κριτήριον. Μετ' ὀλίγας πάλιν ἡμέρας ἐπέστη τις πρεσβύτερος θεοφίλου Πέτρος, ἅμα Μαρτυρίῳ διακόνῳ τῆς Κωνσταντινουπολιτῶν, ἐπιδόντες ἐπιστολὰς τοῦ αὐτοῦ καί τινα ὑπομνημάτια δῆθεν, ἐν οἷς ἐδόκει*
10 *κατακεκρίσθαι ὁ Ἰωάννης παρὰ τριάκοντα ἓξ ἐπισκόπων, ὧν οἱ μὲν εἴκοσι ἐννέα ἦσαν Αἰγύπτιοι, ἑπτὰ δὲ τῶν ἄλλων κλιμάτων. Οἷς ὑπομνήμασιν ἐντυχὼν ὁ πάπας Ἰννοκέντιος, καὶ εὑρὼν μήτε τὰς αἰτίας οὔσας βαρείας, μήτε τὸν Ἰωάννην παρόντα καὶ κατὰ πρόσωπον ἐλεγχθέντα, ἔμενεν κατασυρίζων*
15 *τῆς Θεοφίλου μανίας, ὅτι κατὰ ἀπόντος τοιαύτην ἀπότομον ἐξέβρασε ψῆφον.*

Ἀπολύσας οὖν αὐτοὺς μετὰ ἐλεγκτικῶν γραμμάτων, ηὔχετο τὸν Θεὸν ἱκετεύων μετὰ νηστείας, καὶ τῆς ἐκκλησίας παραλυθῆναι μὲν τὴν διχοστασίαν, συναρμοσθῆναι δὲ τὴν
20 *φιλαδελφίαν. Ἦν δὲ τῆς ἐπιστολῆς ἡ δύναμις αὕτη· «Ἀδελφὲ Θεόφιλε, ἡμεῖς καί σε ἴσμεν κοινωνικὸν καὶ τὸν ἀδελφὸν Ἰωάννην, ὡς καὶ ἐν τοῖς πρώτοις γράμμασι φανερὰν ἡμῶν τὴν γνώμην ἐποιήσαμεν. Καὶ νῦν δὲ οὐκ ἐκστάντες τῆς αὐτῆς προαιρέσεως, πάλιν σοι τὰ αὐτὰ γράφομεν καὶ ὁσάκις ἂν*
25 *ἀποστείλῃς· ὅτι, ἐὰν μὴ δέουσα κρίσις παρακολουθήσῃ ἐπὶ τοῖς παιγνιωδῶς γεγενημένοις, ἀμήχανόν ἐστιν,ἀλόγως ἡμᾶς ἀποστῆναι τῆς Ἰωάννου κοινωνίας. Ὡς γοῦν, εἰ θαῤῥεῖς σὺ τῷ κριτηρίῳ, ἀπάντησον τῇ κατὰ Χριστὸν γινομένῃ συνόδῳ, κἀκεῖ τὰς αἰτίας γυμνάσας ὑπὸ μάρτυσι τοῖς Νικαίας κανόσιν*
30 *(ἄλλον γὰρ κανόνα ἡ Ῥωμαίων οὐ παραδέχεται ἐκκλησία), ἀναντίῤῥητον τὴν ἀσφάλειαν σχήσῃ».*

Μικροῦ δὲ παριππάσαντος χρόνου, ἐπέστη πρεσβύτερος Κωνσταντινουπόλεως Θεότεκνος ὀνόματι, ἐπιδοὺς ἐπιστολὰς τῆς συνόδου τῆς Ἰωάννου εἴκοσι πέντε ἐπισκόπων μικρῷ
35 *πρός· ἐν οἷς ἀνεδίδαξαν καὶ στρατιωτικῇ βοηθείᾳ ἐκβεβλῆσθαι τὸν Ἰωάννην τῆς πόλεως, καὶ εἰς ἐξορίαν ἐν Κουκουσῷ πεπέμφθαι, καὶ τὴν ἐκκλησίαν ἐμπεπρῆσθαι. Ὧ καὶ αὐτῷ δοὺς κοινωνικὰ γράμματα πρός τε τὸν ἐπίσκοπον Ἰωάννην καὶ πρὸς τοὺς αὐτῷ κοινωνοῦντας, παρεκάλει μετὰ δακρύων*

ἦρθε σέ ἴση ἐπικοινωνία καί μέ τά δύο μέρη, ἀθετώντας τή φαινομενική κρίση πού ἔγινε ἀπό τό Θεόφιλο, λέγοντας πώς πρέπει νά συγκροτηθεῖ ἄλλη ἀνεπίληπτη σύνοδος ἀπό δυτικούς καί ἀνατολικούς, ἀφοῦ ἀποχωρήσουν ἀπό τή σύνοδο πρῶτα οἱ φίλοι καί ἔπειτα οἱ ἐχθροί, γιατί οὔτε ἀπό φίλους, οὔτε ἀπό ἐχθρούς στό μεγαλύτερο μέρος, εἶναι σωστή ἡ κρίση. Ὕστερα ἀπό λίγες ἡμέρες πάλι ἔφθασε στή Ρώμη ἕνας πρεσβύτερος τοῦ Θεοφίλου, ὁ Πέτρος, μαζί μέ τό Μαρτύριο, διάκονο τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως, δίνοντας ἐπιστολές τοῦ Θεοφίλου καί μερικά σύντομα δῆθεν πρακτικά, στά ὁποῖα φαινόταν πώς ὁ Ἰωάννης εἶχε καταδικασθεῖ ἀπό τριάντα ἕξι ἐπισκόπους, ἀπό τούς ὁποίους οἱ εἴκοσι ἐννέα ἦταν Αἰγύπτιοι καί ἑπτά ἀπό ἄλλες περιοχές. Αὐτά τά πρακτικά ἀφοῦ διάβασε ὁ πάπας Ἰννοκέντιος καί βρῆκε ὅτι οὔτε οἱ κατηγορίες ἦταν βαριές, οὔτε ὁ Ἰωάννης ἦταν παρών καί δέν ἐλέχθηκε κατά πρόσωπο, ἐξακολουθοῦσε νά κατηγορεῖ τή μανία τοῦ Θεοφίλου, ἐπειδή πῆρε τέτοια αὐστηρή ἀπόφαση ἐναντίον ἀνθρώπου πού ἀπουσίαζε.

Ἀφοῦ λοιπόν τούς ἔστειλε πίσω μέ ἐπιτιμητικά γράμματα, νηστεύοντας παρακαλοῦσε τό Θεό καί προσευχόταν, καί νά ὑποχωρήσει ἡ φιλονικία ἀπό τήν Ἐκκλησία καί νά ἐπικρατήσει ἡ ἀγάπη. Καί τό περιεχόμενο τῆς ἐπιστολῆς ἦταν τό ἑξῆς: «Ἀδελφέ Θεόφιλε, ἐμεῖς ἔχουμε ἐκκλησιαστικές σχέσεις καί μέ σένα καί μέ τόν ἀδελφό Ἰωάννη, ὅπως καί στά πρῶτα γράμματα φανερώσαμε τή γνώμη μας. Καί τώρα δέν ἀλλάξαμε αὐτή τήν ἀπόφασή μας, γράφοντας σέ σένα πάλι τά ἴδια καί ὅσες φορές ἀκόμη θά γράψεις ἐπιστολές, ὅτι δηλαδή, ἄν δέν ἀκολουθήσει δίκαια κρίση σ' αὐτά πού μέ ἐλαφριά τήν καρδιά ἔγιναν εἶναι ἀδύνατο νά διακόψουμε χωρίς λόγο τίς ἐκκλησιαστικές σχέσεις μέ τόν Ἰωάννη. Ὥστε λοιπόν, ἐάν ἔχεις ἐμπιστοσύνη σέ νέα κρίση, πήγαινε στή σύνοδο πού θά γίνει σύμφωνα μέ τό Χριστό καί ἐκεῖ ἀφοῦ ἐξετάσεις τίς κατηγορίες μέ βάση τούς κανόνες τῆς Νίκαιας (γιατί ἄλλους κανόνες ἡ Ἐκκλησία τῆς Ρώμης δέν παραδέχεται), ἀναμφίβολα δέν ἔχεις νά πάθεις τίποτε».

Ὅταν ὅμως πέρασε λίγος καιρός, ἔφθασε κάποιος Θεότεκνος, πρεσβύτερος στήν Κωνσταντινούπολη, καί ἐπέδωσε ἐπιστολές εἴκοσι πέντε περίπου ἐπισκόπων τῆς ὁμάδας τοῦ Ἰωάννη. Στίς ἐπιστολές αὐτές ἐξήγησαν ὅτι ὁ Ἰωάννης καί ἀπό τήν πόλη ἀπομακρύνθηκε μέ στρατιωτική ἐνίσχυση καί ἐξορία στάλθηκε στήν Κουκουσό, καί ὅτι ἡ ἐκκλησία κάηκε. Σ' αὐτόν καί ὁ Ἰννοκέντιος ἔδωσε γράμματα ἐκκλησιαστικῆς ἐπικοινωνίας καί πρός τόν ἐπίσκοπο Ἰωάννη καί πρός τούς ὀπαδούς του καί παρακαλοῦ ε μέ δάκρυα νά μακροθυ-

μακροθυμεῖν, βοηθεῖν οὐ δυνάμενος διὰ τὸ ἀντιπράττειν τινὰς τοὺς τὸ κακὸν δυναμένους. Μετὰ μικρὸν ὕστερον ἐπέστη ἀνθρωπίσκος, δυσειδὴς ἰδεῖν, δυσμενὴς νοηθῆναι Πάτερνος τοὔνομα, λέγων ἑαυτὸν πρεσβύτερον τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας· ὃς καὶ αὐτὸς ὅλος δι' ὅλου σεσοβημένος ἐκ τοῦ εἴδους τὴν ἔχθραν ἐπιδεικνύων, πολλὰς καταχέων λοιδορίας κατὰ τοῦ ἐπισκόπου Ἰωάννου, ἐπιδέδωκεν γράμματα ἐπισκόπων ὀλίγων, Ἀκακίου, Παύλου, Ἀντιόχου, Κυρίνου, Σευηριανοῦ, καὶ ἑτέρων τινῶν, ἐν οἷς συκοφαντοῦσι τὸν Ἰωάννην ὡς καύσαντα τὴν ἐκκλησίαν. Οὕτως ψευδὴς ἡμῖν ἐφάνη ὁ λόγος, ὡς μηδὲ διὰ τοῦτο δοῦναι ἀπολογίαν τὸν Ἰωάννην ἐν ἐπισήμῳ συνόδῳ· οὗ καταπτύσας ὁ πάπας Ἰννοκέντιος, οὐδὲ ἀντιγράφων ἠξίωσεν.

Ο ΕΠΙΣΚ. Καταξίωσον οὖν ὑποσχεῖν μοι τὴν ἀκοήν, ἵνα σοι καθ' ἕκαστον ἀφηγήσωμαι· πάνυ γάρ, ὡς λέγει ὁ Ἐλιοῦς τῷ Ἰώβ, «Συνέχει με τὸ πνεῦμα τῆς γαστρός», «γαστέρα» τὴν διάνοιαν αἰνιττόμενος πεπληρωμένην λόγων.

Ο ΔΙΑΚ. Ἀναγκαῖόν ἐστιν ἐκπληρῶσαί με, ἀγαθώτατε πάτερ, τὴν ἀκρίβειαν τῶν καθ' ἡμᾶς φθασάντων, ἵν' οὕτως ἄρξωμαι τῆς πρὸς σὲ ἐρωτήσεως. Πάλιν τοίνυν μεθ' ἡμέρας τινὰς ἐπέστη ὁ Συννάδων ἐπίσκοπος Κυριακός, γράμματα μὲν οὐκ ἔχων, ἱκανὸς δὲ πρὸς διήγησιν ἐναρμόνιον· ὃς ἔλεγεν πεφευγέναι διὰ τὴν τοῦ βασιλικοῦ διατάγματος ἀπειλὴν περιέχουσαν, ὅτι «Εἴ τις οὐ κοινωνεῖ Θεοφίλῳ καὶ Ἀρσακίῳ καὶ Πορφυρίῳ, ὁ τοιοῦτος τῆς μὲν ἐπισκοπῆς εἰργέσθω· προσαπολλύτω δέ, εἴ τινα δοκεῖ ἔχειν οὐσίαν χρημάτων ἢ κτημάτων». Μετὰ τὸν Κυριακὸν παρεγένετο Εὐλύσιος, ὁ Ἀπαμείας ἐπίσκοπος τῆς Βιθυνίας, ἐπιδοὺς γράμματα πεντεκαίδεκα ἐπισκόπων τῆς συνόδου Ἰωάννου καὶ τοῦ καλογήρου Ἀνυσίου, τοῦ Θεσσαλονίκης ἐπισκόπου· ἐν οἷς οἱ μὲν τὴν προγενομένην καὶ γινομένην ἀναδιδάσκουσι λαφυραγωγίαν πάσης τῆς Κωνσταντινουπόλεως, ὁ δέ, ὡς ἐμμένει τῇ κρίσει τῇ τῶ[ν Ῥ]ωμαίων. Ὁ δὲ καὶ αὐτὸς Εὐλύσιος διηγήσατο συνῳδὰ τῷ Κυριακῷ.

Παραδραμόντος δὲ μηνὸς ἡμερῶν ἐπέστη Παλλάδιος ὁ

---

1. Ὁ Ἀκάκιος ἦταν ἐπίσκοπος τῆς Βέροιας (Συρίας), ὁ Παῦλος τῆς Ἡράκλειας, ὁ Ἀντίοχος τῆς Πτολεμαΐδας, ὁ Κυρίνος τῆς Χαλκηδόνας καί ὁ Σευηριανός τῶν Γαβάλων (Συρίας). 2. Ἰώβ 32, 18.

μοῦν, ἀφοῦ δέν μποροῦσε νά βοηθήσει γιατί ἀντιδροῦσαν μερικοί πού μποροῦσαν νά κάνουν τό κακό. Ὕστερα ἀπό λίγο ἔφθασε ἕνας ἀσήμαντος ἄνθρωπος, ἄσχημος στό πρόσωπο, δυσκολονόητος, μέ τό ὄνομα Πάτερνος, λέγοντας ὅτι αὐτός εἶναι πρεσβύτερος τῆς ἐκκλησίας τῆς Κωνσταντινούπολης. Αὐτός βαδίζοντας μέ πολλή ἔπαρση, φανερώνοντας ἀπό τή μορφή του τήν ἔχθρα καί σκορπίζοντας πολλές ὕβρεις ἐναντίον τοῦ ἐπισκόπου Ἰωάννη, ἐπέδωσε καί αὐτός γράμματα λίγων ἐπισκόπων, τοῦ Ἀκακίου, τοῦ Παύλου, τοῦ Ἀντιόχου, τοῦ Κυρίνου, τοῦ Σευηριανοῦ[1] καί μερικῶν ἄλλων, στά ὁποῖα συκοφαντοῦν τόν Ἰωάννη ὅτι τάχα ἔκαψε τήν ἐκκλησία. Μᾶς φάνηκε τόσο ψεύτικος ὁ λόγος, ὥστε κρίναμε περιττό γι' αὐτό νά καλέσουμε σέ ἀπολογία τόν Ἰωάννη σ' ἐπίσημη σύνοδο. Αὐτόν τόν σιχάθηκε ὁ πάπας Ἰννοκέντιος καί δέν καταδέχτηκε νά τοῦ ἀπαντήσει.

Ο ΕΠΙΣΚ. Ἀξίωσέ με λοιπόν νά μοῦ δώσεις τήν ὑπόσχεση νά μ' ἀκούσεις, γιά νά σοῦ διηγηθῶ τό καθένα χωριστά, γιατί πάρα πολύ, ὅπως λέγει ὁ Ἐλιούς στόν Ἰώβ, «Μέ συγκρατεῖ τό πνεῦμα τῆς κοιλιᾶς μου»[2], -ἐννοώντας «κοιλιά» τό νοῦ πού εἶναι γεμάτος ἀπό λόγια.

Ο ΔΙΑΚ. Εἶναι ἀνάγκη νά τελειώσω, ἀγαθότατε πάτερ, τήν ἀκριβή διήγηση γιά ἐκείνους πού ἦρθαν σέ μᾶς, γιά ν' ἀρχίσω ἔτσι τίς ἐρωτήσεις μου σέ σένα. Πάλι λοιπόν ὕστερα ἀπό μερικές ἡμέρες ἔφθασε ὁ ἐπίσκοπος Συννάδων Κυριακός[3], χωρίς νά φέρει ἐπιστολές, ἀλλά ἦταν ἱκανός νά διηγηθεῖ τήν ἀληθινή κατάσταση. Αὐτός εἶπε ὅτι ἔφυγε ἐξ αἰτίας τῆς ἀπειλῆς τοῦ αὐτοκρατορικοῦ διατάγματος πού ἔλεγε, ὅτι «Ὅποιος δέν ἔχει ἐκκλησιαστικές σχέσεις μέ τό Θεόφιλο καί τόν Ἀρσάκιο καί τόν Πορφύριο, αὐτός θ' ἀπομακρύνεται ἀπό τήν ἐπισκοπή του καί θά δημεύεται καί ἡ χρηματική ἤ κτηματική περιουσία του»[4]. Μετά τόν Κυριακό ἦρθε στή Ρώμη ὁ Εὐλύσιος, ὁ ἐπίσκοπος τῆς Ἀπαμείας τῆς Βιθυνίας καί ἐπέδωσε ἐπιστολές δεκαπέντε ἐπισκόπων τῆς μερίδας τοῦ Ἰωάννη καί τοῦ μοναχοῦ Ἀνυσίου, τοῦ ἐπισκόπου Θεσσαλονίκης. Στίς ἐπιστολές αὐτές οἱ πρῶτοι ἐπαναλαμβάνουν τήν προηγούμενη καί τήν τωρινή ἀναστάτωση ὅλης τῆς Κωνσταντινουπόλεως καί ὁ δεύτερος ὅτι παραμένει στήν κρίση τῆς ἐκκλησίας τῆς Ρώμης. Καί αὐτός ὁ Εὐλύσιος διηγήθηκε τήν κατάσταση ὅπως καί ὁ Κυριακός.

Ὅταν ὅμως πέρασε ἕνας μήνας ἔφθασε ὁ Παλλάδιος, ὁ ἐπίσκοπος

3. Ὁ Κυριακός ἀναφέρεται ἀπό τό Χρυσόστομο στίς ἐπιστολές 125 καί 148.

4. Τό διάταγμα τῆς 14 Νοεμβρίου 404 στό Θεοδοσιανό Κώδικα, 16, 4.6.

ἐπίσκοπος Ἑλενουπόλεως, δίχα γραμμάτων, ὃς ἔλεγεν καὶ αὐτὸς πεφευγέναι τὴν τῶν ἀρχόντων μανίαν· ἐγκεντρότερον δὲ ἡμῖν ἀφηγήσατο, ἐπιδείξας ἀντίγραφον διατάγματος περιέχοντος, ὡς «Τὸν κρύπτοντα ἐπίσκοπον ἢ κληρικόν, ἢ ὅλως δεχόμενον ἐν οἰκίᾳ κοινωνικὸν Ἰωάννου, τὸν οἶκον δημεύεσθαι». Μετὰ τὸν Παλλάδιον Γερμανὸς πρεσβύτερος ἅμα Κασσιανῷ διακόνῳ τῶν Ἰωάννου, ἄνδρες εὐλαβεῖς, ἐπιδόντες γράμματα παντὸς τοῦ κλήρου Ἰωάννου ἐπέστησαν· ὅπου γράφουσι βίαν καὶ τυραννίδα ὑπομεμενηκέναι αὐτῶν τὴν ἐκκλησίαν, τοῦ ἐπισκόπου αὐτῶν στρατιωτικῇ βοηθείᾳ ἐκβληθέντος, καὶ εἰς ἐξορίαν πεμφθέντος κατὰ συσκευὴν Ἀκακίου Βεροίας, καὶ Θεοφίλου Ἀλεξανδρείας, καὶ Ἀντιόχου Πτολεμαΐδος, καὶ Σευηριανοῦ Γαβάλων· ἐν οἷς καὶ βρέβιον ἐπέδειξαν οἱ προειρημένοι, ὅπου τὰ κειμήλια παραδιδόασιν ὑπὸ μάρτυσι τοῖς δικασταῖς, Στουδίου ἐπάρχου πόλεως, καὶ Εὐτυχιανοῦ τῶν πραιτωρίων, καὶ Ἰωάννου κόμητος θησαυρῶν, καὶ Εὐσταθίου κυαίστορος καὶ ταβουλαρίου, ἔν τε χρυσῷ καὶ ἀργύρῳ καὶ ἀμφίοις, ἀποτριψάμενοι τοῦ ἐπισκόπου Ἰωάννου τὴν συκοφαντίαν.

Μετὰ τούτους ἦλθε Δημήτριος ἐκ δευτέρου, ὁ ἐπίσκοπος Πισινούντων, περιδραμὼν τὴν ἀνατολήν, καὶ κηρύξας τὴν Ῥωμαίων κοινωνίαν τὴν πρὸς τὸν ἐπίσκοπον Ἰωάννην μετὰ γραμμάτων τοῦ πάπα Ἰννοκεντίου, ἐνεγκὼν καὶ γράμματα τῶν ἀπὸ Καρίας ἐπισκόπων, ὅπου ἀσπάζονται τὴν Ἰωάννου κοινωνίαν, καὶ τῶν ἀπὸ Ἀντιοχείας πρεσβυτέρων, ὅπου ἐπισπῶνται τὴν τῶν Ῥωμαίων εὐταξίαν καὶ ἀποδύρονται τὴν Πορφυρίου χειροτονίαν ἀθέσμως καὶ ἀνοσίως γεγενημένην. Μεθ' οὓς πάντας ἐλήλυθεν ὁ πρεσβύτερος Δομετιανός, οἰκονόμος τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας, καὶ Οὐαλλαγᾶς τις, πρεσβύτερος Νισίβιος, διηγούμενος τῶν μοναστηρίων τῶν ἐν Μεσοποταμίᾳ τὸν ὀδυρμόν, ἐπιδόντες καὶ ὑπομνήματα Ὀπτάτου τινὸς ἐπάρχου, ὅπου κόσμιαι γυναῖκ[illegible] γένους ὑπάτων ἄγονται δημοσίᾳ ὄψει πρὸς αὐτόν, διάκονοι τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας, ἀναγκαζόμεναι ἢ κοινωνῆσαι Ἀρσακίῳ ἢ δοῦναι πρὸς διακοσίας λίτρας χρυσίου ταῖς ταμειακαῖς ψήφοις. Περὶ δὲ ἀσκητῶν καὶ παρθένων τί δεῖ καὶ λέγειν; οἵτινες ἐπεδείκνυντο ξεσμὸν πλευρῶν ἐπὶ ξύλου καὶ

---

5. Τό διάταγμα τῆς 29 Αὐγούστου 404 στό Θεοδοσιανό Κώδικα 16, 2.37.

'Ελενουπόλεως, χωρίς ἐπιστολές, ὁ ὁποῖος ἔλεγε καί αὐτός ὅτι ξέφυγε τή μανία τοῦ ἀρχόντων. Αὐτός μᾶς διηγήθηκε ἀκριβέστερα καί μᾶς ἔδειξε ἀντίγραφο διατάγματος πού ἔλεγε, ὅτι «Ὅποιος κρύβει ἐπίσκοπο ἤ κληρικό, ἤ γενικά δέχεται στό σπίτι του ὀπαδό τοῦ 'Ιωάννη νά δημεύεται τό σπίτι του»[5]. Μετά τόν Παλλάδιο ἔφθασεν ὁ πρεσβύτερος Γερμανός καί ὁ διάκονος Κασσιανός, φίλοι τοῦ 'Ιωάννη, ἄνδρες εὐσεβεῖς, καί ἐπέδωσαν ἐπιστολές ὅλων τῶν κληρικῶν τοῦ 'Ιωάννη, ὅπου γράφουν ὅτι ἡ 'Εκκλησία τους ὑποφέρει ἀπό βία καί τυραννία, ἐνῶ ὁ ἐπίσκοπός τους ἀπομακρύνθηκε μέ στρατιωτική βοήθεια καί στάλθηκε ἐξορία ὕστερα ἀπό σκευωρία τοῦ 'Ακάκιου Βεροίας, τοῦ Θεοφίλου 'Αλεξανδρείας, τοῦ 'Αντιόχου Πτολεμαΐδας καί τοῦ Σευηριανοῦ Γαβάλων. Στίς ἐπιστολές αὐτές ἔδειξαν καί ἕναν κατάλογο οἱ προηγούμενοι, ὅπου παρέδωσαν τά κειμήλια μέ ἐπιστασία τῶν δικαστῶν, ὅταν ὁ Στούδιος ἦταν ἔπαρχος τῆς πόλης καί ὁ Εὐτυχιανός δικαστής τοῦ θέματος καί ὁ 'Ιωάννης ἐπίτροπος τῶν θησαυρῶν καί ὁ Εὐστάθιος ταμίας καί ἀρχειοφύλακας, καί μέ χρυσό καί μέ ἄργυρο καί μέ ἄμφια, ἀπαλλάσσοντας τόν ἐπίσκοπο 'Ιωάννη ἀπό τή συκοφαντία.

Μετά ἀπ' αὐτούς ἦρθε γιά δεύτερη φορά ὁ Δημήτριος, ὁ ἐπίσκοπος Πισινούντων, πού ἔτρεξε ὅλη τήν 'Ανατολή καί ἔκαμε γνωστό ὅτι ἡ 'Εκκλησία τῆς Ρώμης βρίσκεται σ' ἐπικοινωνία μέ τόν ἐπίσκοπο 'Ιωάννη, παρουσιάζοντας καί γράμματα τοῦ 'Ιννοκεντίου, καί ἔφερε γράμματα τῶν ἐπισκόπων ἀπό τήν Καρία, ὅπου δέχονται τήν ἐκκλησιαστική ἐπικοινωνία τοῦ 'Ιωάννη, καί τῶν πρεσβυτέρων ἀπό τήν 'Αντιόχεια, ὅπου ἀκολουθοῦν τήν τάξη τῆς 'Εκκλησίας τῆς Ρώμης καί ἀποδοκιμάζουν τήν χειροτονία τοῦ Πορφυρίου πού ἔγινε μέ παράνομο καί αἰσχρό τρόπο. Ὕστερα ἀπ' ὅλους αὐτούς ἦρθε ὁ πρεσβύτερος Δομετιανός, ὁ οἰκονόμος τῆς 'Εκκλησίας τῆς Κωνσταντινουπόλεως, καί κάποιος Οὐαλλαγᾶς[6], πρεσβύτερος τῆς Νισίβης, ὁ ὁποῖος διηγοῦνταν τό διωγμό τῶν μοναστηριῶν τῆς Μεσοποταμίας, καί ἐπέδωσαν ὑπομνήματα κάποιου 'Οπτάτου, πού ἦταν ἔπαρχος, ὅπου σεβαστές γυναῖκες ἀπό οἰκογένειες ὑπάτων, διακόνισσες τῆς 'Εκκλησίας τῆς Κωνσταντινουπόλεως, ὁδηγοῦνταν σέ δημόσια ἐμφάνιση μπροστά του καί ἀναγκάζονταν ἤ νά ἐπικοινωνήσουν μέ τόν 'Αρσάκιο ἤ νά δώσουν διακόσια περίπου λίτρα χρυσάφι στά δημόσια ταμεῖα. Γιά τούς ἀσκητές καί τίς παρθένους τί χρειάζεται νά ποῦμε; Αὐτοί ἔδειχναν τό γδάρσιμο τῶν πλευρῶν τους ἐπάνω σέ ξύλο καί τήν

6. 'Ο Δημήτριος ἀναφέρεται στήν ἐπιστολή τοῦ Χρυσοστόμου 217, ἐνῶ ὁ Οὐαλλαγᾶς εἶναι γνωστός μόνο ἀπό τό διάλογο αὐτόν.

αἰκισμὸν νώτων· ὡς μηκέτι καρτερήσαντα τὸν πάπαν Ἰννοκέντιον ἀποστεῖλαι πρὸς τὸν εὐσεβῆ βασιλέα Ὀνώριον, ὑποτάξαντα κατὰ μέρος τῶν γραμμάτων τὴν δύναμιν.

Ἐν οἷς κινηθεῖσα αὐτοῦ ἡ εὐσέβεια προστάσσει σύνοδον συγκροτηθῆναι τῶν δυτικῶν, καὶ κοινῇ μίαν ἐξενεγκόντας ψῆφον ἀνενεγκεῖν ἐπὶ τὴν αὐτοῦ εὐσέβειαν. Οἵτινες ἐπίσκοποι τῆς Ἰταλίας συναχθέντες παρακαλοῦσι τὸν βασιλέα γράψαι τῷ ἑαυτοῦ ἀδελφῷ καὶ συμβασιλεῖ Ἀρκαδίῳ, προστάξαι ἐν Θεσσαλονίκῃ γενέσθαι σύνοδον, ὥστε δυνηθῆναι εὐκόλως ἀμφότερα συνδραμεῖν τὰ μέρη ἀνατολῆς τε καὶ δύσεως πρὸς τό, τελείαν γενομένην σύνοδον, οὐκ ἐν ποσότητι ἀριθμοῦ, ἀλλ' ἐν ποιότητι γνώμης, ἀναμφίλεκτον ἐξενεγκεῖν ψῆφον. Ἐξ ὧν πυρωθεῖσα αὐτοῦ ἡ εὐσέβεια τῷ μὲν ἐπισκόπῳ Ῥώμης ἐπιστέλλει πέμψαι ἐπισκόπους μὲν πέντε, πρεσβυτέρους δὲ δύο τῆς Ῥώμης, διάκονον δὲ ἕνα, ὥστε διακομίσαι αὐτοῦ τὴν πρὸς τὸν ἀδελφὸν ἐπιστολήν, ἥτις ἐπιστολὴ περιεῖχεν τὴν δύναμιν ταύτην.

«Τρίτον γράφω πρὸς τὴν σὴν ἡμερότητα, ἀξιῶν ἵνα διορθώσεως τύχῃ τὰ κατὰ τὴν συσκευὴν τοῦ ἐπισκόπου Ἰωάννου τῆς Κωνσταντινουπολιτῶν· καί, ὡς ἔοικεν, οὐκ ἤνυσται. Ὅθεν πάλιν ἐπέστειλα διὰ τῶν ἐπισκόπων καὶ πρεσβυτέρων, πάνυ φροντίζων τῆς ἐκκλησιαστικῆς εἰρήνης, δι' ἧς καὶ ἡ ἡμῶν ἑσπερίας ἐπίσκοποι, ἐκλεξάμενοι ἄνδρας ἀκλινεῖς πρὸς κακίαν καὶ ψεῦδος, ἀπεστάλκασιν ἐπισκόπους μὲν πέντε, πρεσβυτέρους δὲ δύο, διάκονον δὲ ἕνα τῆς μεγίστης ἐκκλησίας Ῥωμαίων. Ὧν φροντίσαι παντοίαις τιμαῖς καταξίωσον, ἵν', ἢ μὲν πεισθέντες ὅτιπερ δικαίως ἐκβέβληται ὁ ἐπίσκοπος Ἰωάννης, διδάξωσί με ἀποστῆναι τῆς αὐτοῦ κοινωνίας, ἢ ἐλέγξαντες ἐθελοκακοῦντος τοὺς τῆς ἀνατολῆς ἐπισκόπους, ἀποστρέψωσί σε τῆς αὐτῶν κοινωνίας. Τίνα γάρ ἐστιν ἃ φρονοῦσιν περὶ τοῦ ἐπισκόπου Ἰωάννου οἱ δυτικοί, ἐκ πασῶν τῶν ἐπιστολῶν τῶν πρός με γραφεισῶν ὑπέταξα δύο, ἰσοδυναμούσας ταῖς πάσαις, τὴν ἐπιστολὴν τοῦ Ῥώμης καὶ τοῦ Ἀκυληΐας. Τοῦτο δὲ παρακαλῶ τὴν σὴν

---

7. Ὁ Μέγας Θεοδόσιος (379-395) μοίρασε τό Ρωμαϊκό Κράτος στά δυό παιδιά του. Ὁ Ἀρκάδιος πῆρε τό ἀνατολικό τμῆμα καί ὁ Ὀνώριος τό δυτικό.

κακοποίηση τῶν νώτων τους. Ἔτσι ὁ πάπας Ἰννοκέντιος δέν ἄντεξε πιά καί ἔστειλε στόν εὐσεβή βασιλιά Ὀνώριο[7], βάζοντας στό τέλος τό περιεχόμενο τῶν γραμμάτων.

Τότε συγκινήθηκε ἡ εὐσέβειά του καί διατάζει νά συγκροτηθεῖ σύνοδος τῶν δυτικῶν καί ἀφοῦ πάρουν ὅλοι μαζί μιά ἀπόφαση, νά τήν ἀνακοινώσουν στήν εὐσέβειά του. Αὐτοί οἱ ἐπίσκοποι τῆς Ἰταλίας πού συγκεντρώθηκαν, παρακάλεσαν τό βασιλιά νά γράψει στόν ἀδελφό του καί συναυτοκράτορα Ἀρκάδιο, νά προστάξει νά γίνει ἡ σύνοδος στή Θεσσαλονίκη, ὥστε νά μπορέσουν εὔκολα νά συγκεντρωθοῦν καί τά δύο μέρη καί τῆς Ἀνατολῆς καί τῆς Δύσης, γιά νά πάρουν μία ἀναντίρρητη ἀπόφαση, ὅταν γίνει μία τέλεια σύνοδος, ὄχι ἀπό τήν ποσότητα τῶν μελῶν της, ἀλλ' ἀπό τήν ποιότητα τῆς γνώμης τους. Ἀπ' αὐτά, ἀφοῦ ἐνδιαφέρθηκε ἡ εὐσέβειά του, γράφει στόν ἐπίσκοπο Ρώμης νά στείλει πέντε ἐπισκόπους καί δύο πρεσβυτέρους τῆς Ρώμης καί ἕνα διάκονο γιά νά μεταφέρουν στόν ἀδελφό του τήν ἐπιστολή του, πού εἶχε τό ἑξῆς περιεχόμενο:

«Γιά τρίτη φορά γράφω στήν ἡμερότητά σου[8], ἀξιώνοντας νά διορθωθεῖ ἡ ὑπόθεση τῆς σκευωρίας ἐναντίον τοῦ Ἰωάννη τοῦ ἐπισκόπου τῆς Κωνσταντινουπόλεως· καί, ὅπως φαίνεται, δέν πραγματοποιήθηκε αὐτό. Γι' αὐτό ἔστειλα πάλι ἐπιστολή μέ τούς ἐπισκόπους καί πρεσβυτέρους, ἐπειδή φροντίζω πολύ γιά τήν εἰρήνη τῆς Ἐκκλησίας, μέ τήν ὁποία ἔχει εἰρήνη καί τό βασίλειό μας, γιά νά θεωρήσεις ἄξιο νά προστάξεις τούς ἐπισκόπους τῆς Ἀνατολῆς νά συγκεντρωθοῦν στή Θεσσαλονίκη. Γιατί καί οἱ ἐπίσκοποι τῆς δικῆς μας Δύσης, ἀφοῦ διάλεξαν ἀνθρώπους πού δέ ρέπουν πρός τήν κακία καί τό ψέμα, ἔχουν στείλει πέντε ἐπισκόπους καί δύο πρεσβυτέρους καί ἕνα διάκονο τῆς μεγάλης Ἐκκλησίας τῆς Ρώμης. Γι' αὐτούς φρόντισε νά γίνουν δεκτοί μέ πολλές τιμές ὥστε ἀφοῦ πεισθοῦν πράγματι δίκαια ἔχει ἐξορισθεῖ ὁ ἐπίσκοπος Ἰωάννης, νά μέ γνωστοποιήσουν νά σταματήσω τήν ἐπικοινωνία μαζί του, ἤ, ἀφοῦ ἐπιθυμοῦν τό κακό οἱ ἐπίσκοποι τῆς Ἀνατολῆς, νά σέ ἀπομακρύνουν ἀπό τήν ἐπικοινωνία μαζί τους. Γιά νά μάθεις ποιά γνώμη ἔχουν γιά τόν ἐπίσκοπο Ἰωάννη οἱ δυτικοί, ἀπ' ὅλες τίς ἐπιστολές πού ἔγραψαν σέ μένα ἔβαλα στό τέλος δύο, ἰσοδύναμες μέ ὅλες, τήν ἐπιστολή τοῦ ἐπισκόπου Ρώμης καί τήν ἐπιστολή τοῦ ἐπισκόπου Ἀκυληίας. Ἰδιαίτερα αὐτό παρακαλῶ τήν ἡμερότητά σου, ν' ἀπαιτήσεις καί

8. Ἡμερότητα (= ἀγαθότητα, πραότητα)· τίτλος τῶν βυζαντινῶν αὐτοκρατόρων.

ἡμερότητα πρὸ πάντων, καὶ ἄκοντα τὸν 'Αλεξανδρείας Θεόφιλον παραστῆναι δικαίωσον, δι' ὃν μάλιστα λέγεται ἅπαντα τὰ κακὰ γεγενῆσθαι· ἵνα εἰς μηδὲν ἡ τῶν παραγενομένων ἐπισκόπων ἐμποδισθεῖσα σύνοδος τὴν πρέπουσαν τοῖς και-
5 *ροῖς ἡμῶν εἰρήνην βραβεύσῃ».*

ΚΕΦΑΛΑΙΟΝ Δ΄

Λαβόντες τοιγαροῦν οἱ περὶ τὸν ἅγιον ἐπίσκοπον Αἰμίλιον Βενεβέντου καὶ Κυθήγιον καὶ Γαυδέντιον σὺν Οὐαλεντινιανῷ καὶ Βονιφατίῳ τοῖς πρεσβυτέροις τὰ γράμματα τοῦ τε βασι-
10 *λέως 'Ονωρίου, τοῦ τε 'Ιννοκεντίου καὶ τῶν 'Ιταλῶν ἐπισκόπων, Χρωματίου 'Ακυληΐας καὶ Βενερίου Μεδιολάνων καὶ τῶν λοιπῶν, καὶ ὑπομνηστικὸν τῆς συνόδου πάσης δύσεως, δημοσίοις συνθήμασιν ἀπεστάλησαν εἰς τὴν Κωνσταντινούπολιν σὺν τοῖς περὶ Κυριακὸν καὶ Δημήτριον καὶ Παλλάδιον καὶ*
15 *Εὐλύσιον τοὺς ἐπισκόπους. Εἶχεν δὲ τὸ ὑπομνηστικόν, μὴ δεῖν εἰσελθεῖν 'Ιωάννην εἰς κρίσιν, ἐὰν μὴ πρότερον ἀποκατασταθῇ αὐτῷ ἥ τε ἐκκλησία καὶ ἡ κοινωνία, ἵν' εἰς μηδὲν ἔχων ὑπερτίθεσθαι, αὐθαίρετος εἰσέλθῃ εἰς τὸ συνέδριον. 'Απελθόντες οὖν εἰς τὴν Κωνσταντινούπολιν, ὑπέστρεψαν μετὰ*
20 *τέσσαρας μῆνας, διηγούμενοι Βαβυλώνια πράγματα· ὅτι «Κατεσχέθημεν παραπλέοντες τὴν 'Ελλάδα 'Αθήναζε ὑπό χιλιάρχου τινὸς δυστήνου, ὃς ἐξαυτῆς συνέζευξεν ἡμῖν ἑκατοντάρχην ἕνα, μὴ συγχωρήσας ἡμῖν παραβαλεῖν τῇ Θεσσαλονίκῃ»· ἐκεῖ γὰρ αὐτῶν ἦν ὁ σκοπὸς πρῶτον ἀποδοῦναι τὰ γράμματα*
25 *'Ανυσίῳ τῷ ἐπισκόπῳ.*

«'Εμβαλὼν οὖν ἡμᾶς», φησίν, «εἰς δύο πλοῖα ἐξέπεμψεν. 'Επιγενομένου δὲ βιαίου νότου, ἄσιτοι διὰ τριῶν ἡμερῶν διαπλεύσαντες τὸ κατὰ τὸν Αἰγαίωνα πέλαγος καὶ τὰ στενά, δωδεκάτην ὥραν τῇ τρίτῃ ὡρμήσαμεν πρὸ τῆς πόλεως πλησίον
30 *τῶν Βίκτορος προαστείων. 'Εν ᾧ κατασχεθέντες τόπῳ ὑπὸ τῶν τοὺς λιμένας πραττόντων, ἀπήλθομεν εἰς τὰ ὀπίσω (τίνος δὲ κελεύσαντος οὐκ ἔγνωμεν), καὶ συγκλεισθέντες εἰς φρούριον*

---

1. Οἱ ἐπίσκοποι καί πρεσβύτεροι πού ἀναφέρονται ἐδῶ εἶναι γνωστοί μόνο ἀπό τόν παρόντα διάλογο. 2. Στίς ἀρχές τοῦ 406.

χωρίς τή θέλησή του νά παραστῆ ὁ Θεόφιλος 'Αλεξανδρείας, γιά τόν ὁποῖο μάλιστα λέγεται ὅτι ἔχουν συμβεῖ ὅλα τά κακά, ὥστε ἡ σύνοδος τῶν παρόντων ἐπισκόπων, ἀφοῦ δέν ἐμποδισθεῖ καθόλου, νά ἐπαναφέρει τήν εἰρήνη πού ἁρμόζει στίς παροῦσες περιστάσεις».

ΚΕΦΑΛΑΙΟ Δ΄

'Αφοῦ ἔλαβαν λοιπόν αὐτοί πού ἦταν μέ τόν ἐπίσκοπο Αἰμίλιο Βενεβέντου καί τόν Κυθήγιο καί τό Γαυδέντιο καί τούς πρεσβυτέρους Οὐαλεντινιανό καί Βονιφάτιο[1] τά γράμματα καί τοῦ αὐτοκράτορα 'Ονωρίου καί τοῦ 'Ιννοκεντίου καί τῶν 'Ιταλῶν ἐπισκόπων, τοῦ Χρωματίου 'Ακυληίας καί τοῦ Βενερίου Μεδιολάνων καί τῶν ἄλλων, καί ὑπόμνημα τῆς συνόδου ὅλης τῆς δυτικῆς 'Εκκλησίας, στάλθηκαν μέ δημόσια μέσα στήν Κωνσταντινούπολη μαζί μέ τούς συνοδούς τῶν ἐπισκόπων Κυριακοῦ καί Δημητρίου καί Παλλαδίου καί Εὐλυσίου. Καί τό ὑπόμνημα ἔλεγε ὅτι δέν πρέπει νά δικασθεῖ ὁ 'Ιωάννης, ἐάν δέν τοῦ δοθεῖ καί ἡ ἐκκλησία καί ἡ ἐπικοινωνία, ὥστε νά προσέλθει μέ τή θέλησή του στή σύνοδο ἀφοῦ δέ θά εἶχε κανένα λόγο γιά ἀναβολή. 'Αφοῦ ἔφυγαν λοιπόν στήν Κωνσταντινούπολη, ἐπέστρεψαν ὕστερα ἀπό τέσσερις μῆνες[2] καί διηγοῦνταν βαβυλώνια πράγματα[3]· ὅτι «Παραπλέοντας τήν 'Ελλάδα, μᾶς κράτησε στήν 'Αθήνα κάποιος κακόμοιρος χιλίαρχος, ὁ ὁποῖος ἀμέσως μᾶς ἔθεσε κάτω ἀπό τίς διαταγές ἑνός ἑκατόνταρχου, χωρίς νά μᾶς ἀφήσει νά πλησιάσουμε στή Θεσσαλονίκη». Γιατί ἐκεῖ εἶχαν σκοπό νά δώσουν πρῶτα τά γράμματα στόν ἐπίσκοπο 'Ανύσιο.

«'Αφοῦ λοιπόν», λέγει, «μᾶς ἔβαλε μέσα σέ δύο πλοῖα μᾶς ἔδιωξε. Στό μεταξύ φύσηξε δυνατός νότιος ἄνεμος, καί ἀφοῦ τρεῖς ἡμέρες διαπλεύσαμε νηστικοί τό Αἰγαῖο πέλαγος καί τά στενά[4], στίς δώδεκα ἡ ὥρα τῆς τρίτης ἡμέρας ἀγκυροβολήσαμε πρίν ἀπό τήν Κωνσταντινούπολη κοντά στά προάστεια τοῦ Βίκτορα. 'Εδῶ ἐμποδισθήκαμε ἀπό τούς ἐργαζόμενους στά λιμάνια καί φύγαμε πρός τά πίσω (ποιός ἔδωσε τή διαταγή δέ μάθαμε), καί κλεισθήκαμε σέ παραθαλάσσιο φρούριο τῆς Θράκης, πού ὀνομαζόταν 'Αθύρα, καί ἀπό ἐκεῖ

3. 'Η φράση προέρχεται ἀπό τά παθήματα τῶν 'Ιουδαίων στή διάρκεια τῆς Βαβυλώνιας αἰχμαλωσίας.

4. Πρόκειται γιά τά στενά τοῦ 'Ελλησπόντου, τά σημερινά Δαρδανέλλια.

τῆς Θράκης παραθαλάσσιον, Ἀθύραν καλούμενον, ἐκεῖθέν τε στρεβλωθέντες, οἱ μὲν Ῥωμαῖοι ἐν οἰκίσκῳ ἑνί, καὶ ἐν διαφόροις οἱ περὶ Κυριακόν, ὡς μηδὲ παῖδα ἔχειν εἰς ὑπηρεσίαν. Καὶ ἀπαιτούμενοι τὰ γράμματα, οὐ δεδώκαμεν, εἰπόντες
5 *ὅτι 'Πῶς οἷόν τέ ἐστι πρεσβευτὰς ἡμᾶς ὄντας μὴ αὐτῷ τῷ βασιλεῖ ἐπιδοῦναι τὰ τοῦ βασιλέως γράμματα καὶ τῶν ἐπισκόπων;' ὡς οὖν ἐμένομεν μὴ διδόντες, πρώτου ἐλθόντος Πατρικίου νοταρίου πρὸς ἡμᾶς, ἔπειτά τινων ἑτέρων, τελευταῖον ἦλθέ τις ἀφηγούμενος ἑνὸς ἀριθμοῦ, Οὐαλεριανὸς ὀνόματι,*
10 *Καππαδόκης, καὶ κλάσας τὸν ἀντίχειρα τοῦ ἐπισκόπου Μαριανοῦ, ἀφεῖλεν ἐσφραγισμένην τὴν ἐπιστολὴν τοῦ βασιλέως σὺν ταῖς λοιπαῖς ἐπιστολαῖς».*

«Ἐπιγενομένης οὖν δευτέρας ἡμέρας, ἀπέστειλαν πρὸς ἡμᾶς, εἴτε οἱ τῆς τοῦ βασιλέως αὐλῆς, εἴτε οἱ περὶ Ἀττικόν,
15 *ἀγνοοῦμεν (αὐτὸς γὰρ ἐλέγετο ἐπιπεπηδηκέναι τῷ θρόνῳ τῆς ἐκκλησίας), ἐπιδιδόντες ἡμῖν νομίσματα τρισχίλια, ἀξιοῦντες πεισθέντας ἡμᾶς κοινωνῆσαι τῷ Ἀττικῷ, παρασιωπήσαντας τὴν Ἰωάννου δίκην. Οἷς μὴ πεισθέντες, ἐμένομεν προσευχόμενοι, πρὸς τὸ μηδὲν εἰρηνικὸν ἀνύειν, κἂν ἀκινδύνως*
20 *καταλαβεῖν ἡμῶν τὰς ἐκκλησίας, τὴν τοσαύτην ὁρῶντες ἀνημερότητα». Τοῦτο καὶ τοῦ Σωτῆρος Θεοῦ διαφόρους ἀποκαλύψεσιν αὐτοὺς φωτίσαντος, ὡς καὶ τῷ διακόνῳ τοῦ ἁγίου Αἰμιλίου Παύλῳ, ἀνδρὶ πραϋτάτῳ καὶ σώφρονι, ὀφθῆναι ἐν τῳ πλοίῳ τὸν μακάριον Παῦλον τὸν ἀπόστολον λέγοντα αὐτῷ·*
25 *«Βλέπετε πῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι ἀλλ' ὡς σοφοί, εἰδότες ὅτι αἱ ἡμέραι πονηραί εἰσιν», αἰνιττομένου τοῦ ὀνείρου τὴν πολύτροπον αὐτῶν ἀπάτην, τήν τε διὰ δώρων καὶ κολακείας ἐπὶ παραχαράξει τῆς ἀληθείας.*

«Ἐπιστὰς οὖν ὁ αὐτός», φησίν, «Οὐαλεριανὸς ὁ χιλίαρ-
30 *χος ἐνέβαλεν ἡμᾶς εἰς σαθρότατον πλοῖον, ὡς ἐθρυλεῖτο, δοὺς τὴν τιμὴν τῷ ναυκλήρῳ ἐπισκόπων τῆς ἀπωλείας τῶν ἐμπλεόντων, ἅμα εἴκοσι στρατιώταις ἐκ τάξεων διαφόρων, παραχρῆμα ἐξέωσεν τῶν Ἀθύρων. Διαπλεύσαντες οὖν ἱκανοὺς σταδίους καὶ μέλλοντες ἀπόλλυσθαι, προσωρμήσαμεν τῇ Λαμψάκῳ·*
35 *κἀκεῖθεν ἀμείψαντες τὴν ὁλκάδα κατήχθημεν τῇ εἰκοστῇ ἐν Ὑδροῦντι τῆς Καλαβρίας». Οὐκέτι δὲ ἡμῖν εὗρον εἰπεῖν ἐν τίσιν ὁ μακάριος ἐπίσκοπος Ἰωάννης ἢ ποῦ νῦν οἱ ἐπίσκοποι*

5. Ἐφ. 5, 15.16.

φυλακισθήκαμε, οἱ Ρωμαῖοι σέ κάποιο μικρό σπίτι, καί σέ διάφορα ἄλλα αὐτοί πού ἦταν μέ τόν ἐπίσκοπο Κυριακό, ὥστε νά μήν ἔχουμε κανένα ὑπηρέτη γιά νά μᾶς ὑπηρετήσει. Καί ὅταν μᾶς ζήτησαν τά γράμματα, δέν τά δώσαμε, λέγοντας ὅτι 'Πῶς εἶναι δυνατό ἐνῶ εἴμαστε πρεσβευτές νά μή δώσουμε στόν ἴδιο τό βασιλιά τά γράμματα τοῦ βασιλιᾶ καί τῶν ἐπισκόπων;' Καθώς λοιπόν ἐπιμέναμε νά μήν τά δώσουμε, πρῶτα ἦρθε ὁ νοτάριος Πατρίκιος σέ μᾶς, ἔπειτα κάποιοι ἄλλοι, καί τελευταῖα ἦρθε ἕνας ἀρχηγός μερικῶν στρατιωτῶν, μέ τό ὄνομα Οὐαλεριανός, Καππαδόκης, καί ἀνοίγοντας τόν ἀντίχειρα τοῦ ἐπισκόπου Μαριανοῦ, ἀπέσπασε σφραγισμένη τήν ἐπιστολή τοῦ 'Ονωρίου μαζί μέ τίς ὑπόλοιπες ἐπιστολές.

«Ὅταν ὅμως ἦρθε ἡ δεύτερη ἡμέρα, τούς ἔστειλαν σέ μᾶς, εἴτε οἱ ἄνθρωποι τῆς αὐλῆς τοῦ αὐτοκράτορα, εἴτε οἱ ἄνθρωποι τοῦ 'Αττικοῦ, δέν ξέρουμε (γιατί λεγόταν ὅτι αὐτός εἶχε ἁρπάξει τό θρόνο τῆς 'Εκκλησίας), καί μᾶς ἔδωσαν τρεῖς χιλιάδες νομίσματα ἀξιώνοντας νά *πεισθοῦμε νά ἐπικοινωνήσουμε* μέ τόν 'Αττικό, *παρασιωπώντας* τή δίκη τοῦ 'Ιωάννη. Αὐτοί δέν μᾶς ἔπεισαν καί ἐξακολουθούσαμε νά προσευχόμαστε, ἀφοῦ δέν μπορέσαμε νά ἐπιτύχουμε εἰρηνική διευθέτηση, τουλάχιστο νά φθάσουμε χωρίς κίνδυνο στίς ἐκκλησίες μας, βλέποντας τήν τόσο μεγάλη ἀγριότητα». 'Αφοῦ μάλιστα καί ὁ Σωτήρας μας Θεός τούς φώτισε μέ διάφορες ἀποκαλύψεις, ὥστε καί στό διάκονο τοῦ ἁγίου Αἰμιλίου Παῦλο, πού ἦταν πραότατος καί συνετός, νά παρουσιασθεῖ στό πλοῖο ὁ μακάριος ἀπόστολος Παῦλος πού τοῦ εἶπε· «Βλέπετε πῶς συμπεριφέρεστε, ὄχι σάν ἄσοφοι, ἀλλά σάν σοφοί, γνωρίζοντας ὅτι οἱ ἡμέρες εἶναι πονηρές»[5]. Τό ὄνειρο ὑπονοοῦσε τήν ἀπάτη τῶν Βυζαντινῶν πού γινόταν μέ πολλούς τρόπους, καί μέ δῶρα καί μέ κολακεῖες γιά παραχάραξη τῆς ἀλήθειας.

«Ὅταν λοιπόν ἐμφανίσθηκε ὁ ἴδιος ὁ χιλίαρχος ὁ Οὐαλεριανός», λέγει, «μᾶς ἔβαλε μέσα σ' ἕνα σάπιο πλοῖο, ὅπως ὑπῆρχαν διαδόσεις, δίνοντας στόν πλοίαρχο τά ναῦλα τῆς ἀπώλειας τῶν ἐπισκόπων πού ἔπλεαν, καί μαζί εἴκοσι στρατιῶτες ἀπό διάφορα σώματα, καί μᾶς ἔδιωξε ἀμέσως ἀπό τά Ἄθυρα. 'Αφοῦ πλεύσαμε λοιπόν ἀρκετά μίλια καί ἐπρόκειτο νά χαθοῦμε, ἀγκυροβολήσαμε στή Λάμψακο. Καί ἀπ' ἐκεῖ, ἀφοῦ ἀλλάξαμε τό πλοῖο, φθάσαμε τήν εἰκοστή ἡμέρα στόν 'Υδροῦντα τῆς Καλαβρίας». Καί δέν μπόρεσαν ἀκόμη νά μᾶς ποῦν σέ ποιά κατάσταση βρίσκεται ὁ μακάριος ἐπίσκοπος 'Ιωάννης ἤ ποῦ εἶναι τώρα οἱ ἐπίσκοποι πού ἀκολουθοῦσαν τό Δημήτριο καί Κυριακό

οἱ περὶ Δημήτριον καὶ Κυριακὸν καὶ Εὐλύσιον καὶ Παλλάδιον σὺν τοῖς ἡμετέροις ἐπισκόποις τὴν πρεσβείαν στειλάμενοι.

Ο ΕΠΙΣΚ. Δεῦρο δὴ λοιπόν, ἱερώτατε, ὑπόσχου μοι τὸν νοῦν, προσέχων σαφῶς τοῖς λεγομένοις· καὶ καθεξῆς σοι 5 γνωρίσω πάσης τραγῳδίας τοὺς ἐν μέσῳ σατυρικοὺς θορύβους, πόθεν τε τῆς μέθης ἤρξαντο, καὶ μέχρι τίνος ἔδοξαν παύεσθαι, οὐδέπω δέ πέπαυνται. Ἡ μὲν ἁπάντων τῶν κακῶν, ὡς ἂν εἴποι τις, πηγὴ ἢ ἀρχή ἐστιν ὁ μισόκαλος δαίμων, ἀεί ἀντιπράττων ὡς λύκος ταῖς τοῦ Χριστοῦ λογικαῖς ἀγέλαις, 10 λυμαινόμενος μὲν ἀφειδῶς τοὺς ἐμπείρους τῶν ἀγελαιοκόμων πάθεσι πολυτρόποις, καθάπερ ὁ βασιλεὺς τῶν Αἰγυπτίων τοὺς ἄῤῥενας τῶν Ἰουδαίων, λιπαίνων δὲ ταῖς ἀπάταις τῶν ἐπὶ γῆς ἡδονῶν τοὺς φένακας τῶν ψευδοποιμένων. Οἱ δὲ μετὰ ταῦτα τῆς πονηρᾶς πηγῆς ὀχετοί, ὡς ἅπας ὁ περίγειος ἐπίσταται 15 χῶρος, εἰσίν Ἀκάκιος καὶ Ἀντίοχος καὶ Θεόφιλος καὶ Σευηριανός, οἱ λεγόμενοι μὲν ὃ μή εἰσιν, ὄντες δὲ ὃ λέγεσθαι οὐκ ἀνέχονται· τοῦ δὲ τάγματος τῶν κληρικῶν πρεσβύτεροι δύο, διάκονοι δὲ πέντε, οἱ μὲν ἐξ ἀκαθάρτου, οἱ δὲ ἐκ κακωτικοῦ ἀριθμοῦ συναγόμενοι, οὐκ οἶδα δὲ εἰ ἀκίνδυνον 20 τοὺς τοιούτους λέγειν πρεσβυτέρους ἢ διακόνους· τῆς δὲ τοῦ βασιλέως αὐλῆς δύο ἢ τρεῖς μόνοι, οἳ καὶ ἐνεύρωσαν τοὺς περὶ Θεόφιλον, στρατιωτικῇ βοηθείᾳ συνεπαγωνιζόμενοι· γυναικῶν δὲ πρὸς ταῖς φημιζομέναις, τρεῖς, χῆραι μέν, ἀνδρόπλουτοι δέ, ἐπ' ὀλέθρῳ τῆς ἑαυτῶν σωτηρίας τὰ ἐξ ἁρπαγῆς χρήματα 25 κεκτημέναι, ταραξάνδριαι καὶ ἀνασείστριαι, Μάρσα Προμότου γυνή, καὶ Καστρικία ἡ Σατορνίνου, καὶ Εὐγραφία, ἀμφιμανής τις, τὰ δὲ λοιπὰ αἰδοῦμαι καὶ λέγειν. Αὗται καὶ οὗτοι νωθροκάρδιοι ὄντες ἐν τῇ πίστει, καθάπερ φάλαγξ οἰνομανής, εἰς μίαν συναχθέντες μισοδιδασκαλίας γνώμην, χείμαῤῥον 30 ἀπωλείας κατὰ τῆς ἐκκλησιαστικῆς εἰρήνης εἰργάσαντο.

Ο ΔΙΑΚ. Τοιγαροῦν προθυμήθητι, πάτερ, ἐπὶ μαρτυροῦντος τοῦ Θεοῦ εἰπεῖν ἡμῖν, πόθεν τε τούτων τὸ πρὸς αὐτὸν μῖσος καὶ τίς ἡ φιλονεικία τοῦ ἐπισκόπου Ἰωάννου λυπῆσαι τοσαύτας ἀξίας· ὁμοῦ δὲ γνώρισον ἡμῖν πόθεν τε ἤρξατο τοῦ

6. Βλ. Ἐξ. 1, 8-22· 5, 4-19. 7. Δηλαδή, ὄργανα τοῦ διαβόλου.

8. Πρόκειται γιά τήν αὐτοκράτειρα Εὐδοξία καί τή συνοδεία της πού ἀποφεύγει νά τίς ὀνομάσει.

9. Οἱ τρεῖς γυναῖκες ἀναφέρονται μόνο στό διάλογο αὐτόν.

καί Εὐλύσιο καί Παλλάδιο, οἱ ὁποῖοι ἀποτέλεσαν μαζί μέ τούς δικούς μας ἐπισκόπους τήν πρεσβεία.

Ο ΕΠΙΣΚ. Ἐμπρός λοιπόν, ἱερότατε, δῶσε προσοχή σέ μένα, προσέχοντας καλά στά λόγια μου. Στή συνέχεια θά σοῦ γνωρίσω τούς αἰσχροκωμικούς θορύβους σέ ὅλη τήν τραγωδία αὐτή, καί ἀπό ποῦ ἄρχισαν τή μανία τους, καί μέχρι ποιό σημεῖο φάνηκαν ὅτι σταμάτησαν, καί ἀκόμη ὅμως δέν ἔχουν σταματήσει. Ὅλων τῶν κακῶν, ὅπως θά μποροῦσε νά πεῖ κανείς, ἡ πηγή ἤ ἡ ἀρχή εἶναι ὁ διάβολος πού μισεῖ τό καλό, πάντοτε ἐνεργώντας σάν λύκος ἐναντίον τῶν λογικῶν προβάτων τοῦ Χριστοῦ, βλάπτοντας συνέχεια τούς ἔμπειρους ποιμένες μέ ποικίλα πάθη, ὅπως ὁ βασιλιάς τῶν Αἰγυπτίων τούς ἄνδρες τῶν Ἰουδαίων[6], τρέφοντας μέ τίς ἀπάτες τῶν γήινων ἀπολαύσεων τούς ἀπατεῶνες ἀπό τούς ψευτοποιμένες. Καί οἱ ἀγωγοί ἔπειτα τῆς πονηρῆς αὐτῆς πηγῆς τοῦ διαβόλου ὅπως ὅλη ἡ οἰκουμένη γνωρίζει, εἶναι ὁ Ἀκάκιος, ὁ Ἀντίοχος, ὁ Θεόφιλος καί ὁ Σευηριανός, οἱ ὁποῖοι λέγονται βέβαια ἐπίσκοποι, πράγμα πού δέν εἶναι, ἐνῶ αὐτό πού εἶναι[7] δέν ἀνέχονται νά τούς τό λέγουν. Ἀπό τό σῶμα τῶν κληρικῶν εἶναι δύο πρεσβύτεροι καί πέντε διάκονοι, πού συγκεντρώθηκαν οἱ πρῶτοι ἀπό ἀνήθικα καί οἱ δεύτεροι ἀπό βλαβερά πρόσωπα, -δέν ξέρω ἄν εἶναι ἀκίνδυνο νά τούς λέγουμε αὐτούς πρεσβυτέρους ἤ διακόνους. Ἀπό τήν αὐλή τοῦ αὐτοκράτορα δύο ἤ τρεῖς μόνο, οἱ ὁποῖοι καί δυνάμωσαν τούς ὀπαδούς τοῦ Θεοφίλου καί μέ στρατιωτικές ἐνισχύσεις ἀγωνίζονταν μαζί τους. Καί ἀπό τίς γυναῖκες, ἐκτός ἀπό τίς γνωστές[8], τρεῖς χῆρες ἀλλά πλούσιες σέ ἄνδρες, πού ἀπόκτισαν γιά καταστροφή τῆς σωτηρίας τους τά χρήματα πού ἅρπαξαν ἀπό τούς συζύγους τους καί προκαλοῦσαν διχόνοιες στούς ἄνδρες καί ταραχές, ἡ Μάρσα, γυναίκα τοῦ Προμότου, καί ἡ Καστρικία, γυναίκα τοῦ Σατορνίνου, καί ἡ Εὐγραφία[9], κάποια φρενοβλαβής -τά ὑπόλοιπα ὅμως ντρέπομαι ἀκόμη καί νά τά πῶ. Οἱ παραπάνω γυναῖκες καί ἄνδρες, ἔχοντας νωθρή καρδιά γιά τήν πίστη, σάν κάποια μεθυσμένη φάλαγγα, ἑνώθηκαν σέ μιά γνώμη γεμάτη μίσος ἐναντίον τῆς ὀρθῆς διδασκαλίας καί σχημάτισαν ἕνα χείμαρρο γιά νά καταστρέψουν τήν εἰρήνη τῆς Ἐκκλησίας.

Ο ΔΙΑΚ. Προθυμήσου λοιπόν, πάτερ, μέ μάρτυρα τό Θεό νά μᾶς πεῖς, ἀπό ποῦ ξεκίνησε τό μίσος αὐτῶν ἐναντίον τοῦ Χρυσοστόμου καί ποιά ἡ φιλονικία τοῦ ἐπισκόπου Ἰωάννη νά δυσαρεστήσει ἀνθρώπους πού εἶχαν τόση ἀξία. Καί μαζί πληροφόρησέ μας ἀπό ποῦ

βίου, καὶ πῶς ἤχθη ἐπὶ τὴν Κωνσταντινουπόλεως ἐπισκοπήν, καὶ πόσον ἐκράτησεν χρόνον, καὶ ὁποῖον τὸ τούτου ἦθος, καὶ τίς ἡ τοῦ βίου κατάλυσις, εἴ γε κεκοίμηται, ὡς ἀκούομεν. Εἰ καὶ τὰ μάλιστα διὰ πάντων τρέχει θαυμασία καὶ ἐνάρετος 5 *μνήμη τοῦ ἀνδρός, ἀλλ' ὅμως σύνηθές μοι τὸ μὴ προχείρως πιστεύειν ταῖς φήμαις, πρὶν ἂν παρὰ τῶν ὀρθῶς ψέγειν καὶ ἐπαινεῖν εἰδότων μάθω βεβαίως.*

Ο ΕΠΙΣΚ. Ἐπαινῶ μέν σου τὴν ἀκρίβειαν, οὐκ ἀποδέχομαι δὲ τὴν διάκρισιν, φιλαληθέστατε ἄνερ καὶ Θεοῦ ἄνθρωπε 10 *Θεόδωρε· ἔδει γάρ σε ἐξ αὐτῆς τῆς πολιᾶς ἡμῶν (ἵνα περιαυτολογήσω) καὶ ἐκ τοῦ ἀξιώματος ἀρκεσθῆναι πρὸς ἀληθείας ἀπόδειξιν· ἐπειδὴ δὲ τοῦτο μὲν οὐ πεποίηκας, δὶς δέ με κατακρίνεις, κἂν μετὰ ταῦτα ἀπροφάσιστόν μοι τὴν ἀκοὴν παρεγγύησαι, ἵνα μὴ εἰς ἀνόητον οἱ τῶν λόγων γένωνται* 15 *δίαυλοι. Ἐπίσταμαι γὰρ τὰ γεγραμμένα παρὰ τῷ θείῳ νόμῳ, τό, «Ἀπολεῖ Κύριος πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος», καὶ παρὰ τῷ ἀποστόλῳ Ἰωάννῃ, «Ὁ λαλῶν τὸ ψεῦδος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ», καὶ πάλιν παρὰ τῷ Δαυείδ, «Ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα».*

20 *Ἀδικεῖ γὰρ ἀληθῶς ὁ ψευδόμενος ὃν πείθει· ἀδικεῖ δὲ καὶ ὁ πειθόμενος τὸν ψευδόμενον, ῥᾳδίως πιστεύων. Ἐπίσης οὖν ἐξαμαρτανόντων ἑκατέρων, μηδ' ὁπότερος ἡμῶν ἀδικήσοι τὸν πέλας. Ἀρετὴ γὰρ αὐτή, τοῦ μὲν λέγοντος, λέγειν τἀληθῆ· τοῦ δὲ ἀκούοντος, δοκιμάζειν τὰ ἄδικα· «Γίνεσθε», γάρ φησιν ἡ* 25 *Γραφή, «δόκιμοι τραπεζῖται», τὸ κίβδηλον ἀπὸ τοῦ δοκίμου ῥίπτοντες· οὐχ ἵνα κομπήσαντες τὸν ἦχον δεξώμεθα, ἀλλ' ἵνα σταθμίσαντες τῷ θείῳ φόβῳ μετὰ ὀρθοῦ συνειδότος τὰ λαλούμενα πάντα, ἢ τὰ γραφόμενα, τῇ τῶν πραγμάτων μαρτυρίᾳ, δεξώμεθα. Ὤτων καὶ γλώττης μέγας ὁ κίνδυνος· διὸ καὶ ὁ* 30 *καλλιτέχνης Θεὸς τὴν μὲν ὑπὸ δύο χειλέων τηρεῖσθαι πεποίηκεν, ἐνδοτέρω τὸ τῶν ὀδόντων ἔρυμα πήξας, ἵν' ἀσφαλὲς τὸ φρούριον ὑπάρχον σωφρονίζῃ ταύτης τὴν εὐκολίαν (κατὰ τὸ γεγραμμένον, «Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου, τοῦ μὴ ἁμαρτάνειν με ἐν* 35 *γλώσσῃ μου»), τῶν δὲ τὴν ὀπὴν ἑλικοειδῶς ἐξετόρνευσεν, διὰ τοῦ σχήματος αἰνιττόμενος μὴ θᾶττον εἰσδύνειν τὸν λόγον, ἵνα*

---

10. Ψαλμ. 5, 7. 11. Βλ. Ἰω. 8, 44-47. 12. Ψαλμ. 62, 12.

ἄρχισε τή ζωή του καί πῶς ἀνέβηκε στόν ἐπισκοπικό θρόνο τῆς Κωνσταντινουπόλεως, καί πόσο χρόνο τόν κράτησε, καί ποιό ἦταν τό ἦθος του, καί ποιό τό τέλος τῆς ζωῆς του, ἄν βέβαια ἔχει πεθάνει, ὅπως ἀκοῦμε. Ἄν καί πολύ γρήγορα μέ ὅλα τρέχει ἡ θαυμάσια καί ἐνάρετη μνήμη τοῦ ἄνδρα, ἀλλ' ὅμως ἔχω συνήθεια νά μήν πιστεύω πρόχειρα στίς φῆμες, πρίν νά μάθω σίγουρα ἀπό ἐκείνους πού ξέρουν σωστά νά ψέγουν καί νά ἐπαινοῦν.

Ο ΕΠΙΣΚ. Ἐπαινῶ βέβαια τήν προσοχή σου, δέ δέχομαι ὅμως τήν παρατήρησή σου, φιλαληθέστατε ἄνδρα καί ἄνθρωπε τοῦ Θεοῦ Θεόδωρε. Γιατί ἔπρεπε νά ἀρκεσθεῖς γιά ἀπόδειξη τῆς ἀλήθειας (γιά νά περιαυτολογήσω) στά ἄσπρα μαλλιά μου καί στό ἀξίωμά μου. Ἀφοῦ ὅμως δέν ἔκαμες αὐτό καί δυό φορές μέ κατακρίνεις, τουλάχιστο ὕστερα ἀπό αὐτά νά μοῦ ἐμπιστευθεῖς εἰλικρινά τήν προσοχή σου, γιά νά μή γίνει στά χαμένα ἡ συζήτησή μας. Γιατί ξέρω καλά τά γραμμένα στό Νόμο τοῦ Θεοῦ, ὅτι «Θά καταστρέψει ὁ Κύριος ὅλους ὅσους λέγουν ψέματα»[10] καί στόν ἀπόστολο Ἰωάννη, «Ὅποιος λέγει ψέματα δέν εἶναι ἀπό τό Θεό»[11], καί πάλι στό Δαυίδ, «Ὅτι κλείστηκε τό στόμα ὅσων λέγουν ἄδικα πράγματα»[12].

Γιατί ὅποιος λέγει ψέματα ἀδικεῖ πραγματικά αὐτόν πού προσπαθεῖ νά πείσει, καί ἐκεῖνος πού πείθεται ἀδικεῖ ἐπίσης αὐτόν πού λέγει ψέματα, ἐπειδή πιστεύει εὔκολα. Ἀφοῦ λοιπόν κάνουν τό ἴδιο σφάλμα καί οἱ δύο, οὔτε ὁ ἕνας ἀπό μᾶς ν' ἀδικήσει τόν ἄλλο. Γιατί αὐτή εἶναι ἀρετή, ὅταν ὁ ἕνας λέγει, νά λέγει τά ἀληθινά, καί ὅταν ὁ ἄλλος ἀκούει, νά ἐλέγχει τά ἄδικα. Γιατί ἡ Γραφή λέγει, «Νά γίνεστε δόκιμοι τραπεζίτες»[13], ξεχωρίζοντας τά ψεύτικα νομίσματα ἀπό τά γνήσια, ὄχι γιά νά δεχθοῦμε τόν ἦχο, ἐπειδή τόν θαυμάσαμε, ἀλλά ἀφοῦ μέ φόβο Θεοῦ μαζί μέ τήν ὀρθή συνείδηση ἐκτιμήσουμε ὅλα ὅσα λέγονται ἤ γράφονται, νά τά δεχθοῦμε μέ τή μαρτυρία τῶν πραγμάτων. Εἶναι μεγάλος ὁ κίνδυνος πού προέρχεται ἀπό τά αὐτιά καί τή γλώσσα. Γι' αὐτό καί ὁ ἄριστος τεχνίτης Θεός ἔκαμε νά φυλάγεται ἡ γλώσσα ἀπό τά δύο χείλη καί κατασκεύασε πιό μέσα τό περιτείχισμα τῶν δοντιῶν, ὥστε νά ὑπάρχει σταθερό φρούριο καί νά σωφρονίζει τή φλυαρία της (σύμφωνα μέ τό γραμμένο, «Τοποθέτησε, Κύριε, φρουρά στό στόμα μου καί φράχτη γύρω ἀπό τά χείλη μου, γιά νά μήν ἁμαρτάνω μέ τή γλώσσα μου»[14]). Καί στό ἄνοιγμα τῶν αὐτιῶν ἔδωσε ἑλικοειδές σχῆμα, ὑπονοώντας μέ τό σχῆμα νά μήν εἰσδύει πολύ γρήγορα ὁ λόγος, ὥστε

13. Πρβ. Α' Θεσ. 5, 21. 14. Ψαλμ. 140, 3.

ἐν πλείονι χρόνῳ ἐλιττόμενος, τὴν ὕλην τοῦ ψεύδους μετὰ τῶν τῆς κακίας σκυβάλων προσκαταλείψῃ ταῖς ὄχθαις, λεπτῶς διωθούμενος. Οὐ μόνον δὲ τούτων ἐφρόντισε τῶν ὀργάνων, ὡς μόνων παιόντων· ἤδη δὲ καὶ ταῖς κόραις, καθάπερ θυρίσι,
5 καταπετάσματα τέθεικεν, ἵνα μὴ τὸν τῆς ἀκολασίας εἰσδέχωνται θάνατον, ὃν ὁ προφήτης μαρτύρεται λέγων· «Θάνατος ἀνέβη διὰ τῶν θυρίδων».

Ο ΔΙΑΚ. Εἰ μὲν ἐν τοῖς τυχοῦσιν ἦν ἡ ἐξέτασις, ἱερώτατε πάτερ, ἤρκει σου ἡ τοῦ εἴδους κατάστασις πιστῶσαι τοὺς
10 λόγους· ἐπειδὴ δὲ οὐ μικρὰν φέρει νῦν μὲν κατάγνωσιν, μετέπειτα δὲ κατάκρισιν, συναχθέντων ἀρχόντων τε καὶ λαῶν παρὰ τῷ βήματι τῷ φοβερῷ, ἀληθείας οὔσης τῆς ζητουμένης, δός μοι συγγνώμην, ἄριστε, μὴ τὰς τῶν τριχῶν προβαλλόμενος πολιὰς μάρτυρας. Γεγηράκασι γὰρ καὶ φαῦλοι, οὐκ ἀρετῇ τὴν
15 ψυχὴν πολιώσαντες, ἀλλὰ τὰ σώματα χρόνου μήκει ῥυτιδώσαντες· οἷοι ἦσαν οἱ κατὰ Βαβυλῶνα ψευδοπρεσβύτεροι, καὶ ὁ ἐν τῷ Ἰερεμίᾳ Ἐφραΐμ, περὶ οὗ μεμφόμενος ὁ λόγος βοᾷ· «Ἐφραΐμ περιστερὰ ἄνους, οὐκ ἔχουσα καρδίαν» (πολιαὶ αὐτῶ ἐξήνθησαν, αὐτὸς δὲ οὐκ ἔγνω), δισσεύων δὲ λέγει
20 πληκτικώτερον· «Ἐγένετο Ἐφραΐμ ἐγκρυφίας οὐ μεταστρεφόμενος, καὶ ἀλλότριοι ἔφαγον τὴν ἰσχὺν αὐτοῦ», κἀκεῖνο δὲ προσθήσω, εἰ καὶ μηκυνῶ τὸν λόγον· τίς πολιώτερος ἢ τίς ἐπιεικέστερος τὸ φαίνεσθαι Ἀκακίου τοῦ Βεροίας, ὃν νῦν διαμέμφεσθε ὡς ταραξάρχην καὶ ἡγεμόνα τῆς τῶν νεωτερο-
25 ποιῶν πλημμελείας; οὗ καὶ αὐτοὶ οἱ μυκτῆρες τὰς λευκὰς ἐπεσύροντο τρίχας, ἡνίκα ἐπέστη τῇ Ῥώμῃ κομίσας τῆς χειροτονίας τὸ ψήφισμα τοῦ ἐπισκόπου Ἰωάννου.

Ο ΕΠΙΣΚ. Νῦν ἔγνων σαφῶς, ὅτι δόκιμος εἶ τραπεζίτης, μὴ πειθόμενος τῇ δερματίνῃ σκηνῇ, ἀλλὰ τὴν τοῦ ἐνοικοῦντος
30 ἐπιζητῶν ἐπιστήμην. Καὶ γὰρ καὶ οἱ Αἰγυπτίων ναοὶ μέγιστοι ὄντες, καὶ κάλλει λίθων κομπάζοντες, πιθήκους ἔχουσιν ἔνδον καὶ ἴβιες καὶ κύνας ἀντὶ θεῶν· ὁ δ' ἡμέτερος Κύριος καὶ Θεός, χρηματίζων τῷ Σαμουὴλ περὶ καταστάσεως ἡγεμόνος τοῦ Ἰσραήλ, παρεγγυᾷ μὴ βλέπειν εἰς ἕξιν καὶ πλάσιν πηλίνου
35 σώματος, λέγων· «Οὐχ ὡς ἄνθρωπος βλέψει ὁ Θεός· ἄνθρωπος

15. Ἱερ. 9, 21. 16. Βλ. Ἱερ. 7, 15 καί 38, 9. 18-20.
17. Ὡσηέ 7, 11.9. 18. Ὡσηέ 7, 8.9.

περιστρεφόμενος σέ περισσότερο χρόνο ν' ἀποθέσει στά περιτειχίσματα τό ψέμα μαζί μέ τά ὑπολείμματα τῆς κακίας, καθώς θά περνάει σέ στενή περιοχή. Δέ φρόντισε ὅμως ὁ Θεός μόνο γι' αὐτά τά ὄργανα, σάν νά εἶναι τά μόνα πού κάνουν σφάλματα, ἀφοῦ καί στίς κόρες τῶν ματιῶν, ὅπως σέ μικρές πόρτες, τοποθέτησε καλύμματα, γιά νά μή δέχονται μέσα τό θάνατο τῆς ἀκολασίας, τόν ὁποῖο ὁ προφήτης βεβαίωσε λέγοντας· «'Ο θάνατος ἀνέβηκε μέσα ἀπό τά βλέφαρα»[15].

Ο ΔΙΑΚ. 'Εάν βέβαια ἡ ἐξέταση ἦταν γιά ὁποιαδήποτε πράγματα, ἱερότατε πάτερ, θά ἦταν ἀρκετή ἡ ἐξωτερική μορφή σου νά κάμει ἀξιόπιστα τά λόγια σου. 'Επειδή ὅμως τώρα προκαλεῖ μεγάλη κατηγορία καί ἀργότερα κατάκριση, ὅταν συγκεντρωθοῦν καί ἄρχοντες καί λαοί κοντά στό φοβερό βῆμα, ἐπειδή θά ζητεῖται ἡ ἀλήθεια, συγχώρησέ με, ἄριστε, καί νά μήν προβάλλεις μάρτυρες τίς ἄσπρες τρίχες σου. Γιατί ἔχουν γεράσει καί φαῦλοι, χωρίς νά γεράσουν τήν ψυχή τους μέ τήν ἀρετή, ἀλλά νά κάνουν ρυτίδες μόνο στά στόματά τους ἀπό τά πολλά χρόνια. Τέτοιοι ἦταν οἱ ψευτοπρεσβύτεροι στή Βαβυλώνα καί ὁ 'Εφραίμ πού ἀναφέρεται στό βιβλίο τοῦ 'Ιερεμία[16]. Αὐτόν κατηγορεῖ ὁ προφητικός λόγος φωνάζοντας· «'Ο 'Εφραίμ ἦταν σάν ἀνόητο περιστέρι χωρίς σύνεση· φύτρωσαν σ' αὐτόν ἄσπρες τρίχες καί αὐτός δέν κατάλαβε»[17]. 'Επαναλαμβάνοντας γιά δεύτερη φορά λέγει ἐντονότερα· «Ἔγινε ὁ 'Εφραίμ νά μήν ἀποστρέφεται τίς σταχτόπιτες καί ξένοι κατέφαγαν τή δύναμή του»[18]. Θά προσθέσω ἀκόμη καί αὐτό, ἔστω καί ἄν κάμω μακρύ τό λόγο. Ποιός φαίνεται γεροντότερος ἤ ποιός φαίνεται πραότερος ἀπ' ὅ,τι εἶναι ὁ 'Ακάκιος Βεροίας, τόν ὁποῖο τώρα κατηγορεῖτε σάν ταραχοποιό καί ἀρχηγό τῆς ἄδικης πράξης τῶν στασιαστῶν; Καί τά ρουθούνια του ἀκόμη ἔφεραν ἄσπρες τρίχες, ὅταν ἔφθασε στή Ρώμη μεταφέροντας τό ψήφισμα τῆς χειροτονίας τοῦ ἐπισκόπου 'Ιωάννη.

Ο ΕΠΙΣΚ. Τώρα ἔμαθα καλά, ὅτι εἶσαι δόκιμος τραπεζίτης, γιατί δέν πιστεύεις στήν ἐξωτερική ἐμφάνιση, ἀλλά ψάχνεις νά βρεῖς τή γνώση αὐτοῦ πού κατοικεῖ μέσα. Πραγματικά καί οἱ ναοί τῶν Αἰγυπτίων εἶναι πάρα πολύ μεγάλοι καί φημίζονται γιά τήν ὀμορφιά στίς πέτρες τους, ἀλλ' ἔχουν μέσα ἀντί γιά θεούς πιθήκους καί πουλιά[19] καί σκυλιά. 'Ο δικός μας ὅμως Κύριος καί Θεός, ἀπαντώντας στό Σαμουήλ γιά τό διορισμό βασιλιᾶ τοῦ 'Ισραήλ, τοῦ συνιστοῦσε νά μήν προσέχει στήν ἐμφάνιση καί στή διαμόρφωση τοῦ σώματος πού εἶναι ἀπό χῶμα κατασκευασμένο, λέγοντας· «'Ο Θεός δέ θά προσέξει

19. 'Ιβις· εἶδος λιμνόβιου ἱεροῦ πουλιοῦ, στό ὁποῖο ἀπέδιδαν θεῖες τιμές.

μὲν γὰρ εἰς πρόσωπον, Θεὸς δὲ εἰς καρδίαν». Διὸ οἱ «μιμηταὶ τοῦ Θεοῦ» ἐπὶ παντὸς πράγματος τὸ βαθύτερον ἐρευνῶσιν. Ὅθεν προθύμως ἐμαυτὸν ἐπιδίδωμι, ἐξαγιάσας σου τὸν ζυγὸν μηδαμῶς ἑτεροκλινοῦντα. Οἱ δὲ Βαβυλώνιοι, γέροντες μὲν τὰ
5 *σώματα, τὰς δὲ ψυχὰς ὑπ' ἀναισθησίας κομιδῇ νήπιοι, εἰ ἐπίστευον τῇ τῶν νεκρῶν ἀναστάσει, πρότερον μέν, ἐρρωμένην ἔχοντες τὴν σοφίαν, οὐκ ἂν ἤρων Σωσάννης γυναικὸς ἀλλοτρίας· ἔπειτα δ', εἴπερ εἶχον τὸν τοῦ Θεοῦ φόβον, οὐκ ἂν συνέπλεξαν τῇ ἀκολασίᾳ τὴν συκοφαντίαν. Τοῦ δὲ ἀτίμου ἐν*
10 *γήρᾳ ἀπόδειξις τῆς νεωτερικῆς ὥρας ἡ καπηλεία.*

ΚΕΦΑΛΑΙΟΝ Ε΄

Ἰωάννης οὗτος τὸ μὲν γένος ἦν Ἀντιοχεὺς (κεκοίμηται δέ), υἱὸς γεγονὼς τῶν διαπρεψάντων εὐγενῶς παρὰ τῇ τάξει τοῦ στρατηλάτου τῆς Συρίας, τεχθεὶς πρὸς ἀδελφῇ τῷ πατρί.
15 *Δεξιωτέρας δὲ ὑπάρχων γνώμης ἐξησκήθη τοῖς λόγοις πρὸς διακονίαν τῶν θείων λογίων. Ἐκεῖθεν ὀκτωκαιδέκατον ἔτος ἄγων τὴν τοῦ σώματος ἡλικίαν, ἀφηνίασεν τοὺς σοφιστὰς τῶν λεξυδρίων· ἀνδρυνθεὶς δὲ τὴν φρένα, ἤρα τῶν ἱερῶν μαθημάτων. Ἦρχεν δὲ τὸ κατ' ἐκεῖνο καιροῦ τῆς κατὰ Ἀντιόχειαν*
20 *ἐκκλησίας ὁ μακάριος Μελέτιος ὁ ὁμολογητής, τὸ γένος Ἀρμένιος· ὃς προσσχὼν εὐφυῆ τὸν νεανίσκον ἐπέτρεπεν αὐτῷ συνεχῶς πλησιάζειν, ἐρασθεὶς τοῦ κάλλους τῆς τούτου καρδίας, προφητικῷ ὄμματι προορῶν τοῦ νεανίσκου τὴν ἔκβασιν. Ὡς δὲ παρήδρευσε, μυσταγωγηθεὶς τὴν τοῦ «λου-*
25 *τροῦ παλιγγενεσίαν», ἀμφὶ τὰ τρία ἔτη, προάγεται ἀναγνώστης. Νυττόμενος δὲ ὑπὸ τοῦ συνειδότος μὴ ἀρκεῖσθαι τοῖς ἐν τῇ πόλει πόνοις, σφριγώσης τῆς νεότητος, εἰ καὶ σῶον ἦν τὸ φρονοῦν, καταλαμβάνει τὰ πλησίον ὄρη· καὶ περιτυχὼν γέροντι Σύρῳ, ἐγκράτειαν τημελοῦντι, ἀπομιμεῖται τὴν σκληρα-*
30 *γωγίαν, χρονίσας παρ' αὐτῷ δὶς δύο ἔτη, ἀπομαχόμενος ταῖς τῆς ἡδυπαθείας σπιλάσιν.*

---

20. Α΄ Βασ. 16, 7. 21. Ἐφ. 5, 1.

1. Ὁ πατέρας τοῦ Χρυσοστόμου ὀνομαζόταν Σεκοῦνδος καί ἡ μητέρα του Ἀνθούσα (Σωκράτη, Ἐκκλ. Ἱστορία 6, 3). Γιά τήν ἀδελφή τοῦ Χρυσοστόμου δέ γίνεται πουθενά ἄλλοῦ λόγος.

σάν ἄνθρωπος, γιατί ὁ ἄνθρωπος προσέχει στό πρόσωπο, ἐνῶ ὁ Θεός στήν ψυχή»[20]. Γι᾽ αὐτό οἱ «μιμητές τοῦ Θεοῦ»[21] ἐρευνοῦν τή βαθύτερη οὐσία σέ κάθε πράγμα. Ἑπομένως μέ προθυμία σοῦ παραδίνω τόν ἑαυτό μου, ἀφοῦ ἐξάγνισα τή ζυγαριά σου νά μήν κλίνει καθόλου πρός τό ἄλλο μέρος. Καί οἱ Βαβυλώνιοι, γέροντες στά σώματα, στίς ψυχές ὅμως ἀπό τήν ἀναισθησία τους ἐντελῶς νήπιοι, ἄν πίστευαν στήν ἀνάσταση τῶν νεκρῶν, πρῶτα-πρῶτα, ἐάν ἀγαποῦσαν τή σοφία, δέ θά ἀγαποῦσαν τή Σωσάννα, μιά γυναίκα ξένη, καί ἔπειτα, ἄν βέβαια εἶχαν τό φόβο τοῦ Θεοῦ, δέ θά ἕνωναν τή συκοφαντία μέ τήν ἀκολασία. Καί ἀπόδειξη τῆς ἀνηθικότητας στά γηρατειά εἶναι ἡ κακή διαγωγή τῆς νεανικῆς ἡλικίας.

ΚΕΦΑΛΑΙΟ Ε΄

Ὁ Ἰωάννης αὐτός καταγόταν ἀπό τήν Ἀντιόχεια (ἔχει πεθάνει τώρα), ἦταν υἱός ἑνός ἄριστου ἀξιωματικοῦ στό ἀξίωμα τοῦ στρατηγοῦ τῆς Συρίας καί γεννήθηκε μετά ἀπό τήν ἀδελφή του[1]. Ἐπειδή ἦταν εὐφυής ἔμαθε τά ἐθνικά γράμματα γιά νά ὑπηρετήσει τά θεῖα γράμματα. Στή συνέχεια, ὅταν ἦταν σέ ἡλικία δεκαοχτώ ἐτῶν, ἐγκατέλειψε τούς σοφιστές πού ἀσχολοῦνταν μέ τή σημασία τῶν λέξεων, καί ὅταν ἐνηλικιώθηκε ζήτησε νά μάθει τά ἱερά μαθήματα. Τήν ἐποχή ἐκείνη ἐπίσκοπος τῆς ἐκκλησίας στήν Ἀντιόχεια ἦταν ὁ μακάριος Μελέτιος ὁ ὁμολογητής, τό γένος Ἀρμένιος. Αὐτός, ἀφοῦ πρόσεξε καί βρῆκε ὅτι ὁ νέος ἦταν εὐφυής, τοῦ ἐπέτρεπε συνεχῶς νά ἔρχεται κοντά του, ἐπειδή ἀγάπησε τό μεγαλεῖο τῆς ψυχῆς του προβλέποντας μέ προφητικό μάτι τήν κατάληξη τοῦ νεαροῦ Ἰωάννη. Ἀφοῦ παρέμεινε κοντά του περίπου τρία χρόνια καί βαπτίσθηκε στό «λουτρό πού μᾶς ξαναγεννᾶ»[2], προάγεται ἀναγνώστης[3]. Παρακινούμενος ὅμως ἀπό τή συνείδησή του νά μήν ἀρκεσθεῖ στούς ἀγῶνες του μέσα στήν πόλη, στήν ἀκμή τῆς νεότητάς του, ἄν καί ἦταν ἐγκρατής, φεύγει στά κοντινά βουνά. Ἐκεῖ συνάντησε κάποιο γέροντα Σύρο, πού ἀσκοῦνταν στήν ἐγκράτεια, καί μιμεῖται τήν σκληραγωγία του, καί ἔμεινε κοντά του τέσσερα χρόνια[4], καταπολεμώντας τίς θύελλες τῆς ἡδυπάθειας.

2. Τίτ. 3, 5. 3. Στά 370. 4. Ἀπό τό 370 ὡς τό 374.

Ὡς δὲ ῥᾷον περιεγένετο τούτων, οὐ πόνῳ τοσοῦτον, ὅσον λόγῳ, ἀναχωρεῖ ἐν σπηλαίῳ μόνος, γλιχόμενος ἀδηλίας· κἀκεῖ διατρίψας τρὶς ὀκτὼ μῆνας, ἄϋπνος διετέλει τὸ πλεῖστον, ἐκμανθάνων τὰς τοῦ Χριστοῦ διαθήκας πρὸς ἐξοστρακισμὸν
5 *τῆς ἀγνοίας. Μὴ ἀναπεσὼν δὲ τὸν τῆς διετίας χρόνον, μὴ νύκτωρ, μὴ μεθ' ἡμέραν, νεκροῦται τὰ ὑπὸ γαστέρα, πληγεὶς ἀπὸ τοῦ κρύους τὰς περὶ τοὺς νεφροὺς δυνάμεις. Οὐκ ἐπαρκῶν δέ, ἑαυτῷ χρησιμεύειν, πάλιν καταλαμβάνει τὸν ἐκκλησιαστικὸν λιμένα. Καὶ τοῦτο τῆς τοῦ Σωτῆρος προνοίας,*
10 *πρὸς τὸ χρήσιμον τῆς ἐκκλησίας διὰ τῆς ἀσθενείας τῶν τῆς ἀσκήσεως πόνων αὐτὸν ἀπελασάσης, ἵν' ἐμποδισθεὶς τῇ ἀδυναμίᾳ ἀπόσχηται τῶν σπηλαίων. Ἐντεῦθεν χειροτονεῖται διάκονος διὰ τοῦ Μελετίου, ὑπηρετήσας τῷ θυσιαστηρίῳ δύο πρὸς τοῖς τρισὶν ἔτεσιν. Ἤδη δὲ τῆς διδασκαλικῆς αὐτοῦ*
15 *ἀρετῆς διαλαμπούσης, καὶ τῶν λαῶν ἐκ τῆς τοῦ βίου ἅλμης γλυκαινομένων, αὐτοῦ τῇ συντυχίᾳ, πρεσβύτερος χειροτονεῖται διὰ Φλαβιανοῦ τοῦ ἐπισκόπου. Καὶ διαπρέψας τρὶς τέσσαρα ἔτη ἐν τῇ τῶν Ἀντιοχέων ἐκκλησίᾳ, ἀποσεμνύνει τὸ ἐκεῖσε ἱερατεῖον τοῦ βίου τῇ ἀκριβείᾳ, τοὺς μὲν ἀλίζων τῇ*
20 *σωφροσύνῃ, τοὺς δὲ φωτίζων τῇ διδασκαλίᾳ, τοὺς δὲ ποτίζων τοῖς τοῦ πνεύματος νάμασιν. Τούτων δὲ οὕτως οὐριοδρομούντων τῇ τοῦ Χριστοῦ κυβερνήσει, κοιμᾶται ὁ μακάριος Νεκτάριος ὁ ἐπίσκοπος τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας.*

Ἐντεῦθεν συντρέχουσί τινες τῶν μὴ ζητουμένων, μαστεύον-
25 *τες τὴν προεδρίαν, ἄνδρες τινὲς οὐκ ἄνδρες, πρεσβύτεροι μὲν τὴν ἀξίαν, ἀνάξιοι δὲ τῆς ἱερωσύνης, οἱ μὲν πραιτωριοκτυποῦντες, οἱ δὲ καὶ δωροδοκοῦντες, ἄλλοι δὲ καὶ τοὺς δήμους γονυπετοῦντες. Ἐπὶ τούτοις κλονεῖται ὁ λαὸς τῶν ὀρθοδόξων, διασκύλλων τὸν βασιλέα, ἐπιζητῶν τὸν ἐπιστήμονα τῆς ἱερω-*
30 *σύνης. Ἐκράτει δὲ τῶν πραγμάτων Εὐτρόπιος ὁ σπάδων, ἀφηγητὴς τῶν βασιλικῶν κοιτώνων. Βουλόμενος οὖν αὐτὸν παραθέσθαι τῇ πόλει (εἶχεν γὰρ πεῖραν τῆς ἀρετῆς Ἰωάννου, βασιλικῆς αἰτίας αὐτὸν εἰς ἀνατολὴν τὴν ἐνδοτέραν ἀγαγούσης), οὗτος παρασκευάζει τὸν βασιλέα γράμματα χαράξαι*

5. 374-376. 6. Τήν Παλαιά καί Καινή Διαθήκη. 7. Τό 381.
8. Τό 386. 9. Φλαβιανός· ἐπίσκοπος Ἀντιόχειας 381-384.
10. Δηλαδή ἀπό τό 386 ὥς τό 398.

Μόλις τίς νίκησε εὔκολα, ὄχι τόσο μέ σωματικό κόπο, ὅσο μέ τή θέλησή του, ἀναχωρεῖ σέ σπήλαιο μόνος του, ἐπιθυμώντας τήν ἀφάνεια. Καί ἐκεῖ παραμένοντας δύο χρόνια[5], πέρασε χωρίς ὕπνο τόν περισσότερο καιρό, μαθαίνοντας τίς διαθῆκες τοῦ Χριστοῦ[6] γιά νά καταπολεμήσει τήν ἀμάθειά του. Χωρίς νά κοιμηθεῖ γιά δύο χρόνια, οὔτε νύχτα, οὔτε ἡμέρα, ἀπονεκρώνει τά κατώτερα πάθη του, ἀφοῦ ὅμως προσβλήθηκε ἀπό ἀσθένεια στά νεφρά ἐξ αἰτίας τοῦ ψύχους. Ἐπειδή δέν θεώρησε τόν ἑαυτό του ἱκανό νά φροντίζει γιά τήν ὑγεία του, φθάνει πάλι στό λιμάνι τῆς Ἐκκλησίας. Καί αὐτό ἦταν ἔργο τῆς πρόνοιας τοῦ Σωτήρα, πού γιά τό συμφέρον τῆς Ἐκκλησίας τόν ἔδιωξε ἐξ αἰτίας τῆς ἀσθένειάς του ἀπό τίς ταλαιπωρίες τῆς ἄσκησης, γιά ν' ἀποφύγει τά σπήλαια, ἀφοῦ τοῦ ἔγινε ἐμπόδιο ἡ ἀδυναμία του. Τότε χειροτονεῖται ἀπό τό Μελέτιο διάκονος[7], ἀφοῦ ὑπηρέτησε στό ἱερό θυσιαστήριο ἕξι χρόνια. Ἐνῶ ὅμως ξεχώριζε ἡ διδασκαλική του ἱκανότητα σάν ἱεροκήρυκας καί ἐνῶ οἱ πιστοί στή συνάντηση μαζί του ἀνακουφίζονταν ἀπό τίς μέριμνες τῆς ζωῆς, χειροτονεῖται πρεσβύτερος[8] ἀπό τόν ἐπίσκοπο Φλαβιανό[9]. Καί ἀφοῦ διακρίθηκε δώδεκα χρόνια[10] στήν Ἐκκλησία τῆς Ἀντιόχειας ἔκαμε μέ τήν ἐνάρετη ζωή του ἀξιοσέβαστο τό ἐκεῖ ἱερατεῖο, συγκεντρώνοντας ἄλλους μέ τή σύνεσή του, φωτίζοντας ἄλλους μέ τή διδασκαλία του καί ποτίζοντας ἄλλους μέ τά νάματα τοῦ ἁγίου Πνεύματος.

Ἐνῶ ὅμως τά πράγματα πήγαιναν τόσο εὐνοϊκά μέ τή βοήθεια τοῦ Χριστοῦ, πεθαίνει ὁ μακάριος Νεκτάριος[11], ὁ ἐπίσκοπος τῆς Ἐκκλησίας τῆς Κωνσταντινουπόλεως. Τότε τρέχουν μερικοί πού δέν τούς ζήτησε κανείς, νά πάρουν τήν ἐπισκοπή, μερικοί ἄνδρες πού δέν ἦταν ἄνδρες, ἔχοντας βέβαια τό ἀξίωμα τοῦ πρεσβυτέρου, ἀλλά ἦταν ἀνάξιοι τῆς ἱερωσύνης, ἄλλοι χτυπώντας τίς πόρτες τῶν ἀνακτόρων, ἄλλοι δωροδοκώντας ἀκόμη, καί ἄλλοι ἱκετεύοντας καί τούς πιστούς ἀκόμη. Ἀπ' αὐτά συνταράσσεται τό σύνολο τῶν ὀρθοδόξων, ἐνοχλώντας τόν αὐτοκράτορα καί ἐπιζητώντας ὡς ἐπίσκοπο ἐκεῖνον πού γνωρίζει ἄριστα τήν ἱερωσύνη. Κύριος τῶν πραγμάτων ἦταν ὁ εὐνοῦχος Εὐτρόπιος, ὁ ὁποῖος ἦταν ἀρχηγός τῆς βασιλικῆς αὐλῆς. Θέλοντας λοιπόν νά παραχωρήσει σ' αὐτόν τήν πόλη (γιατί γνώριζε τήν ἀρετή τοῦ Ἰωάννη, ὅταν βασιλική ἐντολή τόν ἔφερε στήν ἐνδότερη Ἀνατολή[12]), πείθει τό βασιλιά νά γράψει στό διοικητή τῆς

11. Ἦταν ἐπίσκοπος ἀπό τό 381 ὡς τό 397.

12. Ἡ ἐπίσκεψη τοῦ Εὐτροπίου στήν Ἀντιόχεια πρέπει νά ἔγινε τό 388.

πρὸς τὸν κόμητα Ἀντιοχείας, ἀψοφητὶ ἐξαποστεῖλαι τὸν Ἰωάννην, μὴ ταράξαντα τὴν Ἀντιοχέων. Ὃς ἐξαυτῆς δεξάμενος τὸ γράμμα παρακαλεῖ αὐτὸν ἔξω τῆς πόλεως γενέσθαι μέχρι τῶν μαρτυρίων πλησίον τῆς πύλης καλουμένης Ῥωμανησίας, καὶ ἐπιβιβάσας αὐτὸν δημοσίῳ ῥηδίῳ παραδίδωσι τῷ ἀποσταλέντι εὐνούχῳ σὺν τῷ στρατιώτῃ τοῦ μαγίστρου. Οὕτως ἀχθεὶς χειροτονεῖται ἐπίσκοπος τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας. Ἀπ' ἀρχῆς οὖν ὁ Θεόφιλος, ὁ τῆς Ἀλεξανδρέων ἐπίσκοπος, προσσχὼν αὐτοῦ τῇ καταστάσει, τῷ ἀνεπιλήπτῳ τῆς παῤῥησίας, ἠντισκότει πρὸς τὴν χειροτονίαν. Ἔστι γὰρ δεινός, ἐκ τῆς φανερᾶς ὄψεως, (ἀφανὲς γάρ) ἀνθρώπου βούλημα καὶ γνώμην συνιδεῖν.

Ο ΔΙΑΚ. Ἐπίσχες, πάτερ, μικρὸν ἀνθυπενέγκω.

Ο ΕΠΙΣΚ. Τί τοῦτο μάλιστα;

Ο ΔΙΑΚ. Καὶ εἰ τοιοῦτος ὑπάρχει ὁ Θεόφιλος, ὡς πρὸς τὸ βλέπειν δι' ὀξύτητα, πῶς ἠγνόησεν ὅτι τὴν οἰκουμένην ταράξει ἐξεώσας αὐτόν;

Ο ΕΠΙΣΚ. Τοῦτο οὐ θαυμαστόν, ὦ βέλτιστε· καὶ γὰρ οἱ δαίμονες, γνωρίσαντες τὴν τοῦ Σωτῆρος ἐπιδημίαν, ἠγνόησαν ὅτι ἑνὶ φυσήματι τῶν αὐτῷ πεπιστευκότων δεθήσονται.

Ο ΔΙΑΚ. Ποῦ δὲ ἐγνώρισαν τὴν τοῦ Σωτῆρος παρουσίαν;

Ο ΕΠΙΣΚ. Ἡνίκα ἐβόων· «Οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ· τί ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς;». Ὁρᾷς ὅτι προῄδεισαν, οὐ μόνον ὅτι ἅγιός ἐστιν, ἀλλ' ὅτι καὶ κριτής; τί δὲ λέγω περὶ τῶν δαιμόνων; αἱ κακοδαίμονες τῶν ἑταιρίδων ἐκ τῆς τῶν ὀφθαλμῶν καταστάσεως γνωρίζουσι τοὺς σώφρονας ἄνδρας καὶ ἀποστρέφονται, ὥσπερ ὁ νοσῶν ὀφθαλμὸς τὴν τοῦ ἡλίου αἴγλην, καὶ ὁ γὺψ τὸ μύρον. Πόθεν δὲ τὸ «βδέλυγμα ἁμαρτωλοῖς θεοσέβεια», εἰ μὴ ταύτην ἐγνώριζον; Οὕτω καὶ ὁ Θεόφιλος, ἐξ ὧν τοῦ ἰδίου ὀφθαλμοῦ τὸ κατάλληλον ἢ τὸ καταθύμιον ἐν τῇ τοῦ Ἰωάννου ὄψει οὐχ εὗρεν, στοχαστικῶς τὸ ἐναντίον ὑπετόπασεν, οὐ καταληπτικῶς.

Ο ΔΙΑΚ. Θαυμασίως εἴρηκας, πάτερ. Πρὸς τί δὲ ἀντέπιπτεν τῇ χειροτονίᾳ;

13. Μικροί ναοί μαρτύρων.

14. Μάγιστρος· ἀρχηγός τοῦ πολιτικοῦ καί στρατιωτικοῦ οἴκου τοῦ αὐτοκράτορα.

15. Στίς 15 Δεκεμβρίου 397 ἔγινε ἡ χειροτονία του καί στίς 26 Φεβρουαρίου τοῦ 398 ἡ ἐνθρόνησή του.

᾿Αντιόχειας, νά στείλει ἀθόρυβα τόν ᾿Ιωάννη, χωρίς νά προκαλέσει ταραχές στήν ᾿Αντιόχεια. ᾿Εκεῖνος ἀμέσως μόλις ἔλαβε τό γράμμα παρακαλεῖ τόν ᾿Ιωάννη νά ἔρθει ἔξω ἀπό τήν πόλη μέχρι τά «μαρτύρια»[13], κοντά στήν περιοχή Ρωμανησία, καί ἀφοῦ τόν ἀνέβασε σέ δημόσιο ὄχημα, τόν παραδίνει στόν εὐνοῦχο πού στάλθηκε γι' αὐτό καί στό στρατιώτη τοῦ μαγίστρου[14]. ᾿Αφοῦ ὁδηγήθηκε ἔτσι, χειροτονεῖται ἐπίσκοπος τῆς ᾿Εκκλησίας τῆς Κωνσταντινουπόλεως[15]. ᾿Από τήν ἀρχή λοιπόν ὁ Θεόφιλος, ὁ ἐπίσκοπος τῆς ᾿Αλεξάνδρειας, ἐπειδή πρόσεξε τό χαρακτήρα του, τό ἄψογο θάρρος τοῦ Χρυσοστόμου, πρόβαλλε ἐμπόδια στή χειροτονία του. Γιατί εἶναι ἱκανός, ἀπό τά ἐξωτερικά χαρακτηριστικά, ν' ἀντιληφθεῖ καλά τή θέληση καί τή σκέψη τοῦ ἀνθρώπου (ἐπειδή δέ φαίνεται).

Ο ΔΙΑΚ. Σταμάτα, πάτερ, νά κάμω μιά μικρή παρατήρηση.

Ο ΕΠΙΣΚ. Ποιά λοιπόν εἶναι αὐτή;

Ο ΔΙΑΚ. ᾿Εάν πράγματι ὁ Θεόφιλος ἔχει τέτοιες ἱκανότητες στό νά προβλέπει ἐξ αἰτίας τῆς ὀξυδέρκειάς του, πῶς δέ γνώρισε ὅτι θ' ἀναστατώσει τήν οἰκουμένη ἐάν τόν ἀπομακρύνει;

Ο ΕΠΙΣΚ. Αὐτό δέν εἶναι τό παράδοξο, φίλτατε· γιατί καί οἱ δαίμονες, γνωρίζοντας τήν ἔλευση τοῦ Σωτήρα, δέ γνώρισαν ὅτι θά δεθοῦν μ' ἕνα φύσημα τῶν μαθητῶν του[16].

Ο ΔΙΑΚ. Καί ποῦ γνώρισαν τήν παρουσία τοῦ Σωτήρα;

Ο ΕΠΙΣΚ. ῞Οταν φώναζαν· «Σέ γνωρίζουμε ποιός εἶσαι, ὁ ἅγιος τοῦ Θεοῦ. Γιατί ἦρθες πρόωρα νά μᾶς βασανίσεις;»[17] Βλέπεις ὅτι γνώριζαν ἀπό προηγουμένως ὅτι δέν εἶναι μόνο ἅγιος, ἀλλά καί κριτής; Γιατί ὅμως λέγω γιά τούς δαίμονες; Οἱ δυστυχισμένες πόρνες ἀπό τά μάτια γνωρίζουν τούς ἐγκρατεῖς ἄνδρες καί τούς ἀποστρέφονται, ὅπως τό ἄρρωστο μάτι τή λάμψη τοῦ ἥλιου καί ὁ γύπας τό μύρο. ᾿Από ποῦ ὅμως προέκυψε τό «εἶναι πολύ μισητή στούς ἁμαρτωλούς ἡ θεοσέβεια»[18], ἄν δέν τήν γνώριζαν; ῎Ετσι καί ὁ Θεόφιλος, ἐφόσον γιά τό δικό του μάτι τό κατάλληλο ἤ τό ἐπιθυμητό δέ βρῆκε στό πρόσωπο τοῦ ᾿Ιωάννη, ὑποψιάσθηκε ἀπό διαίσθηση τό ἀντίθετο, ὄχι μέ τή λογική.

Ο ΔΙΑΚ. Θαυμάσια μίλησες, πάτερ. Γιατί ὅμως ἦταν ἀντίθετος στή χειροτονία του;

---

16. Βλ. Ματθ. 10, 1· Μάρκ. 6, 7· Λουκᾶ 9, 1· Πράξ. 5, 16· 8, 7.

17. Μάρκ. 1, 24· Ματθ. 8, 29.

18. Σοφ. Σειρ. 1, 25.

Ο ΕΠΙΣΚ. Ἔθος αὐτῷ τοιοῦτον ἦν, μὴ χειροτονεῖν τοὺς χρηστοὺς καὶ ἐχέφρονας, εἰ μή τι ἂν ἀστοχήσοι, βουλόμενος ἁπάντων κρατεῖν ὡς ἀνοήτων· ἄμεινον ἡγούμενος ἀνοήτων κρατεῖν ἢ φρονίμων ἀκούειν. Πλὴν ὅμως νικᾶται ὑπὸ τῆς σωτηρίου προνοίας καὶ ἑκὼν καὶ ἄκων. Οὕτως χειροτονηθεὶς ὁ Ἰωάννης ἄρχεται τῆς τῶν πραγμάτων ἐπιμελείας, ἀπὸ τῆς λογικῆς ἀρξάμενος σύριγγος τῆς τῶν προβάτων δοκιμασίας. Ὀλιγάκις δὲ καταχρώμενος καὶ τῇ ἐλεγκτικῇ βακτηρίᾳ, κατατείνει λόγον κατὰ τῆς ἐπιπλάστου ἀδελφοζωΐας, τὸ δ' ἀληθές, κατὰ τῆς ἀσχήμου κακοζωΐας περὶ τῶν καλουμένων συνεισάκτων, ἀποδεικνὺς ἐν αἱρέσει κακῶν ἀμείνους εἶναι τοὺς πορνοτρόφους· ἐκεῖνοι μὲν γὰρ πόῤῥω τοῦ ἰατρείου οἰκοῦντες, καθ' ἑαυτοὺς ἔχουσι τοῖς βουλομένοις τὴν νόσον· οὗτοι δὲ ἔνδον τοῦ ἐργαστηρίου οἰκοῦντες τῆς σωτηρίας, καὶ τοὺς ὑγιαίνοντας ἐκκαλοῦνται εἰς νόσον. Ἐντεῦθεν θλίβεται τὸ ἀφιλόθεον μέρος τοῦ κλήρου πυρέττον τὸ πάθος. Μετ' ἐκεῖνον τὸν λόγον ἄρχεται κατὰ τῆς ἀδικίας, καταστρέφων τὴν μητρόπολιν τῶν κακῶν τὴν πλεονεξίαν εἰς οἰκοδομὴν τῆς δικαιοσύνης. Τοῦτο γὰρ ἴδιον τῶν σοφῶν ἀρχιτεκτόνων, πρότερον καταστρέψαι τὴν οἰκοδομὴν τοῦ ψεύδους, εἶθ' ὕστερον θεῖναι τὸν θεμέλιον τῆς ἀληθείας, ὡς λέγεται παρὰ τῷ προφήτῃ· «Καθέστακά σε ἐπὶ ἔθνη καὶ βασιλείας, ἐκριζοῦν καὶ καταφυτεύειν, καὶ κατασκάπτειν καὶ ἀνοικοδομεῖν», τὸ μὲν ὡς γεωργῷ, τὸ δὲ ὡς οἰκοδόμῳ.

Ἐκ τούτου ταράσσεται πάλιν τὸ μέρος τῶν βαλαντιοσκόπων· μετὰ τοῦτο ἐπιμελεῖται αὐτῶν τῆς διαίτης, παρακαλῶν ἀρκεῖσθαι τοῖς ἰδίοις ὀψωνίοις καὶ μὴ διώκειν τὰς κνίσας τὰς τῶν πλουσίων, ἵνα μὴ καπνὸν ἔχοντες τὸν δαδοῦχον, τῇ φλογὶ τῆς ἀκολασίας παραδοθῶσι, κολάκων καὶ παρασίτων μεταδιώξαντες βίον. Ἐντεῦθεν ἀνορύττονται οἱ πλείους τῶν γαστριμάργων, συγκλωθόμενοι τοῖς σοφισταῖς τῆς κακηγορίας. Μετὰ τοῦτο διερευνᾷ τὰ βρέβια τοῦ οἰκονομείου καὶ εὑρίσκει ἀνάλωμα οὐκ ὠφελοῦν τὴν ἐκκλησίαν· προστάσσει τούτων ἀργεῖν τὴν ἐπικουρίαν. Ἔρχεται εἰς τὸ μέρος τοῦ ἀναλώματος τοῦ ἐπισκοπείου καὶ εὑρίσκει δαψίλειαν οὐ τὴν τυχοῦσαν καὶ κελεύει μετενεχθῆναι τὴν πολυτέλειαν τούτων

19. Κάνοντας κήρυγμα μέ ἤπιες συστάσεις στούς πιστούς.

20. Συνείσακτες· παρθένες γυναῖκες ἤ χῆρες ἐγκρατεῖς, πού συγκατοικοῦ-

Ο ΕΠΙΣΚ. Εἶχε τέτοια συνήθεια αὐτός, νά μή χειροτονεῖ τούς καλούς καί συνετούς, ἐκτός βέβαια ἀπό λάθος, θέλοντας νά ἐξουσιάζει σ' ὅλους, ἐπειδή ἦταν ἀνόητοι· γιατί θεωροῦσε καλύτερο νά ἐξουσιάζει σ' ἀνόητους παρά νά ὑπακούει σέ συνετούς. 'Αλλ' ὅμως νικιέται ἀπό τήν πρόνοια τοῦ Θεοῦ εἴτε τό ἤθελε εἴτε ὄχι. Ἔτσι, ἀφοῦ χειροτονήθηκε ὁ 'Ιωάννης, ἀρχίζει νά φροντίζει γιά τά ἐκκλησιαστικά πράγματα, κάνοντας ἀρχή ἀπό τόν ἔλεγχο τῶν πιστῶν μέ τό λογικό ποιμενικό αὐλό[19]. Σπάνια ὅμως, μεταχειριζόμενος καί τήν ἐλεγκτική ῥάβδο, στρέφει τό λόγο ἐναντίον τῆς προσποιητῆς ἀδελφικῆς ζωῆς, στήν πραγματικότητα ὅμως, ἐναντίον τῆς αἰσχρῆς κακοήθειας ἐκείνων πού ὀνομάζονται συνείσακτες[20], ἀποδεικνύοντας πώς στήν ἐκλογή τῶν κακῶν καλύτεροι εἶναι ἐκεῖνοι πού τρέφουν πόρνες. Γιατί ἐκεῖνοι πού κατοικοῦν μακριά ἀπό τήν ἐκκλησία, εἶναι οἱ ἴδιοι ἐκεῖνοι πού ἐπιθυμοῦν τήν ἀρρώστια· αὐτοί ὅμως πού κατοικοῦν μέσα στό ἐργαστήριο τῆς σωτηρίας, προσκαλοῦν στήν ἀρρώστια καί τούς ὑγιεῖς ἀκόμη. Ἔτσι πιέζονται οἱ κληρικοί ἐκεῖνοι πού δέν ἀγαποῦν τό Θεό, ἀφοῦ φλογίζονται ἀπό τό πάθος τῆς πορνείας. Στή συνέχεια στρέφεται ἐναντίον τῆς ἀδικίας, καταστρέφοντας τήν ἕδρα τῶν κακῶν, τήν πλεονεξία, γιά νά βάλει τά θεμέλια τῆς δικαιοσύνης. Γιατί αὐτό εἶναι γνώρισμα τῶν ἔμπειρων ἀρχιτεκτόνων, πρῶτα δηλαδή νά καταστρέψουν τήν οἰκοδομή τῆς ψευτιᾶς καί ὕστερα νά βάλουν τό θεμέλιο τῆς ἀλήθειας, ὅπως λέγεται στόν προφήτη· «Σέ τοποθέτησα πάνω ἀπό ἔθνη καί βασιλεῖες νά ξερριζώνεις καί νά φυτεύεις πάλι, καί νά κατεδαφίζεις καί νά κτίζεις πάλι»[21]· τό πρῶτο λέγεται σάν νά πρόκειται γιά γεωργό καί τό δεύτερο σάν νά πρόκειται γιά κτίστη.

'Απ' αὐτό ταράσσονται πάλι ἐκεῖνοι πού ἀποβλέπουν στόν πλοῦτο. Ἔπειτα φροντίζει γιά τή δίαιτά τους, παρακαλώντας ν' ἀρκοῦνται στά δικά τους φαγητά καί νά μήν ἐπιζητοῦν τά πλούσια τραπέζια τῶν πλούσιων, ὥστε, ἔχοντας ὁδηγό τόν καπνό τῶν τραπεζιῶν, νά μήν παραδοθοῦν στή φλόγα τῆς ἀκολασίας, ἐπιζητώντας τή ζωή τῶν κολάκων καί τῶν παρασίτων. 'Απ' ἐκεῖ προέρχονται οἱ περισσότεροι κοιλιόδουλοι καί ἀναμειγνύονται μέ τούς καλύτερους κακολόγους. Ὕστερα ἐξετάζει τά βιβλία τοῦ οἰκονόμου καί βρίσκει δαπάνες πού δέν ὠφελοῦν τήν ἐκκλησία· προστάζει νά μήν ἐκτελεσθεῖ ἡ πίστωσή τους. Ἔρχεται στό μέρος τῶν δαπανῶν τῆς ἐπισκοπῆς καί βρίσκει πάρα πολύ μεγάλη σπατάλη καί δίνει διαταγή νά μεταφερθεῖ ἡ

σαν μέ ἐγκρατεῖς ἄγαμους ἄνδρες καί κληρικούς ἤ μοναχούς γιά μεγαλύτερη ἄσκηση. 21. 'Ιερ. 1, 10.

εἰς τὸ νοσοκομεῖον. Περιττευούσης δὲ τῆς χρείας, κτίζει πλείονα νοσοκομεῖα, προσκαταστήσας δύο τῶν εὐλαβῶν πρεσβυτέρων, ἔτι μὴν καὶ ἰατροὺς καὶ μαγείρους καὶ χρηστοὺς τῶν ἀγάμων ἐργάτας τούτοις εἰς ὑπηρεσίαν· ὥστε τοὺς ἐπιχω-
5 ριάζοντας ξένους καὶ ὑπὸ νόσου ληφθέντας (μάλιστα δὲ τὴν ἱερὰν καλουμένην) τυγχάνειν ἐπιμελείας, καὶ δι' αὐτὸ τὸ καλὸν καὶ διὰ τὴν τοῦ Σωτῆρος δόξαν. Μετὰ τοῦτο προσκαλεῖται τὸ τῶν χηρῶν τάγμα, ἐμπερινοστῶν ἐν αὐταῖς τὰς οὐκ ὀρθῶς ἀναστρεφομένας, καὶ εὑρὼν φιλοσάρκους τινὰς παρή-
10 νει ἢ νηστείαν ἀναλαβεῖν ἀπεχομένας βαλανείων καὶ περιέργων ἱματίων, ἢ θᾶττον χωρεῖν ἐπὶ δεύτερον γάμον, ἵνα μὴ ὑβρίζηται ὁ νόμος ὁ τοῦ Κυρίου.

Μετὰ τοῦτο παρεκάλει τοὺς δήμους προσκαρτερεῖν ταῖς νυκτεριναῖς λιτανείαις, τὰς δὲ τούτων γυναῖκας οἴκοι μένειν,
15 ἐν ἡμέρᾳ προσευχομένας παρακαλῶν, διὰ τὸ μὴ σχολάζειν ἐν ἡμέρᾳ τοὺς ἄνδρας. Ταῦτα δὲ πάντα ἐλύπει τοὺς ἀμελεστέρους τοῦ κλήρου παννύχιον καθεύδειν συνειθισμένους. Μετὰ τοῦτο ἥπτετο τοῦ ἐλεγκτικοῦ ξίφους κατὰ τῶν πλουσίων, τέμνων τὰ τῆς ψυχῆς ἀποστήματα, ἀτυφίαν αὐτοὺς ἐκδιδά-
20 σκων, μετριοφρονοῦντας πρὸς τοὺς λοιποὺς ἀνθρώπους, ἀποστολικῷ πειθόμενος λόγῳ, τῷ πρὸς Τιμόθεον φερομένῳ· «Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι». Τούτων οὖν οὕτως ἐχόντων, καὶ τῆς ἐκκλησίας ὁσημέραι ἐπὶ τὸ κρεῖττον
25 ἀνθούσης, πάσης τῆς πόλεως εἰς εὐσέβειαν μεταχρωσθείσης, σωφροσύνῃ καὶ ψαλμῳδίᾳ τῶν ψυχῶν γεγανωμένων, οὐκ ἤνεγκεν ὁ μισόκαλος δαίμων τὸν δρασμὸν τῶν ὑπ' αὐτοῦ κρατουμένων, οὓς ἀπέστησεν ὁ λόγος τοῦ Κυρίου διὰ τῆς Ἰωάννου διδασκαλίας· ὡς τοὺς ἱππομανεῖς καὶ θεατροσκό-
30 πους, καταλιμπάνοντας τὰς αὐλὰς τοῦ διαβόλου, δρομαίως χωρεῖν ἐπὶ τὴν μάνδραν τοῦ Σωτῆρος ἔρωτι τῆς σύριγγος τοῦ φιλοπροβάτου ποιμένος.

ΚΕΦΑΛΑΙΟΝ S´

Ἐκ τούτου προκαταλαμβάνει φθόνος τὰς διανοίας τῶν

22. Α´ Τιμ. 6, 17.

πολυτέλεια αὐτή στό νοσοκομεῖο. 'Επειδή ὅμως αὐξάνονταν οἱ ἀνάγκες, χτίζει περισσότερα νοσοκομεῖα καί διόρισε προϊσταμένους δύο εὐσεβεῖς πρεσβυτέρους, καί ἀκόμη καί ἰατρούς καί μαγείρους καί χρηστούς ἄγαμους ὑπηρέτες, ὥστε νά φροντίζουν τούς ξένους πού σύχναζαν στήν πόλη καί τούς ἔπιανε κάποια ἀρρώστια (καί πρό πάντων αὐτή πού ὀνομάζεται ἱερή), καί γι' αὐτό τό καλό, ἀλλά καί γιά τή δόξα τοῦ Σωτήρα. Ἔπειτα κάλεσε νά ἔρθουν σ' αὐτόν οἱ χῆρες ἀναζητώντας ἀνάμεσα σ' αὐτές ποιές δέ συμπεριφέρονται σωστά, καί βρίσκοντας μερικές φιλήδονες τίς συμβούλευε ἤ ν' ἀρχίσουν νηστεία ἀπέχοντας ἀπό τά λουτρά καί τά περίεργα ροῦχα, ἤ νά προχωρήσουν γρήγορα στό δεύτερο γάμο, γιά νά μή βλασφημεῖται ὁ νόμος τοῦ Κυρίου.

Ἔπειτα παρακαλοῦσε τούς ἄνδρες νά παρακολουθοῦν μέ καρτερία τίς νυχτερινές λιτανεῖες καί τίς γυναῖκες τους νά μένουν στό σπίτι, παρακαλώντας αὐτές νά προσεύχονται τήν ἡμέρα, ἐπειδή δέν εἶχαν εὐκαιρία οἱ ἄνδρες νά προσεύχονται στή διάρκεια τῆς ἡμέρας. Ὅλα αὐτά ἐνοχλοῦσαν τούς πιό ἀδιάφορους κληρικούς πού ἦταν συνηθισμένοι νά κοιμοῦνται ὅλη τή νύχτα. Ὕστερα ἀπ' αὐτό ἀσχολήθηκε μέ τόν ἔλεγχο τῶν πλούσιων, κόβοντας τά ἀποστήματα τῆς ψυχῆς, διδάσκοντας σ' αὐτούς τήν ταπεινοφροσύνη καί νά εἶναι μετριόφρονες πρός τούς ἄλλους ἀνθρώπους, ἀκολουθώντας τόν ἀποστολικό λόγο πού λέγεται πρός τόν Τιμόθεο· «Σ' αὐτούς, πού εἶναι πλούσιοι στήν παρούσα ζωή, παράγγελλε νά μήν ἔχουν μεγάλη ἰδέα γιά τόν ἑαυτό τους, οὔτε νά στηρίζουν τίς ἐλπίδες τους στήν ἀβεβαιότητα τοῦ πλούτου»[22]. 'Ενῶ λοιπόν ἔτσι εἶχαν τά πράγματα καί ἡ 'Εκκλησία καθημερινά πήγαινε στό καλύτερο, ἀφοῦ ὅλη ἡ πόλη μεταστράφηκε στήν εὐσέβεια καί οἱ ψυχές ἐνισχύονταν ἀπό τή σωφροσύνη καί τίς ψαλμωδίες, δέν ἄντεξε ὁ ἐχθρός τοῦ καλοῦ δαίμονας τή φυγή τῶν ὀπαδῶν του, τούς ὁποίους ἀπομάκρυνε ὁ λόγος τοῦ Κυρίου μέ τή διδασκαλία τοῦ 'Ιωάννη, γιατί ἐκεῖνοι πού ἀγαποῦσαν ὑπερβολικά τίς ἱπποδρομίες καί τά θέατρα, ἐγκαταλείποντας τίς αὐλές τοῦ διαβόλου, ἔτρεχαν γρήγορα στή μάνδρα τοῦ Σωτήρα ἀπό ἀγάπη γιά τόν αὐλό τοῦ φίλου τῶν προβάτων ποιμένα.

ΚΕΦΑΛΑΙΟ Ϛ΄

'Εξ' αἰτίας τοῦ γεγονότος αὐτοῦ κυριεύει ὁ φθόνος πρῶτα τίς

μισθωτῶν ποιμένων ἐλεγχομένων ἐκ τοῦ παραλλήλου. Μὴ δυνηθέντες δὲ αὐτοῦ περιγενέσθαι διὰ τὸ μὴ ἐπικαλέσασθαι τὸν καταλυτὴν τοῦ φθόνου Σωτῆρα, πλέκουσι διαβολὰς κατὰ τοῦ Ἰωάννου, μεταποιήσαντες αὐτοῦ τινας ὁμιλίας εἰς ὕθλους
5 *κατὰ τῆς βασιλίσσης καὶ ἑτέρων τῶν ἐν τῇ αὐλῇ τοῦ βασιλέως. Συνέβη δὲ κατ' ἐκεῖνο καιροῦ ἐπιστάντα Ἀκάκιον, τὸν ἐπίσκοπον Βεροίας, ἀστοχῆσαι, ὡς ἔλεγεν, καταγωγίου καλοῦ· καὶ λυπηθεὶς ἐπὶ τούτῳ, ὀργῇ ὑπετυφοῦτο ὡς καταφρονηθεὶς ὑπὸ τοῦ Ἰωάννου. Ἀκατασχέτοις δὲ λογισμοῖς ἡττηθεὶς*
10 *ἐκφέρει λόγον ἄλογον, «ἐκ τοῦ περισσεύματος τῆς καρδίας», ἄξιον τῆς αὐτοῦ διανοίας, ἐπί τινων κληρικῶν Ἰωάννου εἰπών· «Ἐγὼ αὐτῷ ἀρτύω χύτραν». Ἐξαυτῆς οὖν συγκλωσθεὶς Σευηριανῷ καὶ Ἀντιόχῳ καὶ Ἰσαακίῳ Συρίσκῳ, περιτρίμματι, ἀφηγητῇ ψευδομοναζόντων, ἐν κακολογίαις κατα-*
15 *τριβέντι πάντοτε κατὰ ἐπισκόπων, σκέπτονται δωρακίζεσθαι δῆθεν μὲν κατὰ Ἰωάννου, τὸ δ' ἀληθὲς κατὰ τῆς δόξης τοῦ Σωτῆρος. Ἀποστείλαντες δὲ πρῶτον εἰς τὴν Ἀντιοχέων ζητοῦσι νεότητος αὐτοῦ πλημμελείας. Ὡς δὲ «ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσεις», καὶ οὐχ εὗρον οὐδέν, ἀποστέλλου-*
20 *σιν εἰς τὴν Ἀλεξάνδρειαν πρὸς τὴν εὐχέρειαν Θεοφίλου, καλουμένου Ἀμφαλλάξ, τὰ τοιαῦτα σοφῶς ἀρχιτεκτονοῦντος· ὅς, ἐξαυτῆς ἀναπτύξας αὐτοῦ τὰ τῆς διανοίας βιβλία μετὰ πολλῆς τῆς ληστρικῆς ἡσυχίας, ἠρεύνα ζητῶν τρόπον προφάσεως κἂν τῆς τυχούσης.*
25 *Ο ΔΙΑΚ. Ἐπίσχες, ὦ πάτερ, τῶν λόγων τὴν ῥύμην, πρὶν ἐπιλήσομαι, ἵνα σοι εἴπω τὴν ἀπὸ Ἀλεξανδρείας διαβᾶσαν πρὸς ἡμᾶς καὶ θρυληθεῖσαν αἰτίαν. Φασὶ γὰρ ὅτι καθαιρεθέντας κληρικοὺς ὑπὸ Θεοφίλου ἐδέξατο Ἰωάννης εἰς κοινωνίαν, λυπήσας τὸν Θεόφιλον, ὅπερ οὐκ ἔδει· ὡς ἐκ τούτου*
30 *διενεχθέντα αὐτὸν χωρῆσαι κατὰ τοῦ Ἰωάννου.*

Ο ΕΠΙΣΚ. Δῶμεν ἀληθῆ εἶναι τὸν εἰρημένον θρῦλον· καὶ ἐπισκόπου ἐστί, κακὸν ἰᾶσθαι κακῷ; καὶ ποῦ τὸ εὐαγγελικὸν ἐκεῖνο τὸ λέγον, «Μὴ ἐπιδυέτω ὁ ἥλιος ἐπὶ τῷ παροργισμῷ ὑμῶν»; ποῦ δὲ τὸ ἀποστολικόν, «Νίκα τὸ κακὸν ἐν τῷ ἀγαθῷ»;

---

1. Πρόκειται γιά τή βασίλισσα Εὐδοξία. 2. Ματθ. 12, 34.
3. Κατά λέξη, Τοῦ ἑτοιμάζω τσουκάλι, δηλ. τοῦ ἑτοιμάζω τό λάκκο του, τήν καταστροφή του.

ψυχές τῶν χωρίς ζῆλο ἐπισκόπων, ἀφοῦ ὁ 'Ιωάννης τούς ἔλεγχε καί αὐτούς παράλληλα. 'Επειδή ὅμως δέν μπόρεσαν νά τόν κατανικήσουν, γιατί δέν ἐπικαλέσθηκαν τό Σωτῆρα πού ἐξολοθρεύει τό φθόνο, πλέκουν συκοφαντίες ἐναντίον τοῦ 'Ιωάννη, μετατρέποντας μερικές ὁμιλίες του σέ κατηγορίες ἐναντίον τῆς βασίλισσας[1] καί ἄλλων προσώπων τῆς αὐλῆς τοῦ βασιλιᾶ. Συνέβηκε ἐκείνη τήν ἐποχή νά ἔρθει ὁ 'Ακάκιος, ὁ ἐπίσκοπος τῆς Βέροιας, χωρίς νά ἐπιτύχει, ὅπως ἔλεγε, καλό δωμάτιο στό πατριαρχεῖο, καί δυσαρεστημένος γι' αὐτό, ὀργιζόταν σάν νά περιφρονήθηκε ἀπό τόν 'Ιωάννη. Καί ἀφοῦ κυριεύτηκε ἀπό ἀκατάσχετες σκέψεις, προφέρει παράλογο λόγο «ἀπό ἐκείνους πού ἦταν γεμάτη ἡ ψυχή του»[2], ἄξιο τῆς διάνοιάς του, ἐνώπιον μερικῶν κληρικῶν τοῦ 'Ιωάννη λέγοντας· «'Εγώ θά τοῦ προετοιμάσω ὄλεθρο»[3]. 'Αμέσως λοιπόν ἐνώθηκε μέ τό Σευηριανό καί τόν 'Αντίοχο καί τόν 'Ισαάκιο τό Συρίσκο, πού ἦταν ἄνθρωπος εὐτελής καί ἀφηγοῦνταν τά σκάνδαλα τῶν ψευτομοναχῶν καί περνοῦσε τόν καιρό του πάντοτε μέ συκοφαντίες ἐναντίον τῶν ἐπισκόπων, καί ἀποφασίζουν νά ἐξοπλισθοῦν δῆθεν ἐναντίον τοῦ 'Ιωάννη, στήν πραγματικότητα ὅμως ἐναντίον τῆς δόξας τοῦ Σωτῆρα. Ἔστειλαν ἀνθρώπους τους πρῶτα στήν 'Αντιόχεια καί ζήτησαν νά μάθουν τά ἁμαρτήματα τοῦ 'Ιωάννη στή νεανική του ἡλικία. Μόλις ὅμως «κουράσθηκαν νά ψάχνουν αὐτά»[4], καί δέ βρῆκαν τίποτε, στέλνουν στήν 'Αλεξάνδρεια πρός τήν ἐπιδεξιότητα τοῦ Θεοφίλου, πού ὀνομαζόταν 'Ανεμοδείχτης καί σχεδίαζε μέ πανουργία παρόμοιες ἐνέργειες. Αὐτός ἀφοῦ ἄνοιξε ἀμέσως τά βιβλία τῆς σκέψης του μέ ἀπόλυτη ληστρική σιωπή, ἔψαχνε νά βρεῖ κάποια δικαιολογία ἔστω καί παραμικρή.

Ο ΔΙΑΚ. Σταμάτα, πάτερ, τήν ὁρμή τῶν λόγων, πρίν ξεχάσω, γιά νά σοῦ πῶ τήν αἰτία πού ἀπό τήν 'Αλεξάνδρεια πέρασε σέ μᾶς καί διαδόθηκε. Λέγουν λοιπόν, ὅτι ὁ 'Ιωάννης δέχθηκε σ' ἐκκλησιαστική κοινωνία κληρικούς πού καθαίρεσε ὁ Θεόφιλος, δυσαρεστώντας αὐτόν, πράγμα πού δέν ἔπρεπε νά συμβεῖ. Αὐτό ἦταν ἡ ἀφορμή τῆς φιλονικίας τοῦ Θεοφίλου καί στράφηκε ἐναντίον τοῦ 'Ιωάννη.

Ο ΕΠΙΣΚ. Ἄς δεχθοῦμε ὅτι εἶναι ἀληθινή ἡ φήμη αὐτή· καί στόν ἐπίσκοπο ἁρμόζει, νά θεραπεύει τό κακό μέ κακό; Καί ποῦ εἶναι τά εὐαγγελικά ἐκεῖνα λόγια πού λέγουν· «Νά μή βασιλεύει ὁ ἥλιος ὅταν ὀργίζεστε μεταξύ σας»[5]; καί ποῦ τά ἀποστολικά· «Νά νικᾶς τό κακό μέ τό ἀγαθό»[6]; καί ποῦ τά προφητικά· «Μήπως ἀνταπέδωσα σ'

4. Ψαλμ. 63, 7. 5. 'Εφ. 4, 26. 6. Ρωμ. 12, 21.

ποῦ δὲ τὸ προφητικόν, «Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά»; εἶτα οὐκ ἦν φιλονεικότερον εἰπεῖν ἐγκαλοῦντα ἐπὶ εὐλαβῶν ἐπισκόπων, «Ἀδελφὲ Ἰωάννη, παρῆλθέν σε πεποιηκότα τὸ ἢ τό»; καὶ τὸν Ἰωάννην ἀπολογησάμενον, ἠγνοηκέναι 5 τὸ πρᾶγμα;

Ο ΔΙΑΚ. Ἀληθὲς εἴρηκας, εἴ γέ τις ἦν ἐν αὐτῷ καλοθέλεια, καὶ μὴ κατεσχηματίζετο τὴν τῶν κληρικῶν αἰτίαν, τὴν οἰκείαν ὀργὴν ἐκπληρῶν.

Ο ΕΠΙΣΚ. Νὴ τὸν φόβον τοίνυν τὸν τοῦ Θεοῦ, ὃς δεσπόζει 10 τῶν ἀπείρων φόβων, οὐκ ἐρῶ σοι ἄλλως, ἀλλ᾽ ὡς ἔχει φύσεως τὸ πρᾶγμα περὶ τούτων ὧν εἴρηκας κληρικῶν. Ἰσίδωρός τις, πρεσβύτερος ἔτι τῆς τοῦ μακαρίου Ἀθανασίου τοῦ μεγάλου χειροτονίας, ὀγδοηκοστὸν ἔτος ἄγων τὴν ἡλικίαν (ὃν ἴσασι Ῥωμαίων οἱ πλεῖστοι, ἐκκλησιαστικῶν ἕνεκεν, εἰσβαλόντα εἰς 15 αὐτήν, ξενοδόχον Ἀλεξανδρείας ὄντα· οἶσθα δὲ καὶ αὐτὸς τὸν ἄνδρα, ἡνίκα σὺν Ἀκακίῳ ἐλθὼν τὴν Φλαβιανοῦ πρὸς Θεόφιλον κοινωνίαν ἐκόμισεν εἴκοσι ἔτεσιν ἀπεσχοινισμένην Εὐαγρίου ἕνεκεν τοῦ μακαρίου, τοῦ πολλοὺς ἀγῶνας ἀγωνισαμένου ἐν ἐκκλησιαστικοῖς πόνοις)· τούτῳ τοίνυν τῷ Ἰσιδώρῳ 20 γυνή τις χήρα τῶν μεγιστάνων δίδωσι χιλίους χρυσίνους, ὁρκώσασα αὐτὸν κατὰ τῆς τοῦ Σωτῆρος τραπέζης συναγοράσαντα ἄμφια ἐνδῦσαι τὰς πτωχοτέρας τῶν Ἀλεξανδρέων, μὴ μεταδόντα γνώσεως τῷ Θεοφίλῳ, ἵνα μὴ λαβὼν αὐτὰ τοῖς λίθοις προσαναλώσῃ (λιθομανία γάρ τις αὐτὸν Φαραώνιος 25 ἔχει εἰς οἰκοδομήματα, ὧν οὐδαμῶς χρῄζει ἡ ἐκκλησία). Καὶ τὰ μὲν τοιαῦτα ἐν δευτέρῳ κείσθω· τὸ δὲ κατεπεῖγον περὶ τοῦ Ἰσιδώρου ἄκουσον.

Λαβὼν τοιγαροῦν ὁ Ἰσίδωρος τὰ νομίσματα ἀναλίσκει ταῖς πενομέναις καὶ ταῖς χήραις. Ἔγνω ποθὲν ὁ Θεόφιλος 30 (οὐδὲν γὰρ αὐτῷ ἐλάνθανε τῶν πανταχοῦ πραττομένων ἢ λαλουμένων, ἔχοντι ἐργοσκόπους καὶ λογοσκόπους, ἵνα μὴ ἄλλως εἴπω), καὶ προσκαλεῖται τὸν Ἰσίδωρον, μετριοπαθῶς πυνθανόμενος, εἰ ταῦθ᾽ οὕτως ἔχει. Οὐκ ἀρνησάμενος ὡμολόγησε τὴν τοῦ πράγματος διακονίαν. Ὁ δὲ ἀκούσας τὴν 35 σκηνὴν ἐναλλάσσει, καὶ ὁ πρὸ ῥοπῆς ἐπιεικὴς καὶ χρηστοφανὴς ἐν τῇ ἐρωτήσει, μετὰ τὴν ῥοπὴν οἴδησεν ὅλος, τὰς μορφὰς ἐναλλάττων, τῆς ἀποκρίσεως εἰσελθούσης τοῦ Ἰσιδώρου. Καὶ

αὐτούς πού μοῦ ἀνταπέδωσαν κακά»[7]; Ἔπειτα δέν ἦταν προτιμότερο νά πεῖ ὁ κατήγορος ἐνώπιον εὐλαβῶν ἐπισκόπων· «Ἀδελφέ Ἰωάννη, ἀπό παραδρομή ἔκαμες αὐτό καί αὐτό»; καί ὁ Ἰωάννης ἀφοῦ ἀπολογοῦνταν, νά μή γνώριζε τό πράγμα;

Ο ΔΙΑΚ. Τήν ἀλήθεια εἶπες, ἄν βέβαια εἶχε αὐτός κάποια καλή διάθεση καί δέν ἄλλαζε τήν καταγγελία τῶν κληρικῶν, ἱκανοποιώντας ἔτσι τήν ὀργή του.

Ο ΕΠΙΣΚ. Μά τό φόβο λοιπόν τοῦ Θεοῦ, ὁ ὁποῖος ἐξουσιάζει τούς ἄπειρους φόβους, δέ θά σοῦ πῶ διαφορετικά, ἀλλ' ὅπως ἔχει πραγματικά ἡ ὑπόθεση γιά τούς κληρικούς πού εἶπες. Ἦταν κάποιος Ἰσίδωρος, πρεσβύτερος ἀκόμη ἀπό τή χειροτονία τοῦ μακαρίου Ἀθανασίου τοῦ μεγάλου, στό ὀγδοηκοστό ἔτος τῆς ἡλικίας του (πού τόν γνωρίζουν οἱ περισσότεροι Ρωμαῖοι, ὅταν ἦρθε στή Ρώμη γιά ἐκκλησιαστικές ὑποθέσεις, ἐνῶ ἦταν ὁ ξενοδόχος τῆς Ἀλεξάνδρειας· γνωρίζεις καί ἐσύ ὁ ἴδιος τόν ἄνδρα, ὅταν ἦρθε μαζί μέ τόν Ἀκάκιο καί μετέφερε τή συμφιλίωση τοῦ Φλαβιανοῦ πρός τό Θεόφιλο, πού εἶχε διακοπεῖ γιά εἴκοσι χρόνια ἐξ αἰτίας τοῦ μακαρίου Εὐαγρίου, ὁ ὁποῖος ἀγωνίσθηκε σέ πολλούς ἐκκλησιαστικούς ἀγῶνες). Σ' αὐτόν λοιπόν τόν Ἰσίδωρο κάποια γυναίκα, χήρα τῶν μεγιστάνων, ἔδωσε χίλια χρυσά νομίσματα, ὁρκίζοντας αὐτόν στήν ἁγία Τράπεζα ν' ἀγοράσει ροῦχα καί νά ντύσει τίς φτωχότερες γυναῖκες τῆς Ἀλεξάνδρειας, χωρίς νά ἐνημερώσει τό Θεόφιλο, γιά νά μήν τά πάρει καί τά ξοδέψει στίς πέτρες (γιατί τόν εἶχε κυριέψει, ὅπως καί τό Φαραώ, κάποια λιθομανία γιά οἰκοδομήματα, τά ὁποῖα δέ χρειάζεται καθόλου ἡ Ἐκκλησία -αὐτά βρίσκονται σέ δεύτερη μοίρα· ἄκουσε ὅμως αὐτό πού ἐπείγει γιά τόν Ἰσίδωρο).

Ὅταν πῆρε λοιπόν ὁ Ἰσίδωρος τά νομίσματα, τά ξοδεύει γιά τίς φτωχές γυναῖκες καί τίς χῆρες. Ἔμαθε ἀπό κάπου ὁ Θεόφιλος (γιατί τίποτε δέν τοῦ ξέφευγε τήν προσοχή ἀπ' ὅσα γίνονταν ἤ λέγονταν παντοῦ, ἀφοῦ εἶχε κατασκόπους -γιά νά μήν πῶ διαφορετικά), καί καλεῖ τόν Ἰσίδωρο, ἐρωτώντας μέ μαλακό τρόπο νά μάθει, ἐάν πραγματικά ἔτσι συμβαίνει. Αὐτός χωρίς ν' ἀρνηθεῖ ὁμολόγησε τήν ἐκτέλεση αὐτοῦ τοῦ ἔργου. Καί ὁ Θεόφιλος ὅταν ἄκουσε, ἔστρεψε ἀλλοῦ τή σκηνή, καί αὐτός πού πρίν τήν ἀλλαγή ἦταν πρᾶος καί φαινόταν καλός ὅταν ἐρωτοῦσε, μετά τήν ἀλλαγή φούσκωσε ὁλόκληρος ἀλλάζοντας μορφές, ὅταν ἦρθε ἡ ἀπάντηση τοῦ Ἰσιδώρου. Καί

7. Ψαλμ. 7, 5.

μικρὸν ἐφησυχάσας χρόνον, καθάπερ λαθροδάκτης κύων, μετὰ δύο μῆνας προφέρει χαρτίον, συγκροτήσας τὸ ἱερατεῖον, παρόντος τοῦ Ἰσιδώρου λέγων, ὅτι «Τοῦτο ἐδεξάμην πρὸ δέκα ὀκτὼ ἐτῶν, Ἰσίδωρε, κατὰ σοῦ· Καὶ ἐπειδὴ περιάσχολος ἐγενόμην, λήθη παρέδωκα τὸ πρᾶγμα. Νῦν δὲ ἑτέρους ἐπιζητῶν χάρτας, εὕρηκα τοῦτο τὸ περὶ σοῦ χαρτίον. Ἀπολόγησαι πρὸς αὐτό». Περιεῖχεν δὲ ὁ χάρτης ἔγκλημα τὸ Σοδόμων. Πρὸς ταῦτα ὁ Ἰσίδωρος ἀπολογούμενος λέγει τῷ Θεοφίλῳ· «Συγχωρήσωμεν ἀληθὲς εἶναι, ὅτι καὶ ἐδέξω τὸν χάρτην, καὶ παρέπεσεν, οὐκ ἦν ὁ δοὺς τὸν λίβελλον, ἵνα ἐκ δευτέρου τοῦτον ἀπαιτηθῇ;». Πρὸς ταῦτα ὁ Θεόφιλος· «Ἀλλ᾽ οὐ παρῆν ὁ παῖς, πλεύστης ὑπάρχων». Καὶ ὁ Ἰσίδωρος· «Οὐ παρῆν πάραυτα, ὡς λέγεις, πάπα; μετὰ τὸν πλοῦν οὐ παρῆν; τῷ δευτέρῳ ἔτει οὐ παρῆν, οὐδὲ τῷ τρίτῳ; καὶ νῦν εἰ πάρεστι, κέλευσον στῆναι τὸν ἄνθρωπον».

Πρὸς ταῦτα ὁ Θεόφιλος, ὑπ᾽ αὐτῆς τῆς ἀληθείας μέλλων εὐκαταφρόνητος γίνεσθαι, ἀναβάλλεται εἰς ἡμέραν ἑτέραν. Καὶ λιπαρήσας τινὰ νεανίσκον ὑποσχέσεσι πολλαῖς, ἤλειψεν εἰς κατηγορίαν κατὰ τοῦ Ἰσιδώρου, δοὺς αὐτῷ, ὥς φασι, πεντεκαίδεκα χρυσίνους· ὃς ἐξαυτῆς ἀνατίθεται τῇ μητρί. Ἡ δὲ τοῦτο μὲν οὐ κατεδέξατο ὑπὸ τοῦ ἀκλινοῦς ὀφθαλμοῦ, τοῦτο δὲ ὑπὸ τοῦ δέους τῶν νόμων ἀνατραπεῖσα, ἐνθυμουμένη μήποτε ὁ Ἰσίδωρος συκοφαντηθεὶς ἐκκαλέσηται ἐπὶ τὸν ἄρχοντα τῶν δήμων, ἐλθοῦσα ὁμολογεῖ τὴν δραματουργίαν τῷ Ἰσιδώρῳ, δείξασα αὐτῷ τοὺς χρυσίνους, οὓς ἔλεγεν παρὰ τῆς ἀδελφῆς Θεοφίλου εἰληφέναι, «μισθὸν κατὰ τοῦ ἀθῴου». Καὶ αὐτὴ μὲν διὰ πολλὰ ἐξαιρέτως δὲ διὰ τοῦτο τὴν ἀξίαν τίσασα ποινὴν τελευτᾷ, τοὺς μαστοὺς χειρουργουμένη. Πρὸς ταῦτα ὁ Ἰσίδωρος ἔμενεν οἴκοι τὸν Θεὸν ἱκετεύων. Ὁ δὲ νεανίσκος, τὸ μὲν τοὺς νόμους φοβούμενος, τὸ δὲ τὸν Θεόφιλον δεινότερον ἐννοῶν τῇ ἀστοχίᾳ, ἐπὶ τὸ λυσιτελὲς καταφεύγει τεῖχος, τὴν ἐκκλησίαν, προσφυγὼν τῷ θυσιαστηρίῳ. Οὕτως ὁ Θεόφιλος κωφῇ τῇ δίκῃ ἀποκηρύττει τὸν Ἰσίδωρον τῆς ἐκκλησίας ἀνήκεστα ἐπιφημίσας, σχηματισάμενος σεμνοπρέπειαν τῇ ἀδικίᾳ.

Πρὸς τούτοις δείσας ὁ Ἰσίδωρος μήποτε χαλεπωτέρῳ τῷ

8. Ψαλμ. 14, 5.

ἀφοῦ ἡσύχασε γιά λίγο χρόνο, σάν τό ὕπουλο σκυλί, ὕστερα ἀπό δύο μῆνες παρουσιάζει ἔγγραφο, ἀφοῦ συγκάλεσε τό ἱερατεῖο, ἐνῶ ἦταν παρών ὁ 'Ισίδωρος, λέγοντας, ὅτι «Τό ἔλαβα αὐτό πρίν ἀπό δεκαοχτώ χρόνια, 'Ισίδωρε, ἐναντίον σου· ἐπειδή ὅμως ἤμουν πολυάσχολος, ξέχασα τήν ὑπόθεση. Τώρα ὅμως ἐπιζητώντας ἄλλα ἔγγραφα, βρῆκα αὐτό τό ἔγγραφο πού ἀφορᾶ ἐσένα. 'Απολογήσου γι' αὐτό». Περιεῖχε τό ἔγγραφο τήν κατηγορία τῶν Σοδόμων. Σ' αὐτά ὁ 'Ισίδωρος ἀπολογήθηκε λέγοντας στό Θεόφιλο· «Ἄς δεχθοῦμε πώς εἶναι ἀλήθεια, ὅτι καί τό ἔγγραφο ἔλαβες καί ὅτι παρέπεσε, δέν ὑπῆρχε αὐτός πού ἔδωσε τό λίβελλο, γιά νά τόν ἀναζητήσει γιά δεύτερη φορά;» Σ' αὐτά ὁ Θεόφιλος ἀπάντησε· «Δέν ἦταν παρών ὁ νέος, γιατί ταξίδευε μέ πλοῖο». Καί ὁ 'Ισίδωρος· «Δέν ἦταν παρών ἐκείνη τή στιγμή, ὅπως λέγεις, πάπα· δέν ἦταν μετά τό ταξίδι; δέν ἦταν τό δεύτερο χρόνο, οὔτε τόν τρίτο; καί τώρα ἐάν εἶναι παρών, δῶσε διαταγή νά παρουσιασθεῖ ὁ ἄνθρωπος».

Στή συνέχεια ὁ Θεόφιλος, καθώς ἐπρόκειτο ἀπό τήν ἴδια τήν ἀλήθεια νά γίνει ἀξιοκαταφρόνητος, ἀναβάλλει τήν ὑπόθεση γι' ἄλλη ἡμέρα. Καί ἱκετεύοντας κάποιο νεαρό μέ ὑποσχέσεις πολλές, τόν πρότρεψε νά κατηγορήσει τόν 'Ισίδωρο, ἀφοῦ τοῦ ἔδωσε δεκαπέντε χρυσά νομίσματα, ὅπως λέγουν. Αὐτός ἀμέσως παραδίνει τά νομίσματα στή μητέρα του. Αὐτή ὅμως δέν τά δέχθηκε εἴτε γιατί τήν ἀπέτρεψε ὁ φόβος τοῦ Θεοῦ, εἴτε γιατί τήν ἀπέτρεψε ὁ φόβος τῶν νόμων, ἐπειδή σκέφθηκε μήπως κάποτε ὁ 'Ισίδωρος, ἄν συκοφαντήθηκε, τήν προσκαλέσει στό δήμαρχο, ἀφοῦ ἦρθε σ' αὐτόν τοῦ ὁμολογεῖ τή σκηνοθεσία, δείχνοντας στόν 'Ισίδωρο τά χρυσά νομίσματα, τά ὁποῖα ἔλεγε ὅτι εἶχε λάβει ἀπό τήν ἀδελφή τοῦ Θεοφίλου, «μισθό ἐναντίον τοῦ ἀθώου»[8]. Καί ἡ ἀδελφή τοῦ Θεοφίλου γιά πολλά ἄλλα αἴτια, ἐξαιρετικά ὅμως γι' αὐτό, πληρώνοντας μέ τήν ἀνάλογη ποινή πεθαίνει μέ τήν ἀποκοπή τῶν μαστῶν της. Ἔπειτα ὁ 'Ισίδωρος ἔμενε στό σπίτι ἱκετεύοντας τό Θεό. Καί ὁ νεαρός, εἴτε γιατί φοβήθηκε τούς νόμους, εἴτε γιατί φαντάσθηκε τό Θεόφιλο φοβερότερο ἐξ αἰτίας τῆς ἀποτυχίας του, καταφεύγει στό χρήσιμο τεῖχος, τήν ἐκκλησία, προσφεύγοντας στήν ἁγία Τράπεζα. Ἔτσι ὁ Θεόφιλος ἐρήμην ἀποκηρύσσει τόν 'Ισίδωρο ἀπό τήν 'Εκκλησία ἀναφέροντας φοβερά πράγματα καί σχηματίζοντας γιά τόν ἑαυτό του συμνοπρέπεια ἀπό τήν ἀδικία.

Ὕστερα ἀπ' αὐτά, ἐπειδή ὁ 'Ισίδωρος φοβήθηκε μήπως ὁ

θυμῷ πιεσθεὶς ὁ Θεόφιλος σκέψηται κατ' αὐτοῦ ἐνέδραν τῆς σωτηρίας (φθάνει γάρ, ὥς φασι, καὶ μέχρι τούτων), δρομαῖος χωρεῖ ἐπὶ τὸ ὄρος τὸ τῆς Νιτρίας πρὸς τὸ τάγμα τῶν μοναχῶν, ἔνθα τὰς τῆς νεότητος ἠσκήκει διατριβάς· καὶ καθίσας ἐν τῷ
5 *κελλίῳ αὐτοῦ προσηύχετο τῷ μακροθύμῳ Θεῷ ἐντυγχάνων. Ἐπὶ τούτοις τὸ ἀπρεπὲς καὶ ἄδηλον συνειδὼς ἑαυτῷ τῆς νίκης ὁ Θεόφιλος πέμπει γράμματα πρὸς τοὺς σύνεγγυς ἐπισκόπους, καὶ κελεύει τινὰς τῶν πρώτων ῥιφῆναι τοῦ ὄρους καὶ τῆς ἐνδοτέρας ἐρήμου, τοὺς ἐπὶ κεφαλῆς μοναχούς, οὐκ*
10 *ἐπαγαγὼν τὴν αἰτίαν. Οἵτινες μοναχοὶ σὺν τοῖς πρεσβυτέροις κατελθόντες εἰς τὴν Ἀλεξάνδρειαν παρεκάλουν τὸν Θεόφιλον εἰπεῖν τὴν αἰτίαν, δι' ἣν κατεδικάσθησαν ῥιφῆναι. Ὁ δὲ ὑφαίμοις ὀφθαλμοῖς δρακοντῶδες ἐνατενίσας ταυρηδὸν ὑπεβλέπετο, ποτὲ μὲν πελιδνός, ποτὲ δὲ ὠχρός, ποτὲ δὲ καὶ*
15 *σαρκάζων, ὑπ' ἀκράτου ὀργῆς φερόμενος· ἐνειλεῖ τῷ Ἀμμωνίῳ, ἀνδρὶ ἡλικιώτῃ, τὸ ὠμοφόριον ἐν τῷ τραχήλῳ οἰκείαις χερσί, καὶ πληγὰς ταῖς σιαγόσιν αὐτοῦ ἐμφορήσας, συνεσπασμένοις δακτύλοις αἱμάξας αὐτοῦ τὰς ῥῖνας, ἐπιψοφῶν τῇ φωνῇ· «Αἱρετικέ, ἀναθεμάτισον Ὠριγένην»· μηδενὸς προκει-*
20 *μένου πλὴν τῆς ἀξιώσεως ἕνεκεν Ἰσιδώρου. Τοιοῦτον γὰρ οἱ θυμοί, καθάπερ οἱ κύνες, τυφλὰ τίκτουσι καὶ τὰ πράγματα καὶ τὰ ῥήματα. Οὕτως οὖν αἱματόφυρτοι καὶ ἀναπόκριτοι ὑποστρέψαντες εἰς τὰς μονὰς αὐτῶν, εἴχοντο τῆς προκειμένης ἀσκήσεως, τῇ μαθήσει τὴν φύσιν ὀξύναντες, δι' ὧν ἡ σωτηρία*
25 *προσγίνεται, ἔλαττον φροντίσαντες τῆς τούτου μανίας, τῷ μηδὲν ἑαυτοὺς συνειδέναι κακόν.*

ΚΕΦΑΛΑΙΟΝ Ζ΄

Πρὸς τούτοις οὐκ ἠρεμήσας ὁ Θεόφιλος ἀποστέλλει πρὸς τοὺς ἐκ γειτόνων ἐπισκόπους, καὶ συγκροτεῖ κατὰ τῶν μονα-
30 *χῶν συνέδριον· οὔτε δὲ καλέσας αὐτοὺς εἰς ἀπολογίαν, οὔτε μεταδοὺς λόγου, ἀποκηρύττει τρεῖς ἄνδρας τοὺς ἐπ' ἐξοχῆς (φοβηθεὶς ἀθρόως κατὰ τοῦ πλήθους ἐξενεγκεῖν τὴν τιμω-*

9. Ὁ Ἀμμώνιος ἦταν ἕνας ἀπό τούς τέσσερις ὀνομαστούς Μακρούς Ἀδελφούς.

Θεόφιλος παρακινούμενος ἀπό χειρότερο θυμό σχεδιάσει ἐναντίον του ἐπιβουλή τῆς ζωῆς του (γιατί φθάνει, ὅπως λέγουν, καί μέχρι σ' αὐτά), ἀναχωρεῖ γρήγορα γιά τό βουνό τῆς Νιτρίας πρός τό τάγμα τῶν μοναχῶν, ὅπου εἶχε ἀσκηθεῖ τόν καιρό τῆς νεότητά του, καί μένοντας στό κελλί του προσευχόταν παρακαλώντας τό μακρόθυμο Θεό. Ἔπειτα ὁ Θεόφιλος ἀναγνωρίζοντας τό αἰσχρό καί ἀβέβαιο τῆς νίκης του στέλνει γράμματα στούς κοντινούς ἐπισκόπους, καί δίνει ἐντολή νά διώξουν ἀπό τό βουνό καί τό ἐσωτερικό τῆς ἐρήμου μερικούς ἀπό τούς πρώτους μοναχούς, δηλαδή τούς προϊστάμενους μοναχούς, χωρίς ν' ἀναφέρει τήν αἰτία. Αὐτοί οἱ μοναχοί μαζί μέ τούς πρεσβυτέρους κατέβηκαν στήν Ἀλεξάνδρεια καί παρακαλοῦσαν τό θεόφιλο νά τούς πεῖ τήν αἰτία, γιά τήν ὁποία καταδικάσθηκαν νά ἐξορισθοῦν. Αὐτός ὅμως μέ μάτια γεμάτα θυμό ἀφοῦ τούς κοίταξε μοχθηρά, τούς ἔβλεπε σάν ταῦρος ἔχοντας στραμμένα τά μάτια του πρός τά κάτω, ἄλλοτε μαυροκίτρινος, ἄλλοτε κίτρινος, καί ἄλλοτε σαρκάζοντας, παρασυρόμενος ἀπό παράφορη ὀργή· μέ τά χέρια του περιτυλίγει τό ὠμοφόριο στό λαιμό τοῦ Ἀμμωνίου[9], πού ἦταν συνομήλικός του, τόν χτύπησε στά σαγόνια καί μέ γροθιές τοῦ μάτωσε τή μύτη, φωνάζοντας μέ δύναμη· «Αἱρετικές, ἀναθεμάτισε τόν Ὠριγένη», χωρίς νά ὑπάρχει καμιά αἰτία ἐκτός ἀπό τήν ἐκτίμησή του ἐξ αἰτίας τοῦ Ἰσιδώρου. Γιατί τέτοιοι εἶναι οἱ θυμοί, γεννοῦν τυφλά παιδιά, ὅπως τά σκυλιά, καί τά λόγια δηλαδή καί τίς πράξεις. Ἔτσι λοιπόν αἱμόφυρτοι καί χωρίς ἀπάντηση ἐπέστρεψαν στά μοναστήρια τους καί ἐπιδόθηκαν στή συνηθισμένη τους ἄσκηση, ἐνισχύοντας μέ τή μάθηση τή φύση τους, μέ τίς ὁποῖες ἔρχεται ἡ σωτηρία, φροντίζοντας ἐλάχιστα γιά τή μανία τοῦ Θεοφίλου, ἐπειδή δέν ἀναγνώριζαν νά εἶχαν κάμει κανένα κακό.

ΚΕΦΑΛΑΙΟ Ζ΄

Ἔπειτα ὁ Θεόφιλος χωρίς νά ἡσυχάσει, στέλνει πρόσκληση στούς γειτονικούς ἐπισκόπους καί συγκροτεῖ σύνοδο ἐναντίον τῶν μοναχῶν. Καί χωρίς νά τούς καλέσει αὐτούς σέ ἀπολογία καί χωρίς νά τούς εἰδοποιήσει, ἀφορίζει τρεῖς ἐξέχοντες ἄνδρες[1] (ἐπειδή φοβήθηκε ν' ἀνακοινώσει τήν τιμωρία συγχρόνως ἐναντίον ὅλων τῶν μοναχῶν), μέ τήν πρόφαση τῆς παραφθορᾶς τῶν δογμάτων. Καί αὐτούς πού πολλές

1. Τούς Ἀμμώνιο, Εὐσέβιο καί Εὐθύμιο, τούς τρεῖς ἀπό τούς τέσσερις Μακρούς Ἀδελφούς.

ρίαν), σχηματισάμενος δογμάτων παραφθοράν. Καὶ οὓς πολλάκις ὑπὲρ ἐπισκόπων ἐτίμησεν ὡς διδασκάλους διὰ τὸν βίον, διὰ τὸν λόγον, διὰ τὸν χρόνον, τούτους οὐκ ᾐδέσθη γόητας ὀνομάζων διὰ τὴν πρὸς Ἰσίδωρον σχέσιν. Καὶ μετὰ τὸ
5 *ἀποκηρῦξαι, ἐξ αὐτοῦ τοῦ ὄρους ἀλείφει ἀνθρωπάρια πέντε, ἃ μηδέποτε ἐν συλλόγῳ τῶν τῆς ἐρήμου γερόντων ἔστησαν -ὀκνῶ, λέγειν ἀνάξια καὶ θυρωρίου· καὶ τὸν μὲν χειροτονεῖ ἐπίσκοπον, ἐγκατατάξας κωμυδρίῳ, πόλιν οὐκ ἔχων (ἀδεῶς γὰρ καὶ τὰς καινοτομίας εἰργάζετο, ἄλλον ἑαυτόν Μωϋσέα*
10 *ὀνομάζων), τὸν δὲ πρεσβύτερον, τοὺς δὲ τρεῖς διακόνους, οὐκ ὄντας τῶν Αἰγυπτίων, ἀλλὰ διαφόρων τόπων (ὁ μὲν γὰρ ἦν Λίβυς, ὁ δὲ Ἀλεξανδρεύς, ὁ δὲ Φαρανίτης, ὁ δὲ Παραλεώτης). Διὸ καὶ ὑπήκουσαν αὐτοῦ τῇ ματαιοπονίᾳ, τὸ ἀνέλπιστον ἔχοντες τῶν τῆς πατρίδος ἐνεχύρων. Καὶ παρασκευάζει αὐ-*
15 *τοὺς δοῦναι λιβέλλους κατὰ τῶν τριῶν ἐκείνων, αὐτὸς ὑφάνας τοὺς λόγους τῆς συκοφαντίας, τούτων μόνον συνεισενεγκάντων τὸ ὑπογράψαι.*

Μετὰ τοῦτο λαβὼν τοὺς λιβέλλους παρ' αὐτῶν ἐπὶ τῆς ἐκκλησίας εἰσέρχεται πρὸς τὸν αὐγουστάλιον καὶ ἀποτίθεται
20 *κατ' αὐτῶν ἐντυχίαν ἐκ προσώπου οἰκείου ὁ ἀρχιερεὺς τῆς Αἰγυπτιακῆς διοικήσεως, συμπλέξας καὶ τοὺς τῆς συκοφαντίας λιβέλλους, καὶ ἀξιοῖ στρατιωτικῇ βοηθείᾳ ῥιφῆναι τοὺς ἄνδρας ἀπὸ πάσης Αἰγύπτου. Λαβὼν δὲ σχήματι τὸν στρατιώτην, ἅμα τῷ προστάγματι, συναδροίζει πλῆθος πλημμελῶν*
25 *εὐκόλως περὶ τὰς ἀξίας, καὶ ἐπισκιρτᾷ τοῖς μοναστηρίοις ἀθρόᾳ νυκτί, οἰνοφλυγήσας τοὺς παῖδας τοὺς σὺν αὐτῷ. Καὶ πρῶτον μὲν τὸν τούτων ἀδελφὸν Διόσκορον, ἅγιον ἐπίσκοπον ὄντα τοῦ ὄρους, κελεύει τοῦ θρόνου ῥιφῆναι, συρέντα δι' οἰκετῶν Αἰθιόπων, καὶ αὐτῶν τάχα ἀκμὴν ἀφωτίστων, λαβὼν*
30 *αὐτοῦ τὴν παροικίαν, ἣν ἀπὸ τῆς παρουσίας Χριστοῦ εἶχεν ἡ τοῦ Διοσκόρου πόλις. Μετὰ τοῦτο λαφυραγωγεῖ τὸ ὄρος, μισθὸν τοῖς νεωτέροις τὰ μικρὰ πράγματα τῶν μοναχῶν διδούς. Σκυλεύσας δὲ τὰς κέλλας ἐπιζητεῖ τοὺς τρεῖς ἐκείνους, οὓς κεχαλάκεισαν ἐν φρέατι, ψίαθον ἐπιθέντες τῷ*
35 *στομίῳ· μὴ εὑρὼν δὲ αὐτοὺς ἐμπίπρησιν αὐτῶν φρυγάνοις τὰς κέλλας, συγκαύσας τὰς βίβλους πάσας ἐνδιαθέτους καὶ*

φορές τίμησε περισσότερο ἀπό ἐπισκόπους σάν διδασκάλους γιά τή ζωή τους, γιά τό κήρυγμά τους, γιά τήν ἡλικία τους, αὐτούς δέν ντράπηκε νά τούς ὀνομάσει ἀπατεῶνες, ἐξ αἰτίας τῆς φιλίας τους μέ τόν Ἰσίδωρο. Καί μετά τόν ἀφορισμό, ἑτοιμάζει ἀπ' αὐτό τό βουνό πέντε ἀσήμαντους ἀνθρώπους, οἱ ὁποῖοι ποτέ δέν πῆραν μέρος σέ συνέλευση τῶν γερόντων τῆς ἐρήμου -παραλείπω νά πῶ πώς ἦταν ἀνάξιοι καί γιά τό ἀξίωμα τοῦ θυρωροῦ σέ μοναστήρι· καί τόν ἕνα χειροτονεῖ ἐπίσκοπο τοποθετώντας τον σέ χωριό, ἐπειδή δέν εἶχε πόλη (ἀφοῦ καινοτομοῦσε χωρίς φόβο, ὀνομάζοντας τόν ἑαυτό του ἄλλο Μωϋσῆ), τόν ἄλλο πρεσβύτερο, καί τούς ἄλλους τρεῖς διακόνους, ἐπειδή δέν ἦταν Αἰγύπτιοι, ἀλλ' ἀπό διάφορους τόπους (ὁ ἕνας ἦταν Λίβυος, ὁ ἄλλος Ἀλεξανδρινός, ὁ ἄλλος Φαρανίτης καί ὁ ἄλλος Παραλεώτης). Γι' αὐτό καί ὑπάκουσαν στήν παρανομία του, ἀφοῦ ἀπό τίς ἐγγυήσεις τῆς πατρίδας τους δέν εἶχαν ἐλπίδες νά γίνουν κληρικοί. Καί τούς προετοιμάζει νά δώσουν κατηγορητήρια ἔγγραφα ἐναντίον τῶν τριῶν αὐτῶν μοναχῶν ἐξυφαίνοντας αὐτός τούς λόγους τῆς συκοφαντίας, ἐνῶ αὐτοί θά πρόσθεταν μόνο τήν ὑπογραφή τους.

Μετά ἀπ' αὐτό, ἀφοῦ πῆρε τούς λιβέλλους ἀπ' αὐτούς μπροστά στούς ἐκκλησιαζόμενους, ἐπισκέπτεται τόν αὐγουστάλιο καί καταθέτει ὁ ἀρχιερέας τῆς ἐπαρχίας τῆς Αἰγύπτου ἐναντίον αὐτῶν αἴτηση δίκη του, συνδέοντας καί τούς συκοφαντικούς λιβέλλους καί ἀξιώνει ν' απομακρυνθοῦν οἱ ἄνδρες αὐτοί ἀπ' ὅλη τήν Αἴγυπτο μέ στρατιωτική βοήθεια. Παίρνοντας ὅμως σάν πρόσχημα τό στρατιώτη, συγχρόνως μέ τήν προσταγή συγκεντρώνει πολλούς, ἐπειδή εὔκολα ἐκτρεπόταν ἐναντίον τῶν ἀξιῶν, καί ἐφορμᾶ στά μοναστήρια μέσα στή νύχτα, ἀφοῦ μέθυσε τούς ὀπαδούς του αὐτούς. Καί πρῶτα διατάζει τόν ἀδελφό αὐτῶν Διόσκουρο[2], τόν ἅγιο ἐπίσκοπο τοῦ ὄρους, ν' ἀπομακρυνθεῖ ἀπό τήν ἕδρα του, καί νά συρθεῖ βίαια ἀπό Αἰθίοπες δούλους -οἱ ὁποῖοι δῆθεν δέν ἦταν ἀκόμη Χριστιανοί, καταργώντας τήν παροικία του, τήν ὁποία ἀπό τήν παρουσία τοῦ Χριστοῦ εἶχε ἡ πόλη τοῦ Διοσκόρου. Ὕστερα λαφυραγωγεῖ τό ὄρος, δίνοντας τά μικρά πράγματα τῶν μοναχῶν σάν μισθό στούς νεαρούς. Ἀφοῦ γύμνωσε τά κελλιά ἀναζητεῖ ἐκείνους τούς τρεῖς, τούς ὁποίους εἶχαν κατεβάσει σ' ἕνα πηγάδι, τοποθετώντας μία ψάθα στό ἄνοιγμά του. Ἐπειδή ὅμως δέν τούς βρῆκε αὐτούς, καίει μέ ξερά κλαδιά τά κελιά τους, καίοντας μαζί ὅλα τά βιβλία τους πού ἦταν κρυμμένα καί

2. Ὁ Διόσκουρος ἦταν ὁ τέταρτος ἀπό τούς ὀνομαστούς Μακρούς Ἀδελφούς.

σπουδαίας, καὶ παιδίον ἕν, ὡς ἔφασαν οἱ ἑωρακότες, καὶ τὰ σύμβολα τῶν μυστηρίων.

Οὕτως οὖν λωφήσας τῆς ἀλόγου ὀργῆς καταλαμβάνει πάλιν τὴν Ἀλεξάνδρειαν, δοὺς χώραν φυγῆς τοῖς ἁγίοις 5 ἐκείνοις· οἵτινες ἐξαυτῆς λαβόντες αὐτῶν τὰς μηλωτὰς ἐξέρχονται εἰς τὴν Παλαιστίνην, Αἰλίαν καταλαβόντες· οἷς συνεξῆλθον σὺν πρεσβυτέροις καὶ διακόνοις τοῦ ὄρους τριακόσιοι τῶν μοναχῶν σπουδαίων, οἱ δ' ἕτεροι διαφόροις διεσπάρησαν τόποις. Τούτων μὴ φέρων τὴν ἰδιοπραγίαν «ὁ σκολιὸς» τὸν 10 δρόμον «ὄφις» ἀνασείει πάλιν κατ' αὐτῶν τὸν Θεόφιλον· ὃς ἀναβρασθεὶς ὑπὸ τῆς ὀργῆς χαράσσει γράμματα πρὸς τοὺς τῆς Παλαιστίνης ἐπισκόπους, λέγων· «Οὐκ ἔδει μὲν ὑμᾶς παρὰ γνώμην μου ἐν ταῖς πόλεσιν ὑποδέξασθαι τούτους· ἐπειδὴ δὲ ἠγνοήσατε, συγγνώμην ὑμῖν νέμω. Τοῦ λοιποῦ 15 τοίνυν φροντίσατε, μήτε εἰς ἐκκλησιαστικόν, μήτε εἰς ἰδιωτικὸν τούτους ὑποδέξασθαι τόπον». Οὐ μόνον λέγων, ἀλλὰ καὶ φανταζόμενος εἶναι θεός, τῇ ὑπερβολῇ τῆς οἰήσεως.

Οἱ δὲ ὑπὸ τῆς πολλῆς ἀνάγκης φερόμενοι, διὰ τὸ τόπους ἐκ τόπων ἀμείβειν, καταλαμβάνουσι τὸ στρατόπεδον, ἔνθα 20 ἐνεθρόνιστο ὁ ἐπίσκοπος Ἰωάννης ὑπὸ τῆς θείας χειρὸς εἰς ἐπιμέλειαν τῶν δυναστευόντων· καὶ προσπεσόντες αὐτοῦ τοῖς γόνασιν, ἐδέοντο βοηθῆσαι ψυχαῖς συκοφαντουμέναις καὶ λεηλατουμέναις ὑπὸ τῶν τοῦτο μᾶλλον ἢ εὖ ποιεῖν εἰθισμένων. Ἔστη ὁ Ἰωάννης καὶ εἶδεν πεντήκοντα λογάδων ἀνδρῶν 25 πολιὰν πόνοις ἱεροῖς βαφεῖσαν στολὴν ἠμφιεσμένην, καὶ δριμυχθεὶς φιλαδελφίας πάθει, κατὰ τὸν Ἰωσήφ, δάκρυσι συνεσχέθη, πυνθανόμενος παρ' αὐτῶν, ποῖος «ὗς ἐκ δρυμοῦ ἢ μονιὸς ἄγριος τῇ» πολυκάρπῳ «ταύτῃ ἀμπέλῳ» ἐβάσκηνεν. Οἱ δέ φασιν· «Καθίσας, πάτερ, μότωσον ἡμᾶς οὐχ ὡς ἔτυχεν 30 τρωθέντας τῇ Θεοφίλου τοῦ πάπα μανίᾳ, εἰ ἄρα δυνηθείης συνουλῶσαι ἡμῶν τὰ τῶν τραυμάτων οἰδήματα· ἐὰν γὰρ καὶ αὐτὸς ἡμᾶς παραλογίσῃ, ἢ αἰδεσθεὶς ἢ φοβηθεὶς τὸν Θεόφιλον κατὰ τοὺς λοιποὺς ἐπισκόπους, οὐδὲν λοιπὸν παρ' ἡμῶν ὑστερεῖται ἢ τῷ βασιλεῖ προσελθόντας ἀναδιδάξαι τὰς αὐτοῦ 35 κακοπραγίας ἐπὶ ὕβρει τῆς ἐκκλησίας. Εἰ τοίνυν φροντίζεις τῆς ἐκκλησιαστικῆς ὑπολήψεως, ἐπινεύσας πεῖσον αὐτὸν

3. Τό 136 μ.Χ. ὁ Ἀδριανός ὀνόμασε τήν Ἱερουσαλήμ Αἰλία Καπιτωλίνα. (Εὐσεβίου, Ἐκκλ. Ἱστ. 4, 6).

σπουδαῖα, καί ἕνα παιδί, ὅπως εἶπαν οἱ αὐτόπτες μάρτυρες, καί τά σκεύη τῶν μυστηρίων.

Ἔτσι λοιπόν καταπραΰνοντας τήν παράλογη ὀργή του, φθάνει πάλι στήν Ἀλεξάνδρεια, ἀφοῦ ἔδωσε στούς ἁγίους ἐκείνους ἄδεια νά φύγουν. Αὐτοί παίρνοντας ἀμέσως τίς μοναχικές τους μηλωτές φεύγουν στήν Παλαιστίνη καί ἐγκαταστάθηκαν στήν Αἰλία[3]. Μ' αὐτούς ἔφυγαν μαζί μέ τούς πρεσβυτέρους καί διακόνους τοῦ ὄρους τριακόσιοι ἀξιόλογοι μοναχοί καί οἱ ἄλλοι διασκορπίσθηκαν σέ διάφορους τόπους. Ὁ διεστραμμένος διάβολος ὅμως δέν μποροῦσε νά ὑποφέρει τήν πράξη τους καί ξεσηκώνει πάλι ἐναντίον τους τό Θεόφιλο, ὁ ὁποῖος βράζοντας ἀπό ὀργή γράφει γράμματα στούς ἐπισκόπους τῆς Παλαιστίνης λέγοντας· «Δέν ἔπρεπε βέβαια ἐσεῖς, ἀντίθετα ἀπό τή γνώμη μου, νά τούς δεχθεῖτε στίς πόλεις σας αὐτούς· ἐπειδή ὅμως δέν ξέρατε, σᾶς δίνω συγγνώμη. Στό μέλλον λοιπόν φροντίστε νά μήν τούς δεχθεῖτε οὔτε σέ ἐκκλησιαστικό οὔτε σέ ἰδιωτικό χῶρο». Ὄχι μόνο ἔλεγε αὐτά, ἀλλά καί φανταζόταν ὅτι εἶναι Θεός, ἀπό τήν ὑπερβολική του ἀλαζονεία.

Οἱ ἄλλοι ὅμως πιεζόμενοι ἀπό τή μεγάλη ἀνάγκη, ἐπειδή πήγαιναν ἀπό τόπο σέ τόπο, φθάνουν στήν πρωτεύουσα, ὅπου εἶχε ἐνθρονισθεῖ ἀπό τή θεία πρόνοια, ὁ ἐπίσκοπος Ἰωάννης γιά νά ἐπιβλέπει τούς ἄρχοντες, καί ἀφοῦ ἔπεσαν στά γόνατά του, τόν παρακαλοῦσαν νά βοηθήσει ἀνθρώπους πού συκοφαντήθηκαν καί λεηλατήθηκαν ἀπό ἐκείνους πού ἔχουν συνηθίσει περισσότερο νά κάνουν αὐτό παρά τό καλό. Σηκώθηκε ὁ Ἰωάννης καί εἶδε πενήντα ἐπίλεκτους γέροντες μέ ἄσπρα μαλλιά, πού εἶχαν ἀσπρίσει ἀπό τούς ἱερούς κόπους, καί ἀφοῦ τόν κατέλαβε δυνατά τό πάθος τῆς ἀγάπης, δάκρυσε, σύμφωνα μέ τή διήγηση τοῦ Ἰωσήφ[4], καί ζήτησε νά μάθει ἀπ' αὐτούς ποιός «ἀγριόχοιρος τοῦ δάσους ἤ λύκος» ἔβλαψε τό εὔφορο «αὐτό ἀμπέλι»[5]. Καί αὐτοί ἀπάντησαν· «Κάθισε, πάτερ, καί βάλε μας ἐπιδέσμους, ἐπειδή μᾶς τραυμάτισε πολύ ἡ μανία τοῦ πάπα Θεοφίλου, μήπως καί μπορέσεις νά μᾶς ἐπουλώσεις τό πρήξιμο τῶν τραυμάτων μας. Ἐάν λοιπόν καί ἐσύ μᾶς παραπλανήσεις, εἴτε ἀπό σεβασμό εἴτε ἀπό φόβο πρός τό Θεόφιλο ὅπως καί οἱ ἄλλοι ἐπίσκοποι, τίποτε δέ μᾶς μένει στή συνέχεια παρά νά πᾶμε στό βασιλιά καί νά τοῦ ἐξηγήσουμε τίς κακές τους πράξεις πού ἦταν ὑβριστικές γιά τήν Ἐκκλησία. Ἐάν λοιπόν φροντίζεις γιά τήν ὑπόληψη τῆς Ἐκκλησίας, ἀφοῦ δεχθεῖς πεῖσε αὐτόν νά μᾶς ἐπιτρέψει νά ἐγκατασταθοῦμε στήν Αἴγυπτο, ἀφοῦ δέ

4. Βλ. Γεν. 45, 1-2. 5. Ψαλμ. 79, 14-15.

συγχωρῆσαι ἡμῖν τὴν οἴκησιν τὴν ἐν Αἰγύπτῳ, μηδὲν ἐπταικόσι μήτε εἰς τὸν νόμον τοῦ Σωτῆρος, μήτε εἰς αὐτὸν ἐκεῖνον».

Ἐπὶ τούτοις νομίσας ὁ Ἰωάννης εὐχερῶς μεταβάλλειν τὴν Θεοφίλου πρὸς αὐτοὺς μνησικακίαν, ἡδέως ἥρπασεν τὸ 5 *πρᾶγμα· παρακαλέσας δὲ τοὺς ἄνδρας φιλοθέῳ σιγῇ πρὸς πάντας ἡσυχάσαι τὴν αἰτίαν τῆς παρουσίας, «μέχρι οὗ ἀποστείλω πρὸς τὸν ἀδελφὸν Θεόφιλον». Καὶ δοὺς αὐτοῖς ἐν τῇ Ἀναστασίᾳ καλουμένῃ ἐκκλησίᾳ μονὰς πρὸς τὴν ἀνάπαυσιν, αὐτὸς μὲν οὐκ ἐπεκούρει τὰ πρὸς τὴν χρείαν· γυναῖκες δὲ* 10 *φιλόθεοι ἐπήρκουν αὐτοῖς τὴν δίαιταν, καὶ αὐτῶν συνεισφερόντων ἐκ μέρους τῇ τῶν χειρῶν ἐργασίᾳ. Συνέβη οὖν κατ' ἐκεῖνο καιροῦ κληρικοὺς εἶναι τοῦ Θεοφίλου ἐν τῇ Κωνσταντινουπόλει, προαγοράζοντας τῶν χειροτονουμένων ἀρχόντων τὰς προαγωγὰς ἐν τῇ Αἰγυπτιακῇ διοικήσει, τὰς εἰς αὐτὸν* 15 *εὐνοίας περιποιουμένους ἐπ' ὀλέθρῳ τῶν αὐτὸν λυπούντων. Προσκαλεσάμενος οὖν αὐτοὺς ὁ Ἰωάννης ἐπυνθάνετο, εἰ ἐπίστανται τοὺς παρόντας ἀσκητάς. Οἱ δὲ φιλαλήθως ἐμαρτύρησαν τοῖς ἀνδράσι, λέγοντες τῷ Ἰωάννῃ, ὅτι «Καὶ ἴσμεν αὐτούς, καὶ μεγάλην ὑπέστησαν βίαν. Καὶ εἰ βούλει, δέσποτα,* 20 *τῆς μὲν πνευματικῆς κοινωνίας αὐτοῖς μὴ μεταδῷς, ἵνα μὴ λυπήσῃς τὸν πάπαν, φιλοφρόνησαι δὲ ἐν τοῖς ἄλλοις, πρέπει γάρ σοι, ὡς ἐπισκόπῳ».*

Οὕτως ὁ Ἰωάννης οὐκ ἐδέξατο μὲν αὐτοὺς εἰς κοινωνίαν, γράφει δὲ λιπαρῶν τῷ Θεοφίλῳ· «Ταύτην μοι παράσχου τὴν 25 *χάριν ὡς τέκνῳ σῷ καὶ ἀδελφῷ, ἐναγκαλισάμενος τοὺς ἄνδρας». Πρὸς τούτοις ὁ Θεόφιλος τὴν μὲν χάριν οὐ παρέσχεν τῷ Ἰωάννῃ, ἀποστέλλει δέ τινας περισεσυρμένους εἰς λογικὰς ἁμίλλας (περὶ ὧν προείπομεν ἀνωτέρω) καὶ παρασκευάζει δεήσεις αὐτοὺς ἐπιδοῦναι, ἃς συνήθως αὐτὸς ὑπηγόρευσεν,* 30 *περιεχούσας μὲν ψεῦδος ὡμολογημένον, ἠμφιεσμένον δὲ τὴν πολυσχιδῆ συκοφαντίαν τὴν ἐν τοῖς ἀοράτοις, μηδὲν ἔχων αὐτῶν διαβάλλειν τὸν βίον· καὶ παρασκευάζει αὐτοὺς ἐν τῷ παλατίῳ ὡς γόητας δακτυλοδεικτεῖσθαι. Ὡς δὲ εἶδον οἱ ἀσκηταί, ὅτι οὐ μόνον αὐτὸν οὐ διορθοῦνται, ἀλλὰ καὶ εἰς* 35 *ὀργὴν πλείονα κινοῦσιν, ἀξιώτας αὐτῷ προσάγοντες πολλούς, μετὰ τοῦ ἀναθεματίζειν πᾶσαν ψευδοδοξίαν, ἐπιδιδόασι λι-*

6. Κυρίως γιά ὠριγενισμό.

φταίξαμε καθόλου οὔτε ἀπέναντι στό νόμο τοῦ Χριστοῦ, οὔτε σ' ἐκεῖνον τόν ἴδιο».

Ὕστερα ἀπ' αὐτά νομίζοντας ὁ Ἰωάννης ὅτι εὔκολα θά μεταβάλει τή μνησικακία τοῦ Θεοφίλου πρός αὐτούς, ἀνέλαβε μέ εὐχαρίστηση τήν ὑπόθεση, καί παρακάλεσε αὐτούς μέ θεοσεβή σιγή πρός ὅλους νά παρασιωπήσουν τήν αἰτία τῆς παρουσίας τους, «μέχρι πού θά στείλω γράμμα στόν ἀδελφό Θεόφιλο». Καί τούς ἔδωσε δωμάτια, γι' ἀνάπαυση στό ναό τῆς ἁγίας Ἀναστασίας, ἀλλά δέν τούς χορηγοῦσε τά ἀναγκαῖα τρόφιμα. Θεοσεβεῖς ὅμως γυναῖκες ἐφοδίαζαν σ' αὐτούς τή διατροφή, ἐνῶ οἱ μοναχοί πρόσφεραν ἕνα μέρος ἀπό τήν ἐργασία τῶν χεριῶν τους. Συνέβηκε λοιπόν ἐκεῖνο τόν καιρό νά βρίσκονται στήν Κωνσταντινούπολη κληρικοί τοῦ Θεοφίλου, οἱ ὁποῖοι ἀγόραζαν ἀπό πρίν τίς προαγωγές τῶν διοριζόμενων διοικητῶν στήν ἐπαρχία τῆς Αἰγύπτου, κερδίζοντας ἔτσι τή συμπάθεια αὐτῶν πρός τό Θεόφιλο γιά βλάβη τῶν ἐχθρῶν του. Ἀφοῦ τούς κάλεσε αὐτούς ὁ Ἰωάννης ζήτησε νά μάθει, ἄν γνωρίζουν τούς παρόντες ἀσκητές. Καί αὐτοί μέ φιλαλήθεια βεβαίωσαν γιά τούς μοναχούς, λέγοντας στόν Ἰωάννη, ὅτι «Καί τούς γνωρίζουμε, καί ὑπέφεραν πολλές διώξεις. Καί ἄν θέλεις, δέσποτα, στέρησέ τους τήν πνευματική ἐπικοινωνία, γιά νά μή στενοχωρήσεις τόν πάπα, νά φέρεσαι ὅμως μέ φιλική διάθεση στά ἄλλα πράγματα -γιατί ἔτσι πρέπει νά κάνεις, σάν ἐπίσκοπος».

Ἔτσι ὁ Ἰωάννης δέ δέχθηκε αὐτούς σ' ἐπικοινωνία καί γράφει παρακαλώντας στό Θεόφιλο· «Κάμε μου αὐτή τή χάρη σάν τέκνο σου καί ἀδελφό σου, ν' ἀγκαλιάσεις αὐτούς τούς ἄνδρες». Ἔπειτα ἀπ' αὐτό ὁ Θεόφιλος δέν ἔκαμε τή χάρη στόν Ἰωάννη, ἀλλά στέλνει μερικούς πού ἦταν ἐξασκημένοι σέ συζητήσεις (γιά τούς ὁποίους εἴπαμε παραπάνω) καί τούς προετοιμάζει νά δώσουν στόν Ἰωάννη ἀναφορές, τίς ὁποῖες κατά τή συνήθεια αὐτός τίς ὑπαγόρευσε, πού περιεῖχαν ψέμα ὁμολογημένο καί στολισμένο μέ πολλές συκοφαντίες γιά ἀόρατες κακές συνήθειες[6], ἀφοῦ δέν μποροῦσε σέ τίποτε νά διαβάλλει τή ζωή τους· καί κατορθώνει νά τούς δακτυλοδείχνουν στό παλάτι σάν ἀπατεῶνες. Μόλις εἶδαν οἱ ἀσκητές, ὅτι ὄχι μόνο δέ σωφρονίζουν τό Θεόφιλο, ἀλλά καί σέ μεγαλύτερη ὀργή τόν παρακινοῦν, παρουσιάζοντας πολλούς ἀξιόπιστους μάρτυρες στόν Ἰωάννη, μαζί μέ τό ὅτι ἀναθεμάτιζαν κάθε κακοδοξία, τοῦ ἐπιδίδουν λιβέλλους γιά συζήτηση, κάνοντας γνωστές τίς διάφορες διώξεις, μαζί μέ κάποια

βέλλους ἐντευκτικούς τῷ Ἰωάννῃ, ἀναδιδάξαντες τὰ τῆς τυραννίδος εἴδη, μετὰ καὶ κεφαλαίων τινῶν, ἃ αἰσχύνομαι ἐπὶ τῶν νηπιωτέρων τέως λέγειν, ἵνα μὴ καὶ τῆς πίστεως αὐτοὺς ἀπελάσω, ἴσως καὶ παρὰ τοῖς τελειοτέροις οὐ πιστευόμενος.

5 *Πάλιν καὶ δι' ἑαυτοῦ καὶ δι' ἑτέρων ἐπισκόπων ὁ Ἰωάννης παρακαλεῖ αὐτοὺς παύσασθαι τῆς κατ' αὐτοῦ κατηγορίας διὰ τὴν ἐκ τῆς δίκης κακοπάθειαν, γράψας τῷ Θεοφίλῳ, ὅτι «Εἰς τοσοῦτον ἠλάθησαν λύπης οἱ ἄνδρες, ὡς καὶ ἐγγράφως σου κατηγορεῖν· λοιπὸν τὸ δοκοῦν σοι ἀντίγρα-*
10 *ψον· οὐ γὰρ ἀνέχονταί μου ἀποστῆναι τοῦ στρατοπέδου». Ἐπὶ τούτοις διαπυρωθεὶς ὅλος ὁ Θεόφιλος εἴργει καὶ τὸν ἀδελφὸν τῶν μοναχῶν τῆς ἑαυτοῦ ἐκκλησίας, Διόσκορον τὸν ἐπίσκοπον, γεγηρακότα ἐν τῇ ἐκκλησίᾳ· τῷ δ' ἐπισκόπῳ Ἰωάννῃ γράφει· «Οἶμαι μέν σε μὴ ἀγνοεῖν τὸ διάταγμα τῶν*
15 *κανόνων τῶν ἐν Νικαίᾳ, ὅπου θεσπίζουσιν «ἐπίσκοπον ὑπερόριον μὴ κρίνειν δίκην»· εἰ δὲ ἀγνοεῖς, μαθὼν ἀπόσχου τῶν κατ' ἐμοῦ λιβέλλων. Εἰς γὰρ καὶ δέοι με κριθῆναι, παρὰ τῶν Αἰγυπτίων, καὶ οὐ παρὰ σοῦ ἀφεστῶτος ἑβδομήκοντα πέντε ἡμερῶν ὁδόν».*

20

ΚΕΦΑΛΑΙΟΝ Η΄

Λαβὼν τὴν ἐπιστολὴν ὁ Ἰωάννης καὶ ἀναγνούς, ταύτην μὲν ἔσχεν παρ' ἑαυτῷ, τοῖς δὲ ἀσκηταῖς ἀμφοτέρων τῶν μερῶν διελέχθη τὰ πρὸς εἰρήνην. Ἀκούσαντα δὲ ἀμφότερα τὰ μέρη ἐτραχύνθη, τὸ μὲν ὡς τετυραννημένον, τὸ δὲ ὡς οὐκ ἔχον ἄνευ
25 *Θεοφίλου τὴν τῆς εἰρήνης ἐξουσίαν, διὰ τὸ καὶ κατὰ κέλευσιν αὐτοῦ ἐπιδεδωκέναι τὰς τῆς συκοφαντίας δεήσεις. Οὕτως ὁ Ἰωάννης δοὺς αὐτοῖς ἀπόκρισιν ἀπέλυσεν τῆς ἑαυτοῦ διανοίας. Πρὸς τούτοις ἀναχωρήσαντες οἱ μοναχοὶ τοῦ μέρους τοῦ ἠδικημένου, συντάσσουσι πολυστίχους δεήσεις, ἐγγρά-*
30 *ψαντες κατὰ μὲν τῶν μοναχῶν ὡς συκοφαντῶν, κατὰ δὲ Θεοφίλου τὰ Θεοφίλου, ἵνα μὴ ἄλλως εἴπω τοσαῦτα ὅσα ἕκαστος οἶδεν. Καὶ ἐντευξάμενοι τοῖς αὐγούστοις προσέρχον-*

---

7. Κανόνας 5, γιά τίς ἐπαρχικές συνόδους. Μᾶλλον ὁ 2 κανόνας τῆς Β΄ Οἰκ. Συνόδου (381.

σημεῖα, τά ὁποῖα ντρέπομαι νά πῶ μπροστά σ' αὐτούς πού πρίν ἀπό λίγο ἦταν νήπιοι στήν πίστη, γιά νά μήν τούς ἀπομακρύνω καί ἀπό τήν πίστη ἀκόμη, ἴσως καί ἀπό τούς τελειότερους στήν πίστη νά μήν γινόμουν πιστευτός.

Πάλι ὁ 'Ιωάννης καί ὁ ἴδιος καί μέ ἄλλους ἐπισκόπους τούς παρακαλεῖ αὐτούς νά σταματήσουν τήν κατηγορία τους ἐναντίον τοῦ Θεοφίλου γιά ν' ἀποφύγουν τήν ταλαιπωρία ἀπό τή δίκη, καί ἔγραψε στό Θεόφιλο, ὅτι «Ἔφθασαν σέ τέτοιο σημεῖο λύπης οἱ ἄνδρες, ὥστε νά σέ κατηγοροῦν καί ἐγγράφως· γράψε λοιπόν τή γνώμη σου, γιατί δέν πείθονται στά λόγια μου ν' ἀπομακρυνθοῦν ἀπό τήν πρωτεύουσα». Μετά ἀπ' αὐτά ὀργισμένος τελείως ὁ Θεόφιλος ἀφορίζει καί τόν ἀδελφό τῶν μοναχῶν τῆς 'Εκκλησίας του, τόν ἐπίσκοπο Διόσκορο, πού εἶχε γεράσει μέσα στήν ἐκκλησία, καί γράφει στόν ἐπίσκοπο 'Ιωάννη· «Νομίζω πώς ἀγνοεῖς τό διάταγμα τῶν κανόνων τῆς συνόδου τῆς Νίκαιας, πού θεσπίζουν 'νά μή δικάζει κανείς ἐπίσκοπο ξένης ἐπαρχίας'[7]· ἐάν πραγματικά ἀγνοεῖς, μάθε καί ἀπόφυγε τούς ἐναντίον μου λιβέλλους. Γιατί ἄν πρέπει νά δικασθῶ, θά δικασθῶ ἀπό τούς Αἰγύπτιους ἐπισκόπους, καί ὄχι ἀπό σένα πού ἀπέχεις ἑβδομήντα πέντε ἡμέρες δρόμο».

ΚΕΦΑΛΑΙΟ Η΄

Ὅταν ἔλαβε τήν ἐπιστολή ὁ 'Ιωάννης καί τή διάβασε, τήν ἔκρυψε, καί πρός τούς ἀσκητές καί τῶν δύο μερῶν μίλησε γιά εἰρήνη. 'Αφοῦ ἄκουσαν καί τά δύο τά μέρη δυσαρεστήθηκαν, τό ἕνα ἐπειδή ἔνιωθε βασανισμένο, καί τό ἄλλο ἐπειδή χωρίς τή γνώμη τοῦ Θεοφίλου δέν εἶχε τό δικαίωμα γιά εἰρήνη, ἀφοῦ καί κατά διαταγή του εἶχε ἐπιδώσει τίς συκοφαντικές ἀναφορές. Ἔτσι ὁ 'Ιωάννης δίνοντας σ' αὐτούς ἀπάντηση τούς ἔβγαλε ἀπό τό νοῦ του. Ὕστερα ἀπ' αὐτό ἀναχώρησαν οἱ μοναχοί τῆς ἀδικημένης πλευρᾶς καί συντάσσουν μακρές ἀναφορές, γράφοντας ἐναντίον τῶν μοναχῶν ὅτι εἶναι συκοφάντες, καί ἐναντίον τοῦ Θεοφίλου τίς ἐνέργειες τοῦ Θεοφίλου -γιά νά μήν πῶ διαφορετικά τόσα πολλά ὅσα ὁ καθένας γνωρίζει. Καί καθώς πῆγαν νά συναντήσουν τούς βασιλεῖς, ἔρχονται στό ναό τοῦ ἁγίου 'Ιωάννη[1]

1. 'Ο ναός τοῦ ἁγίου 'Ιωάννη τοῦ Βαπτιστῆ, στόν ὁποῖο φυλαγόταν ἡ κάρα τοῦ ἁγίου, κτίσθηκε ἀπό τό Μ. Θεοδόσιο. Βρισκόταν κοντά στό αὐτοκρατορικό θέρετρο, τό Ἕβδομο.

ται ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου Ἰωάννου τῇ βασιλίσσῃ διηθέντες, τῶν μὲν ἀντιδίκων μοναχῶν τὴν δέησιν παρὰ τοῖς ἐπάρχοις γυμνασθῆναι, τὸν δὲ Θεόφιλον παραστάντα καὶ ἄκοντα ἐπὶ Ἰωάννου κριθῆναι. Ἐπράχθη ἡ δέησις ἔχουσα τὴν ἀπόφασιν τήνδε· «Ὥστε τὸν μὲν Θεόφιλον, παραστάντα διὰ τοῦ μαγίστρου καὶ ἑκόντα καὶ ἄκοντα, δοῦναι δίκην ἐπὶ Ἰωάννου, τοὺς δὲ Θεοφίλου μοναχοὺς ἢ συστῆναι ἑαυτοῖς ἐπὶ τοῖς ἐγκλήμασιν, οἷς κατηγόρησαν τῶν ἁγίων γερόντων, ἢ τὰ τῶν συκοφαντῶν ὑφίστασθαι».

Οὕτως οὖν εἰς μὲν τὴν Ἀλεξάνδρειαν ἀπεστάλη Ἐλάφιος, ὁ νῦν ἀπὸ πριγκίπων, διαγαγεῖν τὸν Θεόφιλον, τὴν δὲ λοιπὴν ἀπόφασιν οἱ ἔπαρχοι ἐξεβίβασαν. Γυμναζομένης δὲ τῆς δίκης καὶ εἰς ἄπορον καταληγούσης, οἱ μὲν νόμοι ἐπέκειντο ἀποστίλβοντες τὸ ξίφος, οἱ δὲ ἄθλιοι ἐκεῖνοι φοβηθέντες τὴν ἔκβασιν ὑπερτίθενται εἰς Θεόφιλον, ὡς αὐτοῦ αὐτοὺς ὑποβαλόντος καὶ τὰς δεήσεις ὑπαγορεύσαντος. Οὕτως ἡ τάξις βάλλει αὐτοὺς εἰς δεσμωτήριον μέχρι τῆς Θεοφίλου παρουσίας, μὴ ἀνασχομένη ἐπὶ τοιαύτῃ ὑποθέσει δέξασθαι ἐγγύας. Καὶ τούτων οἱ μὲν τελευτῶσιν ἐν τῇ εἱρκτῇ χρονοτριβήσαντες διὰ τὴν Θεοφίλου βραδυτῆτα, οἱ δὲ μετὰ τὴν Θεοφίλου παρουσίαν, χρήμασι τὸ πρᾶγμα ἐξευμαρίσαντος ἐν τελευταίᾳ ἐξετάσει τὴν Προκόννησον οἰκεῖν παρὰ τῶν νόμων κατεκρίθησαν ὡς συκοφάνται.

Οὕτως ὁ Θεόφιλος παραστάς, καθάπερ κάνθαρος πεφορτωμένος τῆς κόπρου τῶν ἐξ Αἰγύπτου καλλίστων καὶ αὐτῆς τῆς Ἰνδίας, ὑπὲρ δυσώδους φθόνου εὐωδίαν ἐκχέων, εἰσῄει εἰς τὴν Κωνσταντινούπολιν ἕκτην ὥραν, τῇ πέμπτῃ τοῦ σαββάτου, ὑπὸ τοῦ ναυτικοῦ κατακροτούμενος στίφους. Τὴν ἄτιμον ἀποφερόμενος δόξαν, περὶ ἧς προεῖπεν ὁ ἀπόστολος· «Ὧν ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν», ἐπενεγκών, «οἱ τὰ ἐπίγεια φρονοῦντες». Καὶ ξενίζεται ἐν σκηνώμασιν οὐ δικαίων, φυγὼν τὴν ἐκκλησίαν, ἐπιλαθόμενος τὸ Δαυειδικὸν ἐκεῖνο, «Ἐξελεξάμην παραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν»· εἰργόμενος τῆς ἐκκλη-

2. Ὁ Ἐλάφιος, πού ἦταν ὁ μάγιστρος, εἶχε τόν τίτλο τοῦ πρίγκηπα ὅταν ἔγραφε ὁ Παλλάδιος. Εἶναι γνωστός μόνο ἀπό ἐδῶ.

3. Νησί τῆς Προποντίδας, γνωστό ἀπό τήν ἀρχαιότητα γιά τά περίφημα μάρμαρά του.

παρακαλώντας τή βασίλισσα, ή άναφορά τών άντίπαλων μοναχών νά έξετασθεΐ άπό τό συμβούλιο τών έπάρχων, ένώ ό Θεόφιλος άφοῦ παραστεΐ καί χωρίς τή θέλησή του νά δικασθεΐ ένώπιον τοῦ 'Ιωάννη. Είσακούσθηκε ή αΐτησή τους μέ τήν έξῆς άπόφαση· «"Ωστε ό Θεόφιλος, άφοῦ τόν φέρει έδώ ό μάγιστρος εΐτε μέ τή θέλησή του εΐτε μέ τή βία, νά δικασθεΐ ένώπιον τοῦ 'Ιωάννη· καί οί μοναχοί τοῦ Θεοφίλου ή νά ύποστηρίξουν τούς έαυτούς τους γιά τά έγκλήματα, γιά τά όποΐα κατηγόρησαν τούς άγιους γέροντες, ή νά ύποστοῦν όσα άρμόζει στούς συκοφάντες».

Ἔτσι λοιπόν στάλθηκε στήν 'Αλεξάνδρεια ό 'Ελάφιος[2], αύτός πού τώρα είναι πρίγκηπας, νά φέρει τό Θεόφιλο, ένώ τήν άλλη άπόφαση τήν έκτελοῦσαν οί έπαρχοι. Καθώς διεξαγόταν ή δίκη καί είχε φθάσει σέ άδιέξοδο, οί νόμοι άπειλοῦσαν άστράφτοντας τό ξίφος, καί οί άθλιοι έκεΐνοι έπειδή φοβήθηκαν τό άποτέλεσμα τά έρριξαν όλα έπάνω στό Θεόφιλο, έπειδή αύτός τούς ύπέβαλε καί ύπαγόρευσε τίς άναφορές. Ἔτσι ό νόμος τούς ρίχνει αύτούς στή φυλακή μέχρι νά παρουσιασθεΐ ό Θεόφιλος, χωρίς νά έπιτρέψει νά δεχθοῦν σέ μιά τέτοια ύπόθεση έγγύηση γι' άποφυλάκιση. Καί άλλοι άπ' αύτούς πεθαίνουν στή φυλακή άφοῦ κάθισαν πολύ καιρό έξ αίτίας τῆς καθυστέρησης τοῦ Θεοφίλου, ένώ οί άλλοι μετά τήν άφιξη τοῦ Θεοφίλου, πού μέ χρήματα διευκόλυνε τήν ύπόθεση, στήν τελευταία ήμέρα τῆς δίκης καταδικάσθηκαν άπό τούς νόμους σάν συκοφάντες νά ζοῦν στήν Προκόννησο[3].

Ἔτσι ό Θεόφιλος παρουσιάσθηκε, σάν σκάθαρος φορτωμένος τήν κοπριά τών δώρων άπό τήν Αΐγυπτο καί αύτή τήν 'Ινδία[4], σκορπίζοντας έξ αίτίας τοῦ βρωμεροῦ φθόνου εύωδιές καί μπῆκε στήν Κωνσταντινούπολη τήν έκτη ώρα[5], ήμέρα Πέμπτη, χειροκροτούμενος άπό πλῆθος ναυτικών. Δέχθηκε δηλαδή τήν έπαίσχυντη δόξα, γιά τήν όποία εἶπε πρίν ό άπόστολος· «Αύτοί θεωροῦν δόξα τους τίς πράξεις πού φέρουν ντροπή», προσθέτοντας, «καί έχουν φρονήματα γήινα»[6]. Φιλοξενεΐται σέ καταλύματα κοσμικών καί άπέφυγε τήν 'Εκκλησία, ξεχνώντας αύτά τά λόγια τοῦ Δαυίδ· «Προτίμησα νά μέ περιφρονοῦν στόν οἶκο τοῦ Θεοῦ μου περισσότερο παρά νά κατοικώ σέ καταλύματα άμαρτωλών»[7], άποκόβοντας συνειδητά τόν έαυτό του

4. 'Ο Θεόφιλος έφερε κυρίως άρώματα γιά δώρα.

5. Δηλαδή στίς 12 τό μεσημέρι.

6. Φιλιπ. 3, 9. 7. Ψαλμ. 83, 2.

σίας ὑπό τοῦ ἰδίου συνειδότος. Διατρίψας δὲ τρεῖς ἑβδομάδας ἡμερῶν, οὔτε τῷ ἐπισκόπῳ Ἰωάννῃ συνέτυχεν κατὰ τὸ ἔθος τῶν ἐπισκόπων, οὔτε ἐπλησίασεν ὅλως τῇ ἐκκλησίᾳ, ἀλλ' ἔμενεν ἀγωνιζόμενος νύκτωρ τε καὶ μεθ' ἡμέραν τὸ νέον
5 ἔχθος τῷ παλαιῷ ἐπισυνάψας, ὅπως τὸν ἐπίσκοπον Ἰωάννην ἐξώσῃ, οὐ μόνον τῆς ἐκκλησίας, ἀλλὰ καὶ αὐτοῦ τοῦ ζῆν· τοῦτο μὲν ἀφειδίᾳ χρυσίου τοὺς δεισιδαίμονας τῶν κρατούντων ὠνούμενος κατὰ τῆς ἀληθείας, τοῦτο δὲ πολυτελεῖ τραπέζῃ τοὺς γαστριμάργους δουλούμενος, τοῦτο δὲ καὶ κολακείᾳ καὶ
10 ὑποσχέσει τῆς μείζονος ἀξίας τοὺς συμφένακας τῶν κληρικῶν ἐπαγόμενος.

Συνδήσας πάντας τούτους ἄνευ σχοινίου ταῖς ἡδοναῖς, καθάπερ λαοπλάνος τις δαίμων, τὸ κριτικὸν τῶν ψυχῶν καταγοητεύσας, ἐζήτει πρόσωπον δαιμονιῶδες εἰς τὴν τοῦ
15 δράματος ὑπηρεσίαν, ὃ δὴ καὶ ἐπέτυχεν. Δύο γὰρ διακόνων ἐκβληθέντων τῆς ἐκκλησίας ὑπὸ τοῦ ἐπισκόπου Ἰωάννου ἐπὶ πλημμελήμασι παρανόμοις, ἀπεχρήσατο τῇ κουφότητι καὶ πείθει αὐτοὺς ἐπιδοῦναι λιβέλλους κατὰ τοῦ Ἰωάννου, ὑποσχόμενος αὐτοῖς ἀποκαταστῆσαι εἰς τὸν τῆς λειτουργίας
20 τόπον (ἦν δὲ αὐτῶν τὰ πταίσματα, τοῦ μὲν φόνος, τοῦ δὲ μοιχεία), ὃ δὴ καὶ πεποίηκεν. Μετὰ γὰρ τὴν ἐξορίαν Ἰωάννου ἀποκατέστησεν αὐτοὺς εἰς τοὺς τόπους αὐτῶν, δηλαδὴ τοὺς λιβέλλους ἐπιδόντας, οὓς ὑπηγόρευσεν αὐτὸς ἐκεῖνος, ἔχοντας μὲν ἀληθὲς οὐδέν, πλὴν τούτου, ὅτι παρῄνει πᾶσι μετὰ τὴν
25 κοινωνίαν ἀπογεύεσθαι ὕδατος ἢ παστίλλου, ἵνα μὴ ἀκουσίως τῷ σιέλῳ ἢ τῷ φλέγματι συνεκπτύσωσί τι τοῦ συμβόλου· αὐτὸς πρῶτος ποιῶν τὸ πρᾶγμα, εὐλάβειαν ἐκδιδάσκων τοὺς βουλομένους.

Μετὰ δὲ τὸ δέξασθαι τοὺς λιβέλλους συστρέφεται παρὰ τῇ
30 Εὐγραφίᾳ, ἅμα Σευηριανῷ καὶ Ἀντιόχῳ καὶ Ἀκακίῳ καὶ λοιποῖς ἔχουσι μνησικακίαν κατὰ τοῦ Ἰωάννου ἐπὶ ταῖς παραινέσεσι ταῖς κοσμίαις. Εἰώθει γὰρ ὁ μακάριος, κατὰ τὸν Παῦλον, «δημοσίᾳ τε καὶ κατ' οἴκους» σεμνοπρέπειαν ἐκδιδάσκειν, μάλιστα συνεχῶς ταῖς τοιαύταις ἐπισκήπτων, ὅτι
35 «Γραΐδες οὖσαι διὰ τὸν χρόνον, τί ἀνηβᾶν παραβιάζεσθε τὸ σῶμα, βοστρύχους ἐπὶ μετώπου φέρουσαι καθάπερ ἑταιρίδες, ὑβρίζουσαι καὶ τὰς λοιπὰς ἐλευθέρας, ἐπὶ ἀπάτῃ τῶν συντυγχανόντων, καὶ τοῦτο χῆραι;». Συναχθέντες δὲ ἐζήτουν τρόπον

ἀπό τήν 'Εκκλησία. 'Αφοῦ ἔμεινε τρεῖς ἑβδομάδες, δέ συνάντησε κατά τή συνήθεια τῶν ἐπισκόπων οὔτε τόν ἐπίσκοπο 'Ιωάννη, οὔτε πλησίασε καθόλου στήν ἐκκλησία, ἀλλά ἐξακολουθοῦσε ν' ἀγωνίζεται νύχτα καί ἡμέρα προσθέτοντας στό παλιό τό καινούριο μίσος του, μέ ποιό τρόπο νά διώξει τόν ἐπίσκοπο 'Ιωάννη, ὄχι μόνο ἀπό τήν 'Εκκλησία, ἀλλά καί ἀπ' αὐτή τή ζωή, πότε μέ ἄφθονα χρήματα ἐξαγοράζοντας ἐναντίον τῆς ἀλήθειας τούς ἄρχοντες πού λάτρευαν τό χρυσό, καί πότε ὑποδουλώνοντας μέ πλούσια τραπέζια τούς κοιλιόδουλους, καί πότε μέ κολακεῖες καί ὑποσχέσεις γιά μεγαλύτερα ἀξιώματα κερδίζοντας τούς κληρικούς πού ἦταν καί αὐτοί ἀπατεῶνες.

Ὅταν τούς ἔδεσε χωρίς σχοινί ὅλους αὐτούς μέ τίς ἡδονές, σάν κάποιος λαοπλάνος δαίμονας, καταγοητεύοντας τήν ὀρθή σκέψη τῶν ἀνθρώπων, ζητοῦσε πρόσωπο διαβολικό στήν ὑπηρεσία τῆς σκηνοθεσίας του, τό ὁποῖο μάλιστα καί βρῆκε. Γιατί χρησιμοποίησε τήν ἐπιπολαιότητα δύο διακόνων πού εἶχαν καθαιρεθεῖ ἀπό τόν ἐπίσκοπο 'Ιωάννη γιά παράνομες πράξεις τους, καί τούς πείθει νά τοῦ ἐπιδώσουν κατηγορητήρια ἔγγραφα ἐναντίον τοῦ 'Ιωάννη, μέ τήν ὑπόσχεση ὅτι θά τούς ἀποκαταστήσει στά λειτουργικά τους καθήκοντα (ἦταν τά παραπτώματα αὐτῶν, τοῦ ἑνός φόνος καί τοῦ ἄλλου μοιχεία)· πράγμα πού τό ἔχει κάμει. Γιατί μετά τήν ἐξορία τοῦ 'Ιωάννη τούς ἀποκατέστησε στίς θέσεις τους, δηλαδή αὐτούς πού εἶχαν ἐπιδώσει τούς λιβέλλους, τούς ὁποίους ὑπαγόρευσε αὐτός ὁ ἴδιος, χωρίς νά περιέχουν καμιά ἀλήθεια, ἐκτός ἀπ' αὐτό, ὅτι δηλαδή ὁ 'Ιωάννης συμβούλευε σ' ὅλους μετά τή μετάληψη νά γεύονται νερό ἤ παστέλι, γιά νά μή φτύνουν μαζί μέ τό σάλιο ἤ τό φλέγμα τους χωρίς νά θέλουν κάτι ἀπό τά ὑλικά τοῦ μυστηρίου, κάνοντας ὁ ἴδιος πρῶτα αὐτό γιά νά διδάξει τήν εὐλάβεια σ' ἐκείνους πού τήν ἐπιθυμοῦσαν.

'Αφοῦ δέχθηκε ὁ Θεόφιλος τούς λιβέλλους συχνάζει στό σπίτι τῆς Εὐγραφίας, μαζί μέ τό Σευηριανό καί τόν 'Αντίοχο καί τόν 'Ακάκιο καί τούς ἄλλους πού εἶχαν μίσος ἐναντίον τοῦ 'Ιωάννη γιά τίς συμβουλές του γιά σεμνότητα. Γιατί συνήθιζε ὁ μακάριος νά διδάσκει τή σεμνοπρέπεια, ὅπως εἶπε ὁ Παῦλος, «καί σέ δημόσιους χώρους καί στά σπίτια»[8], κατηγορώντας μάλιστα συνέχεια αὐτές τίς γυναῖκες, ὅτι «'Αφοῦ εἶστε γριές, τί προσπαθεῖτε νά ξανανιώσετε μέ τή βία τό σῶμα, κατεβάζοντας 'ἀφέλειες' στό μέτωπό σας ὅπως οἱ πόρνες, προσβάλλοντας καί τίς ἄλλες ἐλεύθερες γυναῖκες, γιά νά ξεγελάσετε αὐτούς πού συναναστρέφεστε, τή στιγμή πού εἶστε καί χῆρες;» Καί

8. Πράξ. 20, 20.

πῶς ἄρξονται τῆς δίκης. Εἷς δέ τις τῶν παρόντων ὑπέθετο, δόντας δεήσεις τῷ βασιλεῖ, καὶ ἄκοντα αὐτὸν ἑλκύσαι εἰς τὸ συνέδριον. Τοῦτο οὖν γίνεται, καθάπερ ἐπὶ τῶν Ἰουδαίων χρυσίου τὰ πάντα αὐτοῖς ἐξομαλίζοντος. Ἦμεν δὲ ἡμεῖς τεσσαράκοντα ἐπίσκοποι καθεζόμενοι σὺν τῷ ἐπισκόπῳ Ἰωάννῃ ἐν τῷ τρικλίνῳ τοῦ ἐπισκοπείου, ἐξιστάμενοι πῶς ὁ ἀγώγιμος καὶ μόνος κελευσθεὶς παραστῆναι εἰς τὸ στρατόπεδον ἐπ' ἐγκλήμασιν ἀνοσίοις, μετὰ τοσούτων παρεγένετο ἐπισκόπων· πῶς τε ἀθρόον μετεκέρασεν τὰς τῶν κρατούντων γνώμας, ἐπὶ τὸ χεῖρον διαστρέψας τοὺς πλείονας τοῦ κλήρου.

Διαπορούντων δὲ ἡμῶν ἐμπνευσθεὶς ὁ Ἰωάννης τῷ πνεύματι λέγει τοῖς πᾶσιν· «Εὔξασθε, ἀδελφοί, καί, εἰ φιλεῖτε τὸν Χριστόν, ἐμοῦ ἕνεκεν μή τις ἀπολείπῃ τὴν ἑαυτοῦ ἐκκλησίαν. 'Ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἀναλύσεώς μου ἐφέστηκεν', κατὰ τὸν εἰπόντα, καὶ πολλὰς θλίψεις ὑποστάς, ἀπολείψω τὸ ζῆν, ὡς ὁρῶ. Οἶδα γὰρ τὴν σκευωρίαν τοῦ Σατανᾶ, ὅτι οὐκ ἔτι φέρει μου τὴν ἐπάχθειαν τῶν λόγων τῶν κατ' αὐτοῦ γινομένων. Καὶ οὕτως ἐλεηθῆτε· ἐν ταῖς προσευχαῖς ὑμῶν μνημονεύετέ μου». Συσχεθέντες δὲ ἀφάτῳ ἀθυμίᾳ, οἱ μὲν ἐδακρύομεν, ἕτεροι δὲ ἐξήρχοντο τοῦ συνεδρίου, τοὺς ὀφθαλμοὺς καὶ τὴν ἱερὰν κεφαλὴν σὺν τῷ εὐστόχῳ καὶ μακαρίῳ στόματι ἠσπάζοντο δεδακρυμένοι καὶ κεκομμένῳ τῷ πνεύματι. Παρακαλέσας δὲ ἐπανελθεῖν εἰς τὸ συνέδριον ὧδε κἀκεῖσε περιπετομένους, καθάπερ μελίσσας περιβομβούσας κυψέλῃ, λέγει· «Καθίσατε, ἀδελφοί, καὶ μὴ κλαίετε, ἐπὶ πλέον με θρύπτοντες. 'Ἐμοὶ γὰρ τὸ ζῆν Χριστός, καὶ τὸ ἀποθανεῖν κέρδος'. Ἐθρυλεῖτο γὰρ καρατομεῖσθαι διὰ τὴν ὑπερβολὴν τῆς παῤῥησίας. Καὶ εἰ μνημονεύετε, ἀναπτύξατε ὑμῶν τὰς μνήμας, ὅτι πάντοτε ἔλεγον ὑμῖν· 'Ὁδός ἐστιν ὁ παρὼν βίος, καὶ τὰ χρηστὰ αὐτοῦ καὶ τὰ λυπηρὰ παροδεύεται· καὶ πανήγυρις τὰ παρόντα· ἠγοράσαμεν, ἐπωλήσαμεν, καταλύομεν'. Μὴ ἀμείνους ἐσμεν τῶν πατριαρχῶν, τῶν προφητῶν, τῶν ἀποστόλων, ἵνα ἀθάνατον ἡμῖν παραμείνῃ τοῦτο τὸ ζῆν;».

Ἐπολολύξας δέ τις τῶν παρόντων εἶπεν· «Ἀλλὰ θρηνοῦμεν τὴν ἡμῶν ὀρφανίαν, τὴν τῆς ἐκκλησίας χηρείαν, τὴν τῶν

---

9. Πρόκειται γιά τή σύνοδο στή Δρῦ (Ἰούλιος 403).

10. Β΄ Τιμ. 4, 6. 11. Φιλιπ. 1, 21.

ἀφοῦ συγκεντρώθηκαν ζητοῦσαν τρόπο πῶς ν' ἀρχίσουν τή δίκη. Τότε κάποιος ἀπό τούς παρόντες πρότεινε ν' ἀρχίσουν ὑποβάλλοντας ἀναφορές στό βασιλιά καί νά σύρουν χωρίς τή θέλησή του τόν 'Ιωάννη στή σύνοδο[9]. Αὐτό λοιπόν γίνεται, ὅπως στήν περίπτωση τῶν 'Ιουδαίων, ἀφοῦ τά χρήματα τακτοποιοῦν τά πάντα γι' αὐτούς. Καθόμαστε καί ἐμεῖς σαράντα ἐπίσκοποι μαζί μέ τόν 'Ιωάννη στήν τραπεζαρία τῆς ἐπισκοπῆς καί παραξενευόμαστε πῶς ὁ ὑπόδικος Θεόφιλος, ἐνῶ διατάχθηκε νά παρουσιασθεῖ μόνος του στήν πρωτεύουσα γιά τά ἀνόσια ἐγκλήματά του, ἦρθε μέ τόσους ἐπισκόπους καί πῶς μετέβαλε ἀμέσως τή γνώμη τῶν ἀρχόντων, στρέφοντας πρός τό χειρότερο τούς περισσότερους κληρικούς.

Καθώς βρισκόμαστε σέ ἀπορία, φωτισμένος ἀπό τό ἅγιο Πνεῦμα, ὁ 'Ιωάννης λέγει σ' ὅλους· «Προσευχηθεῖτε, ἀδελφοί μου, ἐάν ἀγαπᾶτε τό Χριστό, μήπως κάποιος ἐξ αἰτίας μου παραιτηθεῖ ἀπό τήν ἐκκλησία του. 'Γιατί ἐγώ τώρα θυσιάζομαι καί ὁ καιρός τῆς ἀναχωρησής μου ἀπό τόν κόσμο αὐτόν εἶναι πολύ κοντά', ὅπως εἶπε ὁ Παῦλος[10], καί ἀφοῦ ὑποφέρω πολλές θλίψεις, θά ἐγκαταλείψω τή ζωή, ὅπως βλέπω. Γιατί γνωρίζω τή σκευωρία τοῦ Σατανᾶ, ἐπειδή δέν ἀνέχεται πιά τήν ἐνόχληση τῶν λόγων μου πού στρέφονται ἐναντίον του. Καί ἔτσι νά ἔχετε τό ἔλεος τοῦ Θεοῦ· νά μέ θυμάστε στίς προσευχές σας». Συγκινηθήκαμε πάρα πολύ, καί ἄλλοι δακρύζαμε, ἐνῶ ἄλλοι ἔβγαιναν ἔξω ἀπό τήν αἴθουσα τῆς συνόδου καί φιλοῦσαν τόν 'Ιωάννη δακρυσμένοι καί περίλυποι στά μάτια καί στό σεβαστό κεφάλι του, καθώς καί στό εὔγλωττο καί μακάριο στόμα του. 'Αφοῦ μᾶς παρακάλεσε νά ἐπιστρέψουμε στή σύνοδο, γιατί περιφερόμαστε ἐδῶ καί ἐκεῖ, ὅπως οἱ μέλισσες πού βουΐζουν γύρω ἀπό τήν κυψέλη, λέγει· «Καθίστε, ἀδελφοί μου, καί μήν κλαῖτε, γιατί μέ στενοχωρεῖτε περισσότερο. 'Γιατί σέ μένα ζωή εἶναι ὁ Χριστός, ἀλλά καί τό νά πεθάνω εἶναι κέρδος'[11]. 'Επειδή φημολογοῦνταν ὅτι εἶχε ἀποκεφαλισθεῖ ἐξ αἰτίας τοῦ ὑπερβολικοῦ θάρρους του. Καί ἄν θυμάστε, διατηρῆστε στή μνήμη σας, ὅτι πάντοτε σᾶς ἔλεγα· ''Η παροῦσα ζωή εἶναι δρόμος, καί τά καλά της καί τά κακά της περνοῦν· καί ἐμπορική πανήγυρη εἶναι τά παρόντα· ἀγοράσαμε, πουλήσαμε, τελειώνουμε'. Μήπως εἴμαστε καλύτεροι ἀπό τούς πατριάρχες, τούς προφῆτες, τούς ἀποστόλους, γιά νά παραμείνει σέ μᾶς ἀθάνατη αὐτή ἡ ζωή;».

Τότε θρηνολογώντας κάποιος ἀπό τούς παρόντες εἶπε· «Θρηνοῦμε ὅμως τήν ὀρφάνια μας, τή χηρεία τῆς 'Εκκλησίας, τή σύγχυση τῶν

θεσμῶν σύγχυσιν, τὴν φιλαρχίαν τῶν μὴ φοβουμένων τὸν Κύριον καὶ ταῖς προστασίαις ἐπιπηδώντων τῶν πτωχῶν τὸ ἀπροστάτευτον, τῆς διδασκαλίας τὴν ἐρημίαν». Ἐπικρούσας δὲ τῷ λιχανῷ δακτύλῳ τὸν ταρσὸν τῆς ἀριστερᾶς χειρὸς (εἰώθει γὰρ ὁ φιλόχριστος ἐν ταῖς κατὰ νοῦν φροντίσιν αὐτὸ ποιεῖν), τῷ ὁμιλοῦντι αὐτῷ εἶπεν· «Ἀρκεῖ, ἀδελφέ· μὴ πολλὰ λέγε· ἀλλ' ὃ εἶπον, τὰς ἐκκλησίας ὑμῶν μὴ ἀφῆτε. Οὔτε γὰρ ἀπ' ἐμοῦ ἤρξατο τὸ διδασκάλιον, οὔτε εἰς ἐμὲ ἐτελεύτησεν. Μὴ οὐκ ἀπέθανεν Μωϋσῆς; οὐχ εὕρηται Ἰησοῦς; οὐκ ἐτελεύτησε Σαμουήλ; οὐ κέχρισται ὁ Δαυείδ; ἀπέλιπε τὸν βίον Ἰερεμίας· οὐκ ἦν ὁ Βαρούχ; ἀνελήφθη Ἠλίας· οὐ προεφήτευσεν Ἐλισσαῖος; ἐκαρατομήθη Παῦλος· οὐ κατέλιπεν Τιμόθεον, Τίτον, Ἀπολλὼ καὶ ἄλλους μυρίους;». Μετὰ τούτους τοὺς λόγους λέγει Εὐλύσιος ὁ Ἀπαμείας τῆς Βιθυνίας· «Ἐπάναγκες ἡμᾶς ἐστι κατέχοντας τὰς ἐκκλησίας ἀναγκασθῆναι καὶ κοινωνῆσαι καὶ ὑπογράψαι». Ἔφη ὁ ἅγιος Ἰωάννης· «Κοινωνήσατε μέν, ἵνα μὴ σχίσητε τὴν ἐκκλησίαν, μὴ ὑπογράψητε δέ· οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα ἄξιον καθαιρέσεως ἐννοήσας».

Τούτων οὕτως ἐχόντων ἐδηλώθησαν οἱ ἀποσταλέντες ὑπὸ Θεοφίλου. Κελεύει αὐτοὺς εἰσελθεῖν· εἰσελθόντας ἤρετο, ποίου εἶεν βαθμοῦ. Λέγουσιν· «Ἐπίσκοποι». Παρακαλεῖ καθίσαντας εἰπεῖν ἐφ' ᾧ πάρεισιν. Οἱ δὲ λέγουσι· «Παραναγνωστικὸν ἔχομεν μόνον· ποιήσατε οὖν αὐτὸ ἀναγνωσθῆναι». Κελεύει ὁ Ἰωάννης ἀναγνωσθῆναι. Προστάσσουσι τῷ παιδαρίῳ τοῦ Θεοφίλου ἀναγνῶναι τὴν ὑπηγορίαν, καὶ ἀνέγνω. Ἦν δὲ τὸ ὕφος τοῦτο· «Ἡ σύνοδος ἡ ἁγία ἡ ἐπὶ Δρῦν συναχθεῖσα» (τόπος δέ ἐστιν οὕτω καλούμενος πέραν θαλάσσης, 'Ρουφίνου προάστειον', ἐν ᾧ ἦσαν συνηθροισμένοι) «Ἰωάννῃ» (παραλείψαντες δ ἦν, 'τῷ ἐπισκόπῳ'· φιλεῖ γάρ πως ἡ ἐσκοτισμένη ψυχὴ οὐκ ἀκολούθως βλέπειν, ἀλλὰ φαντάζεσθαι ἃ τὸ πάθος ὑπαγορεύει)· «λιβέλλους ἐδεξάμεθα κατὰ σοῦ [illegible]οντας μυρία κακά. Ἀπάντησον τοίνυν, ἐπαγόμενος Σαραπίωνα καὶ Τίγριον τοὺς πρεσβυτέρους· ἔστι γὰρ αὐτῶν χρεία». Ἦσαν δὲ

12. Ἡ ἐκκλησιαστική ἐπικοινωνία ἀναφέρεται στό διάδοχο τοῦ Χρυσοστόμου καί ἡ ὑπογραφή στήν καθαίρεσή του.

θεσμῶν, τή φιλαρχία ἐκείνων πού δέ φοβοῦνται τόν Κύριο καί ἁρπάζουν τά ἀξιώματα, τή στέρηση προστάτη τῶν φτωχῶν, τήν ἔλλειψη τῆς διδασκαλίας». Ἀφοῦ χτύπησε μέ τό δείχτη τήν παλάμη τοῦ ἀριστεροῦ χεριοῦ του (γιατί συνήθιζε νά τό κάνει αὐτό ὁ φιλόχριστος ὅταν ἦταν στενοχωρημένος), εἶπε σ' αὐτόν πού τοῦ μιλοῦσε· «Ἀρκετά, ἀδελφέ· μή λέγεις πολλά, ἀλλ' ὅπως εἶπα, μήν ἐγκαταλείψετε τίς ἐκκλησίες σας. Γιατί οὔτε ἀπό μένα ἄρχισε τό κήρυγμα, οὔτε σέ μένα τελείωσε. Μήπως δέν πέθανε ὁ Μωϋσῆς, καί δέ βρέθηκε ὁ Ἰησοῦς τοῦ Ναυῆ; Δέν πέθανε ὁ Σαμουήλ καί χρίσθηκε ὁ Δαυίδ; Ἄφησε τή ζωή ὁ Ἰερεμίας· δέν ἦταν ὁ Βαρούχ; Ἀναλήφθηκε ὁ Ἠλίας· δέν προφήτευσε ὁ Ἐλισσαῖος; Ἀποκεφαλίσθηκε ὁ Παῦλος· δέν ἄφησε τόν Τιμόθεο, τόν Τίτο, τόν Ἀπολλώ καί πολλούς ἄλλους;». Ἔπειτα ἀπό τούς λόγους αὐτούς, λέγει ὁ Εὐλύσιος, ὁ ἐπίσκοπος τῆς Ἀπαμείας τῆς Βιθυνίας· «Εἶναι ἀναγκαῖο ὅταν διατηροῦμε τίς ἐπισκοπές μας νά ὑποχρεωθοῦμε καί νά ἐπικοινωνήσουμε καί νά ὑπογράψουμε»[12]. Εἶπε ὁ ἅγιος Ἰωάννης· «Νά ἐπικοινωνήσετε, γιά νά μή διαιρέσετε τήν Ἐκκλησία, ἀλλά νά μήν ὑπογράψετε, γιατί δέν ἀναγνωρίζω τίποτε στόν ἑαυτό μου ἄξιο καθαιρέσεώς μου».

Ἐνῶ ἔτσι εἶχε ἡ κατάσταση, φανερώθηκαν οἱ ἀποσταλμένοι τοῦ Θεοφίλου. Τούς διατάζει νά μποῦν μέσα, καί ὅταν μπῆκαν τούς ἐρώτησε, ποιό βαθμό ἔχουν. Αὐτοί ἀπάντησαν· ''Ἐπίσκοποι'. Τούς παρακαλεῖ νά καθίσουν καί νά ποῦν γιά ποιό λόγο βρίσκονται ἐδῶ. Αὐτοί ἀπαντοῦν· «Ἔχουμε μόνο τό σημείωμα· ἐνεργῆστε λοιπόν νά διαβασθεῖ αὐτό». Δίνει ἐντολή ὁ Ἰωάννης νά διαβασθεῖ. Διατάζουν τόν ὑπηρέτη τοῦ Θεοφίλου νά διαβάσει τό κείμενο, καί τό διάβασε. Τό περιεχόμενό του ἦταν αὐτό· «Ἡ ἁγία σύνοδος πού ἔγινε στή Δρῦ» (εἶναι τοποθεσία, πού ὀνομάζεται ἔτσι, ἀπέναντι ἀπό τή θάλασσα, προάστειο τοῦ Ρουφίνου[13], ὅπου εἶχαν συγκεντρωθεῖ), «στόν Ἰωάννη» (παραλείποντας τό ἀξίωμά του, 'τόν ἐπίσκοπο'· γιατί ἀγαπάει κατά κάποιο τρόπο ἡ σκοτεινή ψυχή νά μή βλέπει ἐκεῖνο πού πρέπει, ἀλλά νά φαντάζεται ἐκεῖνα πού τῆς ὑπαγορεύει τό πάθος), «δεχθήκαμε ἐναντίον σου λιβέλλους πού περιέχουν πάρα πολλά κακά. Ἔλα ν' ἀπολογηθεῖς λοιπόν ἔχοντας μαζί σου καί τούς πρεσβυτέρους Σεραπίωνα καί Τίγριο, γιατί χρειάζονται». Εἶχαν ἔρθει σ' αὐτόν ὁ

---

13. Πρίν ἀπό τό θάνατό του ὁ Ρουφίνος τό 395 ἔκτισε ἕνα παλάτι καί μία ἐκκλησία σ' ἕνα προάστειο τῆς Χαλκηδόνας, πού φέρει τό ὄνομά του (Σωκράτη, Ἐκκλ. Ἱστ. 8, 17).

οἱ ἐλθόντες πρὸς αὐτὸν Διόσκορος καὶ Παῦλος ἐν Λιβύῃ ὑπόγυον καταστάντες νέοι.

Μετὰ τὸ ἀναγνωσθῆναι τὴν δέλτον ἀντιλέγουσιν οἱ σὺν τῷ ἐπισκόπῳ Ἰωάννῃ ἐπίσκοποι, δηλώσαντες τῷ Θεοφίλῳ διὰ τριῶν ἐπισκόπων καὶ πρεσβυτέρων δύο, Λουπικίνου καὶ Δημητρίου καὶ Εὐλυσίου, καὶ πρεσβυτέρων Γερμανοῦ καὶ Σευήρου, τῶν πάντων ἁγίων ἀνδρῶν καὶ ἀξιολόγων· «Μὴ κατάλυε τὰ πράγματα τῆς ἐκκλησίας καὶ μὴ σχίζε τὴν ἐκκλησίαν, δι' ἣν ὁ Θεὸς εἰς σάρκα κατῆλθεν. Εἰ δὲ ἀτακτῶν καταλύεις τοὺς ἐν Νικαίᾳ κανόνας τῶν τιη´ ἐπισκόπων καὶ 'ὑπερόριον δικάζεις δίκην', σὺ πέρασον πρὸς ἡμᾶς εἰς τὴν εὐνομουμένην πόλιν, μὴ προκαλούμενος τὸν Ἄβελ κατὰ τὸν Κάϊν εἰς τὸ πεδίον, ἵνα σου ἡμεῖς πρῶτοι ἀκούσωμεν. Ἔχομεν γὰρ κατὰ σοῦ ἑβδομήκοντα κεφαλαίων λιβέλλους, προδήλους ἀθεμιτουργίας ἔχοντας. Καὶ πλείους ἐσμὲν τῆς συνόδου, Θεοῦ χάριτι συναχθέντες οὐκ ἐπὶ καταλύσει τῆς ἐκκλησίας, ἀλλ' ἐν εἰρήνῃ. Σὺ μὲν γὰρ εἶ τριακοστὸς ἕκτος ἐξ ἐπαρχίας μιᾶς· ἡμεῖς δέ ἐσμεν τεσσαράκοντα ἐκ διαφόρων ἐπαρχιῶν, ἐν οἷς ἐσμεν καὶ ἑπτὰ μητροπολῖται· καὶ ἀκόλουθόν ἐστι τὸν ἐλάσσονα παρὰ τῶν πλειόνων καὶ διαφερόντων κατὰ τοὺς κανόνας κριθῆναι. Ἔχομεν γάρ σου καὶ τὴν ἐπιστολήν, δι' ἧς παρεγγυᾶς τῷ συλλειτουργῷ ἡμῶν Ἰωάννῃ 'τὸ μὴ δεῖν ὑπερορίας εἰσδέχεσθαι δίκας'. Ὅθεν πειθόμενος τοῖς ἐκκλησιαστικοῖς νόμοις, παρακάλει σου τοὺς κατηγόρους, ἢ παύεσθαι τῆς κατὰ σοῦ κατηγορίας, ἢ τῆς πρὸς αὐτὸν προσόδου».

Πρὸς ταῦτα κινηθεὶς ὁ Ἰωάννης τοῖς μὲν ἐπισκόποις αὐτοῦ ἔλεγεν· «Ὑμεῖς ὃ δοκεῖ ὑμῖν δηλώσατε, ἐμὲ δὲ ἀκόλουθόν ἐστι πρὸς τὰ δηλωθέντα μοι ἀντισημᾶναι». Τοῖς δὲ περὶ Θεόφιλον ἀνταπέστειλεν ταῦτα· «Ἐγώ, εἰ μὲν ἔχει τις κατ' ἐμοῦ λέγειν, μέχρι τῆς δεῦρο οὐδεπώποτε ἔγνων· εἰ δέ τις κατεῖπέν μου, καὶ βούλεσθέ με παραγενέσθαι, τοὺς προδήλους μου ἐχθρούς, οἵτινες ἐκ τῆς ἀμελείας αὐτῶν ἐκ[illegible]δησαν πρὸς ἐμέ, βάλλετε ἔξω τούτους τοῦ ὑμετέρου συλλόγου· καὶ οὔτε τόπου ἀμφισβητῶ ὅπου με δέοι κριθῆναι, εἰ καὶ τὰ μάλιστα ἔδει ἐν τῇ πόλει. Εἰσὶ δὲ οὓς παραιτοῦμαι, Θεόφιλος, ὃν ἐλέγχω εἰρηκότα καὶ ἐν Ἀλεξανδρείᾳ καὶ ἐν Λυκίᾳ, ὅτι '᾿Απέρχομαι εἰς τὸ κομιτᾶτον Ἰωάννην καθελεῖν'. Ἔστι δὲ

14. Γεν. 4, 8.

Διόσκορος καί ὁ Παῦλος πού πρίν ἀπό λίγο χειροτονήθηκαν στή Λιβύη νέοι ἐπίσκοποι.

Μετά τήν ἀνάγνωση τῆς ἐπιστολῆς ἀπαντοῦν οἱ ὀπαδοί τοῦ 'Ιωάννη ἐπίσκοποι, εἰδοποιώντας τό Θεόφιλο μέ τρεῖς ἐπισκόπους καί δύο πρεσβυτέρους, τούς Λουπίκινο, Δημήτριο καί Εὐλύσιο, καί τούς πρεσβυτέρους Γερμανό καί Σευῆρο, πού ὅλοι ἦταν ἅγιοι καί ἀξιόλογοι ἄνδρες· «Νά μήν καταστρέφεις τά πράγματα τῆς 'Εκκλησίας καί νά μή διαιρεῖς τήν 'Εκκλησία, γιά τήν ὁποία ὁ Θεός ἔγινε ἄνθρωπος. 'Εάν ὅμως ἀτακτώντας καταργεῖς τούς κανόνες τῆς Νίκαιας τῶν τριακοσίων δεκαοχτώ ἐπισκόπων καί 'δικάζεις ἔξω ἀπό τήν ἐπαρχία σου', ἔλα ἐσύ πρός ἐμᾶς στήν εὐνομούμενη πόλη, μήν προσκαλεῖς τόν Ἄβελ κατά τό παράδειγμα τοῦ Κάιν στήν πεδιάδα[14], γιά νά σέ ἀκούσουμε ἐμεῖς πρῶτα. Γιατί ἔχουμε ἐναντίον σου λιβέλλους ἀπό ἑβδομήντα προτάσεις, πού περιέχουν φανερές παράνομες ἐνέργειές σου. Καί εἴμαστε περισσότεροι ἀπό τή σύνοδό σου, καί συγκεντρωθήκαμε μέ τή χάρη τοῦ Θεοῦ ὄχι γιά νά διαλύσουμε τήν 'Εκκλησία, ἀλλά νά τήν εἰρηνεύσουμε. 'Εσύ λοιπόν εἶσαι ὁ τριακοστός ἕκτος ἀπό μία ἐπαρχία, ἐνῶ ἐμεῖς εἴμαστε σαράντα ἀπό διάφορες ἐπαρχίες, μεταξύ τῶν ὁποίων εἴμαστε καί ἑπτά μητροπολίτες· καί εἶναι σωστό νά δικασθεῖ σύμφωνα μέ τούς κανόνες ὁ μικρότερος ἀπό τούς περισσότερους καί ὑπερέχοντες. Γιατί ἔχουμε καί τήν ἐπιστολή σου, μέ τήν ὁποία συμβουλεύεις τό συλλειτουργό μας 'Ιωάννη 'ὅτι δέν πρέπει νά δέχεται ἐκδίκαση ὑποθέσεων ξένης ἐπαρχίας'. 'Επομένως ὑπακούοντας στούς ἐκκλησιαστικούς νόμους, παρακάλεσε τούς κατηγόρους σου, νά σταματήσουν ἤ τήν κατηγορία ἐναντίον σου ἤ νά ἔρχονται πρός τόν 'Ιωάννη».

Παίρνοντας ἀπ' αὐτό ἀφορμή ὁ 'Ιωάννης, εἶπε στούς ἐπισκόπους του· «'Εσεῖς ἀνακοινῶστε ὅ,τι θεωρεῖτε καλό, καί ἐγώ ὅμως πρέπει ν' ἀπαντήσω σέ ὅσα μοῦ ἀνακοινώθηκαν». Καί πρός τούς ὀπαδούς τοῦ Θεοφίλου ἀπάντησε αὐτά· «'Εγώ, ἐάν βέβαια ἔχει κανείς νά πεῖ ἐναντίον μου, μέχρι σήμερα δέν τό ἔμαθα ἀκόμη. 'Εάν ὅμως κάποιος μέ κατηγόρησε, καί θέλετε νά παρουσιασθῶ σέ σᾶς, βγάλετε ἔξω ἀπό τή δική σας σύνοδο τούς φανερούς μου ἐχθρούς, οἱ ὁποῖοι ἀπό δική τους ὑπαιτιότητα μ' ἔκαμαν κακό· δέ διαφωνῶ καί γιά τόν τόπο ὅπου πρέπει νά δικασθῶ, ἄν καί βέβαια ἔπρεπε στήν πόλη. Καί αὐτοί πού ζητῶ νά ἐξαιρεθοῦν εἶναι, ὁ Θεόφιλος, τόν ὁποῖο ἐλέγχω γιατί εἶπε καί στήν 'Αλεξάνδρεια καί στή Λυκία ὅτι 'Πηγαίνω στήν πρωτεύουσα γιά νά καθαιρέσω τόν 'Ιωάννη'. Καί εἶναι ἀλήθεια, ὅπως

ἀληθές, ἐξ ὧν παραγενόμενος οὔτε συνέτυχέν μοι οὔτε ἐκοινώνησέν μοι. Ὃς οὖν πρὸ τῆς ἀκροάσεως τὰ ἐχθρῶν ἐπετέλεσεν, τί ἂν ποιήσῃ μετὰ τὴν δίκην; ὁμοίως δὲ καὶ Ἀκάκιον διελέγχω ἐφ' ᾧ εἶπεν· 'Ἐγὼ αὐτῷ ἀρτύω χύτραν'.
5 *Περὶ δὲ Σευηριανοῦ καὶ Ἀντιόχου, οὓς τάχιον μετελεύσεται ἡ θεία δίκη, τί δεῖ καὶ λέγειν, ὧν τὰς νεωτεροποιΐας καὶ τὰ κοσμικὰ ᾄδουσι θέατρα; Οὐκοῦν παρακέκλησθε, εἰ κατὰ ἀλήθειαν βούλεσθέ με ἐλθεῖν, τούτους τοὺς τέσσαρας· εἰ μὲν ὡς δικαστάς, ἐκβάλλετε τούτους τοῦ συνεδρίου· εἰ δὲ ὡς*
10 *κατηγόρους, στήσατε εἰς τὴν κρίσιν, ἵνα γνῶ ὅπως κονίζωμαι, πότερον ὡς πρὸς ἀντιδίκους ἢ ὡς δικαστάς· καὶ πάντως ἐλεύσομαι οὐ μόνον πρὸς τὴν ὑμετέραν ἀγάπην, ἀλλὰ καὶ πρὸς πᾶσαν τῆς οἰκουμένης σύνοδον. Ὥστε οὖν γνῶτε, ἐὰν μυριάκις ἀποστείλητε πρός με, οὐδὲν πλέον ἀκούσεσθε παρ'*
15 *ἐμοῦ».*

Τούτων ἐξελθόντων, νοτάριος παρὰ πόδας γράμμα ἔχων βασιλικόν, ἐν ᾧ προεδεήθησαν ἄκοντα αὐτὸν ἀπαντῆσαι εἰς τὴν δίκην, κατήπειγεν αὐτὸν εἰς τὴν κρίσιν. Μετὰ τὴν ἀπόκρισιν τὴν πρὸς τὸν νοτάριον ἐμηνύθησαν δύο πρεσβύτεροι τοῦ
20 *Ἰωάννου, Εὐγένιός τις, ὃς μισθὸν τῆς κατὰ τοῦ ἐπισκόπου Ἰωάννου συσκευῆς τὴν προεδρίαν ἔλαβεν Ἡρακλείας, καὶ ὁ ἡσυχαστὴς Ἰσαάκιος -ἵνα μὴ ἄλλως εἴπω- λέγοντες· "'Ἐδήλωσέν σοι ἡ σύνοδος· 'Πέρασον πρὸς ἡμᾶς, ἀπολογησόμενος τὰ ἐκλήματα'". Πρὸς ταῦτα ὁ Ἰωάννης ἀντεδήλωσεν δι'*
25 *ἐπισκόπων ἑτέρων· "Ποίᾳ ἀκολουθίᾳ δικάζετε, οἱ μήτε τοὺς ἐχθρούς μου ἐξώσαντες, καὶ διὰ τῶν ἐμῶν κληρικῶν με μεταστελλόμενοι;" Οἱ δὲ λαβόντες τοὺς ἐπισκόπους, τὸν μὲν ἔδειραν, τὸν δὲ περιέσχισαν, τῷ δὲ σίδηρα τῷ τραχήλῳ περιέθηκαν, ἃ ἦσαν εὐτρεπίσαντες τῷ ἁγίῳ, ἵν' οὕτως βληθεὶς*
30 *εἰς πλοῖον, εἰς ἄδηλον ἀποσταλῇ τόπον· τοῦ δαίμονος καθάπερ λέοντας ἀγριώσαντος αὐτούς.*

Καὶ ὁ μὲν ὅσιος, εἰδὼς τὴν ἀναιδῆ αὐτῶν γνώμην, ἑαυτὸν ἐπέσχεν. Οἱ δὲ γεννάδες, πράξαντες ὑπομνημάτια ἀράχνης ἀσθενέστερα πρὸς ἀφοσίωσιν, ἀποφαίνονται κατὰ τοῦ μακα-
35 *ρίου, οὗ οὔτε τὸ πρόσωπον εἶδον, οὔτε φωνῆς αὐτοῦ ἤκουσαν, ἐν ἡμέρᾳ μιᾷ τὴν ἐν πολλῷ χρόνῳ ὑφαινομένην κακίαν συμπεραιώσαντες (ἀνεπίσχετον γὰρ τὸ δαιμονιῶδες ὅρμημα, οὐκ ἀναμένον σκέψιν). Καὶ πέμψαντες τῷ βασιλεῖ ἀναφορὰν*

φαίνεται ἀπό τό ὅτι, ὅταν ἔφθασε, οὔτε μέ συνάντησε οὔτε ἐπικοινώνησε μαζί μου. 'Ο Θεόφιλος λοιπόν ἐνήργησε ἐχθρικά πρίν τήν ἀνάκριση, τί θά κάμει μετά τή δίκη; 'Επίσης κατηγορῶ καί τόν 'Ακάκιο γι' αὐτό πού εἶπε· ''Εγώ τοῦ ἑτοιμάζω καταστροφή'. Καί γιά τό Σευηριανό καί τόν 'Αντίοχο, τούς ὁποίους πολύ γρήγορα θά τιμωρήσει ἡ θεία δίκη, τί χρειάζεται καί νά μιλήσω, τίς ραδιουργίες τῶν ὁποίων διηγοῦνται καί τά κοσμικά θέατρα; Λοιπόν σᾶς παρακαλῶ, ἄν θέλετε νά ἔρθω γιά τήν ἀλήθεια, αὐτούς τούς τέσσερις· ἐάν θά εἶναι ὡς δικαστές, νά τούς βγάλετε ἀπό τή σύνοδο, ἐάν ὅμως ὡς κατήγορος, ὁρίστε τους στή δίκη, γιά νά ξέρω πῶς θ' ἀγωνίζομαι, ποιό ἀπό τά δύο ὡς πρός ἀντιπάλους ἤ ὡς πρός δικαστές. Καί ὁπωσδήποτε θά ἔρθω ὄχι μόνο σέ σᾶς, ἀλλά καί σέ κάθε σύνοδο τῆς οἰκουμένης. 'Επομένως λοιπόν μάθετε, ἄν πολλές φορές στείλετε ἀνθρώπους σέ μένα, δέ θ' ἀκούσετε τίποτε περισσότερο ἀπό μένα».

"Οταν ἔφυγαν οἱ ἀπεσταλμένοι τοῦ Θεοφίλου, ἦρθε ἀμέσως νοτάριος ἔχοντας βασιλικό γράμμα, μέ τό ὁποῖο προηγουμένως ζήτησαν νά ἐμφανισθεῖ στή δίκη χωρίς τή θέλησή του, καί ἀνάγκαζε τόν 'Ιωάννη νά ἔρθει στή δίκη. Μετά τήν ἀπάντηση πρός τό νοτάριο, παρουσιάσθηκαν δύο πρεσβύτεροι τοῦ 'Ιωάννη, κάποιος Εὐγένιος, πού ἔλαβε σάν μισθό γιά τή σκευωρία ἐναντίον τοῦ ἐπισκόπου 'Ιωάννη τήν ἐπισκοπή τῆς 'Ηράκλειας, καί ὁ ἡσυχαστής 'Ισαάκιος (γιά νά μήν πῶ διαφορετικά) λέγοντας· «Σέ εἰδοποίησε ἡ σύνοδος· 'Πέρασε ἀπέναντι σ' ἐμᾶς ν' ἀπολογηθεῖς γιά τίς κατηγορίες σου'». Σ' αὐτά ὁ 'Ιωάννης ἀπάντησε μέ ἄλλους ἐπισκόπους· «Μέ ποιά λογική δικάζετε ἐσεῖς πού οὔτε τούς ἐχθρούς μου δέ διώξατε καί μέ προσκαλεῖτε μέ τούς δικούς μου κληρικούς;» Οἱ ἄλλοι συνέλαβαν τούς ἐπισκόπους καί ἔδειραν τόν ἕνα, καταξέσχισαν τόν ἄλλο, καί στόν ἄλλον πέρασαν σίδερα στό λαιμό του, τά ὁποῖα ἦταν προετοιμασμένα γιά τόν ἅγιο, γιά νά τόν βάλουν σέ πλοῖο καί νά τόν στείλουν ἔτσι σ' ἄγνωστο τόπο, ἀφοῦ ὁ διάβολος τούς ἐξαγρίωσε σάν λιοντάρια.

Καί ὁ ὅσιος βέβαια, γνωρίζοντας τήν ἀναίσχυντη γνώμη τους, δέν τούς πλησίασε. Οἱ γενναῖοι ὅμως, συντάσσοντας πρακτικά ἀσθενέστερα ἀπό τήν ἀράχνη ἐξ αἰτίας τῶν νομικῶν διατυπώσεων, ἀποφαίνονται ἐναντίον τοῦ μακαρίου, πού οὔτε τό πρόσωπό του εἶδαν, οὔτε τή φωνή του ἄκουσαν, ἀποτελειώνοντας σέ μία ἡμέρα τήν κακία πού ἐξυφαινόταν σέ πολύ χρόνο (γιατί εἶναι ἀκράτητη ἡ διαβολική ἐπίθεση καί δέν περιμένει τή σκέψη). Καί στέλνοντας ἀναφορά στό βασιλιά,

προέταξαν· "Ἐπειδὴ κατηγορηθεὶς Ἰωάννης ἐπὶ κακοῖς τισι καὶ συνειδὼς ἑαυτῷ, οὐκ ἠθέλησεν ἀπαντῆσαι, τόνδε τοιοῦτον καθαιροῦσιν οἱ νόμοι· ὃ δὴ καὶ ὑπέστη. Περιέχουσι δὲ οἱ λίβελλοι καὶ καθοσιώσεως ἔγκλημα. Κελεύσει οὖν ἡ ὑμῶν
5 *εὐσέβεια καὶ ἄκοντα αὐτὸν ἐξωσθῆναι καὶ δίκας δοῦναι ἐπὶ τῇ καθοσιώσει, ἐπειδὴ ἡμῖν οὐκ ἔξεστι ταῦτα ζητεῖν". Ὦ τρισάθλιοι, ἃ φρονεῖτε καὶ ποιεῖτε; αἰσχύνεσθε ταῦτα ποιεῖν, οὐ Θεόν, ἀλλὰ ἀνθρώπους αἰδούμενοι ἢ φοβούμενοι. Ἦν δὲ ἡ καθοσίωσις ἡ εἰς τὴν βασίλισσαν λοιδορία, ὡς ἐκεῖνοι ἀνή-*
10 *νεγκαν, ὅτι εἶπεν αὐτὴν Ἰεζάβελ. Καὶ οἱ μὲν θαυμάσιοι, τὸν διὰ ξίφους θάνατον αὐτοῦ ποθήσαντες ἰδεῖν, οὕτως ἀνήνεγκαν· ὁ δὲ Θεὸς καὶ τούτων ἐφανέρωσεν τὴν ἐνδομυχοῦσαν κακίαν, καὶ τῶν ἀρχόντων ἐμαλάκυνε τὴν καρδίαν, καθάπερ ἐπὶ τοῦ Δανιὴλ συνέβη ἐν Βαβυλῶνι. Ἐκεῖ γὰρ οἱ μὲν λέοντες*
15 *ἡμερώθησαν, φεισάμενοι τοῦ Δανιήλ, οἱ δὲ ἄνθρωποι ἠγριώθησαν, ἀφειδήσαντες τοῦ προφήτου· καὶ ἐδυσώπησεν ὁ Θεὸς τοὺς παρὰ φύσιν ἀγριωθέντας, τῶν παρὰ φύσιν ἡμερωθέντων.*

ΚΕΦΑΛΑΙΟΝ Θ´

Οὕτως ἐξεώσθη ὁ Ἰωάννης τῆς ἐκκλησίας, κόμητος
20 *ἀποσταλέντος σὺν στρατιωτικῇ βοηθείᾳ, καθάπερ ἐπὶ βαρβαρικῆς παρατάξεως. Ἐκβληθεὶς δὲ φθάνει εἰς τὰ κατὰ Πραίνετον τῆς Βιθυνίας ἀγρίδια. Μέσης δὲ διαγενομένης ἡμέρας μιᾶς, συνέβη θραῦσίν τινα γενέσθαι ἐν τῷ κοιτῶνι. Φοβηθέντες ἐκ τούτου, δι' οἰκείου νοταρίου ἀνακαλοῦνται τὸν Ἰωάν-*
25 *νην μετὰ ἡμέρας ὀλίγας, ἀποδόντες τῷ οἰκείῳ θρόνῳ. Οὕτως ὁ Θεόφιλος σὺν τοῖς Αἰγυπτίοις φυγῇ τὴν σωτηρίαν πορίζεται (ἐζήτει γὰρ ἡ πόλις αὐτὸν θαλασσῶσαι). Μετὰ δύο μῆνας πάλιν ὑπαναπνεύσαντες τῆς πληγῆς, φρυάττονται ἐκ δευτέρου κατὰ τοῦ Ἰωάννου· καὶ εὐπρόσωπον ἀρχὴν οὐχ εὑρίσκον-*

15. Ἰεζάβελ· σύζυγος τοῦ βασιλιᾶ τοῦ Ἰσραήλ Ἀχαάβ (875-853). Εὐνόησε τήν εἰδωλολατρία καί κίνησε διωγμό ἐναντίον τῶν πιστῶν τοῦ Θεοῦ. Τό ὄνομά της ἔγινε σύμβολο γυναίκας πού παρασύρει στήν εἰδωλολατρία καί τήν ἀνομία.

16. Βλ. Δαν. 6, 1-23.

17. Ἐννοεῖ τούς ἐπισκόπους τῆς συνόδου, πού ἔκαμε ὁ Θεόφιλος, καί τούς πολιτικούς ἄρχοντες. Αὐτοί πού ἐξαγριώθηκαν εἶναι οἱ ἐπίσκοποι, ἐνῶ

ἔγραψαν στήν ἀρχή τά ἑξῆς· «᾿Επειδή ὁ ᾿Ιωάννης, κατηγορούμενος γιά κάποια κακά καί ἀναγνωρίζοντας ἔνοχο τόν ἑαυτό του, δέ θέλησε ν' ἀπαντήσει, αὐτόν πού εἶναι τέτοιος τόν καθαιροῦν οἱ νόμοι, πράγμα λοιπόν πού ἔπαθε. Περιέχουν μάλιστα οἱ κατηγορίες ἐναντίον του καί ἔγκλημα ἐσχάτης προδοσίας. Ἄς διατάξει λοιπόν ἡ εὐσέβειά σας καί νά ἐξορισθεῖ χωρίς τή θέλησή του καί νά τιμωρηθεῖ γιά ἔσχατη προδοσία, ἀφοῦ ἐμεῖς δέν μποροῦμε νά ἐξετάσουμε αὐτά». Τρισάθλιοι, ἐκεῖνα πού μελετᾶτε, τά κάνετε κιόλας; Αἶσχος, γι' αὐτά πού κάνετε· νά ντρέπεστε καί νά φοβᾶστε τούς ἀνθρώπους καί ὄχι τό Θεό. Καί ἦταν ἡ ἔσχατη προδοσία ἡ κακολογία πρός τή βασίλισσα, ὅπως ἐκεῖνοι ἀνέφεραν, ὅτι τήν ὀνόμασε ᾿Ιεζάβελ[15]. Καί αὐτοί οἱ θαυμάσιοι, ποθώντας νά δοῦν αὐτόν νά θανατώνεται μέ ξίφος, ἔτσι ἀνέφεραν στήν ἀναφορά τους· ὁ Θεός ὅμως καί τήν ἐνδόμυχη κακία τους φανέρωσε, καί τήν καρδιά τῶν ἀρχόντων μαλάκωσε ὅπως ἀκριβῶς ἔγινε στήν περίπτωση τοῦ Δανιήλ στή Βαβυλώνα[16]. Γιατί ἐκεῖ τά λιοντάρια ἡμερώθηκαν καί σεβάσθηκαν τό Δανιήλ, οἱ ἄνθρωποι ὅμως ἐξαγριώθηκαν καί δέ σεβάσθηκαν τόν προφήτη. Καί ἀτίμασε ὁ Θεός αὐτούς πού ἐξαγριώθηκαν ἀντίθετα ἀπό τή φύση τους μ' ἐκείνους πού ἡμερώθηκαν ἀντίθετα ἀπό τή φύση τους[17].

ΚΕΦΑΛΑΙΟ Θ΄

Ἔτσι ὁ ᾿Ιωάννης διώχθηκε ἀπό τήν ᾿Εκκλησία[1], ὅταν στάλθηκε ἐπίτροπος μέ στρατιωτική βοήθεια, ὅπως ἀκριβῶς γίνεται σέ βαρβαρική μάχη. ᾿Αφοῦ ἐξορίσθηκε, φθάνει στά χωράφια κοντά στήν Πραίνετο τῆς Βιθυνίας. Κατά τό μεσημέρι τῆς πρώτης ἡμέρας συνέβηκε νά γίνει κάποιο σπάσιμο στό ὑπνοδωμάτιο τῆς βασίλισσας. ᾿Επειδή φοβήθηκαν ἀπ' αὐτό, μέ δικό τους νοτάριο καλοῦν πίσω τόν ᾿Ιωάννη ὕστερα ἀπό λίγες ἡμέρες καί τοῦ δίνουν τό δικό του θρόνο. Ἔτσι ὁ Θεόφιλος μαζί μέ τούς Αἰγυπτίους σώζεται ἀναχωρώντας κρυφά (γιατί ἡ πόλη ζητοῦσε νά τόν ρίξει στή θάλασσα). Ἔπειτα ἀπό δύο μῆνες ἀφοῦ πῆραν πάλι θάρρος ἀπό τό πλῆγμα[2], καταλαμβάνονται γιά δεύτερη φορά ἀπό ὀργή ἐναντίον τοῦ ᾿Ιωάννη, καί ἐπειδή δέν ἔβρισκαν κατάλληλη ἀρχή, στέλνουν στόν εἰδικό γι' αὐτά στήν

αὐτοί πού ἡμερώθηκαν οἱ πολιτικοί ἄρχοντες, γιατί δέν ἔλαβαν ὑπόψη τους τήν κατηγορία γιά ἔσχατη προδοσία.

1. Φθινόπωρο τοῦ 403.

2. Τήν ἐπιστροφή τοῦ Χρυσοστόμου.

τες, πέμπουσι πρὸς τὸν σοφιστὴν τῶν τοιούτων εἰς Ἀλεξάνδρειαν δηλώσαντες· "Ἢ πάλιν ἀπάντησον στρατηγήσων κατὰ τοῦ Ἰωάννου, ἤ, εἰ τοῦτο δέδοικας διὰ τοὺς λαούς, τρόπον ἡμῖν ὑπόθου τινά, δι' οὗ τὴν ἀρχὴν ποιήσωμεν".

5 *Πρὸς τούτοις ὁ Θεόφιλος αὐτὸς μὲν οὐκ ἀπήντησεν, εἰδὼς ὅπως διέφυγεν, ἀπέστειλεν δὲ τρεῖς ἐλεεινοὺς ἐπισκόπους, Παῦλον καὶ Ποιμένα καὶ ἕτερον νεοχειροτόνητον, συναποστείλας αὐτοῖς καὶ κανόνας τινάς, οὓς πεποιήκεισαν οἱ Ἀρειανοὶ κατὰ τοῦ μακαρίου Ἀθανασίου, ἵνα αὐτοῖς τοῖς* 10 *κανόσι χρησάμενοι δικας πλέξωσι τῷ Ἰωάννῃ, ὡς μετὰ καθαίρεσιν ἑαυτῷ ἐπεισελθόντι (ὁρμητικὸς γάρ ἐστιν ἐκ φύσεως, καὶ προπετὴς καὶ θρασὺς καὶ διαφερόντως φιλόνεικος, οὐδὲν γάρ ἐστι τοῦ φανέντος αὐτῷ ὑπὸ τῆς ὄψεως, πρὸς ὃ οὐχὶ θᾶττον τοῦ δέοντος ἀκατασχέτως ὁρμᾷ, ἐπ' αὐτῷ μήτε* 15 *κρίσιν μήτε σκέψιν ἀναμένων. Ἀλογίστῳ δὲ φορᾷ χρώμενος ἀτάκτως βαδίζει ἐπὶ τὴν τούτου συγκατάθεσιν, καὶ τῇ ψηφισθείσῃ ἀποφάσει βεβαίως ἐπερειδόμενος εὐτόνως ἀντιφιλονεικεῖ παντὶ τῷ βουλομένῳ ἀνταποφήνασθαι· σπουδάζω ἀεὶ τὴν ἑαυτοῦ κρίσιν τε καὶ ψῆφον νικῶσάν τε καὶ κρατοῦσαν* 20 *ἀποφαίνειν)· ὃ δὴ καὶ ποιοῦσιν, ἐπιστάμενοι αὐτοῦ τὸ ἦθος. Μετακαλεσάμενοι γὰρ τῆς Συρίας καὶ Καππαδοκίας καὶ τῆς Ποντικῆς διοικήσεως καὶ Φρυγίας ὅλους μητροπολίτας καὶ ἐπισκόπους, συναθροίζουσιν εἰς τὴν Κωνσταντινούπολιν.*

Οἱ δὲ παραγενόμενοι κατὰ τὴν τῶν κανόνων ἀκολουθίαν 25 *ἐκοινώνησαν τῷ Ἰωάννῃ, ἵνα μὴ τὰ αὐτὰ τοῖς πρώτοις ἐργάσωνται. Γνόντες δὲ οἱ κρατοῦντες ἠγανάκτησαν ἐπὶ τῇ κοινωνίᾳ αὐτῶν. Καὶ Θεόδωρος μὲν ὁ Τυάνων ἐπίσκοπος, ἀνὴρ εὐσχήμων, συνεὶς τὴν σκευωρίαν ἐξ ὧν ἦλθεν εἰς τὰ ὦτα αὐτοῦ, ἵνα μὴ ἐξακολουθήσῃ τῇ προπετείᾳ Θεοφίλου, ἀσυντά-* 30 *κτως καταλιπὼς τοὺς πάντας, κατέλαβεν ἑαυτοῦ τὴν ἐκκλησίαν, μακρὰν χαίρειν εἰπὼν τῷ κομιτάτῳ, ἀσφαλισάμενος ἑαυτοῦ τὴν ἐπαρχίαν τῷ τείχει τῆς εὐσεβείας, μέχρι τέλους ἐμμείνας τῇ τῶν πιστῶν Ῥωμαίων κοινωνίᾳ, οἷς μαρτυρεῖ ὁ Παῦλος λέγων· "Ἡ πίστις ὑμῶν ἐν ὅλῳ τῷ κόσμῳ καταγγέλλε-* 35 *ται". Φαρέτριος δέ, ὁ Καισαρείας τῆς πρὸς τῷ Ἀργαίῳ,*

---

3. Στή σύνοδο τῆς Ἀντιόχειας τό 341.

4. Περίπου τό Νοέμβριο τοῦ 403. 5. Ρώμ. 1, 8.

᾿Αλεξάνδρεια δηλώνοντας· «῞Η πάλι ἔλα ν᾿ ἀναλάβεις τήν ἀρχηγία ἐναντίον τοῦ ᾿Ιωάννη, ἤ, ἄν φοβᾶσαι αὐτό ἐξ αἰτίας τοῦ λαοῦ τῆς Κωνσταντινουπόλεως, συμβούλεψέ μας κάποιο τρόπο, μέ τόν ὁποῖο θ᾿ ἀρχίσουμε πάλι τόν ἀγώνα».

Σ᾿ αὐτά ὁ Θεόφιλος δέν ἀπάντησε, ἐπειδή γνώριζε πῶς γλύτωσε, ἔστειλε ὅμως τρεῖς ἄθλιους ἐπισκόπους, τόν Παῦλο καί τόν Ποιμένα καί κάποιον ἄλλο νεοχειροτονημένο, στέλνοντας μαζί τους καί μερικούς κανόνες, τούς ὁποίους εἶχαν κάμει οἱ ᾿Αρειανοί[3] ἐναντίον τοῦ μακαρίου ᾿Αθανασίου, γιά νά περιπλέξουν χρησιμοποιώντας αὐτούς τούς κανόνες τόν ᾿Ιωάννη σέ δίκη, ὅτι τάχα μετά τήν καθαίρεσή του ἐπέστρεψε αὐθαίρετα (γιατί ὁ Θεόφιλος ἀπό τή φύση του εἶναι ὁρμητικός καί αὐθάδης καί θρασύς καί ὑπερβολικά φιλόνεικος -ἀφοῦ δέν ὑπάρχει τίποτε πού νά φάνηκε σ᾿ αὐτόν ὡς συμφέρον ἀπό πρώτη ἄποψη, πρός τό ὁποῖο δέν ὁρμᾶ ἀκατάσχετα πιό γρήγορα ἀπ᾿ ὅσο πρέπει, χωρίς νά περιμένει γιά τό συμφέρον του αὐτό οὔτε κρίση οὔτε σκέψη. Καί μεταχειριζόμενος ἀλόγιστη ὁρμή βαδίζει ἄτακτα στήν ἀποδοχή του, καί στηριζόμενος σταθερά στήν ἀπόφαση πού πῆρε φιλονικεῖ ἔντονα μέ τόν καθένα πού θέλει νά ἰσχυρίζεται τό ἀντίθετο, προσπαθώντας πάντοτε νά δείξει ὅτι ἡ δική του κρίση καί ἀπόφαση ὑπερισχύει καί ἐπικρατεῖ), πράγμα λοιπόν πού κάνουν, ἐπειδή γνωρίζουν τό χαρακτήρα του. Γιατί, ἀφοῦ κάλεσαν ὅλους τούς μητροπολίτες καί ἐπισκόπους ἀπό τίς ἐπαρχίες τῆς Συρίας καί Καππαδοκίας καί τοῦ Πόντου καί τῆς Φρυγίας, τούς συγκεντρώνουν στήν Κωνσταντινούπολη[4].

Αὐτοί, ὅταν ἔφθασαν, σύμφωνα μέ τούς κανόνες ἐπικοινώνησαν μέ τόν ᾿Ιωάννη, γιά νά μήν κάνουν τά ἴδια μέ τούς πρώτους. ῞Οταν ὅμως τό ἔμαθαν οἱ ἰσχυροί ἀγανάκτησαν γιά τήν ἐπικοινωνία τους αὐτή. Καί ὁ Θεόδωρος, ὁ ἐπίσκοπος τῶν Τυάνων, ἄνδρας ἀξιοσέβαστος, ἀναγνώρισε τή σκευωρία ἀπ᾿ ὅσα ἔφθασαν στά αὐτιά του, γιά νά μή συνεχίσει τήν ἀπερισκεψία τοῦ Θεοφίλου τούς ἐγκατέλειψε ὅλους χωρίς ἀποχαιρετισμό καί ἔφθασε στήν ἐκκλησία του, λέγοντας ἀπό μακριά 'χαίρετε' στήν πρωτεύουσα, ἀσφαλίζοντας τήν ἐπαρχία του μέ τό τεῖχος τῆς εὐσέβειας καί παραμένοντας μέχρι τέλος σταθερός στήν ἐπικοινωνία τῶν πιστῶν τῆς Ρώμης, γιά τούς ὁποίους ὁ Παῦλος δίνει μαρτυρία λέγοντας· «῾Η πίστη σας διαλαλεῖται σ᾿ ὅλο τόν κόσμο»[5]. ῾Ο Φαρέτριος ὅμως, ὁ ἐπίσκοπος τῆς Καισάρειας πού εἶναι

ὑπερβολῇ δειλιάσας, καθάπερ οἱ κομιδῇ παῖδες τὰ μορμολυκεῖα, μηδ' ἐξελθὼν ἑαυτοῦ τὴν πόλιν, συντίθεται τοῖς ἐναντίοις διὰ γραμμάτων, καίπερ μηδὲ κληθεὶς εἰς τὸ μέσον, ἀπειροκάλως ἔχων περὶ τὴν προεδρίαν ἀνοίᾳ τῶν κρειττόνων.

5 *Λεόντιος δέ, ὁ 'Αγκύρας τῆς Γαλατίας, συγκλωσθεὶς 'Αμμωνίῳ τῷ Λαοδικείας τῆς κεκαυμένης, κεκαυμένην ἐποίησαν τὴν ἐκκλησίαν. Οὐ μόνον ἡττηθέντες ταῖς τῶν κρατούντων ἀπειλαῖς, ἀλλὰ τοὐναντίον ἐλπίδι δώρων βασιλικῶν ἀπατηθέντες ἐν τῇ δευτέρᾳ συνόδῳ, εἰσφέρουσι γνώμην μοχθηρὰν τοῖς*
10 *περὶ 'Ακάκιον καὶ 'Αντίοχον, κρατῆσαι τὴν Θεοφίλου ἄκριτον κρίσιν, καὶ μηδ' ὅλως δοῦναι τόπον ἀπολογίας τῷ 'Ιωάννῃ, δικαιολογίᾳ τῇ τῶν κανόνων τῶν ὑπὸ Θεοφίλου ἀποσταλέντων, οὓς ἐθέσπισαν οἱ τεσσαράκοντα τῶν 'Αρείου κοινωνικῶν γράψαντες· "Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος, ἀδίκως ἢ*
15 *δικαίως καθαιρεθείς, ἑαυτῷ ἐπεισέλθοι δίχα συνόδου εἰς τὴν ἐκκλησίαν, τὸν τοιοῦτον μηκέτι ἔχειν χώραν ἀπολογίας ἀλλὰ τέλεον ἐξωθεῖσθαι"· καὶ οὗτος μὲν ὁ κανών, ὡς παράνομος ὑπὸ παρανόμων τεθείς, ἐξωστρακίσθη ἐν Σαρδικῇ ὑπὸ 'Ρωμαίων καὶ 'Ιταλῶν καὶ 'Ιλλυριῶν καὶ Μακεδόνων καὶ 'Ελλαδι-*
20 *κῶν (ὡς μᾶλλον αὐτὸς οἶσθα, μεγαλώνυμε Θεόδωρε), ὁπηνίκα Λιβέριος ἢ 'Ιούλιος ἐπὶ Κώνσταντος βασιλέως ἐδέξατο τὸν 'Αθανάσιον εἰς κοινωνίαν καὶ Μάρκελλον τὸν Γαλάτην, δι' οὓς καὶ ὁ κανὼν ἐκεῖνος ἐτέθη.*

'Η μέντοι δυὰς τῶν θαυμασίων τῶν περὶ 'Αμμώνιον καὶ
25 *Λεόντιον, συμπλακέντες 'Ακακίῳ καὶ 'Αντιόχῳ καὶ Κυρίνῳ τῷ Χαλκηδόνος καὶ Σευηριανῷ εἰσῆλθον πρὸς τὸν βασιλέα ἀναδιδάξαντες εἰσκληθῆναι τοῦ μέρους τοῦ 'Ιωάννου δέκα ἐπισκόπους (ἦσαν δὲ πλείους τῶν τεσσαράκοντα) ἐπὶ συστάσει τῶν κανόνων, τῶν μὲν διϊσχυριζομένων ὀρθοδόξων αὐτοὺς*
30 *εἶναι, τῶν δὲ ἀποδεικνυόντων αὐτοὺς 'Αρειανῶν ὑπάρχειν.*

---

6. Βουνό στήν Καππαδοκία, τό πιό ψηλό τῆς Μ. 'Ασίας.

7. Λαοδίκεια· πόλη τῆς Μ. 'Ασίας στή Λυκαονία. Τό ἐπίθετο «Κατακεκαυμένη» ὀφείλεται στό ἡφαιστειογενές ἔδαφος τῆς περιοχῆς παρά σέ πυρκαγιά.

8. 4ος Κανόνας τῆς 'Αντιόχειας (341), σ' ἐλεύθερη ἀπόδοση.

9. 'Η σύνοδος στή Σαρδική ἔγινε τό 343 καί πῆραν μέρος σ' αὐτήν 170 ἐπίσκοποι.

10. 'Ο Λιβέριος ἦταν ἐπίσκοπος Ρώμης ἀπό τό 352 ὥς τό 366, ἐνῶ ὁ 'Ιούλιος ἀπό τό 337 ὥς τό 352.

κοντά στό 'Αργαῖο ὄρος[6], δειλιάζοντας ἀπό τήν ὑπεροχή τους, ὅπως τά μικρά παιδιά φοβοῦνται τίς προσωπίδες, χωρίς νά βγεῖ ἔξω ἀπό τήν πόλη του, συμφωνεῖ μέ τούς ἐχθρούς τοῦ 'Ιωάννη στέλνοντας γράμματα, ἄν καί δέν τοῦ ζητήθηκε, νά ἐκφέρει γνώμη, ἐπειδή εἶχε ἄγνοια τοῦ καλοῦ γιά τήν ἐπισκοπή ἀπό ἔλλειψη καλύτερων σκέψεων.

Καί ὁ Λεόντιος, ὁ ἐπίσκοπος Ἄγκυρας τῆς Γαλατίας, συμμαχώντας μέ τόν 'Αμμώνιο, τόν ἐπίσκοπο τῆς Λαοδίκειας πού ἀποτεφρώθηκε[7], ἔκαψαν τήν 'Εκκλησία. Ὄχι μόνο γιατί ὑποχώρησαν στίς ἀπειλές τῶν ἰσχυρῶν, ἀλλ' ἀντίθετα γιατί ἐξαπατήθηκαν στή δεύτερη σύνοδο ἐλπίζοντας σέ βασιλικά δῶρα, εἰσηγοῦνται στούς γύρω ἀπό τόν 'Ακάκιο καί 'Αντίοχο μοχθηρή πρόταση, νά διατηρήσουν τήν ἄκριτη κρίση τοῦ Θεοφίλου καί νά μή δώσουν καθόλου εὐκαιρία ἀπολογίας στόν 'Ιωάννη, μέ τή δικαιολογία τῶν κανόνων πού ἔστειλε ὁ Θεόφιλος, τούς ὁποίους θέσπισαν οἱ σαράντα 'Αρειανοί γράφοντας· «'Εάν κάποιος ἐπίσκοπος ἤ πρεσβύτερος, πού καθαιρέθηκε ἄδικα ἤ δίκαια, ἐπιστρέψει μόνος του χωρίς σύνοδο στήν ἐκκλησία, αὐτός νά μήν ἔχει πιά εὐκαιρία ἀπολογίας, ἀλλά νά ἐξορίζεται ὁριστικά»[8]. Καί ὁ κανόνας αὐτός βέβαια σάν παράνομος, ἐπειδή θεσπίστηκε ἀπό παράνομους, ἀχρηστεύθηκε στή Σαρδική[9] ἀπό τούς Ρωμαίους καί 'Ιταλούς καί 'Ιλλυριούς καί Μακεδόνες καί 'Ελλαδικούς ἐπισκόπους (ὅπως καλύτερα γνωρίζεις ἐσύ ὁ ἴδιος, ὀνομαστέ Θεόδωρε), ὅταν ὁ Λιβέριος ἤ ὁ 'Ιούλιος[10] στά χρόνια τῆς βασιλείας τοῦ Κώνσταντα[11] δέχθηκε σ' ἐπικοινωνία τόν 'Αθανάσιο καί τό Μάρκελλο τό Γαλάτη, γιά τούς ὁποίους καί θεσπίστηκε ὁ κανόνας αὐτός[12].

'Η δυάδα ὅμως τῶν θαυμάσιων ἐκείνων πού τήν ἀποτελοῦσαν ὁ 'Αμμώνιος καί ὁ Λεόντιος, ἀφοῦ ἑνώθηκαν μέ τόν 'Ακάκιο καί 'Αντίοχο καί Κυρίνο τόν ἐπίσκοπο Χαλκηδόνας καί τό Σευηριανό, ἦρθαν στόν αὐτοκράτορα νά ὑποστηρίξουν πάλι νά καλέσει ἀπό τό μέρος τοῦ 'Ιωάννη δέκα ἐπισκόπους (ἦταν ὅμως περισσότεροι ἀπό σαράντα) γιά τήν προέλευση τῶν κανόνων, ἐπειδή ἄλλοι ἰσχυρίζονταν πώς οἱ κανόνες εἶναι ὀρθόδοξοι, ἐνῶ οἱ ἄλλοι ἀποδείκνυαν πώς αὐτοί

11. 'Ο Κώνστας (337-350) ἦταν αὐτοκράτορας στή Δύση καί ὁ Κωνστάντιος Β΄ (337-361) στήν 'Ανατολή.

12. 'Ο Μ. 'Αθανάσιος καί ὁ Μάρκελλος εἶχαν ἐπιστρέψει ἀπό τήν ἐξορία μετά τό θάνατο τοῦ Μ. Κωνσταντίνου (337) χωρίς νά τούς ἀθωώσει σύνοδος. Γι' αὐτό καί θεσπίστηκε ὁ σχετικός κανόνας τῆς 'Αντιόχειας (341). Τό Μ. 'Αθανάσιο εἶχε καταδικάσει ἡ σύνοδος τῆς Τύρου (335) καί τό Μάρκελλο σύνοδος τῆς Κων/πόλεως (336).

Εἰσελθόντες δὲ οἱ περὶ τὸν γέροντα ψυχῇ τε καὶ πολιᾷ 'Ελπίδιον, τὸν Λαοδικείας τῆς Συρίας, καὶ Τραγκύλλιον, ἔπειθον τὸν βασιλέα μὴ δεῖν ἀλόγως ἐκβάλλεσθαι τὸν 'Ιωάννην· "Οὔτε γὰρ τὸ πρότερον καθῄρηται, ἀλλ' ἐξεώσθη ὑπὸ τοῦ κόμητος· οὔτε μὴν ἑαυτῷ ἐπεισῆλθεν, ἀλλὰ προστάγματι τῆς σῆς εὐσεβείας, νοταρίου ἀποσταλέντος· καὶ νῦν δὲ οὓς προφέρουσι κανόνας, αἱρετικῶν αὐτοὺς δείκνυμεν ὄντας". 'Ως δ' ἐπέμειναν ἄτακτα ζυγομαχοῦντες οἱ κατὰ 'Ιωάννου, οἱ μὲν γεγωνοτέρᾳ φωνῇ, οἱ δὲ σεσοβημένοι στέρνων κινήσει ἀνασειόμενοι ἰταμῶς ἐπὶ τοῦ βασιλέως· πράως ὁ ἐνδεσμότατος 'Ελπίδιος, μικρᾶς παραγενομένης γαλήνης, ἔφησεν τῷ βασιλεῖ· "Βασιλεῦ, μὴ σκύλλωμεν ἐπὶ πολὺ τὴν σὴν ἡμερότητα, ἀλλὰ τοῦτο γενέσθω· ὑπογραψάτωσαν οἱ περὶ τὸν ἀδελφὸν 'Ακάκιον καὶ 'Αντίοχον οὓς προβάλλονται ὡς ὀρθοδόξων κανόνας, ὅτι 'Τῆς πίστεώς ἐσμεν τῶν ἐκθεμένων αὐτούς', καὶ λέλυται ἡμῖν ἡ ἀμφιβολία".

Προσσχὼν ὁ βασιλεὺς τῷ ἁπλῷ τοῦ προβλήματος, ὑπομειδιάσας εἶπεν τῷ 'Αντιόχῳ· "Οὐδὲν τούτου λυσιτελέστερον" -ἦν δ' ἐπὶ πάντων τῶν γεγενημένων ἀναίτιος ὁ βασιλεύς, ἄλλων μεταποιούντων τὰ καλῶς τετυπωμένα. 'Ιλιγγιάσαντες οὖν καὶ εἰς ἀλλήλους ἑλιττόμενοι οἱ περὶ Σευηριανόν, καθάπερ ἄτακτον ὕδωρ, ἐπί τε τῷ φρονίμως ῥηθέντι καὶ ἐπὶ τῇ τοῦ βασιλέως κρίσει, κατεσχέθησαν ἀφασίᾳ, ἐπὶ τὸ πελιδνότερον μεταβαλόντες αὐτῶν τὴν μορφήν· ὅμως ὑπὸ τῆς ἀνάγκης τοῦ τόπου σφιγγόμενοι, ὑπισχνοῦνται καὶ ἄκοντες ὑπογράψαι. Οὕτως ἐξελθόντες, τὴν μὲν ὑπόσχεσιν οὐ πληροῦσιν ὡς ἀβούλητον οὖσαν, δεδοικότες τὴν ἧτταν, ἐμηχανῶντο δὲ ποίῳ τρόπῳ ἐξωσθῇ ὁ 'Ιωάννης. Τούτων οὕτως ἄλλων τε ἄλλως διαπραττομένων, παρίππασαν μῆνες ἐννέα ἢ δέκα, τοῦ ἐπισκόπου 'Ιωάννου συναγομένου σὺν τοῖς τεσσαράκοντα ἐπισκόποις καὶ δύο, τῶν δὲ λαῶν ἀπολαυόντων μετὰ πολλῆς τῆς εὐθυμίας τῆς αὐτοῦ διδασκαλίας (φιλεῖ γάρ πως ὁ ἀκενόδοξος νοῦς ἐν ταῖς περιστάσεσι χαριέστερον καὶ δυνατώτερον ἀποῤῥέειν λόγον).

---

13. Γιά τόν 'Ελπίδιο βλ. 'Ιω. Χρυσοστόμου, ἐπιστολές 25, 114, 131, 138, 142 καί 230.

εἶναι ἔργο τῶν 'Αρειανῶν. 'Αφοῦ ἦρθαν αὐτοί πού ἦταν μαζί μέ τό γέροντα στήν ψυχή καί στά μαλλιά 'Ελπίδιο[13], τόν ἐπίσκοπο Λαοδίκειας τῆς Συρίας, καί τόν Τραγκύλλιο[14], ἔπειθαν τόν αὐτοκράτορα ὅτι δέν πρέπει νά ἐξορίσει ἀπερίσκεπτα τόν 'Ιωάννη· «Γιατί οὔτε προηγουμένως εἶχε καθαιρεθεῖ, ἀλλά ἐξορίσθηκε ἀπό τόν ἐπίτροπο· οὔτε βέβαια ἐπέστρεψε αὐθαίρετα, ἀλλά μέ διαταγή τῆς δικῆς σου εὐσέβειας, ὅταν στάλθηκε δικός σου νοτάριος. Καί ὅσους κανόνες ἀναφέρουν τώρα, τούς ἀποδείχνουμε ὅτι εἶναι τῶν αἱρετικῶν». Καθώς ὅμως ἐπέμειναν, φιλονικώντας μέ ἀπρέπεια, οἱ ἀντίπαλοι τοῦ 'Ιωάννη, ἄλλοι μέ δυνατότερη φωνή καί ἄλλοι καμαρώνοντας, λικνιζόμενοι μέ τήν κίνηση τοῦ στέρνου τους κατά τρόπο ἐπαίσχυντο ἐνώπιον τοῦ βασιλιᾶ, ὁ δικαιότατος 'Ελπίδιος, ἀφοῦ ἔγινε κάποια σύντομη γαλήνη, εἶπε εὐγενικά στό βασιλιά· «Βασιλιά, ἄς μήν ταλαιπωροῦμε γιά πολύ τή μεγαλειότητά σου, ἀλλ' ἄς γίνει τοῦτο· ἄς ὑπογράψουν αὐτοί πού εἶναι μέ τόν ἀδελφό 'Ακάκιο καί 'Αντίοχο ποιούς κανόνες προτείνουν πώς εἶναι τῶν ὀρθοδόξων, γιατί ἐμεῖς ἔχουμε τήν πίστη αὐτῶν πού τούς ἔχουν συντάξει, καί διαλύεται ἡ ἀμφιβολία μας».

Προσέχοντας ὁ βασιλιάς πώς τό πρόβλημα εἶναι ἁπλό, ἀφοῦ γέλασε ἐλαφρῶς εἶπε στόν 'Αντίοχο· «Τίποτε δέν εἶναι χρησιμότερο ἀπ' αὐτό»· ἦταν γιά ὅλα ὅσα γίνονταν ἀνεύθυνος ὁ βασιλιάς, ἀφοῦ ἄλλοι ἄλλαζαν τίς ὀρθές διαταγές του. Μένοντας λοιπόν κατάπληκτοι καί στριφογυρίζοντας ἀναμεταξύ τους οἱ συνοδοί τοῦ Σευηριανοῦ, σάν νερό ἔξω ἀπό τήν κοίτη, καί γιά τά συνετά λόγια καί γιά τήν κρίση τοῦ βασιλιᾶ, ἔγιναν ἄφωνοι καί ἄλλαξαν τό χρῶμα τοῦ προσώπου τους σέ μαυροκίτρινο· πιεζόμενοι ὅμως ἀπό τήν ἀνάγκη τοῦ τόπου, ὑπόσχονται νά ὑπογράψουν καί χωρίς τή θέλησή τους. Ἔτσι ἀφοῦ βγῆκαν ἔξω, τήν ὑπόσχεσή τους βέβαια δέν τήν τήρησαν, γιατί ἦταν ἀκούσια, σχεδίαζαν ὅμως μέ ποιό τρόπο νά ἐξορισθεῖ ὁ 'Ιωάννης, ἐπειδή φοβήθηκαν τήν ἧττα. 'Ενῶ ἔτσι ἐνεργοῦσαν αὐτοί καί διαφορετικά οἱ ἄλλοι, πέρασαν ἐννέα ἤ δέκα μῆνες, ἐνῶ ὁ ἐπίσκοπος 'Ιωάννης συνεδρίαζε μαζί μέ τούς σαράντα δύο ἐπισκόπους καί οἱ πιστοί ἀπολάμβαναν μέ μεγάλη χαρά τή διδασκαλία του (γιατί ὁ νοῦς πού δέν εἶναι κενόδοξος συνηθίζει κατά κάποιο τρόπο στήν ἐποχή φροντίδων καί μεριμνῶν νά βγάζει πιό εὐχάριστο καί πιό καλό λόγο).

---

14. 'Ο ἐπίσκοπος Τραγκύλλιος εἶναι γνωστός μόνο ἀπό τόν παρόντα διάλογο.

Ἐν τούτοις ἐπήνθησεν ἡ Δεσποτικὴ νηστεία, καθάπερ ἔαρ, δι' ἐνιαυτοῦ παραγενομένη. Εἰσελθόντες δὲ πάλιν κατ' ἰδίαν οἱ περὶ Ἀντίοχον ἀνεδίδαξαν τὸν βασιλέα ὡς ἡττηθέντα τὸν Ἰωάννην, ἵνα προστάξῃ αὐτὸν ἐξωσθῆναι τοῦ Πάσχα ἐπικει-
5 *μένου· ὁ δὲ βασιλεὺς ἐξ ἀνάγκης ὀχλούμενος ὑπ' αὐτῶν, ὡς ἐπισκόποις ἐπίστευσεν (ὁ γὰρ ἀληθῶς πρεσβύτερος ἢ ἐπίσκοπος ψεῦδος οὐκ οἶδεν– τὰ γὰρ ὀνόματα ταῦτα τῆς ἄνω λήξεως ὑπάρχει, ἐπεὶ οὐδὲν πρεσβύτερον Θεοῦ, οὐδὲ ἐπισκοπώτερον· Θεὸς γὰρ ὁ ἐπισκοπῶν ἢ θεώμενός ἐστι τὰ πάντα. Ὁ τοίνυν*
10 *ἐπίσκοπος ἢ πρεσβύτερος, ὡς κοινωνὸς τῶν ὀνομάτων, οὕτως καὶ τῶν πραγμάτων ὀφείλει εἶναι), καὶ δηλοῖ τῷ Ἰωάννῃ· "Ἔξελθε ἐκ τῆς ἐκκλησίας". Ὁ δὲ ἀντιδηλοῖ· "Ἐγὼ παρὰ τοῦ Σωτῆρος Θεοῦ ὑποδέδεγμαι τὴν ἐκκλησίαν ταύτην εἰς ἐπιμέλειαν τῆς τοῦ λαοῦ σωτηρίας, καὶ οὐ δύναμαι αὐτὴν καταλεῖ-*
15 *ψαι· εἰ δὲ τοῦτο βούλει (ἡ γὰρ πόλις σοι διαφέρει), βίᾳ με ἔξωσον, ἵνα ἔχω ἀπολογίαν τῆς λιποταξίας τὴν σὴν αὐθεντείαν". Οὕτως μετὰ αἰδοῦς τινος ἀποστείλαντες ἐκ τοῦ παλατίου, ἐξέωσαν αὐτόν, κελεύσαντες τέως διάγειν ἐν τῷ ἐπισκοπείῳ, τὸ ἐνδεχόμενον τῆς τοῦ Θεοῦ ὀργῆς προσδοκῶν-*
20 *τες, ἵνα, ἐὰν μὲν συμβῇ τι περὶ αὐτοὺς λυπηρόν, θᾶττον αὐτὸν εἰσαγαγόντες εἰς τὴν ἐκκλησίαν, ἐξιλεώσωνται τὸ θεῖον· εἰ δὲ μή, ἵνα πάλιν ἐπιθῶνται ὡς Φαραὼ τῷ Μωϋσεῖ.*

Ἐν τούτοις ἐπέστη ἡ τοῦ μεγάλου σαββάτου ἡμέρα, ἐν ᾗ ὁ Σωτὴρ σταυρωθεὶς ἐσκύλευσεν τὸν Ἅδην. Καὶ πάλιν αὐτῷ
25 *δηλοῦσιν· "Ἔξελθε τῆς ἐκκλησίας". Ἀντιδηλοῖ τὰ εἰκότα. Εὐλαβούμενος τοιγαροῦν ὁ βασιλεὺς τὸ εὐκαθοσίωτον τῆς ἡμέρας καὶ τὸν τῆς πόλεως κλόνον μεταστέλλεται τοὺς περὶ Ἀκάκιον καὶ Ἀντίοχον, φήσας αὐτοῖς· "Τί δέοι γενέσθαι; βλέπετε μήποτε οὐκ ὀρθῶς βουλεύεσθε". Τότε οἱ γεννάδες καὶ*
30 *περισσόψυχοι εἶπον τῷ βασιλεῖ· "Βασιλεῦ, ἐπὶ τὴν κεφαλὴν ἡμῶν ἡ Ἰωάννου καθαίρεσις". Τελευταῖον βοήθημα, οἱ τῷ Ἰωάννῃ συνόντες ἐπίσκοποι, ἰσάριθμοι τῆς ἁγίας νηστείας, προσῆλθον τῷ βασιλεῖ καὶ τῇ βασιλίσσῃ ἐν τοῖς μαρτυρίοις μετὰ δακρύων, παρακαλοῦντες φειδοῦς τυχεῖν τὴν τοῦ Χρι-*
35 *στοῦ ἐκκλησίαν, μάλιστα διὰ τὸ Πάσχα καὶ τοὺς μέλλοντας ἀναγεννᾶσθαι ἤδη μυσταγωγηθέντας, ἀπολαβοῦσαν τὸν ἱερέα. Οὐκ ἠκούσθησαν ἐπὶ τούτῳ· ὡς τὸν ἅγιον Παῦλον τὸν*

Στό μεταξύ ἔφθασε ἡ Δεσποτική νηστεία[15] πού ἔρχεται κάθε χρόνο, ὅπως ἀκριβῶς ἡ ἄνοιξη. Καί ἀφοῦ ἦρθαν ἰδιαίτερα στό βασιλιά πάλι οἱ γύρω ἀπό τόν 'Αντίοχο, τοῦ ἐξήγησαν πάλι ὅτι ἔχασε τή μάχη ὁ 'Ιωάννης, γιά νά προστάξει νά τόν ἐξορίσουν, ἐπειδή πλησίαζε τό Πάσχα. Καί ὁ βασιλιάς ἀπό ἀνάγκη, ἐπειδή τόν ἐνοχλοῦσαν αὐτοί, τούς πίστεψε σάν ἐπισκόπους (γιατί ὁ ἀληθινός πρεσβύτερος ἤ ὁ ἐπίσκοπος δέ γνωρίζει τό ψέμα, ἐπειδή τά ὀνόματα αὐτά εἶναι καθορισμένα ἀπό το Θεό, ἀφοῦ τίποτε δέν εἶναι μεγαλύτερο ἀπό τό Θεό, οὔτε ἐπιβλέπει καλύτερα· γιατί Θεός εἶναι αὐτός πού ἐποπτεύει ἤ βλέπει τά πάντα. 'Ο ἐπίσκοπος λοιπόν ἤ ὁ πρεσβύτερος, ἐπειδή μετέχει στά ὀνόματα, ἔτσι πρέπει νά μετέχει καί στά πράγματα), καί δηλώνει στόν 'Ιωάννη· «Φύγε ἀπό τήν 'Εκκλησία». Καί αὐτός ἀπάντησε· «'Εγώ ἔχω δεχθεῖ τήν ἐκκλησία αὐτή ἀπό τό Σωτήρα Θεό γιά νά φροντίζω τή σωτηρία τοῦ λαοῦ καί δέν μπορῶ νά τήν ἐγκαταλείψω. 'Εάν ὅμως θέλεις αὐτό (γιατί ἡ πόλη ἐνδιαφέρει ἐσένα), διῶξε με βίαια, γιά νά ἔχω δικαιολογία τῆς λιποταξίας μου τή δική σου δύναμη». Ἔτσι μέ κάποια ντροπή ἀφοῦ ἔστειλαν ἀνθρώπους ἀπό τό παλάτι, τόν ἔδιωξαν, διατάσσοντας πρός τό παρόν νά ζεῖ μέσα στό ἐπισκοπεῖο, περιμένοντας τό ἐνδεχόμενο τῆς ὀργῆς τοῦ Θεοῦ, ὥστε ἐάν συμβεῖ κάτι θλιβερό σ' αὐτούς, ὁδηγώντας αὐτόν γρήγορα στήν ἐκκλησία, νά ἐξιλεώσουν τό Θεό· εἰδεμή, γιά νά τοῦ ἐπιτεθοῦν πάλι, ὅπως ὁ Φαραώ στό Μωυσῆ[16].

Στό μεταξύ ἦρθε ἡ ἡμέρα τοῦ Μεγάλου Σαββάτου, κατά τήν ὁποία ὁ Σωτήρας ἀφοῦ σταυρώθηκε σκύλευσε τόν Ἅδη. Καί πάλι τοῦ δηλώνουν· «Φύγε ἀπό τήν 'Εκκλησία». 'Απαντᾶ τά γνωστά. Σεβόμενος λοιπόν ὁ βασιλιάς τήν ἱερότητα τῆς ἡμέρας καί τήν ἀναταραχή τῆς πόλης στέλνει καί προσκαλεῖ τούς γύρω ἀπό τόν 'Ακάκιο καί 'Αντίοχο, λέγοντας σ' αὐτούς· «Τί πρέπει νά γίνει; προσέχετε μήπως δέ σκέπτεστε σωστά». Τότε οἱ γενναῖοι καί παράτολμοι εἶπαν στό βασιλιά· «Βασιλιά, ἡ εὐθύνη γιά τήν καθαίρεση τοῦ 'Ιωάννη ἄς πέσει ἐπάνω μας». Τελευταία βοήθεια, οἱ ἐπίσκοποι πού ἦταν μαζί μέ τόν 'Ιωάννη, ἴσοι στόν ἀριθμό μέ τίς ἡμέρες τῆς ἁγίας νηστείας, ἦρθαν στό βασιλιά καί στή βασίλισσα μέσα στά μαρτύρια μέ δάκρυα στά μάτια, παρακαλώντας νά λυπηθοῦν τήν 'Εκκλησία τοῦ Χριστοῦ, ν' ἀποκτήσει πάλι τόν ἐπίσκοπό της, ἰδιαίτερα γιά τό Πάσχα καί γι' αὐτούς πού πρόκειται νά βαπτισθοῦν, ἀφοῦ ἤδη κατηχήθηκαν. Δέν εἰσακούσθη-

15. 'Η νηστεία τῆς Μ. Τεσσαρακοστῆς. 16. Βλ. 'Εξ. 10, 7.28· 14, 5-8.

ἀπὸ Κρατείας εἰπεῖν ἀδείλῳ τῇ παῤῥησίᾳ· "Εὐδοξία, φοβήθητι τὸν Θεόν, ἐλεήσασά σου τὰ τέκνα· μὴ ὕβριζε τὴν ἑορτὴν τοῦ Χριστοῦ τῇ τῶν 'αἱμάτων ἐκχύσει'". Ὑποστρέψαντες δὲ οἱ τεσσαράκοντα ἐπίσκοποι ἠγρύπνησαν ἐν τοῖς καταγωγίοις αὐτῶν, οἱ μὲν μετὰ δακρύων, οἱ δὲ μετὰ λύπης, ἕτεροι δὲ ἀμάχῳ τῇ διανοίᾳ κατεσχέθησαν κάρῳ, ὡς ἕκαστον ἐκυβέρνα τὸ πάθος.

Οἱ μέντοι πρεσβύτεροι Ἰωάννου, οἱ τὸν θεῖον ἔχοντες φόβον, ἐν τῷ δημοσίῳ λουτρῷ τῷ ἐπικαλουμένῳ Κωνσταντιαναῖς τοὺς λαοὺς συναγαγόντες, εἴχοντο τῆς ἀγρυπνίας, οἱ μὲν τὰ θεῖα λόγια ἀναγινώσκοντες, οἱ δὲ βαπτίζοντες τοὺς κατηχηθέντας, ὡς εἰκὸς διὰ τὸ Πάσχα. Ταῦτα αὐτὰ προσαναφέρουσιν οἱ γνωμοφθόροι καὶ φρεναπάται, οἱ περὶ Ἀντίοχον καὶ Σευηριανὸν καὶ Ἀκάκιον, τοῖς ἑαυτῶν προστάταις, ἀξιοῦντες ἐμποδισθῆναι τοὺς λαοὺς ἀπὸ τῆς ἐκεῖ συνάξεως. Ἀντεῖπεν ὁ τότε μάγιστρος, φήσας· "Νὺξ ἐστι καὶ ὄχλοι πολλοί· μή τι ἀτόπημα γένηται". Ἀνθυποφέρουσιν οἱ περὶ Ἀκάκιον· "Οὐδεὶς ἔμεινεν ἐν ταῖς ἐκκλησίαις. Καὶ δεδοίκαμεν μήποτε εἰσελθὼν ὁ βασιλεὺς ἐν τῇ ἐκκλησίᾳ καὶ μὴ εὑρὼν μηδένα, αἴσθηται τῆς τοῦ λαοῦ εὐνοίας τῆς πρὸς Ἰωάννην καὶ καταγνῷ ἡμῶν ὡς βασκάνων, ἐπειδὴ μάλιστα εἴπομεν αὐτῷ, ὅτι οὐδείς ἐστιν ὅλως ὁ ἡδέως αὐτῷ προσέχων, ὡς ἀνθρώπῳ, ἀσπόνδῳ". Οὕτως ὁ μάγιστρος διαμαρτυράμενος αὐτοῖς ἐπὶ τοῖς ἀποβησομένοις, δίδωσι Λούκιόν τινα, ὡς ἔλεγον, Ἕλληνα, ἀφηγούμενον τοῦ ἀριθμοῦ τῶν ὁπλοφόρων, ἐντειλάμενος ἐπιεικῶς ἀπελθόντα καλέσαι τὸν λαὸν ἐν τῇ ἐκκλησίᾳ. Ἀπελθὼν δέ, καὶ μὴ ἀκουσθείς, ὑποστρέφει πρὸς τοὺς περὶ Ἀκάκιον, διηγησάμενος τὸν τόνον καὶ τὴν πυκνότητα τοῦ λαοῦ.

Μετὰ τοῦτο λιπαρῶς αὐτὸν παρακαλοῦσι χρυσέοις ῥήμασι δυσωποῦντες καὶ ὑποσχέσει μείζονος προκοπῆς, ἵνα ἐμποδίσῃ τῇ δόξῃ τῇ τοῦ Κυρίου, ἐντειλάμενοι αὐτῷ, ἢ λόγῳ πείσαντα ἀγαγεῖν ἐπὶ τὴν ἐκκλησίαν, ἢ ὀργῇ ταράξαντα παῦσαι τὴν ἑορτὴν τοῦ συναγαγεῖν. Ὃς ἐξαυτῆς συμπαραλαβὼν κληρικοὺς τοῦ μέρους Ἀκακίου ἐξῆλθεν δευτέρᾳ

17. Είναι γνωστός μόνο ἀπό ἐδῶ. Ἦταν ἐπίσκοπος στήν ἐπαρχία Ὀνωριάδας, μεταξύ Βιθυνίας καί Παφλαγονίας. 18. Σοφ. Σειρ. 27, 15.

καν γι' αὐτό, ὥστε ὁ ἅγιος Παῦλος[17], ὁ ἐπίσκοπος Κρατείας, νά πεῖ μ' ἄφοβο θάρρος· «Εὐδοξία, νά φοβηθεῖς τό Θεό, ἀφοῦ εὐσπλαχνισθεῖς τά παιδιά σου· μήν προσβάλλεις τήν ἑορτή τοῦ Χριστοῦ μέ τό νά 'χυθοῦν αἵματα'»[18]. Καί ἀφοῦ ἐπέστρεψαν οἱ σαράντα ἐπίσκοποι ἔμειναν ἄγρυπνοι στά καταλύματά τους, ἄλλοι δακρυσμένοι, ἄλλοι λυπημένοι, ἐνῶ ἄλλοι μέ ἥσυχο τό νοῦ παραδόθηκαν στόν ὕπνο, ὅπως ὅριζε στόν καθένα ἡ ψυχική του κατάσταση.

Οἱ πρεσβύτεροι λοιπόν τοῦ 'Ιωάννη, οἱ ὁποῖοι εἶχαν τό φόβο τοῦ Θεοῦ, ἀφοῦ συγκέντρωσαν τό λαό στό δημόσιο λουτρό, πού ὀνομάζεται Κωνσταντιανές θέρμες, τελοῦσαν τήν παννυχίδα, ἄλλοι διαβάζοντας τά θεῖα λόγια καί ἄλλοι βαπτίζοντας τούς κατηχημένους, ὅπως ἦταν φυσικό γιά τό Πάσχα. Αὐτά ἀκριβῶς ἀναφέρουν ἐκεῖνοι πού διαστρέφουν τίς γνῶμες καί ἐξαπατοῦν τό νοῦ, οἱ ὀπαδοί δηλαδή τοῦ 'Αντιόχου, τοῦ Σευηριανοῦ καί τοῦ 'Ακακίου στούς προστάτες τους, ἀξιώνοντας νά ἐμποδισθεῖ ὁ λαός ἀπό τή συγκέντρωσή του ἐκείνη. 'Απάντησε ὁ τότε μάγιστρος[19], λέγοντας· «Εἶναι νύχτα καί ὁ λαός πολύς· νά μή γίνει κανένα ἀνοσιούργημα». 'Απαντοῦν οἱ γύρω ἀπό τόν 'Ακάκιο· «Κανένας δέν ἔμεινε μέσα στίς ἐκκλησίες, καί φοβούμαστε μήπως μπαίνοντας ὁ βασιλιάς στήν ἐκκλησία καί μή βρίσκοντας κανένα, καταλάβει τήν εὔνοια τοῦ λαοῦ πρός τόν 'Ιωάννη καί μᾶς κατακρίνει ὡς συκοφάντες, ἐπειδή μάλιστα τοῦ εἴπαμε, ὅτι δέν ὑπάρχει ἀπολύτως κανένας πού νά τόν προσέχει αὐτόν μέ εὐχαρίστηση, ἐπειδή εἶναι ἀδιάλλακτος ἄνθρωπος». Ἔτσι ὁ μάγιστρος ρίχνοντας σ' αὐτούς τήν εὐθύνη γιά ὅσα θ' ἀκολουθήσουν, δίνει κάποιο Λούκιο, ὅπως τόν ἔλεγαν, Ἕλληνα, ἀρχηγό τοῦ σώματος τῶν ὁπλοφόρων, δίνοντας ἐντολή νά πάει καί νά καλέσει μέ ἤπιο τρόπο τό λαό στήν ἐκκλησία. Ὅταν πῆγε ὅμως καί δέν τόν ἄκουσαν, ἐπιστρέφει στή συνοδεία τοῦ 'Ακακίου, ἀναφέροντας τή δύναμη καί τό πλῆθος τοῦ λαοῦ[20].

Ὕστερα ἀπ' αὐτό, τόν παρακαλοῦν ἐπίμονα ἱκετεύοντας μέ χρυσά λόγια καί μέ ὑπόσχεση γιά μεγαλύτερη προαγωγή, γιά νά φέρει ἐμπόδιο στή δόξα τοῦ Κυρίου, δίνοντας ἐντολή σ' αὐτόν ἤ νά πείσει μέ λόγια τό λαό καί νά τόν φέρει στήν ἐκκλησία, ἤ ἀφοῦ τόν ταράξει μέ ὀργή νά διαλύσει τήν ἑορταστική συγκέντρωση. Αὐτός παίρνοντας μαζί του ἀμέσως κληρικούς ἀπό τή μερίδα τοῦ 'Ακακίου βγῆκε μετά τά μεσάνυχτα γιά τό σκοπό πού τόν ἔστειλαν (γιατί κρατοῦν τό λαό

19. Ἦταν ὁ 'Ανθέμιος. 20. Πού ἦταν στίς Κωνσταντιανές Θερμές.

φυλακῇ τῆς νυκτὸς ἐφ' ᾧ ἀπεστάλη (παρατείνουσι γὰρ τὸν λαὸν ἐν τοῖς μέρεσιν ἡμῶν ἕως ἀλέκτορος πρώτου), ἔχων Θρᾶκας ξιφήρεις, νεοστρατεύτους (κατὰ τὸν Ἠσαῦ) τετρακοσίους, ἀναιδεῖς περισσῶς, ἐπεπήδησεν αἰφνίδιον κατὰ τὴν νύκτα σὺν τοῖς ὑποδεικνύουσι κληρικοῖς καὶ τοῖς στρατιώταις ἰταμῶς, ὡς ἅτε λύκος, σιδήρῳ στίλβοντι διασχίσας τοὺς ὄχλους. Χωρήσας δ' ἔνδον τῶν μακαρίων ὑδάτων ἐπὶ κωλύσει τῶν μυουμένων τὴν ἀνάστασιν τοῦ Σωτῆρος, καὶ τῷ μὲν διακόνῳ θρασέως ἐντιναχθείς, τὰ σύμβολα ἐκχέει· τοὺς δὲ πρεσβυτέρους, ἤδη που καὶ ἡλικιώτας, ῥοπάλοις κατὰ κρανίου παίσας, αἵματι κιρνᾷ τὴν κολυμβήθραν.

Τότε ἦν ἰδεῖν τὴν ἀγγελικὴν ἐκείνην νύκτα, ἐν ᾗ καὶ δαίμονες πίπτουσιν ἐπτηχότες, εἰς λαβύρινθον μεταβληθεῖσαν. Γυμναὶ γὰρ γυναῖκες σὺν τοῖς ἀνδράσι δρασμῷ ἐχρῶντο, φόβῳ τοῦ σφαγῆναι ἢ ἀσχημονῆσαι, τὸν ἄσχημον ἀσπαζόμεναι δρόμον· ἕτερος τὴν χεῖρα πληγείς, ὀδυρόμενος ἀπῄει· ἄλλος παρθένον ἔσυρεν περισχίσας· πάντες δὲ λαφυραγωγήσαντες τὰ κειμήλια ἐσφετερίζοντο. Οὕτως οἱ μὲν συλληφθέντες τῶν πρεσβυτέρων καὶ διακόνων εἰς τὴν εἱρκτὴν ἐνεβάλλοντο· οἱ δὲ ἀξιωματικοὶ τοῦ λαοῦ τῆς μεγαλοπόλεως ἐξεβάλλοντο. Διατάγματα δὲ ἀλλεπάλληλα κατὰ τόπον προετίθεντο διαφόρους ἀπειλὰς περιέχοντα ἐπὶ ἀρνήσει τῆς κοινωνίας Ἰωάννου. Πλὴν ὅμως καὶ ταῦτ' ἐγίνετο, καὶ πλείονα ἔξωθεν οἱ λεγόμενοι ἐπίσκοποι προσεφιλοτιμοῦντο· καὶ ἡ σύναξις τῶν φιλοδιδασκάλων μᾶλλον δὲ φιλοθέων, οὐ κατηργεῖτο, ἀλλὰ κατὰ τὸ εἰρημένον ἐν τῇ Ἐξόδῳ, "Ὅσον ἀπέκτενον αὐτούς, τοσούτῳ πλείους ἐγίνοντο".

Τῇ ἐπαύριον γοῦν ἐξελθὼν ὁ βασιλεὺς τοῦ γυμνασθῆναι ἐν τῷ παρακειμένῳ πεδίῳ εἶδεν τὴν ἄσπορον γῆν τὴν περὶ τὸ Πέμπτον λευχειμονοῦσαν, καὶ ἐκπλαγεὶς ἐπὶ τῇ θέᾳ τοῦ ἄνθους τῶν νεοφωτίστων (ἦσαν γὰρ ἀμφὶ τοὺς τρισχιλίους), ἤρετο παρὰ τῶν δορυφόρων· "Τίς ἡ λογὰς τῶν ἐ[illegible]ηθροισμένων;" διαψευσάμενοι λέγουσι· "Τῶν ἑτεροδόξων", ἵνα παραγάγωσι τὸν θυμὸν τοῦ βασιλέως. Γνόντες δ' ἐξαυτῆς οἱ τοῦ πράγματος μεσῖται καὶ προστάται τοῦ φθόνου πέμπουσιν εἰς τοὐπίσω τοὺς ἀφειδεστέρους τῶν ἑπομένων ἐπὶ σκορπισμῷ

---

21. Βλ. Γεν. 32, 6. 22. Ἐξ. 1, 12.

στά μέρη μας μέχρι νά λαλήσει ὁ πρῶτος πετεινός), ἔχοντας (ὅπως ὁ Ἠσαῦ[21]) τετρακόσιους νεοσύλλεκτους Θράκες, ὁπλισμένους μέ ξίφη, ὑπερβολικά ἀναιδεῖς, μέ ἑτοιμότητα ἐπιτέθηκε ξαφνικά μέσα στή νύχτα μαζί μέ τούς κληρικούς πού τοῦ ἔδειχναν τί νά κάνει καί τούς στρατιῶτες, σάν λύκος διαχωρίζοντας τά πλήθη μέ τά ἀστραφτερά ὅπλα. Ἀφοῦ ἔφθασε μέσα στά ἁγιασμένα νερά γιά νά ἐμποδίσει ἐκείνους πού μυοῦνται στήν ἀνάσταση τοῦ Σωτήρα, ἐπιτέθηκε μέ θρασύτητα στό διάκονο καί χύνει τή θεία εὐχαριστία· καί τούς πρεσβυτέρους, πού ἴσως ἦταν κάπως ἡλικιωμένοι, τούς χτυπᾶ μέ ρόπαλα στό κεφάλι καί βάφει μέ αἷμα τήν κολυμβήθρα.

Τότε μποροῦσε νά δεῖ κανείς νά μεταβάλλεται σέ λαβύρινθο ἡ ἀγγελική νύχτα, κατά τήν ὁποία καί οἱ δαίμονες πέφτουν φοβισμένοι. Γιατί γυμνές γυναῖκες μαζί μέ τούς ἄνδρες δραπέτευσαν, ἀπό φόβο νά μή σφαγοῦν ἤ νά μή δώσουν κακή ἐντύπωση, ἐπειδή ἀκολούθησαν ἄσεμνο δρόμο· ἄλλος χτυπημένος στό χέρι, ἔφευγε κλαίγοντας· ἄλλος ἔσυρε παρθένο ξεσχίζοντας τά ροῦχα της· καί ὅλοι ἀφοῦ λαφυραγώγησαν τά κειμήλια, τά ἔκαμαν δικά τους. Ἔτσι ὅσους πρεσβυτέρους καί διακόνους συνέλαβαν τούς ἔβαλαν στή φυλακή, ἐνῶ τούς ἀξιωματούχους τῆς πρωτεύουσας τούς ἀπομάκρυναν. Καί ἀλλεπάλληλα διατάγματα ἐκδίδονταν κατά περιοχή πού περιεῖχαν διάφορες ἀπειλές, γιά ν' ἀρνηθοῦν τήν ἐκκλησιαστική ἐπικοινωνία μέ τόν Ἰωάννη. Ἀλλ' ὅμως καί αὐτά γίνονταν καί περισσότερα ἀπ' ἔξω προσπαθοῦσαν νά κάμουν οἱ κατά τό ὄνομα ἐπίσκοποι· καί ἡ συγκέντρωση τῶν Χριστιανῶν πού ἀγαποῦσαν τήν ἐκκλησιαστική διδαχή, ἤ καλύτερα πού ἀγαποῦσαν τό Θεό, δέ διαλυόταν, ἀλλά σύμφωνα μέ τό λεγόμενο στήν ἔξοδο, «Ὅσο τούς σκότωναν αὐτούς, τόσο περισσότεροι γίνονταν»[22].

Τήν ἑπόμενη ἡμέρα λοιπόν ὅταν βγῆκε ὁ βασιλιάς νά γυμνασθεῖ στό γήπεδο πού ἦταν ἐκεῖ κοντά, εἶδε τήν ἄσπαρτη γῆ γύρω ἀπό τό Πέμπτο[23] νά εἶναι ντυμένη στά ἄσπρα, καί νιώθοντας κατάπληξη ὅταν εἶδε τό λαμπρό χρῶμα τῶν νεοφώτιστων (γιατί ἦταν γύρω στούς τρεῖς χιλιάδες) ζήτησε νά μάθει ἀπό τούς σωματοφύλακές του· «Ποιοί εἶναι οἱ ἐκλεκτοί πού συγκεντρώθηκαν ἐκεῖ;» Λέγοντας ψέματα ἀπαντοῦν «Ἑτερόδοξοι», γιά νά προλάβουν τό θυμό τοῦ βασιλιᾶ. Καί γνωρίζοντας ἀμέσως αὐτά ὅσοι συντέλεσαν καί προστάτεψαν τά φθονερά γεγονότα στέλνουν πρός τά πίσω τούς σκληρότερους τῆς βασιλικῆς

23. Πέμπτο· περιοχή τῆς Κων/πόλεως, κοντά στά χερσαῖα τείχη, ὅπου ὑπῆρχε ἔκταση χωρίς σπίτια καί ἀκαλλιέργητη. Ὀνομάστηκε ἔτσ γιατί ἀπεῖχε 5 μίλια ἀπό τό κέντρο τῆς πόλης.

μὲν τῶν ἀκροατῶν, συλλήψει δὲ τῶν διδασκάλων. Οἱ δ' ἐλθόντες κατέχουσι πάλιν ὀλίγους μὲν τῶν κληρικῶν, πλείους δὲ τῶν λαϊκῶν.

Καὶ ὁ Θεόδωρος ἔφη·

5 *Ο ΔΙΑΚ. Ὦ μακαριώτατε πάτερ, καὶ τοσούτων ὄντων αὐτῶν, ὡς τρισχιλίους μόνον εἶναι τοὺς νεοφωτίστους, πῶς αὐτῶν οἱ βραχεῖς ἐκυρίευσαν στρατιῶται τὸν σύλλογον διαλύσαντες;*

Ο ΕΠΙΣΚ. Τοῦτο οὐκ ὀλιγότητος δεῖγμα, οὐδὲ τεκμήριον 10 *ἀζηλίας, ἀλλὰ πλεονέκτημα εὐλαβείας καὶ διδασκάλων ἐπιμελείας ἀπόδειξις, ἀδιαλείπτως τὸ ἄμαχον τῆς γνώμης ἐπανορθούντων.*

Ὁ Θεόδωρος εἶπεν·

Ο ΔΙΑΚ. Ἄριστα ἔφης· οὔτε γὰρ ἔπρεπεν τοὺς φρόνησιν 15 *ἐκμανθάνοντας καὶ ἐπιείκειαν παρὰ τοῦ ἱεροῦ Ἰωάννου ἀφρόνως καὶ τεταραγμένως αὐτοῦ ἀντιποιεῖσθαι.*

ΚΕΦΑΛΑΙΟΝ Ι΄

Ο ΕΠΙΣΚ. Ἡσθεὶς οὖν ἐπὶ τούτῳ, παρακαλῶ, μὴ ἀνάκοπτε τοὺς λόγους τοὺς ὑπὸ κακῶν πραγμάτων τεχθέντας (ἔοικε γὰρ 20 *τίκτειν ὡς ἐπὶ τὸ πλεῖστον τοὺς λόγους τὰ πράγματα). Σὺν τοῖς κατασχεθεῖσιν οὖν κληρικοῖς τε καὶ λαϊκοῖς συνελήφθησαν καὶ γυναῖκες ἀνδρῶν ἐπισήμων. Ἔστι δὲ ὧν καὶ τὰ μαφόρια ἥρπασαν, ἑτέρων δὲ τὰ ἐνώτια σὺν τῷ λοβῷ τοῦ ὠτὸς συναπέσπασαν· ὡς ἰδοῦσάν τινος Ἐλευθέρου γυναῖκα εὐδαι-* 25 *μονεστάτην σφόδρα, καταλείψασαν τὸ ἑαυτῆς μαφόριον, μεταμφιασαμένην τὸ σχῆμα τὸ τῶν δουλίδων, δρομαίαν εἰσβαλεῖν εἰς τὴν πόλιν ἐπὶ σωτηρίᾳ τῆς σωφροσύνης (ἦν γάρ, ὡς εἰκός, εὐανδῆ μορφὴν καὶ εὐφυῆ πλάσιν ἠμφιεσμένη). Τούτῳ οὖν τῷ τρόπῳ πληρωθεῖσαι αἱ φυλακαὶ τῶν διαφόρων* 30 *ἀρχόντων μετεποιοῦντο εἰς ἐκκλησίας· καὶ ὕμνοι μὲν καὶ ἀναφοραὶ μυστηρίων ἐν ταῖς φυλακαῖς ἐπετελοῦντο, μάστιγες δὲ καὶ στρεβλώσεις καὶ ὅρκοι φρικτοὶ ἐν ταῖς ἐκκλησίαις ἡμιλλῶντο ἐπὶ ἀναθεματισμῷ Ἰωάννου τοῦ μέχρι θανάτου ἐχθρεύσαντος τῇ κακίᾳ τοῦ διαβόλου.*

35 *Τῆς Πεντηκοστῆς δὲ συμπληρωθείσης, μετὰ πέντε ἡμέρας*

ἀκολουθίας γιά νά διαλύσουν τούς ἀκροατές καί νά συλλάβουν ὅμως τούς διδασκάλους. Καί αὐτοί πῆγαν καί συνέλαβαν πάλι λίγους μέν κληρικούς, ἀλλά πάρα πολλούς λαϊκούς.

Καί ὁ Θεόδωρος εἶπε·

Ο ΔΙΑΚ. Μακαριότατε πάτερ, ἐνῶ ἦταν τόσο πολλοί αὐτοί, ὥστε νά εἶναι τρεῖς χιλιάδες οἱ νεοφώτιστοι μόνο, πῶς τούς κυρίευσαν αὐτούς οἱ λίγοι στρατιῶτες διαλύοντας τή συγκέντρωσή τους;

Ο ΕΠΙΣΚ. Αὐτό δέν εἶναι δεῖγμα ἀδυναμίας, οὔτε ἀπόδειξη ἀπουσίας ζήλου, ἀλλά πλεονέκτημα εὐλάβειας καί ἀπόδειξη ἐπιμέλειας τῶν διδασκάλων, πού ἐνισχύουν ἀδιάκοπα τό φιλήσυχο τῆς διάθεσης.

'Ο Θεόδωρος εἶπε·

Ο ΔΙΑΚ. Πολύ καλά εἶπες· γιατί δέν ἅρμοζε ἐκεῖνοι πού μάθαιναν τή φρόνηση καί τήν πρατότητα ἀπό τόν ἱερό 'Ιωάννη, ν' ἀγωνίζονται χωρίς σύνεση καί μέ θόρυβο γι' αὐτόν.

ΚΕΦΑΛΑΙΟ Ι΄

Ο ΕΠΙΣΚ. 'Αφοῦ λοιπόν εὐχαριστήθηκες γι' αὐτό, σέ παρακαλῶ, νά μή διακόπτεις τά λόγια πού γεννιοῦνται ἀπό τά κακά πράγματα (γιατί φαίνεται ὅτι τά πράγματα τίς περισσότερες φορές γεννοῦν τά λόγια). Μαζί λοιπόν μέ τούς κληρικούς καί τούς λαϊκούς πού συνελήφθηκαν, συνελήφθηκαν καί γυναῖκες ἐπίσημων ἀνδρῶν. 'Από μερικές ἅρπαξαν τά ἐπανωφόρια καί ἀπό ἄλλες ἀπέσπασαν τά σκουλαρίκια μαζί μέ τό λοβό τοῦ αὐτιοῦ συγχρόνως. Μόλις εἶδε ἡ γυναίκα κάποιου 'Ελευθέρου, ἡ ὁποία ἦταν πάρα πολύ πλούσια, ἄφησε τό δικό της φόρεμα, μεταμορφώθηκε σέ δούλα καί μπῆκε τρέχοντας στήν πόλη γιά νά σώσει τήν τιμή της (γιατί εἶχε, ὅπως φαίνεται, ὡραῖο πρόσωπο καί ὅμορφο παράστημα). Μ' αὐτόν τόν τρόπο λοιπόν ἀφοῦ γέμισαν οἱ φυλακές τῶν διάφορων ἀρχόντων, μετατρέπονταν σέ ἐκκλησίες. Καί ὕμνοι καί προσφορές τῶν μυστηρίων τελοῦνταν μέσα στίς φυλακές, ἐνῶ μαστιγώσεις καί στρεβλώσεις καί φοβεροί ὅρκοι συναγωνίζονταν αὐτά μέσα στίς ἐκκλησίες πρός ἀναθεματισμό τοῦ 'Ιωάννη, ὁ ὁποῖος μίσησε ὑπερβολικά τήν κακία τοῦ διαβόλου.

Καί ὅταν τελείωσε ἡ Πεντηκοστή[1], μετά ἀπό πέντε ἡμέρες ἦρθαν

11. Τοῦ 404.

εἰσελθόντες οἱ περὶ Ἀκάκιον καὶ Σευηριανὸν καὶ Ἀντίοχον καὶ Κυρῖνον πρὸς τὸν βασιλέα λέγουσιν αὐτῷ· "Βασιλεῦ, σὺ ἡμῖν παρὰ Θεοῦ οὐκ ἐξουσιαζόμενος, ἀλλ' ἐξουσιάζων τῶν πάντων, ἔξεστί σοι ὃ θέλεις ποιῆσαι. Μὴ γίνου πρεσβυτέρων
5 *πραότερος καὶ ἐπισκόπων ὁσιώτερος· εἴπομέν σοι ἐπὶ πάντων· 'Ἐπὶ τὴν κεφαλὴν ἡμῶν ἡ Ἰωάννου καθαίρεσις'. Μὴ τοίνυν φείσῃ ἑνὸς ἀνθρώπου, ἀφειδήσας πάντων ἡμῶν". Ἰουδαϊκοῖς ῥήμασι, τάχα δὲ καὶ πράγμασι, παραπείσαντες τὸν βασιλέα. Οὕτως ἀποστείλας ὁ βασιλεὺς Πατρίκιον τὸν νοτάριον δηλοῖ*
10 *τῷ Ἰωάννῃ τάδε· "Οἱ περὶ Ἀκάκιον καὶ Ἀντίοχον καὶ Σευηριανὸν καὶ Κυρῖνον τὸ κατὰ σὲ κρῖμα ἐπὶ τὴν ἑαυτῶν ἔθηκαν κεφαλήν. Τὸ κατὰ σαυτὸν οὖν ἀναθεὶς τῷ Θεῷ, ἔξελθε τῆς ἐκκλησίας". Οὕτως κατελθὼν ὁ ἐπίσκοπος Ἰωάννης, μετὰ τὴν τρανὴν φάσιν καὶ ἀνεπισκίαστον, τοῦ ἐπισκοπείου σὺν*
15 *τοῖς ἐπισκόποις, λέγει πᾶσι· "Δεῦτε, προσευξάμενοι συνταξώμεθα τῷ ἀγγέλῳ τῆς ἐκκλησίας". Γεγηθὼς μὲν ἐπὶ τῷ πράγματι, λυπούμενος δὲ ἐπὶ τῇ τοῦ λαοῦ κακουχίᾳ.*

Ἐξαυτῆς δέ τις σημαίνει τῶν φιλοθέων δυναστῶν τῷ Ἰωάννῃ· "Ἐπειδὴ Λούκιος, ἰταμὸς ἀνὴρ καὶ ἀναιδὴς προσώ-
20 *πῳ, ἕτοιμός ἐστιν ἐν τῷ δημοσίῳ λουτρῷ σὺν τοῖς ὑπ' αὐτὸν στρατιώταις, ὅπως, εἰ ἀντείποις ἢ ἀναβάλλῃ, καὶ ἄκοντά σε σῦραι καὶ ἐξῶσαι· περικλονοῦνται δὲ οἱ δῆμοι τῆς πόλεως· σπούδασον ἐξελθεῖν λεληθότως, ἵνα μή σου ἀντιποιούμενος ὁ λαὸς πόλεμον συνάψῃ μετὰ τῶν στρατιωτῶν". Τότε ὁ Ἰωάννης*
25 *καταφιλήσας τινὰς τῶν ἐπισκόπων μετὰ δακρύων (τοὺς γὰρ λοιποὺς οὐδὲ καταφιλεῖν συνεχώρει τὸ πάθος) συνετάξατο, εἰπὼν τοῖς λοιποῖς ἔνδον ἐν τῷ ἱερατείῳ· "Μείνατε τέως ὧδε, ἵνα ἀπελθὼν μικρὸν ἀνεθῶ". Εἰσελθὼν δὲ ἐν τῷ βαπτιστηρίῳ καλεῖ τὴν Ὀλυμπιάδα, ἀναπάλλακτον οὖσαν τῆς ἐκκλησίας,*
30 *σὺν Πενταδίᾳ καὶ Πρόκλῃ, ταῖς διακόνοις, καὶ Σιλβίνῃ, τῇ τοῦ μακαρίου Νεβριδίου γυναικί, εὐσχήμως κοσμούσῃ τὴν ἑαυτῆς χηρείαν, καὶ λέγει αὐταῖς· "Δεῦτε ὧδε, θυγατέρες, ἀκούσατέ μου· 'τὰ κατ' ἐμὲ τέλος ἔχει', ὡς ὁρῶ. 'Τὸν δρόμον μου τετέλεκα', καὶ ἴσως 'οὐκέτι ὄψεσθε τὸ πρόσωπόν μου'; Τοῦτο*
35 *δέ ἐστιν ὃ παρακαλῶ· μή τις ὑμῶν ἀνακοπῇ τῆς συνήθους εὐνοίας τῆς περὶ τὴν ἐκκλησίαν. Καὶ ὃς ἂν ἄκων ἀχθῇ ἐπὶ τὴν*

2. Λουκᾶ 22, 37. 3. Β´ Τιμ. 4, 7. 4. Πράξ. 20, 25.

στό βασιλιά οἱ γύρω ἀπό τόν 'Ακάκιο, τό Σευηριανό, τόν 'Αντίοχο καί τόν Κυρίνο καί τοῦ λέγουν· «Βασιλιά, ἐσύ ἀπό τό Θεό ἔχεις ὁρισθεῖ σέ μᾶς, δέ σέ ἐξουσιάζει κανείς, ἀλλ' ἐξουσιάζεις τά πάντα, μπορεῖς νά κάμεις αὐτό πού θέλεις. Νά μή γίνεσαι πιό πρᾶος ἀπό τούς πρεσβυτέρους καί πιό εὐλαβής ἀπό τούς ἐπισκόπους. Σοῦ εἴπαμε γιά ὅλα· '"Ας πέσει ἐπάνω μας ἡ εὐθύνη γιά τήν καθαίρεση τοῦ 'Ιωάννη'. Μή λυπηθεῖς ἕναν ἄνθρωπο καί ἀδιαφορήσεις γιά μᾶς ὅλους», ἐξαπατώντας τό βασιλιά μέ ἰουδαϊκά λόγια, ἴσως καί μέ πράγματα. Ἔτσι ἀποστέλνοντας ὁ βασιλιάς τό νοτάριο Πατρίκιο ἀνακοινώνει στόν 'Ιωάννη τά ἑξῆς· «Αὐτοί πού εἶναι μέ τόν 'Ακάκιο, τόν 'Αντίοχο, τό Σευηριανό καί τόν Κυρίνο πῆραν ἐπάνω τους τό κρίμα γιά σένα. 'Αναθέτοντας λοιπόν τά δικά σου στό Θεό, φύγε ἀπό τήν ἐκκλησία». Ἔτσι ὁ ἐπίσκοπος 'Ιωάννης, μετά ἀπό τή μεγάλη καί χωρίς ψόγο σταδιοδρομία του, ἀφοῦ κατέβηκε ἀπό τό ἐπισκοπεῖο μαζί μέ τούς ἐπισκόπους, λέγει σ' ὅλους· «'Εμπρός, ἀφοῦ προσευχηθοῦμε ἄς ἀποχαιρετήσουμε τόν ἐπίσκοπο τῆς 'Εκκλησίας», χαρούμενος βέβαια γιά τό πράγμα, λυπημένος ὅμως γιά τήν ταλαιπωρία τοῦ λαοῦ.

Καί ἀμέσως κάποιος ἀπό τούς εὐσεβεῖς ἄρχοντες λέγει στόν 'Ιωάννη· «'Επειδή ὁ Λούκιος, ἄνθρωπος θρασύς καί ἀναιδής, εἶναι ἕτοιμος στό δημόσιο λουτρό μαζί μέ τούς στρατιῶτες του, γιά νά σέ σύρει καί νά σέ διώξει καί χωρίς τή θέλησή σου, ἐάν φέρεις ἀντιρρήσεις ἤ τό ἀναβάλλεις, ἐνῶ βρίσκονται σ' ἀναβρασμό τά πλήθη τῆς πόλης, φρόντισε νά φύγεις κρυφά, γιά νά μήν κάμει πόλεμο ὁ λαός μέ τούς στρατιῶτες ὑπερασπίζοντας ἐσένα». Τότε ὁ 'Ιωάννης ἀφοῦ φίλησε μέ δάκρυα μερικούς ἐπισκόπους (γιατί τούς ὑπόλοιπους δέν τοῦ ἐπέτρεπε ἡ συγκίνηση οὔτε νά τούς φιλήσει), τούς ἀποχαιρέτησε, λέγοντας στούς ὑπόλοιπους μέσα στό ἱερατεῖο· «Μείνετε πρός τό παρόν ἐδῶ, γιά νά πάω λίγο ν' ἀναπαυθῶ». Καί ἀφοῦ μπῆκε μέσα στό βαπτιστήριο καλεῖ τήν 'Ολυμπιάδα, πού ἦταν ἀχώριστη ἀπό τήν ἐκκλησία, μαζί μέ τήν Πενταδία καί τήν Πρόκλη, τίς διακόνισσες, καί τή Σιλβίνα, τή γυναίκα τοῦ μακάριου Νεβριδίου, πού μέ κοσμιότητα στόλιζε τή χηρεία της, καί λέγει σ' αὐτές· «'Ελᾶτε ἐδῶ, θυγατέρες, καί ἀκοῦσε με. '"Οσα ἔχουν σχέση μέ μένα τελειώνουν τώρα'[2], καθώς βλέπω. '"Εχω φθάσει στό τέλος τοῦ δρόμου τῆς ἀποστολῆς μου'[3], καί ἴσως 'δέ θά δεῖτε πιά τό πρόσωπό μου'[4]. Αὐτό εἶναι ἐκεῖνο, πού σᾶς παρακαλῶ· νά μή σταματήσει καμιά ἀπό σᾶς τό συνηθισμένο ζῆλο γιά τήν 'Εκκλησία. Καί ὅποιος θά χειροτονηθεῖ χωρίς τή θέλησή του,

χειροτονίαν, μὴ ἀμβιτεύσας τὸ πρᾶγμα, κατὰ συναίνεσιν τῶν πάντων, κλίνατε τὴν κεφαλὴν ὑμῶν ὡς Ἰωάννῃ (οὐ δύναται γὰρ ἡ ἐκκλησία ἄνευ ἐπισκόπου εἶναι), καὶ οὕτως ἐλεηθῆτε. Μέμνησθέ μου ἐν ταῖς προσευχαῖς ὑμῶν". Συγχυθεῖσαι δὲ
5 *δάκρυσιν ἐκυλινδοῦντο περὶ τοὺς πόδας αὐτοῦ. Τότε νεύσας τινί τῶν σεμνῶν πρεσβυτέρων λέγει· "Λάβε ταύτας ἐντεῦθεν, ἵνα μὴ τοὺς ὄχλους ταράξωσιν". Οὕτως οὖν μικρὸν ἐμποδισθεῖσαι ἔδοξαν αὐτῷ συγχωρεῖν.*

Καὶ οὕτως ἐξῆλθεν ἐπὶ τὸ μέρος τὸ ἀνατολικὸν (οὐδὲν γὰρ
10 *παρ' αὐτῷ δυτικόν), τῷ δὲ δυτικῷ μέρει, ἔνθα ὁ τῆς ἐκκλησίας πυλών, τὸ ὀνοζύγιον, ἐν ᾧ εἰώθει καθέζεσθαι, πρὸ τῆς πύλης κελεύσας στῆναι εἰς περισπασμὸν τῶν λαῶν ἐκεῖθεν αὐτὸν προσδοκώντων, συνεξελθόντος αὐτῷ καὶ τοῦ ἀγγέλου, μὴ φέροντος τὴν ἐρημίαν τῆς ἐκκλησίας, ἣν ἀρχαὶ πονηραὶ καὶ*
15 *ἐξουσίαι εἰργάσαντο, καθάπερ θεατρονόμιον ἀποδείξασαι. "Ὡς μὲν γὰρ ἐν θεάτρῳ κλωσμὸς ἦν, συριττόντων τῶν ἀσεβῶν, καταμωκωμένων, ἄμετρα διασυρόντων Ἰουδαίων τε καὶ Ἑλλήνων· ὡς δ' ἐν εἱρκτῇ πληγαὶ καὶ κατὰ σπλάγχνων φερόμεναι βάσανοι ὑπὸ τῶν στρατιωτῶν· κατατάσεις δὲ τῆς ὅλης δυνά-*
20 *μεως τῆς ψυχῆς διά τε τὴν τοῦ διδασκάλου ἀφαίρεσιν καὶ διὰ τὴν εἰς τὸ θεῖον βλασφημίαν"· ἔνθα γὰρ "ἁμαρτημάτων ἄφεσις", ἐκεῖ "αἱμάτων ἔκχυσις" ἐγίνετο.*

Μετὰ δὲ τὸν ἄφατον καὶ δυσερμήνευτον ἐκεῖνον σκότον, φλὸξ ἀπὸ μέσου τοῦ θρόνου, ἐν ᾧ εἰώθει ὁ Ἰωάννης
25 *καθέζεσθαι, καθάπερ ἐν μέσῳ σώματι κειμένη καρδία τοῖς λοιποῖς ἐξηγεῖσθαι μέλεσι τὰ τοῦ Κυρίου λόγια, φανεῖσα ἐπεζήτει τὸν ὑποφήτην τοῦ λόγου· ὃν οὐχ εὑροῦσα κατεβόσκετο τὴν σκευωρίαν. Δενδρωθεῖσα δὲ εἰς ὕφος εἷρψεν διὰ τῶν ἁλύσεων ἐπὶ τὴν στέγην· ἔχεως δὲ δίκην τὴν γαστέρα φαγοῦσα,*
30 *ἐπὶ νῶτον ἐφέρετο τῶν δωμάτων τῆς ἐκκλησίας, "μισθὸν τῆς ἀδικίας" ὥσπερ, τὴν ἐπὶ ταύτῃ ὡρισμένην δίκην ἀποδιδόντος Θεοῦ, εἰς σωφρονισμὸν καὶ νουθεσίαν τῶν οὐκ εἰδότων γε*

---

5. Ἦταν βράδυ καί σέ λίγο ἔπεσε πυκνό τό σκοτάδι.

6. Ἡ Ἀνατολή εἶναι τό σύμβολο τοῦ φωτός, ἐνῶ ἡ Δύση τοῦ σκότους καί τῆς ἁμαρτίας.

7. Τό ὄνομα Ἕλληνες ὄχι μέ ἐθνική σημασία, ἀλλά μέ θρησκευτική (= εἰδωλολάτρες).

ἀφοῦ δέν ἐπιδίωξε τό πρᾶγμα, σύμφωνα μέ τή συγκατάθεση ὅλων, νά τοῦ κλίνετε τό κεφάλι σας ὅπως στόν 'Ιωάννη (γιατί δέν μπορεῖ ἡ 'Εκκλησία νά εἶναι χωρίς ἐπίσκοπο). Καί ἔτσι θά σᾶς ἐλεεῖ ὁ Θεός. Νά μέ θυμάστε στίς προσευχές σας». Αὐτές ταράχθηκαν καί μέ δάκρυα κυλίονταν στά πόδια του. Τότε κάνοντας νόημα σέ κάποιον ἀπό τούς σεβαστούς πρεσβυτέρους λέγει· «Πάρε αὐτές ἀπ' ἐδῶ, γιά νά μήν ξεσηκώσουν τούς ὄχλους». Ἔτσι λοιπόν φάνηκαν ὅτι συμφώνησαν μ' αὐτόν, ἀφοῦ τίς ἐμπόδισαν λίγο.

Καί ἔτσι βγῆκε[5] στό ἀνατολικό μέρος (ἀφοῦ τίποτε ἀπό τό δυτικό[6] δέν ἦταν δικό του), ἐνῶ στό δυτικό μέρος, ὅπου ἦταν ἡ ἐξωτερική εἴσοδος τῆς ἐκκλησίας, βρισκόταν τό ζῶο, στό ὁποῖο συνήθιζε νά κάθεται, δίνοντας ἐντολή νά ἑτοιμασθεῖ μπροστά στήν πύλη γιά ἀντιπερισπασμό τοῦ πλήθους πού ἀπ' ἐκεῖ τόν περίμενε, ἀφοῦ βγῆκε μαζί του καί ὁ ἄγγελος, ἐπειδή δέν ἄντεχε τήν ἐρήμωση τῆς 'Εκκλησίας, πού τήν ἔφεραν πονηρές ἀρχές καί ἐξουσίες, σάν νά παρουσίασαν θέατρο. «Γιατί, ὅπως στό θέατρο ἦταν οἱ ἀποδοκιμασίες, καθώς σφύριζαν οἱ ἀσεβεῖς, χλεύαζαν περιγελοῦσαν ὑπερβολικά καί οἱ 'Ιουδαῖοι καί οἱ Ἕλληνες[7]· καί ὅπως στή φυλακή, τά χτυπήματα καί τά βασανιστήρια πού ἔκαμναν οἱ στρατιῶτες στά σπλάχνα· ἐκδηλώσεις δέ μέ ὅλη τή δύναμη τῆς ψυχῆς συνέβαιναν καί γιά τήν ἀφαίρεση τοῦ διδασκάλου καί γιά τή βλασφημία στό θεῖο»[8]· γιατί ὅπου γινόταν «ἄφεση ἁμαρτημάτων»[9], ἐκεῖ γίνονταν «αἱματοχυσίες»[10].

Ὕστερα ἀπό τό ἀνέκφραστο καί παράξενο ἐκεῖνο σκοτάδι, φάνηκε μία φλόγα ἀπό τή μέση τοῦ θρόνου, στόν ὁποῖο συνήθιζε νά κάθεται ὁ 'Ιωάννης, σάν καρδιά πού βρισκόταν στή μέση τοῦ σώματος γιά νά ἐξηγήσει τά λόγια τοῦ Κυρίου στά ὑπόλοιπα μέλη, καί ἐπιζητοῦσε τό διδάσκαλο τοῦ λόγου, τόν ὁποῖο δέ βρῆκε καί κατέτρωγε τό συγκρότημα. Καί ὅταν ἔγινε σάν δένδρο στό ὕψος σύρθηκε ἀπό τίς ἁλυσίδες ἐπάνω στή στέγη· καί ἀφοῦ σάν ὀχιά ἔφαγε τήν κοιλιά, κατευθυνόταν στό πίσω μέρος τῶν διαμερισμάτων τῆς ἐκκλησίας, σάν ν' ἀνταπέδωσε ὁ Θεός τήν τιμωρία αὐτή γιά τήν ἀδικία τους, ὡς «μισθό τῆς ἀδικίας»[11], γιά σωφρονισμό καί νουθεσία ἐκείνων

---

8. Φίλωνα τοῦ 'Ιουδαίου, Legatio ad Gaium, κεφ. 46. 9. Πράξ. 13, 38.

10. 'Εβρ. 9, 22· 'Εκκλ. 27, 15. 'Ο ἰουδαϊκός ναός ἦταν τόπος ἄφεσης ἁμαρτιῶν μέ θυσίες. 'Εξ αἰτίας τοῦ Χρυσοστόμου καί ὁ Χριστιανικός ναός ἔγινε τόπος αἱματοχυσίας. Πικρή εἰρωνεία γιά τό κατόρθωμα τῶν ἐχθρῶν τοῦ Χρυσοστόμου. 11. Β΄ Πέτρ. 2, 13-15· Πράξ. 1, 18.

νουθετεῖσθαι ἢ διὰ τῆς ὄψεως τῶν τοιούτων θεηλάτων κακῶν· οὐ μόνον δέ, ἀλλὰ καὶ μνημεῖον ὑπολείψας τῆς ἀγρίας συνόδου. Καὶ οὐ θαυμαστὸν περὶ τῆς ἐκκλησίας, ὅπου γε καὶ τὴν καλουμένην παρὰ τοῖς ἔξω σύγκλητον, ἀπὸ πολλῶν
5 *βημάτων κειμένην ἀντικρὺ τῆς ἐκκλησίας ἐκ μεσημβρίας, φρονίμως τὸ πῦρ, καθάπερ γέφυραν τὸν ἀγοραῖον δῆμον τὸν διὰ μέσου διαπερᾶσαν, ἐλυμήνατο, οὐ πρότερον τὸ μέρος τὸ πλησιάζον τῇ ἐκκλησίᾳ, ἵνα μὴ τὸ πάθος τῇ ἐγγύτητι ἐπιγράψωμεν, ἀλλὰ τὸ μέρος τὸ ἐπὶ τὴν αὐλὴν τῶν βασιλέων, ἵνα τὸ*
10 *θαῦμα τοῦ πράγματος θεήλατον παραστήσῃ τὸ σόφισμα (ἦν γὰρ ἰδεῖν μεταξὺ δύο ὀρέων πυρίνων τοὺς δήμους ἀβλαβῶς ἐπὶ τὰς οἰκείας χρείας διαπερῶντας).*

Οὕτως δὲ περιπετόμενον τὸ πῦρ καὶ κυμαῖνον, καθάπερ θάλασσα βιαίῳ νότῳ ῥιπιζομένη, ὥσπερ ὑπὸ συνθήματι βαδί-
15 *ζον, ἀφειδῶς ἁπτόμενον τῶν κύκλῳ δωμάτων, μόνου ἐφρόντιζε τοῦ οἰκίσκου, ἐν ᾧ τῶν ἱερῶν σκευῶν ἀπέκειτο τὸ πλῆθος, οὐ τὸν χρυσὸν αἰδούμενον ἢ τὴν λοιπὴν τοῦ ἀργύρου ὕλην, ἀλλ' ἵνα μὴ τοῖς συκοφάνταις χώραν τοῦ ψεύδους παράσχῃ κατὰ τοῦ δικαίου, ὡς αὐτοῦ σφετερισαμένου τι τῶν καλλίστων.*
20 *Οὕτω δὲ διακινοῦν τὸ πῦρ ἀνεχαίτιζεν εἰς τοὐπίσω, τὸν φθόνον ἐξιχνιάζον τῶν ταῦτα πραξάντων, εἰς ἔλεγχον τῆς Θεοφίλου μανίας, ὅπου κατασκευάζει διὰ τὰ κειμήλια αὐτὸν ἐκβεβληκέναι. Καὶ ἀποβολὴ μὲν ψυχῆς ἐν τοσούτοις ὄχλοις ὑπὸ πυρὸς οὐδεμία γενένηται, οὐ λογικοῦ, οὐκ ἀλόγου· ὁ δὲ*
25 *ῥύπος τῶν ἐναγῶς ἐκεῖσε ἀναστρεφομένων τῇ τοῦ πυρὸς ἀπεπλύνετο δυνάμει, ἀπὸ ἕκτης ὥρας μέχρις ἐνάτης ἐν τρισὶν ὥραις ἡμεριναῖς πολυχρονίου ἔργου ἀφανισθέντος.*

ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄

Ο ΔΙΑΚ. Εἶτα, πάτερ, τούτων οὕτως ἀνυομένων, ποῦ
30 *διέτριβεν ὁ μακάριος Ἰωάννης ἢ οἱ λοιποὶ τῶν ἐπισκόπων;*

---

12. Σύμφωνα μέ τό Σωκράτη (Ἐκκλ. Ἱστ. 6, 18) ἡ φωτιά ξέσπασε στίς 20 Ἰουνίου τοῦ 404. Ὁ Σωζομενός (Ἐκκλ. Ἱστ. 8, 22) ἐπεκτείνει τή διάρκεια τῆς πυρκαγιᾶς ἀπό τό βράδυ ὥς τό πρωί τῆς ἄλλης ἡμέρας. Ἡ ἐκκλησία πού κάηκε ἦταν ἡ Ἁγία Σοφία πού ἔκτισε ὁ Μ. Κωνσταντῖνος (Κωνστάντιος Β΄ τό 360 μ.Χ.). Μετά τήν πυρκαγιά αὐτή ἀνοικοδομήθηκε ἀπό τό Θεοδόσιο Β΄

πού δέ γνωρίζουν βέβαια νά νουθετοῦνται παρά μόνο ὅταν βλέπουν τέτοια θεόσταλτα κακά. Καί ὄχι μόνο αὐτό, ἀλλά καί ν' ἀφήσει ὁ Θεός ἐνθύμιο τῆς ἄγριας ἐκείνης συνόδου. Καί δέν εἶναι παράδοξο γιά τήν ἐκκλησία, ἀφοῦ καί τήν ὀνομαζόμενη ἀπό τούς ἔξω σύγκλητο, πού βρίσκεται πολλά βήματα ἀπέναντι ἀπό τήν ἐκκλησία στά νότια, σάν νά εἶχε νοῦ ἡ φωτιά, ἀφοῦ ξεπέρασε σάν γέφυρα τό λαό πού βάδιζε στό δρόμο, τήν κατέστρεψε, ὄχι πρῶτα τό μέρος πού ἦταν κοντά στήν ἐκκλησία, γιά νά μήν ἀποδώσουμε τήν καταστροφή στό ὅτι ἦταν κοντά, ἀλλά τό μέρος πού ἦταν πρός τά ἀνάκτορα τῶν βασιλέων, γιά νά παραστήσει τό θαῦμα τοῦ πράγματος θεόσταλτο τό κατόρθωμα (γιατί μποροῦσε νά δεῖ κανείς τούς ἀνθρώπους νά πηγαίνουν στίς ἐργασίες τους περνώντας ἀνάμεσα σέ δύο βουνά ἀπό φλόγες χωρίς νά παθαίνουν τίποτε)[12].

Ἔτσι λοιπόν ἡ φωτιά κατευθυνόταν παντοῦ καί ἁπλωνόταν σάν θάλασσα, φερόταν ἐδῶ καί ἐκεῖ ἀπό δυνατό νότιο ἄνεμο, σάν νά βάδιζε μέ κάποια συμφωνία, ἀλύπητα πλησίαζε τά γύρω διαμερίσματα, καί φρόντιζε νά μήν πλησιάζει μόνο στό σπιτάκι, ὅπου φυλαγόταν τό πλῆθος τῶν ἱερῶν σκευῶν, ὄχι γιατί σεβόταν τό χρυσάφι ἤ τά ὑπόλοιπα ἀργυρά σκεύη, ἀλλά γιά νά μή δώσει στούς συκοφάντες στήριγμα στό ψέμα τους ἐναντίον τοῦ δικαίου, ὅτι δηλαδή αὐτός σφετερίσθηκε κάτι ἀπό τά πιό πολύτιμα πράγματα. Καί ἔτσι μετακινούμενη ἡ φωτιά ἀναχαιτιζόταν πρός τά πίσω, γιά ν' αποκαλύψει τό φθόνο ἐκείνων πού ἔκαμαν αὐτά, ἐλέγχοντας τή μανία τοῦ Θεοφίλου, ὁ ὁποῖος ἑτοιμάζει νά ἐξορίσουν τόν Ἰωάννη ἐξ αἰτίας τῶν κειμηλίων. Καί δέ συνέβηκε μέσα σέ τόσο πλῆθος κανένας θάνατος ἀπό τή φωτιά, πράγμα πού δέν εἶναι οὔτε λογικό οὔτε παράλογο· ἡ ψυχική ὅμως ἀκαθαρσία ἐκείνων πού φέρονταν δυσμενῶς πρός τόν Ἰωάννη ἀπό τή δύναμη τῆς φωτιᾶς καθαρίστηκε ἐντελῶς, ἀφοῦ ἀπό τήν ἕκτη ὥρα μέχρι τήν ἔνατη μέσα σέ τρεῖς ὧρες τῆς ἡμέρας καταστράφηκε οἰκοδόμημα πού ἔγινε σέ πολύ χρόνο.

ΚΕΦΑΛΑΙΟ ΙΑ΄

Ο ΔΙΑΚ. Ἔπειτα, πάτερ, ἐνῶ ἔτσι γίνονταν αὐτά, ποῦ ἔμενε ὁ μακάριος Ἰωάννης καί οἱ ὑπόλοιποι ἐπίσκοποι;

(415). Πάλι κάηκε τό 532 στή στάση τοῦ Νίκα καί κτίστηκε ἀπό τόν Ἰουστινιανό τελείως διαφορετικά (27 Δεκεμβρίου 537).

Ο ΕΠΙΣΚ. Οἱ μὲν λοιποὶ τῶν ἐπισκόπων, οἱ μὲν συνεκλείοντο, οἱ δὲ καὶ ἐσύροντο, ἄλλοι δὲ καὶ ἐκρύβησαν· Ἰωάννης δὲ σὺν Κυριακῷ καὶ Εὐλυσίῳ παρὰ στρατιωτῶν τοῦ ἐπάρχου δέσμιοι εἰς Βιθυνίαν κατείχοντο κόλασιν ἀπειλούμενοι ἐπὶ τῇ
5 *ἐμπρήσει τῆς ἐκκλησίας. Ὕστερον δὲ ὁ μὲν Κυριακὸς καὶ Εὐλύσιος δέσμιοι ἀχθέντες ἅμα λοιποῖς κληρικοῖς, ἀθῷοι ἀποφανθέντες ἀπελύθησαν· ὁ δὲ ἅγιος Ἰωάννης πρὸς ταῖς λοιπαῖς παῤῥησίαις καὶ ταύτην τελευταίαν αὐτοῖς ἀπέστειλεν, εἰπών· "Εἰ καὶ ἐν τοῖς ἄλλοις οὐ δεδώκατέ μοι χώραν*
10 *ἀπολογίας, κἂν γοῦν εἰς τὰ κατὰ τὴν ἐκκλησίαν ἀκουσθῶ, εἴ γε αἴτιος, ὥς φατε, γέγονα τῆς καύσεως". Οὕτως μηδ' ἐν τούτῳ ἀκουσθεὶς πέμπεται διὰ στρατιωτῶν εἰς ἐρημοτάτην πολίχνην τῆς Ἀρμενίας, νύκτωρ καὶ μεθ' ἡμέραν πολιορκουμένην ὑπὸ τῶν Ἰσαύρων, ἐπὶ τὸ σφαγῆναι· Κουκουσὸς δέ ἐστιν αὕτη.*
15 *Ἀρσάκιος δὲ ὁ ἀδελφὸς τοῦ μακαρίου Νεκταρίου ἀντεισήγετο τῷ τόπῳ τοῦ Ἰωάννου, ἀνδρὸς ἱεροφάντου, ἄνθρωπος ἰχθύος ἀφωνότερος καὶ βατράχου ἀπραγότερος (ἔστι γὰρ ὅτε καὶ πρᾶξις λαλεῖ, μάλιστα ὅταν δι' αὐτὸ γένηται τὸ καλόν). Διακρατήσας δὲ τὸ ζῆν ἑαυτοῦ δέκα τέσσαρας μῆνας ἀποθνή-*
20 *σκει, εἰς τὰ Εὐαγγέλια παρορκήσας· ὅπου ὤμοσε τῷ ἀδελφῷ Νεκταρίῳ μηδέποτε καταδέξασθαι ἐπισκοπῆς χειροτονίαν, ἡνίκα ὠνείδησεν αὐτῷ μὴ βοληθέντι γενέσθαι ἐν Ταρσῷ ὡς τὸν αὐτοῦ καιροσκοποῦντι θάνατον. Γεγένηται δ' αὐτῷ τῆς ἐπιορκίας αἰτία τὸ μὲν πρὶν ἡ κενοδοξία, δι' ἣν ἐμνηστεύετο*
25 *-ὡς ἂν εἴποι τις- τὴν γυναῖκα, μετέπειτα δὲ ἡ αἰσχύνη· προφητικῶς τῶν ἐλέγχων αὐτῷ παρὰ τοῦ ἀδελφοῦ ἐπαχθέντων. Τούτῳ τῷ Ἀρσακίῳ Ἀττικὸς ἀντεισάγεται ἐκ τῶν πρεσβυτέρων, πάσης μηχανῆς τεχνίτης κατὰ τοῦ Ἰωάννου.*
Ὃς θεασάμενος μηδένα τῶν ἀνατολικῶν αὐτῷ ἐπισκόπων
30 *κοινωνοῦντα, μήτε μὴν τοῦ τῆς πόλεως λαοῦ, διὰ τὰ οὕτως ἀνόμως παρακολουθήσαντα καὶ ἀθέσμως, παρασκευάζει, ἄπειρος ὢν τῶν θείων Γραφῶν, ταῖς ἀντιγραφαῖς καταναγκάζεσθαι τοὺς μὴ κοινωνοῦντας. Εἶχεν δὲ ἡ μὲν κατὰ τῶν*

---

1. Ἡ λέξη προέρχεται ἀπό τά μυστήρια τῶν ἐθνικῶν καί σημαίνει αὐτόν πού παρουσιάζει καί διδάσκει τήν τάξη τῶν θυσιῶν καί τῶν μυστηρίων.

2. Ὁ Ἀρσάκιος ἔγινε ἐπίσκοπος Κων/πόλεως στίς 27 Ἰουνίου τοῦ 404. Ὁ Σωκράτης (Ἐκκλ. Ἱστ. 6, 20) μᾶς πληροφορεῖ πώς πέθανε στίς 11 Νοεμβρίου τοῦ 405. Ὁ Παλλάδιος συντομεύει ἐδῶ τό χρόνο πού ἦταν ἐπίσκοπος ὁ Ἀρσάκιος κατά τρεῖς μῆνες.

Ο ΕΠΙΣΚ. Οἱ ὑπόλοιποι ἐπίσκοποι, ἄλλοι φυλακίζονταν, ἄλλοι σύρονταν βίαια καί ἄλλοι κρύφτηκαν. Τόν Ἰωάννη ὅμως μαζί μέ τόν Κυριακό καί τόν Εὐλύσιο τούς κρατοῦσαν δέσμιους οἱ στρατιῶτες τοῦ ἐπάρχου στή Βιθυνία καί τούς ἀπειλοῦσαν μέ τιμωρία γιά τόν ἐμπρησμό τῆς ἐκκλησίας. Καί ἀργότερα ὁ Κυριακός καί ὁ Εὐλύσιος, ἀφοῦ ὁδηγήθηκαν δέσμιοι μαζί μέ τούς ἄλλους κληρικούς, κηρύχθηκαν ἀθῶοι καί ἀπολύθηκαν. Ὁ ἅγιος Ἰωάννης ὅμως, μαζί μέ τίς ἄλλες θαρραλέες ἀπαντήσεις του γιά τελευταία φορά τούς ἔστειλε καί αὐτή, λέγοντας· «Ἀφοῦ καί στά ἄλλα δέ μοῦ δώσατε εὐκαιρία ἀπολογίας, τουλάχιστο νά μέ ἀκούσετε γι' αὐτά πού ἔγιναν στήν ἐκκλησία, ἄν εἶμαι ὁ αἴτιος τοῦ ἐμπρησμοῦ, ὅπως ἰσχυρίζεστε». Ἔτσι χωρίς νά τόν ἀκούσουν καί γι' αὐτό, τόν στέλνουν μέ συνοδεία στρατιῶτες σέ μία ἐρημότατη μικρή πόλη τῆς Ἀρμενίας, πού οἱ Ἴσαυροι τήν πολιορκοῦσαν νύχτα καί ἡμέρα, γιά νά τόν θανατώσουν· Κουκουσός εἶναι τό ὄνομα τῆς πόλης.

Ὁ Ἀρσάκιος, ὁ ἀδελφός τοῦ μακαρίου Νεκταρίου, ἀνέβηκε στή θέση τοῦ Ἰωάννη, τοῦ ἱεροφάντη[1], αὐτός πού ἦταν ἀφωνότερος ἀπό τό ψάρι καί ἀπραγότερος ἀπό τό βάτραχο (γιατί εἶναι δυνατό νά μιλήσουν κάποτε καί τά ἔργα, ἰδίως ὅταν γι' αὐτό γίνεται τό καλό). Ἀφοῦ ἔζησε δεκατέσσερις μῆνες παθαίνει[2], ἐνῶ ἔγινε ἐπίορκος στά Εὐαγγέλια, ὅπου ὁρκίσθηκε στόν ἀδελφό του Νεκτάριο πώς ποτέ δέ θά δεχθεῖ χειροτονία ἐπισκοπῆς, ὅταν τόν ἐπέκρινε αὐτός γιατί δέν ἤθελε νά γίνει ἐπίσκοπος στήν Ταρσό, ἐπειδή καραδοκοῦσε νά ἐκμεταλλευθεῖ τό θάνατό του. Καί αἰτία τῆς ἐπιορκίας του ἔγινε πρῶτα ἡ κενοδοξία του, ἐξ αἰτίας τῆς ὁποίας μνηστευόταν (ὅπως θά μποροῦσε νά πεῖ κανείς) τή γυναίκα[3], καί ἀργότερα ἡ ντροπή, ἐνῶ οἱ ἐπικρίσεις τοῦ ἀδελφοῦ του γι' αὐτόν εἰπώθηκαν προφητικῶς. Αὐτόν τόν Ἀρσάκιο τόν διαδέχεται ὁ Ἀττικός[4] ἀπό τούς πρεσβυτέρους, τεχνίτης κάθε τεχνάσματος ἐναντίον τοῦ Ἰωάννη.

Αὐτός ὅταν εἶδε πώς κανένας ἀπό τούς ἐπισκόπους τῆς Ἀνατολῆς δέν ἐπικοινωνοῦσε μαζί του, οὔτε ὅμως καί ἀπό τό λαό τῆς πόλης, γι' αὐτά πού ἀκολούθησαν τόσο ἄδικα καί παράνομα, σκέπτεται νά ἐξαναγκάσει ἐκείνους πού δέν ἐπικοινωνοῦσαν μαζί του μέ δημόσια ἔγγραφα, ἐπειδή δέ γνώριζε τίς θεῖες Γραφές. Περιεῖχε τό

3. Τήν ἀρχιεπισκοπή Κων/πόλεως.

4. Ὁ Ἀττικός (406-426) χειροτονήθηκε ἐπίσκοπος Κων/πόλεως. Τό Μάρτιο τοῦ 406 (Σωζομενοῦ, Ἐκκλ. Ἱστ. 8, 27).

ἐπισκόπων ἀντιγραφὴ τὴν ἀπειλὴν ταύτην· "Εἴ τις οὐ κοινωνεῖ τῶν ἐπισκόπων Θεοφίλῳ καὶ Πορφυρίῳ καὶ Ἀττικῷ, τῆς μὲν ἐκκλησίας ἐκβαλέσθω, τῆς δὲ ἰδίας τῶν πραγμάτων οὐσίας ῥιπτέσθω". Ἐντεῦθεν οἱ μὲν καταβαρυνόμενοι τῷ τῶν πραγμά-
5 *των φορτίῳ καὶ ἄκοντες κοινωνοῦσιν, οἱ δὲ πενέστεροι καὶ εἰς πίστιν ὑγιῆ ἀσθενέστεροι ὑποσχέσεσι δώρων τινῶν συνεσύροντο εἰς κοινωνίαν, οἱ δὲ γένους καὶ πραγμάτων καὶ πατρίδος καὶ δόξης φθαρτῆς καὶ θλίψεως σωματικῆς ὑπεριδόντες φυγῇ τὴν τῆς ψυχῆς εὐγένειαν διεφύλαττον, τὸ εὐαγγε-*
10 *λικὸν διὰ μνήμης ἔχοντες λόγιον, "Ἐὰν διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην", καὶ τὸ τῆς παροιμίας ἑαυτοῖς ἐπιλέγοντες, "Οὐκ ὠφελήσουσιν ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ". Ἔφθανον δὲ οἱ μὲν ἐν τῇ Ῥώμῃ, οἱ δὲ ἐν τοῖς ὄρεσιν, ἕτεροι δὲ ἐν τοῖς τῶν ἀσκητῶν φροντιστηρίοις διεσώζοντο ἐκ*
15 *τῆς Ἰουδαϊκῆς πονηρίας.*

Ἡ δὲ κατὰ τῶν λαϊκῶν ἀντιγραφὴ περιεῖχεν· "Τοὺς μὲν ἐν ἀξιώμασιν ἐκπίπτειν τῆς κατὰ τὰς ἀρχὰς ἀξίας, τοὺς δὲ στρατιώτας τὰς ζώνας ἀπόλλειν, τοὺς δὲ λοιποὺς δήμους καὶ χειροτέχνας, χρυσίῳ πολυολκεῖ προστιμηθέντας, ὑποβάλλε-
20 *σθαι ἐξορίᾳ". Πλὴν ὅμως καὶ ταῦτα ἐπράττετο, καὶ αἱ προσευχαὶ τῶν σπουδαίων ἐν τῷ ὑπαίθρῳ ἐπετελοῦντο μετὰ πολλῆς τῆς κακοπαθείας, φιλίᾳ τῇ πρὸς τὸν Σωτῆρα τὸν εἰρηκότα· "Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια", καὶ πάλιν, "Θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον".*

25 *Καὶ ὁ μὲν μακάριος Ἰωάννης οἰκήσας τὴν Κουκουσὸν ἔτος ἕν, πλείστους διαθρέψας πένητας τῆς Ἀρμενίας οὐ τοσοῦτον σίτῳ, ὅσον λόγῳ (ἔφθασε γὰρ κατ' ἐκεῖνο καιροῦ μέγας λιμὸς τὴν χώραν ἐκείνην). Βασκήναντες δὲ αὐτῷ καὶ ἐπὶ τούτῳ οἱ ἀδελφοκτόνοι μεταφέρουσιν εἰς Ἀραβισσόν, διαφό-*
30 *ροις ὑποβάλλοντες κακουχίαις, ἵνα τὸ ζῆν ἀπολίπῃ. Κἀκεῖ πάλιν οὐ μικρῶς διαλάμψας ταῖς ἀρεταῖς ("Οὐ δύναται γὰρ πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη", οὐδὲ λύχνος φαιδρῶς καιόμενος ξυλίνῳ σκεπασθῆναι μοδίῳ), ἐξήγειρεν γὰρ καθάπερ ἐξ ὕπνου τῆς ἀγνοίας πρὸς τὴν τοῦ λόγου ἀκτῖνα ἐκ πάσης*
35 *περιχώρου τοὺς ἄγαν κεκαρωμένους τῇ ἀπιστίᾳ. Σφοδρότερον δὲ τῇ φλογὶ τῆς βασκανίας κατακαιόμενοι οἱ περὶ*

5. Ματθ. 10, 23. 6. Παροιμ. 11, 4. 7. Βλ. Γεν. 45, 1-2 καί 37, 20-28. 8. Ἰω. 14, 6. 9. Ἰω. 16, 33.

ἔγγραφο ἐναντίον τῶν ἐπισκόπων τήν ἀπειλή αὐτή· «Ἐάν κάποιος ἐπίσκοπος δέν ἐπικοινωνεῖ μέ τό Θεόφιλο, τόν Πορφύριο καί τόν Ἀττικό, νά διώχνεται ἀπό τήν ἐκκλησία καί νά χάνει τήν περιουσία του». Ἔτσι, ὅσοι πιέζονταν ἀπό τή μεγάλη περιουσία τους ἐπικοινωνοῦσαν καί χωρίς τή θελησή τους, οἱ φτωχότεροι ὅμως καί ἀσθενέστεροι στήν ὀρθή πίστη σύρονταν σ' ἐπικοινωνία μέ ὑποσχέσεις κάποιων δώρων, καί ἄλλοι περιφρονώντας καί καταγωγή καί περιουσία καί πατρίδα καί φθαρτή δόξα καί σωματική θλίψη, φύλαγαν τήν Εὐγένεια τῆς ψυχῆς τους μέ φυγή, ἔχοντας στή μνήμη τους τό εὐαγγελικό ρητό, «Ἐάν σᾶς διώχνουν στήν πόλη αὐτή φεύγετε στήν ἄλλη»[5], καί ἀποδίδοντας στόν ἑαυτό τους τό ἀπόφθεγμα τῶν παροιμιῶν «Δέ θά ὠφελήσουν τά ὑπάρχοντα κατά τήν ἡμέρα τῆς ὀργῆς»[6]. Καί ἔφθαναν ἄλλοι στή Ρώμη, ἄλλοι στά βουνά, καί ἄλλοι σώζονταν ἀπό τήν ἰουδαϊκή πονηριά[7] στά ἀσκητήρια τῶν ἀσκητῶν.

Καί ἡ ἔγγραφη κατηγορία ἐναντίον τῶν λαϊκῶν εἶχε τό ἑξῆς περιεχόμενο· «Ὅσοι ἔχουν ἀξιώματα νά χάνουν τή θέση τους ἀπό τό ἀξίωμα, οἱ στρατιῶτες νά χάνουν τόν ὁπλισμό τους καί οἱ ὑπόλοιποι πολίτες καί τεχνίτες νά ἐξορίζονται, ἀφοῦ πληρώσουν βαρύτατο χρηματικό πρόστιμο». Ἀλλ' ὅμως καί αὐτά γίνονταν, καί οἱ προσευχές ἐκείνων πού ἀντιστάθηκαν στήν ὕπαιθρο εἰσακούονταν μέ μεγάλη ταλαιπωρία, ἀπό τήν ἀγάπη πρός τό Σωτήρα πού εἶπε· «Ἐγώ εἶμαι ἡ ὁδός καί ἡ ἀλήθεια»[8], καί πάλι, «Ἔχετε θάρρος ἐγώ ἔχω νικήσει τόν κόσμο»[9].

Καί ὁ μακάριος Ἰωάννης ἔμεινε στήν Κουκουσό ἕνα χρόνο[10] καί ἔθρεψε πάρα πολλούς φτωχούς τῆς Ἀρμενίας ὄχι τόσο μέ σιτάρι, ὅσο μέ τό κήρυγμα (γιατί ἔπεσε τήν ἐποχή αὐτή μεγάλη πείνα στή χώρα ἐκείνη). Φθονώντας τόν Ἰωάννη καί γι' αὐτό οἱ ἀδελφοκτόνοι τόν μεταφέρουν στήν Ἀραβισσό[11], ὑποβάλλοντάς τον σέ διάφορες κακουχίες, γιά νά πεθάνει. Καί ἐκεῖ πάλι ἔλαμψε πολύ μέ τίς ἀρετές του (Γιατί «δέν εἶναι δυνατό μία πόλη, πού εἶναι κτισμένη ἐπάνω σέ βουνό, νά κρυφθεῖ», οὔτε τό λυχνάρι, πού καίγεται γιά νά φωτίσει, εἶναι δυνατό νά σκεπασθεῖ μέ ξύλινο βαρέλι[12]), γιατί ξύπνησε σάν ἀπό τόν ὕπνο τῆς ἄγνοιας πρός τό φῶς τοῦ κηρύγματος ἀπ' ὅλη τή γύρω περιοχή ἐκείνους πού ἦταν ὑπερβολικά ναρκωμένοι στήν ἀπιστία. Φλογισμένοι ἐντονότερα μέ τό πάθος τῆς βασκανίας οἱ ὀπαδοί τοῦ

10. Ἀπό τό Φθινόπωρο τοῦ 405 ὥς τό Φθινόπωρο τοῦ 406.

11. Ἀπέχει 80 χιλιόμετρα ἀπό τήν Κουκουσό. 12. Ματθ. 5, 14.15.

Σευηριανὸν καὶ Πορφύριον καὶ ἕτεροί τινες τῆς Συρίας ἐπίσκοποι παρασκευάζουσιν αὐτὸν κἀκεῖθεν μετενεχθῆναι· βαρὺς γὰρ αὐτοῖς ἦν οὐ μόνον ἐν ταῖς νομιζομέναις εὐημερίαις, ἀλλὰ πολλῷ πλέον ἐν ταῖς δυσημερίαις, ἀφυῶς διακειμένοις περὶ τὴν φύσιν τῶν πειρασμῶν, οὐ μεμνημένοις τοῦ πρὸς τὸν ἀπόστολον θείου χρησμοῦ ἐν ταῖς θλίψεσι γενομένου, τό· "'Αρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται".

Θεασάμενοι γὰρ μεταναστᾶσαν τὴν 'Αντιοχέων ἐπὶ τὴν 'Αρμενίων κἀκεῖθεν πάλιν ἐπὶ τὴν 'Αντιοχέων τὴν 'Ιωάννου εὐχάριστον φιλοσοφίαν ᾀδομένην, ηὔχοντο καὶ τὸ ζῆν ἀποῤῥῆξαι, καθάπερ ὑπὸ μαστίγων τῶν διηγημάτων βασανιζόμενοι (τοιοῦτον γὰρ ὁ μισόκαλος φθόνος), ὡς τοὺς ὁρῶντας τῶν ἑπομένων αὐτοῖς κληρικῶν θαυμάζοντας λέγειν· "Ἴδετε νεκρὸν φοβερὸν τοὺς ζῶντας καὶ κρατοῦντας διαπτοοῦντα, καθάπερ τοὺς παῖδας τὰ μορμολυκεῖα; βαβαί! οἱ τὰς κοσμικὰς δυναστείας καὶ τὸν ἐκκλησιαστικὸν ἐνημμένοι πλοῦτον μετ' ἐξουσίας, μετὰ καὶ τῆς τῶν πραγμάτων ἀρχῆς, τὸν ἱερέα, τὸ μόνον, τὸν ἄπολιν, τὸν ἀσθενῆ τῇ σαρκί, τὸν ἐξόριστον δεδιότες, ὠχριῶσι σφαδάζοντες". Μηκέτι οὖν καρτερήσαντες τῇ σκηνῇ κρύπτειν τὸν ὄφιν, ἀποστείλαντες εἰς τὸ στρατόπεδον ἐκπορίζουσι πάλιν ἀντιγραφὴν σφοδροτέραν μετὰ προστίμου· ἐντὸς στενῆς προθεσμίας μετενεχθῆναι αὐτὸν εἰς Πιτυοῦντα, τόπον πανέρημον τῶν Τζάνων, ἐπικείμενον τῇ ὄχθῃ τῆς Ποντικῆς θαλάσσης.

Οἱ δὲ διάγοντες αὐτὸν στρατιῶται τοῦ ἐπάρχου τῶν πραιτωρίων ἐπὶ τοσοῦτον κατήπειγον διὰ τῆς ὁδοῦ, λέγοντες τοιαύτας ἔχειν τὰς ἐντολάς, ὡς, εἰ ἀποθάνοι κατὰ τὴν ὁδόν, μειζόνων ἀξιωθήσονται τῶν βαθμῶν. Καὶ ὁ μὲν εἷς ἐξ αὐτῶν, ἔλαττον φροντίσας τῆς παρούσης στρατείας, φιλανθρωπίαν τινὰ ποσῶς διακλέπτων ἐνεδείκνυτο, ὁ δ' ἕτερος ἐπὶ τοσοῦτον ἦν ἀπηνὴς καὶ δύσκολος, ὡς τὰς εἰς αὐτὸν γινομένας κολακείας παρὰ τῶν προστυγχανόντων ἐπὶ φειδοῖ τοῦ ἁγίου ὕβρεις νομίζειν, τούτου μόνον φροντίζων τὸν 'Ιωάννην δυσθανατῆσαι. 'Υετοῦ μὲν γὰρ λάβρου ὄντος, ἀφροντίστως ἐξῄει, ὡς διὰ νώτου καὶ στέρνων φέρεσθαι τὰς τῶν ὑδάτων λιβάδας. Σφοδρὸν δὲ πάλιν καῦμα ἡλίου ἀντὶ τρυφῆς ἡγεῖτο,

Σευηριανοῦ καί τοῦ Πορφυρίου καί μερικοί ἄλλοι ἐπίσκοποι τῆς Συρίας ἑτοιμάζουν νά μεταφερθεῖ αὐτός καί ἀπ' ἐκεῖ. Γιατί ἦταν ἐνοχλητικός σ' αὐτούς ὄχι μόνο στίς θεωρούμενες εὐτυχίες, ἀλλά πολύ περισσότερο στίς δυστυχίες, ἐπειδή δέν κατανοοῦσαν τή φύση τῶν πειρασμῶν, ἀφοῦ δέ θυμοῦνταν αὐτά τά θεῖα λόγια πού ἀπευθύνθηκαν πρός τόν ἀπόστολο σέ στιγμές θλίψεων· «Σοῦ εἶναι ἀρκετή ἡ χάρη μου· γιατί ἡ δύναμή μου γίνεται τέλεια στήν ἀδυναμία»[13].

Ὅταν εἶδαν λοιπόν τήν πόλη τῶν Ἀντιοχέων νά μεταναστεύει στήν πόλη τῶν Ἀρμενίων καί ἀπ' ἐκεῖ πάλι νά ἐπιστρέφει στήν Ἀντιόχεια ἡ φήμη τῆς εὐχάριστης διδασκαλίας τοῦ Ἰωάννη, εὔχονταν ἀκόμη καί νά πεθάνουν, σάν νά βασανίζονταν ἀπό τίς μαστιγώσεις τῆς φήμης του (γιατί τέτοιος εἶναι ὁ φθόνος πού μισεῖ τό καλό), ὥστε ὅσοι ὀπαδοί τους κληρικοί πρόσεχαν αὐτούς νά λέγουν θαυμάζοντας· «Βλέπετε νεκρό φοβερό πού τρομάζει τούς ζωντανούς καί τούς ἄρχοντες, ὅπως τά παιδιά οἱ προσωπίδες. Ἀλλοίμονο! Αὐτοί πού ἔχουν τίς κοσμικές ἐξουσίες καί τόν ἐκκλησιαστικό πλοῦτο ἄφθονο, μαζί καί τήν ἐξουσία τῶν πραγμάτων, φοβοῦνται τόν ἱερέα, αὐτόν πού εἶναι μόνος του, πού δέν ἔχει πόλη, πού εἶναι ἄρρωστος στό σῶμα, πού εἶναι ἐξόριστος, καί κιτρινίζουν σπαρταρώντας». Χωρίς νά ἐπιμένουν λοιπόν περισσότερο στήν ὑποκρισία νά κρύβουν τό φθόνο τους, στέλνοντας στήν πρωτεύουσα προμηθεύουν πάλι δευνατότερη ἔγγραφη κατηγορία, μαζί μέ πρόστιμο μέσα σέ μικρή προθεσμία νά μεταφερθεῖ ὁ Ἰωάννης στήν Πιτυούντα, πού ἦταν τόπος τῶν Τζάνων ἐντελῶς ἔρημος καί βρισκόταν στίς ἀκτές τῆς θάλασσας τοῦ Πόντου.

Οἱ στρατιῶτες τοῦ ἐπάρχου τῶν πραιτωρίων, οἱ ὁποῖοι τόν μετέφεραν, τόν ἀνάγκαζαν νά τρέχει πολύ στό δρόμο, λέγοντας ὅτι ἔχουν τέτοιες ἐντολές, πώς θά κερδίσουν μεγαλύτερους βαθμούς, ἐάν πεθάνει αὐτός στό δρόμο. Καί ὁ ἕνας ἀπ' αὐτούς, φροντίζοντας λιγότερο γιά τήν παρούσα ἀποστολή, ἔδειχνε κάποια φιλανθρωπιά στά κρυφά. Ὁ ἄλλος ὅμως ἦταν τόσο πολύ σκληρός καί δύσκολος, ὥστε θεωροῦσε ὕβρεις τίς κολακεῖες πού τοῦ ἔκαμαν ὅσοι τόν συναντοῦσαν τυχαῖα ἀπό λύπη πρός τόν ἅγιο, φροντίζοντας γι' αὐτό μόνο, νά ἔχει δηλαδή ὀδυνηρό θάνατο ὁ Ἰωάννης. Ὅταν λοιπόν εἶχε ραγδαία βροχή, ἐξακολουθοῦσε τήν πορεία ἀμέριμνα, ὥστε τά ρυάκια ἀπό τά νερά τῆς βροχῆς νά τρέχουν σ' ὅλη τήν πλάτη καί τό στῆθος τους. Καί τόν ὑπερβολικό πάλι καύσωνα τοῦ ἥλιου τόν θεωροῦσε ὡς

13. Β΄ Κορ. 12, 9.

εἰδὼς ἐν τούτῳ δυσφορεῖν τὸ Ἐλισσαϊκὸν κρανίον τοῦ μακαρίου. Εἰς πόλιν δὲ ἢ κώμην, ἔνθα λουτροῦ παραμυθία ἦν, οὐδὲ στιγμὴν ὁ δύστηνος συνεχώρει ποιεῖν. Καὶ ἐν τούτοις πᾶσιν ἐπὶ τρίμηνον τὴν ἀργαλεωτάτην ἐκείνην βαδίζων ὁδόν,
5 *ἔμενεν ὁ ἅγιος ὡς ἀστὴρ διαστίλβων, ἔχων τὸ σωμάτιον καθάπερ μῆλον ἐπ᾽ ἄκρων κλάδων ἡλιοφοινισσόμενον. Πλησιάσαντες δὲ τῇ Κομάνῃ, καθάπερ γέφυραν, αὐτὴν παρῆλθον, ἔξω τοῦ τείχους ἐν τῷ μαρτυρίῳ μείναντες ἀπὸ πέντε ἢ ἓξ σημείων.*

10 *Κατ᾽ αὐτὴν δὲ τὴν νύκτα παρέστη αὐτῷ ὁ τοῦ τόπου ἐκείνου μάρτυς, Βασιλίσκος ὄνομα αὐτῷ, ὃς μαρτυρεῖ, ἐπίσκοπος ὢν Κομανῶν, ἐν Νικομηδείᾳ ἐπὶ Μαξιμιανοῦ, ἅμα Λουκιανῷ τῷ ἐν Βιθυνίᾳ πρεσβυτέρῳ ὄντι Ἀντιοχείας, φήσας· "Θάρσει, ἀδελφὲ Ἰωάννη· αὔριον γὰρ ἅμα ἐσόμεθα". Φασὶ*
15 *δέ, προειρήκει καὶ τῷ παραμένοντι πρεσβυτέρῳ· "Ἑτοίμασον τόπον τῷ ἀδελφῷ Ἰωάννῃ· ἔρχεται γάρ". Ἔχων δὲ πιστῶς τὸν χρησμὸν ὁ Ἰωάννης ἐπὶ τὴν αὔριον παρεκάλει αὐτοὺς ἕως πέμπτης ὥρας ἐκεῖ παραμεῖναι. Οἱ δὲ μὴ πεισθέντες ἐξήλαυνον· ἐλθόντες δὲ ὡς σταδίους τριάκοντα πάλιν ὑποστρέφουσιν*
20 *εἰς τὸν τόπον τοῦ μαρτυρίου, ἀφ᾽ οὗ ἀπῆραν, ἔχοντος αὐτοῦ ὀξέως. Οὕτως οὖν ἐλθὼν ἐπιζητεῖ τὰ ἄξια τοῦ βίου λαμπρὰ ἱμάτια, καὶ ἀποδυσάμενος τὰ πρότερα ἐνεδύσατο νήφων, ἀλλάξας ἕως ὑποδημάτων· τὰ λοιπὰ δὲ διένειμεν τοῖς παροῦσιν.*

25 *Καὶ κοινωνήσας τῶν Δεσποτικῶν συμβόλων ποιεῖ τὴν τελευταίαν ἐπὶ τῶν παρόντων προσευχήν, εἰπὼν τὸ ἐξ ἔθους ῥῆμα· "Δόξα τῷ Θεῷ πάντων ἕνεκεν", ἐπισφραγισάμενός τε τὸ ὕστερον ἀμήν, "ἐξῆρεν τοὺς πόδας", τοὺς ὡραίως δραμόντας ἐπὶ σωτηρίᾳ τῶν τὴν μετάνοιαν ἑλαμένων καὶ ἐλέγχῳ τῶν τὴν*
30 *ἁμαρτίαν πλουσίως γεωργησάντων (εἰ δὲ οὐδὲν ὤνησαν οἱ ἔλεγχοι τοὺς φαύλους, τοῦτο οὐκ ἀτονία τοῦ παῤῥησιασαμένου, ἀλλ᾽ ἰταμότης τῶν μὴ ἀνασχομένων), "προστεθεὶς πρὸς τοὺς πατέρας αὐτοῦ". Τὴν κόνιν ἀπομαξάμενος, καὶ πρὸς Χριστὸν διαπεράσας, ὡς γέγραπται· "Ἥξεις δὲ εἰς τὸν τάφον*

14. Βλ. Δ΄ Βασ. 11, 23.

15. Πόλη στόν Πόντο. Ἔμεινα σέ ἀπόσταση 8 περίπου χιλιομέτρων μακριά ἀπό τά Κόμανα.

16. Μαξιμιανός· ρωμαῖος αὐτοκράτορας (286-305), διώκτης τοῦ χριστιανισμοῦ. Ὁ Βασιλίσκος μαρτύρησε τό 303.

17. 5,5 χιλιόμετρα.

ἀπόλαυση, ἐπειδή γνώριζε ὅτι ὑποφέρει σ' αὐτόν τό φαλακρό κεφάλι τοῦ μακάριου[14]. Σέ πόλη ἤ κωμόπολη, ὅπου ὑπῆρχε ἡ παρηγοριά τοῦ λουτροῦ, δέν ἐπέτρεπε ὁ ἄθλιος οὔτε στιγμή νά μένουν. Καί παρ' ὅλα αὐτά, βαδίζοντας για τρεῖς μῆνες τό δυσκολότατο ἐκεῖνο δρόμο, ἔμενε ὁ ἅγιος σάν ἄστρο λαμπερό, ἔχοντας τό μικρό του σῶμα σάν μῆλο ἐπάνω στήν κορυφή τῶν κλαδιῶν κόκκινο ἀπό τόν ἥλιο. Ὅταν ὅμως πλησίασαν στά Κόμανα[15], σάν γέφυρα, τά προσπέρασαν καί ἔμειναν ἔξω ἀπό τό τεῖχος σέ ναό μάρτυρα σέ ἀπόσταση πέντε ἤ ἕξι μίλια.

Κατά τή νύχτα αὐτή παρουσιάσθηκε σ' αὐτόν ὁ μάρτυρας τοῦ τόπου ἐκείνου, Βασιλίσκος ἦταν τό ὄνομά του, ὁ ὁποῖος μαρτύρησε, ἐνῶ ἦταν ἐπίσκοπος Κομάνων, στή Νικομήδεια τήν ἐποχή τοῦ Μαξιμιανοῦ[16], μαζί μέ τό Λουκιανό πού ἦταν πρεσβύτερος στήν Ἀντιόχεια τῆς Βιθυνίας, λέγοντας· «Ἔχε θάρρος, ἀδελφέ Ἰωάννη, γιατί αὔριο θά εἴμαστε μαζί». Λέγουν ἐπίσης, ὅτι προεῖπε καί στόν πρεσβύτερο πού ἔμενε στό ναό· «Ἑτοίμασε τόπο γιά τόν ἀδελφό Ἰωάννη, γιατί ἔρχεται». Πιστεύοντας λοιπόν τό χρησμό γιά τήν αὐριανή ἡμέρα ὁ Ἰωάννης τούς παρακαλοῦσε νά παραμείνουν ἐκεῖ μέχρι τήν πέμπτη ὥρα. Αὐτοί ὅμως δέν τόν ἄκουσαν καί ἔφυγαν. Ἀφοῦ προχώρησαν περίπου τριάντα στάδια[17], ἐπιστρέφουν στόν τόπο τοῦ ναοῦ, ἀπ' ὅπου ξεκίνησαν, ἐπειδή ὁ Ἰωάννης αἰσθανόταν ἄσχημα. Ἔτσι λοιπόν ἀφοῦ ἐπέστρεψε, ἐπιζητεῖ τά ἄξια τοῦ βίου λαμπρά ἐνδύματα, καί ἀφοῦ ἔβγαλε ἐκεῖνα πού φοροῦσε προηγουμένως ντύθηκε ἔχοντας τίς αἰσθήσεις του καί ἄλλαξε μέχρι καί τά ὑποδήματα· τά ὑπόλοιπα τά μοίρασε στούς παρόντες.

Καί ἀφοῦ κοινώνησε τό σῶμα καί τό αἷμα τοῦ Χριστοῦ, κάνει μπροστά στούς παρόντες τήν τελευταία του προσευχή, λέγοντας τά ἀπό συνήθεια λόγια· «Δόξα στό Θεό γιά ὅλα», καί ἀφοῦ ἔβαλε σάν σφραγίδα τό τελευταῖο ἀμήν, «ἅπλωσε τά πόδια του»[18], πού ἔτρεξαν ὡραῖα γιά τή σωτηρία ἐκείνων πού προτίμησαν τή μετάνοια καί γιά ἔλεγχο ἐκείνων πού ἄσκησαν πλούσια τήν ἁμαρτία (ἐάν ὅμως δέν ὠφέλησαν καθόλου οἱ ἔλεγχοι τούς φαύλους, αὐτό δέν εἶναι ἀδυναμία ἐκείνου πού μίλησε μέ παρρησία, ἀλλά θρασύτητα ἐκείνων πού δέν τούς ὑπέφεραν), «καί προστέθηκε στούς πατέρες του»[19], ἀφοῦ καθάρισε τή σκόνη καί πέρασε πρός τό Χριστό, ὅπως ἔχει γραφεῖ·

---

18. Γεν. 49, 33. Βλ. Ἀγ. Ἀθανασίου, Βίος ἁγίου Ἀντωνίου, κεφ. 92. (Πατρολογία τοῦ Migne 26, 972).

19. Α΄ Μακ. 2, 69. Ὁ Χρυσόστομος πέθανε στίς 14 Σεπτεμβρίου τοῦ 407.

σου ὥσπερ σῖτος ὥριμος κατὰ καιρὸν θεριζόμενος· παρανόμων δὲ ψυχαὶ ἄωροι ἀποθανοῦνται".

Τοσοῦτος δὲ ἑσμὸς παρθένων καὶ ἀσκητῶν καὶ τῶν ἐπὶ σεμνότητι μαρτυρουμένων παρῆν ἀπό τε Συρίας καὶ Κιλικίας
5 *καὶ Πόντου καὶ Ἀρμενίας, ὡς τοὺς πολλοὺς νομίσαι ἀπὸ συνθήματος αὐτοὺς παραγενέσθαι. Ἐνταφιασθεὶς δὲ καὶ ἑορτασθείς, καθάπερ ἀθλητὴς νικηφόρος τὸ σωμάτιον, θάπτεται μετὰ τοῦ Βασιλίσκου ἐν τῷ αὐτῷ μαρτυρίῳ.*

ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄

10 *Πρὸς τούτοις ὁ Θεόδωρος ἐπιθαυμάσιος ἤρετο, λέγων τὸ γραφικόν·*

Ο ΔΙΑΚ. Ἐπειδὴ γέγραπται, "Μὴ ἀστοχήσῃς διηγήματος γερόντων, καὶ γὰρ καὶ αὐτοὶ παρὰ τῶν πατέρων ἔμαθον", ἀόκνως φράσον ἡμῖν τίς ἡ αἰτία τοῦ μόνον αὐτὸν ἐσθίειν, καὶ
15 *εἰ ἀληθῶς μόνος, ὡς λέγουσιν, ἤσθιεν.*

Ο ΕΠΙΣΚ. Ὡμολόγηται, μέν, ὅτι μόνος ἤσθιεν· οὐκ ἐβουλόμην δέ σε, Θεόδωρε ἐμμελέστατε, τὰ τῶν γαστριμάργων νηπίων διερωτᾶν. Ἀνὴρ γὰρ ὑπάρχων, τὰς ἀνδρῶν ἀρετὰς ἐπιζητεῖν ὀφείλεις, πῶς εἶχεν περὶ ἀφοβίας, περὶ χρημάτων,
20 *περὶ σωφροσύνης, πραΰτητός τε καὶ δικαιοσύνης, ἐλεημοσύνης, φρονήσεώς τε καὶ ἀνδρείας καὶ λήθης ἢ μνήμης. "Βρῶμα γὰρ ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ, οὔτε ἐὰν φάγωμεν οὔτε ἐὰν μὴ φάγωμεν", ἀλλὰ γνῶσις μετὰ πράξεως ἐνεργουμένη. Αὐτὸς δὲ ἤσθιεν μόνος, ὡς ἐκ μέρους γινώσκω, διὰ ταύτας τὰς αἰτίας·*
25 *πρῶτον μέν, οἶνον οὐκ ἔπινεν διὰ τὴν τῆς κεφαλῆς θέρμην, εἰ μή που ἐν τοῖς καύμασι τὸ διὰ ῥόδων ἐχρῆτο· δεύτερον δέ, ὅτι τάξιν ὁ στόμαχος αὐτοῦ οὐκ εἶχεν ἀπό τινος ἀσθενείας, ὡς πολλάκις τὰ εὐτρεπισθέντα ἀηδῆ φανῆναι καὶ ἐπιζητεῖν τὰ μὴ παρόντα.*

30 *Εἶτα ἦν ὅτε καὶ λήθην ἐλάμβανε τῶν βρωμάτων, παρατείνων ἕως ἑσπέρας, τοῦτο μὲν ταῖς ἐκκλησιαστικαῖς διασπώμενος φροντίσι, τοῦτο δὲ ταῖς πνευματικαῖς περισπώμενος θεωρίαις· ἠγωνίζετο γὰρ μηδὲν ἀπορεῖν τῶν θείων Γραφῶν, -φιλεῖ δέ πως τὰ τοιαῦτα ἢ τὴν ἀσιτίαν ἢ τὴν κουφοσιτίαν.*

---

20. Ἰώβ 5, 26· Παροιμ. 13, 2. 1. Σοφ. Σειρ. 8, 9. 2. Α΄ Κορ. 8, 8.

«Θά φθάσεις στόν τάφο σου σάν ὥριμο σιτάρι πού θερίζεται στήν ὥρα του· οἱ παράνομοι ὅμως θά πεθάνουν πρίν τήν ὥρα τους»[20].

Τόσο πλῆθος παρθένων καί ἀσκητῶν καί ἀνθρώπων πού διακρίνονταν γιά τή σεμνότητά τους βρισκόταν ἐκεῖ καί ἀπό τή Συρία καί τήν Κιλικία καί τόν Πόντο καί τήν Ἀρμενία, ὥστε οἱ πολλοί νόμισαν πώς αὐτοί ἦρθαν ὕστερα ἀπό κάποιο σύνθημα. Ἀφοῦ κηδεύτηκε καί ἑορτάσθηκε, σάν νά ἦταν ἀθλητής νικηφόρος τό σῶμα, θάβεται μαζί μέ τό Βασιλίσκο στό ἴδιο μαρτύριο.

ΚΕΦΑΛΑΙΟ ΙΒ΄

Θαυμάζοντας ἀκόμη περισσότερο ὁ Θεόδωρος ἐρώτησε, λέγοντας τό γραφικό·

Ο ΔΙΑΚ. Ἐπειδή ἔχει γραφεῖ, «Μήν παραλείψεις ν' ἀκούσεις διήγηση γερόντων, γιατί καί αὐτοί ἀπό τούς πατέρες ἔμαθαν»[1], διηγήσου μας χωρίς ὀκνηρία ποιά ἦταν ἡ αἰτία πού ἔτρωγε αὐτός μόνος του καί ἄν πραγματικά ἔτρωγε μόνος του, ὅπως λέγουν.

Ο ΕΠΙΣΚ. Θεωρεῖται ἀληθινό, ὅτι ἔτρωγε μόνος· δέν ἤθελα ὅμως ἐσύ, σεμνότατε Θεόδωρε, νά κάνεις τίς ἐρωτήσεις τῶν λαίμαργων νηπίων. Γιατί, ἀφοῦ εἶσαι ἄνδρας, πρέπει ν' ἀναζητεῖς τίς ἀρετές τῶν ἀνδρῶν, τί πίστευε γιά τή γενναιότητα, γιά τά χρήματα, γιά τήν ἐγκράτεια, τήν πραότητα καί τή δικαιοσύνη, τήν ἐλεημοσύνη, τή φρόνηση καί τήν ἀνδρεία, τή λήθη ἤ τή μνήμη. «Γιατί δέ θά μᾶς παρουσιάσει τό φαγητό στό Θεό, οὔτε ἐάν φάμε οὔτε ἐάν δέ φάμε»[2], ἀλλά ἡ γνώση πού συνοδεύεται μέ πράξεις. Αὐτός ὅμως ἔτρωγε μόνος, ὅπως λίγο γνωρίζω, γι' αὐτούς τούς λόγους. Πρῶτα, κρασί δέν ἔπινε ἐξ αἰτίας τῆς ζάλης τοῦ κεφαλιοῦ, ἐκτός ἐάν κάπου στούς καύσωνες χρησιμοποιοῦσε τό ποτό ἀπό τριαντάφυλλα· δεύτερο, γιατί τό στομάχι του ἀπό κάποια ἀσθένεια δέν εἶχε τάξη, ὥστε πολλές φορές τά ἑτοιμασμένα φαγητά νά τοῦ φαίνονται δυσάρεστα στή γεύση καί νά ζητᾶ ἄλλα πού δέν εἶχε μπροστά του.

Ἔπειτα, κάποτε ξεχνοῦσε τό φαγητό, παρατείνοντας μέχρι τό βράδυ, εἴτε γιατί τόν ἀπασχολοῦσαν οἱ ἐκκλησιαστικές φροντίδες, εἴτε γιατί ἀσχολοῦνταν μέ τίς πνευματικές διδασκαλίες ἀφοῦ ἀγωνιζόταν νά μήν ἔχει καμιά ἀπορία μέ τίς θεῖες Γραφές πράγμα πού συνεπάγεται ἤ τήν ἀσιτία ἤ τήν ἐλάχιστη τροφή. Εἶναι συνήθεια σ' αὐτούς πού

Ἔθος δὲ τοῖς δαιτυμόσιν, ἐὰν μὴ αὐτοῖς τις συμβρώσῃ ἢ συμβροχθίσῃ ἢ συγκαχάσῃ γέλωτι ἀσήμῳ, ἐπ' ἄκρων δακτύλων χλιαρὰν φέρων τὴν κύλικα. Εἰς κακηγορίαν ἄγειν τὴν τῆς τραπέζης φιλοφροσύνην. Τὸ δ' ὅλον, ὡς οἶμαι, καὶ ἀληθέστε-
5 *ρον· φειδωλὸς ἦν εἰσάγαν πρὸς τοὺς τῆς τρυφῆς, ἱεροσυλίαν νομίζων τὴν εἰς τοὺς τοιούτους δαπάνην· ὁμοῦ καὶ τῶν οἰκονόμων τὰς τῆς κλοπῆς ἀφορμὰς περικόπτων, ἵνα μὴ δεκαπλασιάσωσι τὰς τιμὰς τῶν ὀψονίων ἐν τοῖς βρεβίοις, τὰς τῶν πενήτων σφετερισάμενοι χρείας. Πρὸς τούτοις τὸ πλῆθος*
10 *τῆς πόλεως ἐννοῶν ἐσκόπτει, ὅτι ἢ πᾶν ἀξίωμα ὀφείλει ταύτης τῆς τιμῆς ἀξιῶσαι ὡς Χριστοῦ οἰκονόμος, ἢ μηδενὶ παρασχεῖν τὸ πρᾶγμα. Ἀποβλέψας δὲ εἴς τε τοὺς τῆς τραπέζης θορύβους καὶ εἰς τὸ πλῆθος τῶν ἀναλωμάτων τῶν πτωχικῶν, ἐφρικίασεν πρὸς τὸ πρᾶγμα, μακρὰν χαίρειν εἰπὼν ταῖς τοιαύταις κακο-*
15 *λογίαις, τὸ τῶν Πράξεων ἑαυτῷ κατεπᾴδων, "Ἄνδρες ἀδελφοί, οὐκ ἐξὸν ἡμῖν τραπέζαις διακονεῖν, ἀλλὰ καταστήσωμεν ἄνδρας εὐλαβεῖς ἐπὶ τῆς χρείας· ἡμεῖς δὲ σχολάσωμεν τῷ λόγῳ καὶ τῇ προσευχῇ".*

Ὥσπερ γὰρ ἀγωνιστὴς ἵππος, σταδιοδρομεῖν οὐκέτι δυνά-
20 *μενος, μύλωνι ἐγκατατάσσεται, ἀτέλεστον κύκλον γυρεύων· οὕτως ἀποκνήσας διδάσκαλος πρὸς τοὺς τῆς ἀρετῆς λόγους, τὴν ἐκ τῆς τραπέζης προβάλλεται θήραν· καὶ εἴθε κἂν τοῖς πεινῶσι καὶ δεομένοις, ὅθεν ἔνεστι καὶ κερδᾶναι τὸν μακαρισμὸν τοῦ Δεσπότου, τό, "Ἐπείνων, καὶ ἐχορτάσετέ με". Ἀλλ'*
25 *ἢ μόνοις πλουσίοις τοῦ εὖ ἀκοῦσαι χάριν, ἢ δόξης μαραινομένης, ἢ τοῦ ὁμοίως ἀντικληθῆναι, ἢ εἰ τούτων οὐδέν, ἵνα μὴ κακῶς ἀκούσῃ, οὐ μεμνημένος τοῦ ταλανισμοῦ τοῦ Κυρίου λέγοντος· "Οὐαὶ ὑμῖν, ὅταν καλῶς ὑμῖν εἴπωσιν πάντες οἱ ἄνθρωποι" -οὐκ εἶπεν, 'οἱ πτωχοί', ἀλλ', "οἱ ἄνθρωποι".*
30 *"Κατὰ ταὐτὸν γὰρ ἐποίουν τοῖς ψευδοπροφήταις οἱ πατέρες αὐτῶν". Μὴ ζητῶμεν οὖν ὡς οἱ κενόδοξοι, ὦ Θεόδωρε, ψευδοπροφήτου δόξαν. "Ἦλθεν γὰρ Ἰωάννης, μήτε ἐσθίων μήτε πίνων, ἐν ὁδῷ δικαιοσύνης· καὶ λέγουσι, 'Δαιμόνιον ἔχει'. Ἦλθεν ὁ Υἱὸς τοῦ ἀνθρώπου, ἐσθίων καὶ πίνων· καὶ λέγουσιν,*
35 *'Ἰδού, ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν".*

---

3. Πράξ. 6, 2-4 σ' ἐλεύθερη ἀπόδοση. 4. Ματθ. 24, 35.
5. Λουκᾶ 6, 26. 6. Ματθ. 11, 18· 21, 32· 11, 19.

μετέχουν σέ γεῦμα, ἐάν κάποιος δέ φάγει μαζί τους ἤ δέν πιεῖ ἤ δέ γελάσει ἀνόητα, κρατώντας τό ποτήρι χωρίς ὄρεξη πάνω στίς ἄκρες τῶν δακτύλων, νά προσβάλλει τή φιλοφροσύνη τοῦ τραπεζιοῦ. Καί τό κυριότερο (ὅπως νομίζω) καί ἀληθέστερο· ἦταν ὑπερβολικά φειδωλός πρός τούς ἀνθρώπους τῆς καλοπέρασης, γιατί θεωροῦσε ἱεροσυλία τή διάθεση χρημάτων σ' αὐτούς· μαζί περιόριζε καί τίς ἀφορμές γιά κλοπή στούς οἰκονόμους, γιά νά μή δεκαπλασιάσουν τίς τιμές τῶν τροφίμων στούς καταλόγους, κάνοντας δικές τους τίς ἀνάγκες τῶν φτωχῶν. 'Ακόμη, λαμβάνοντας ὑπόψη του τό πλῆθος τῆς πόλεως παρατηροῦσε ὅτι ἤ κάθε ἀξίωμα πρέπει νά τό θεωρεῖ ἄξιο γι' αὐτή, τήν τιμή ὡς οἰκονόμος τοῦ Χριστοῦ, ἤ νά μήν τήν προσφέρει σέ κανένα. Προσέχοντας καί τούς θορύβους ἀπό τά τραπέζια καί στά πολλά ἔξοδα γιά τούς φτωχούς, αἰσθάνθηκε φρίκη γιά τό πράγμα, λέγοντας ἀπό μακριά χαίρετε σέ τέτοιες κακολογίες, ἐπαναλαμβάνοντας πάντοτε στόν ἑαυτό του τά λόγια τῶν Πράξεων, «Ἄνδρες ἀδελφοί, δέν ἐπιτρέπεται σέ μᾶς νά ὑπηρετοῦμε σέ τραπέζια φαγητοῦ, ἀλλά νά τοποθετήσουμε ἄνδρες εὐσεβεῖς γιά τήν ἀνάγκη αὐτή· καί ἐμεῖς ἄς ἀσχοληθοῦμε μέ τό κήρυγμα καί τήν προσευχή»[3].

Γιατί ὅπως τό ἀγωνιστικό ἄλογο, ὅταν δέν μπορεῖ πιά νά τρέξει στό στάδιο, διαμένει μόνιμα σέ μύλο, γυρίζοντας ἀτέλειωτο κύκλο, ἔτσι ὁ διδάσκαλος, ὅταν διστάσει πρός τούς λόγους τῆς ἀρετῆς, μεταχειρίζεται σάν μέσο τό τραπέζι γιά νά ἐπιδράσει στούς ἀνθρώπους· καί εἴθε νά τό μεταχειριζόταν τουλάχιστο σ' αὐτούς πού πεινοῦν και ἔχουν ἀνάγκη, ἀπ' ὅπου εἶναι δυνατό νά κερδίσουν καί τό μακαρισμό τοῦ Κυρίου, τό «Πεινοῦσα, καί μέ χορτάσατε»[4]· ἀλλά μόνο στούς πλούσιους γιά νά τόν ἐπαινέσουν, ἤ γιά δόξα πρόσκαιρη, ἤ γιά νά προσκληθεῖ ὅμοια καί αὐτός ἤ, ἐάν δέ συμβαίνει τίποτε τέτοιο, γιά νά μήν τόν κατηγορήσουν, ἐπειδή δέ θυμᾶται τόν ταλανισμό τοῦ Κυρίου πού λέγει· «'Αλλοίμονο σέ σᾶς, ὅταν σᾶς ἐπαινέσουν ὅλοι οἱ ἄνθρωποι» -δέν εἶπε, «οἱ φτωχοί», ἀλλά, «οἱ ἄνθρωποι»- «γιατί τά ἴδια ἀκριβῶς ἔκαναν καί στούς ψευδοπροφῆτες οἱ πρόγονοί τους»[5]. Ἄς μήν ἐπιζητοῦμε λοιπόν, Θεόδωρε, ὅπως οἱ ματαιόδοξοι, τή δόξα τοῦ ψευδοπροφήτη. «Γιατί ἦρθε ὁ 'Ιωάννης, ὁ ὁποῖος οὔτε ἔτρωγε οὔτε ἔπινε, κηρύσσοντας τρόπο ζωῆς σύμφωνα μέ τίς ἀπαιτήσεις τῆς δικαιοσύνης, καί εἶπαν γι' αὐτόν, 'ἔχει μέσα του δαιμόνιο'. Ἦρθε ὁ υἱός τοῦ ἀνθρώπου, ὁ ὁποῖος καί τρώγει καί πίνει, καί λέγουν· 'Νά, ἄνθρωπος φαγάς καί οἰνοπότης, φίλος τῶν τελωνῶν καί τῶν ἁμαρτωλῶν'[6].

Ο ΔΙΑΚ. Οὐ πάντως, ὦ ἄριστε πάτερ, ψέξας ἢ καταδραμὼν τῆς τοιαύτης ἀσκήσεως, τὴν πεῦσιν προσήγαγον τῇ σῇ ἀκριβολογίᾳ· ᾔδειν γὰρ καὶ ἐξ αὐτῆς τῆς φήμης καὶ ἐκ τῶν εἰς ἡμᾶς φθασάντων αὐτοῦ συγγραμμάτων, ἢ ὁμιλιῶν ἢ ἐπιστολῶν, τὴν 5 *τοῦ ἀνδρὸς διάνοιαν· ἀλλ' ἵνα τὸν σκοπὸν μαθών, ζηλώσω τὸ πρᾶγμα. Τίς γὰρ οὕτως εἰς ἅπαν ἠλίθιος, ἵνα ἀγνοήσῃ ὅτι μείζων ἡ ζημία τοῦ ἐκ τραπέζης κέρδους, εἰ μή που χρεία γένηται ἐν ἀνάγκῃ ξενίσαι ἁγίους;*

Ο ΕΠΙΣΚ. Ταῦτα εἶπον κἀγώ, φιλαληθέστατε Θεόδωρε, οὐκ 10 *ἐξευτελίζων τὴν πατρικὴν ἀρετήν, μάλιστα τῆς φιλοξενίας. Μία γάρ ἐστι τῶν λοιπῶν ἀρετῶν τῶν εἰς εὐσέβειαν συντεινουσῶν, δι' ὧν καὶ οἱ κύριοι πατριάρχαι, ὁ μὲν τὸν Σωτῆρα Θεὸν τῇ τραπέζῃ ἐθήρευσεν, ὁ δὲ τοὺς ἀγγέλους ἐξένισεν, ὁ μὲν υἱὸν ἐν γήρει, ὁ δὲ σωτηρίαν τὴν ἐκ Σοδόμων μισθὸν σὺν ταῖς* 15 *θυγατράσιν εὑράμενοι· περὶ ὧν καὶ ὁ ἀπόστολος λέγει, παρορμῶν ἡμᾶς εἰς τὸ μίμημα· "Τῆς φιλοξενίας", λέγων, "μὴ ἐπιλανθάνεσθε· διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους".*

Δεῖ δὲ τὸν ξενοδόχον τὸ μὲν φρόνιμον ἔχειν τοῦ ὄφεως, τὸ 20 *δὲ ἀκέραιον τῆς περιστερᾶς, πειθόμενον τοῖς δύο λογίοις, καὶ τῷ, "Παντὶ τῷ αἰτοῦντί σε, δίδου", καὶ τῷ, "Μὴ πάντα ἄνθρωπον εἰσάγαγε εἰς τὸν οἶκόν σου", ἵνα μὴ λύκον ἀντὶ προβάτου δεξάμενος, ἢ ἄρκον ἀντὶ βοός, τῇ ζημίᾳ τὸ κέρδος ἀπεμπολήσῃ. Δοκιμάζειν δὲ πρῶτον τὸν τόπον ὀφείλει ἐν ᾧ τις* 25 *ἐτάγη, εἰ ἔρημος ἢ πολύοχλος, εἶτα τὴν ἑαυτοῦ ἐπιτηδειότητα, εἰ οἷός τέ ἐστιν ἀλλόκοτα βαστάζειν ἤδη· τότε διακρίνειν τὸν εὖ ὀφείλοντα παθεῖν, εἰ πλούσιός ἐστιν ἢ πένης, ἢ ὑγιὴς ἢ ἄῤῥωστος, ἢ βρωμάτων ἐπιδέεται ἢ ἐνδυμάτων· ἐν τούτοις γὰρ ὁ πρακτικὸς ἔλεος διανύεται. Ὁ γὰρ μακάριος Ἀβραὰμ οὐχ* 30 *ὑπάτους, οὐδὲ στρατηγούς, οὐδὲ τοὺς ἐπ' ἐποχῆς ἄνδρας τοῦ περιγείου κόσμου ἐξένισεν, παρ' οἷς ἵπποι κημῷ ἢ χαλινῷ ἀποστίλβοντες ἢ σαράβαρα χαλκοτύμπανα πόῤῥωθεν τῆς ὑπερηφανίας τὸν κτύπον ἀπερευγόμενα· ἀλλ' ἔρημον οἰκῶν τόπον τοὺς ἐκεῖ φθάνοντας ἐδεξιοῦτο. Οἱ δὲ τὴν ἔρημον*

7. Πρόκειται γιά τόν Ἀβραάμ. Βλ. Γεν. 18, 1-33. 9. Γεν. 21, 1-5.
8. Πρόκειται γιά τό Λώτ. Βλ. Γεν. 19, 1-3. 10. Γεν. 19, 12-18.
11. Ἑβρ. 13, 2. 12. Λουκᾶ 6, 30. 13. Σοφ. Σειρ. 11, 20.
14. Βλ. Γεν. 13, 18· 18, 1-8.

Ο ΔΙΑΚ. Βέβαια, ἄριστε πάτερ, δέν ἔφερα τήν ἐρώτηση στή δική σου ἀκριβολογία γιά νά ψέξω ἤ νά πολεμήσω μία τέτοια ἄσκηση. Γιατί γνώριζα τή σκέψη τοῦ ἄνδρα καί ἀπ' αὐτή τή φήμη καί ἀπό τά συγγράμματά του πού ἔφθασαν σέ μᾶς, ἤ ἀπό τίς ὁμιλίες ἤ τίς ἐπιστολές του. 'Αλλά γιά νά μιμηθῶ τό πράγμα, ἀφοῦ μάθω τό σκοπό. Γιατί ποιός εἶναι τόσο ἐντελῶς ἠλίθιος, γιά νά μήν ξέρει ὅτι εἶναι μεγαλύτερη ἡ ζημία ἀπό τό κέρδος πού προέρχεται ἀπό τό τραπέζι, ἐκτός ἐάν κάπου ὑπάρχει ὑποχρεωτική ἀνάγκη νά φιλοξενήσει κανείς ἁγίους;

Ο ΕΠΙΣΚ.Αὐτά εἶπα καί ἐγώ, φιλαληθέστατε Θεόδωρε, ὄχι γιά νά ψέξω τήν πατροπαράδοτη ἀρετή, μάλιστα τήν ἀρετή τῆς φιλοξενίας. Γιατί εἶναι ἡ πρώτη ἀπό τίς ἄλλες ἀρετές πού συντελοῦν στήν εὐσέβεια, μέ τίς ὁποῖες καί οἱ σπουδαιότεροι πατριάρχες, ὁ ἕνας[7] προσέλκυσε μέ τό τραπέζι τό Σωτήρα Θεό, ἐνῶ ὁ ἄλλος[8] φιλοξένησε τούς ἀγγέλους, καί ὁ πρῶτος ἀπέκτησε υἱό στά γηρατειά του[9], ἐνῶ ὁ δεύτερος κέρδισε ὡς ἀμοιβή τή σωτηρία του ἀπό τά Σόδομα μαζί μέ τίς θυγατέρες του[10]. Γι' αὐτούς καί ὁ ἀπόστολος εἶπε, παρακινώντας καί μᾶς σέ μίμηση τοῦ πράγματος· «Μήν ξεχνᾶτε τή φιλοξενία», λέγοντας, «γιατί μ' αὐτή χωρίς νά ξέρουν μερικοί φιλοξένησαν ἀγγέλους»[11].

Αὐτός πού φιλοξενεῖ ξένους πρέπει νά ἔχει τή φρόνηση τοῦ φιδιοῦ καί τήν ἀκεραιότητα τοῦ περιστεριοῦ, ὑπακούοντας στά δύο ἀποφθέγματα, καί στό, «Στόν καθένα πού σοῦ ζητεῖ δίνε»[12], καί στό, «Μή βάζεις κάθε ἄνθρωπο στό σπίτι σου»[13], γιά νά μήν ἀπομακρύνει μέ τή ζημία τό κέρδος ὅταν δεχθεῖ λύκο ἀντί γιά πρόβατο ἤ ἀρκούδα ἀντί γιά βόδι. Πρέπει νά ἐξετάζει πρῶτα τόν τόπο στόν ὁποῖο βρίσκεται κάποιος, ἐάν εἶναι ἔρημος ἤ ἔχει πολλούς ἀνθρώπους, ἔπειτα τή δική του ἱκανότητα, ἐάν μπορεῖ ν' ἀνέχεται ξένα ἤθη. Τότε νά ξεχωρίζει αὐτόν πού πρέπει νά εὐεργετήσει, ἐάν εἶναι πλούσιος ἤ φτωχός, ἤ ὑγιής ἤ ἄρρωστος, ἤ ἐάν χρειάζεται τρόφιμα ἤ ροῦχα, γιατί σ' αὐτούς ἐκτελεῖται στήν πράξη ἡ ἐλεημοσύνη. 'Ο μακάριος λοιπόν 'Αβραάμ οὔτε ὑπάτους φιλοξένησε, οὔτε στρατηγούς, οὔτε τούς διάσημους ἄνδρες τῆς οἰκουμένης, οἱ ὁποῖοι εἶχαν ἄλογα μέ λαμπερά φίμωτρα ἤ χαλινάρια, ἤ σαράβαρα μέ χάλκινα τύμπανα πού ἐκπέμπουν ἀπό μακριά τόν ἦχο τῆς ὑπερηφάνειάς τους, ἀλλά κατοικώντας σ' ἔρημο τόπο ὑποδεχόταν, ὅσους ἔφθασαν ἐκεῖ[14]. Καί ὅσοι περνοῦσαν τήν ἔρημο, πήγαιναν πρός τόν πατριάρχη ἤ γιά νά

διαβαίνοντες, ἢ δι' ἀρετὴν ἀπήεσαν πρὸς τὸν πατριάρχην, ἢ διὰ πτωχείαν τὴν ἐπιτεταμένην καὶ πενίαν (Πενία γάρ ἐστι μεσότης ὑπερβολῆς καὶ ἐλλείψεως· ὑπερβολῆς μὲν πλούτου, ἐλλείψεως δέ πτωχείας). Ὁμοίως δὲ καὶ ὁ Λὼτ χείρονα τῆς
5 *ἐρήμου πόλιν οἰκῶν εἰκότως ἐδεξιοῦτο τοὺς ἐπιχωριάζοντας ξένους διὰ τὸν τρόπον τῶν κατοικούντων.*

Εἰ δέ τις πόλιν οἰκῶν εὐνομωτάτην, οἵα ἡ Κωνσταντίνου, ἐν ᾗ πάντες εἰσὶ ξενοδόχοι, περισσῶς τάχα τις τῶν πρεσβυτέρων "τὴν τοῦ λόγου καταλείψας διακονίαν", βρεβίοις σχολά-
10 *ζων ὀψωνίων, οὗτος λέληθεν ἑαυτὸν κάπηλον ἀντὶ διδασκάλου νομίζων, τῇ ὑδαρότητι τῶν λογισμῶν τὴν ἄκρατον ἐξαφανίζων γνῶσιν, τὸν προφητικὸν καρπούμενος ὄνειδον· "Οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι". Ὅσον γὰρ διαφέρει τοῖς ἀτονοῦσιν ὕδατος ὁ οἶνος, τοσοῦτον ὑπερβάλλει ξενοδοχίας*
15 *διδασκαλία. Ἡ μὲν γὰρ ὠφελεῖ τοὺς κατ' αὐτόν, ἡ δὲ καὶ τοὺς μετ' αὐτόν· καὶ ἡ μὲν τοὺς παρόντας μόνον κερδαίνει, ἡ δὲ καὶ τοὺς ἀπόντας· τοὺς παρόντας μὲν διὰ τῆς γλώσσης, τοὺς ἀπόντας δὲ διὰ τῶν γραφομένων. Οἷος ἦν ἐν σαρκὶ ὁ Σωτήρ, θρέψας μὲν τοῖς ἄρτοις πεντακισχιλίους, οὐκ ἐν πόλει, ἀλλ' ἐν*
20 *ἐρήμῳ, διδάξας δὲ καὶ τοὺς παρόντας διὰ τῆς γλώσσης, σώσας δὲ τὴν οἰκουμένην διὰ τῶν γεγραμμένων Εὐαγγελίων (τοιοῦτον γὰρ οἱ λόγοι μάλιστα τῶν πνευματοφόρων).*

Καὶ μὴ θαυμάσῃς, Θεόδωρε, εἴ τις πεινῶντα βρωμάτων ἐμπλήσῃ, ἀλλ' εἴ τίς τινος ἀγνοίας τὴν ψυχὴν ἀπαλλάξῃ. Ὁ
25 *μὲν γὰρ τὴν γαστέρα χορτάζων ἢ δωρεᾷ ἢ ἀργυρίου, ἢ δι' ἄρτου ἢ διὰ λαχάνων, εὐκόλως εὑρίσκεται τὴν χρείαν παρέχων, ὁ δὲ τοῦ λόγου τροφεὺς σπανίως μὲν εὑρίσκεται, εὑρεθεὶς δέ, ἢ οὐ πιστεύεται ἢ μόλις πιστεύεται, τῶν πονηρῶν πνευμάτων ἀεὶ ἀντιπραττόντων τῇ τῶν ψυχῶν σωτηρίᾳ. Τοῦτον*
30 *τὸν τοῦ λόγου τῆς διδασκαλίας λιμὸν ἐν εἴδει τιμωρίας ἀπειλῶν ἐπάγειν ὁ Δεσπότης Θεὸς ἔλεγεν τῷ προφήτῃ· "Ἐπάξω ἐπ' αὐτοὺς λιμόν, οὐ λιμὸν ἄρτου καὶ ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου". Καὶ περὶ μὲν τοῦ αἰσθητοῦ λιμοῦ, ἔστιν ἐγκαταλείψαντα τὴν ἐνδεομένην πόλιν ἢ χώραν ἐν ἄλλῃ*
35 *σωθῆναι, ὥσπερ οἱ ἅγιοι πατριάρχαι ἀπὸ Παλαιστίνης εἰς*

15. Ἀριστοτέλη, Ἠθικὰ Νικομάχεια 1106 Α. 16. Βλ. Γεν. 19, 1-11.
17. Πράξ. 6, 2. 18. Ἠσ. 1, 22. 19. Βλ. Ματθ. 14, 15-21.
20. Ματθ. 5, 1-2. 21. Ἀμώς 8, 11.

γνωρίσουν τήν ἀρετή του ἤ ἐξ αἰτίας τῆς ἔντονης φτώχειας καί πενίας τους (Γιατί ἡ πενία εἶναι τό μέσο τῆς ὑπερβολῆς καί τῆς στέρησης· ὑπερβολή εἶναι ὁ πλοῦτος, ἐνῶ στέρηση ἡ φτώχεια[15]). Ἐπίσης καί ὁ Λώτ κατοικώντας σέ πόλη χειρότερη ἀπό τήν ἔρημο, δικαιολογημένα ὑποδεχόταν τούς ξένους πού σύχναζαν ἐκεῖ ἐξ αἰτίας τῆς ἀνήθικης διαγωγῆς τῶν κατοίκων της[16].

Ἐάν ὅμως κατοικώντας κανείς σέ πόλη πού ἔχει πάρα πολύ καλούς νόμους, ὅπως ἡ Κωνσταντινούπολη, στήν ὁποία ὅλοι εἶναι φιλόξενοι, «ἐάν ἐγκαταλείψει τήν ὑπηρεσία τοῦ κηρύγματος»[17] κάποιος πρεσβύτερος ἴσως χωρίς ἀνάγκη, γιά ν' ἀσχοληθεῖ μέ τούς καταλόγους τῶν τροφίμων, αὐτός χωρίς νά τό προσέξει θεωρεῖ τόν ἑαυτό του παντοπώλη ἀντί γιά διδάσκαλο, ἐξαφανίζοντας τήν ἀνόθευτη γνώση μέ τή χαλαρότητα τῶν σκέψεών του, καί κερδίζει τό ὄνειδος τοῦ προφήτη· «Οἱ παντοπῶλες σου νοθεύουν τό κρασί, μέ νερό»[18]. Γιατί ὅσο διαφέρει στούς ἀδύνατους σωματικά τό κρασί ἀπό τό νερό, τόσο ξεπερνᾶ ἡ διδασκαλία τή φιλοξενία. Γιατί ἡ φιλοξενία ὠφελεῖ στούς σύγχρονους, ἐνῶ ἡ διδασκαλία καί τούς μεταγενέστερους· καί ἡ πρώτη κερδίζει μόνο τούς παρόντες, ἐνῶ ἡ δεύτερη καί τούς ἀπόντες· τούς παρόντες μέ τήν ὁμιλία, ἐνῶ τούς ἀπόντες μέ τά συγγράμματα. Τέτοιος ἦταν στή ζωή ὁ Σωτήρας, ὅταν ἔθρεψε μέ τούς ἄρτους πέντε χιλιάδες ἀνθρώπους, ὄχι σέ πόλη, ἀλλά στήν ἔρημο[19], καί ὅταν δίδαξε καί τούς παρόντες μέ ὁμιλία[20], καί ἔσωσε τήν οἰκουμένη μέ τά γραμμένα Εὐαγγέλια (γιατί τέτοιοι εἶναι οἱ λόγοι ἰδιαίτερα τῶν θεόπνευστων ἀνδρῶν).

Καί μή θαυμάσεις, Θεόδωρε, ἐάν κανείς χορτάσει μέ φαγητά αὐτόν πού πεινᾶ, ἀλλ' ἐάν κανείς ἀπαλλάξει τήν ψυχή του ἀπό κάποια ἄγνοια. Γιατί ἐκεῖνος πού χορταίνει τήν κοιλιά ἤ μέ δωρεά ἤ μέ χρήματα ἤ μέ ψωμί ἤ μέ λάχανα βρίσκεται εὔκολα γιά νά ὠφελήσει· αὐτός ὅμως πού τρέφει μέ διδασκαλίες σπάνια βρίσκεται, καί ὅταν βρεθεῖ, ἤ δέν τόν πιστεύουν ἤ πολύ λίγο τόν πιστεύουν, ἀφοῦ τά πονηρά πνεύματα πάντοτε ἀντιδροῦν στή σωτηρία τῶν ψυχῶν. Ἀπειλώντας νά προκαλέσει σάν τιμωρία αὐτή τήν πείνα τῆς διδασκαλίας τοῦ κηρύγματος Κύριος ὁ Θεός ἔλεγε στόν προφήτη· «Θά φέρω σ' αὐτούς πείνα, ὄχι πείνα ἀπό ψωμί καί νερό, ἀλλά πείνα ἀπό τό ν' ἀκούσουν τό λόγο τοῦ Κυρίου»[21]. Καί στήν περίπτωση τῆς ὑλικῆς πείνας, εἶναι δυνατό νά ἐγκαταλείψει κανείς τήν πόλη ἤ χώρα πού ἔχει πείνα καί νά σωθεῖ σ' ἄλλη, ὅπως ἔκαμαν οἱ ἅγιοι πατριάρχες

Αἴγυπτον κατιόντες· περὶ δὲ τοῦ κατὰ νοῦν λιμοῦ, ὅς οὐκ ἄλλοθεν συμβαίνει ταῖς ἐκκλησίαις ἢ δι' ἀπορίαν τῶν διδασκάλων, πάλιν ἔλεγεν ἕτερος προφήτης· "Περιδραμοῦνται ἀπὸ ἀνατολῶν ἕως δυσμῶν ζητοῦντες τὸν λόγον τοῦ Κυρίου 5 *καὶ οὐ μὴ εὑρήσωσιν".*

Τί γὰρ ἀγαθὸν οὐ φύεται ἀπὸ διδασκαλίας; Τί δὲ ἄκαιρον οὐκ ἐφευρίσκεται ἀπὸ ἀκαίρου τροφῆς ἢ συμποσίου; νόσοι, μάχαι, ὕβρεις αἱ ὑπὸ γαστέρα, καὶ τὰ τούτων ἑξῆς. Πότε ἡ Εὔα ἐκβέβληται τοῦ παραδείσου; Οὐχ ὅτε τοῦ ὄφεως ἤκουσεν 10 *φαγοῦσα τοῦ ξύλου, μὴ ἀρκεσθεῖσα τῇ τεταγμένῃ τροφῇ; Πότε Κάϊν τὸ τῆς ἀδελφοκτονίας εἰργάσατο μίασμα; οὐχ ὅτε τῶν ἀπαρχῶν ἀπεγεύσατο πρῶτος, τῇ ἑαυτοῦ λαιμαργίᾳ τὰ πρωτεῖα φυλάξας; Πότε τὰ τέκνα τοῦ 'Ιὼβ αὐτοσχέδιον τάφον τὴν τράπεζαν εὕραντο; οὐχ ὅτε ἤσθιον καὶ ἔπινον; Πότε ὁ 'Ησαῦ* 15 *εὐλογίας ἐξέπεσεν; Οὐχ ὅτε τῇ κοιλίᾳ ἐδούλευσεν ἀπατηθεὶς τῷ τροφίῳ; Πότε Σαοὺλ τῆς βασιλείας ἐξέπεσεν; Οὐχ ὅτε τὰ κάλλιστα τῶν προβάτων παρὰ τὸν νόμον ἔφαγεν; Πότε δὲ ὁ λαὸς τοῦ 'Ισραὴλ τὸν Θεὸν παρώξυνεν; Οὐχ ὅτε τῆς Αἰγυπτιακῆς ἐπεθύμει τραπέζης, κρέα καὶ λέβητας ἐπιζητῶν παρὰ τοῦ* 20 *διδασκάλου; 'Οφνὶ καὶ Φινεές, οἱ υἱοὶ τοῦ 'Ηλεί, διὰ τί ἐθανατώθησαν ἐν ὥρᾳ μιᾷ ἐν τῷ πολέμῳ; Οὐχ ὅτι ἥρπαζον ταῖς κρεάγραις ἀπὸ τῶν λεβήτων τὰ κρέατα τὰ ὄντα τῆς θυσίας; 'Ιακὼβ δὲ ὁ ψεκτός, διὰ τί "ἀπελάκτισεν"; Οὐκ ἐπειδὴ "ἐνεπλήσθη καὶ ἐλιπάνθη καὶ ἐπαχύνθη καὶ ἐπλατύνθη";*

25 *Πότε δὲ Σοδομῖται παρὰ φύσιν ἐξώστρησαν; οὐχ ὅτε συνεχέσι συμποσίοις τὴν γνώμην παρέφθειραν, ὑπὸ τοῦ 'Ιεζεκιὴλ ἐφ' ὕβρει μνημονευόμενοι λέγοντος, "'Εν εὐθυνίᾳ οἴνου καὶ ἐν πλησμονῇ ἄρτου ἐσπατάλων αὐτοί" (τοῦτ' ἔστιν ἡ πόλις) "καὶ αἱ θυγατέρες αὐτῆς" (τοῦτ' ἔστιν αἱ κῶμαι, τὸν* 30 *νόμον ἀεὶ τῆς πόλεως ἔχουσαι); ὁ τῆς σωφροσύνης δὲ λογισμός, πότε παρείδη τοῦ παλαιοῦ λαοῦ; οὐχ ὅτε ὁμοίως κατεγήρασαν ἐπὶ στιβάδων, τοῦ προφήτου σχετλιάζοντος, "Οἱ ἐσθίοντες ἐρίφους ἐκ ποιμνίων καὶ μόσχους ἐκ βουκολίων γαλαθηνούς, πίνοντες τὸν διϋλισμένον οἶνον, καὶ τὰ πρῶτα* 35 *μύρα χριόμενοι, κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν,*

---

22. 'Αμώς 8, 12. 23. Βλ. Γεν. 3, 1-6. 22-24. 24. Βλ. Γεν. 4, 1-8. 25. Βλ. 'Ιώβ 1, 18-19. 27. Βλ. Α' Βασ. 15, 10-28· 28, 15-18· 31, 1-6. 26. Βλ. Γεν. 25, 29-34· 27, 1-40. 28. Βλ. 'Εξ. 16, 2-3. Ψαλμ. 94, 8-11.

κατεβαίνοντας ἀπό τήν Παλαιστίνη στήν Αἴγυπτο. Στήν περίπτωση ὅμως τῆς πνευματικῆς πείνας, ἡ ὁποία δέ συμβαίνει στίς ἐκκλησίες ἀπό ἄλλη αἰτία παρά ἀπό ἔλλειψη τῶν διδασκάλων, ἔλεγε πάλι ἄλλος προφήτης· «Θά τρέξουν παντοῦ ἀπό τήν Ἀνατολή ἕως τή Δύση ζητώντας τό λόγο τοῦ Κυρίου, ἀλλά δέ θά τόν βροῦν»[22].

Ποιό λοιπόν ἀγαθό δέν προέρχεται ἀπό τή διδασκαλία; καί ποιό κακό δέν ἐπινοεῖται ἀπό ἀκατάλληλη τροφή ἤ συμπόσιο; ἀρρώστιες, φιλονικίες, ἀσέλγειες πού πηγάζουν ἀπό τήν κοιλιά, καί τά ἑπόμενα αὐτῶν. Πότε ἡ Εὔα διώχθηκε ἀπό τόν παράδεισο; ὄχι ὅταν ἄκουσε τό φίδι καί ἔφαγε ἀπό τό δένδρο, χωρίς ν' ἀρκεσθεῖ στήν τροφή πού εἶχε ὁρισθεῖ γι' αὐτήν[23]; Πότε ὁ Κάιν ἔκαμε τό μίασμα τῆς ἀδελφοκτονίας; ὄχι ὅταν δοκίμασε πρῶτος τίς ἀπαρχές, φυλάγοντας τά πρωτεῖα στή δική του λαιμαργία[24]; Πότε τά παιδιά τοῦ Ἰώβ βρῆκαν πρόχειρο τάφο τό τραπέζι; ὄχι ὅταν ἔτρωγαν καί ἔπιναν[25]; Πότε ὁ Ἠσαύ ἔχασε τήν εὐλογία; ὄχι ὅταν ἔγινε δοῦλος στήν κοιλιά του, ἀφοῦ ἐξαπατήθηκε ἀπό τό φαγητό[26]; Πότε ὁ Σαούλ ἔχασε τή βασιλεία; ὄχι ὅταν ἔφαγε παράνομα τά καλύτερα πρόβατα[27]; Καί πότε ὁ λαός τοῦ Ἰσραήλ ἐξόργιζε τό Θεό; ὄχι ὅταν ἐπιθυμοῦσε τό τραπέζι τῆς Αἰγύπτου, ζητώντας ἀπό τό διδάσκαλο κρέατα καί καζάνια[28]; Ὁ Ὀφνί καί ὁ Φυνεές, τά παιδιά τοῦ Ἠλεί, γιατί θανατώθηκαν τήν ἴδια ὥρα στόν πόλεμο; ὄχι γιατί ἅρπαζαν μέ πιρούνια ἀπό τά καζάνια τά κρέατα πού ἦταν γιά τή θυσία[29]; Καί ὁ Ἰακώβ ὁ ἀξοκατάκριτος, γιατί «κλώτσισε τόν εὐεργέτη του»; ὄχι ἐπειδή «χόρτασε καί ἔφαγε λίπος καί πάχυνε καί πλάτυνε»[30];

Οἱ Σοδομίτες πότε ἀσέλγησαν παρά φύση; ὄχι ὅταν μέ ἀδιάκοπα συμπόσια ἀλλοίωσαν τήν κρίση τους, ἀναφερόμενοι γιά τήν ἀκολασία τους ἀπό τόν Ἰεζεκιήλ ὅταν λέγει, «Μέσα στή φθήνεια τοῦ κρασιοῦ καί τό χορτασμό τοῦ ψωμιοῦ σπαταλοῦσαν αὐτοί» (δηλαδή ἡ πόλη) «καί οἱ θυγατέρες της»[31] δηλαδή οἱ κωμοπόλεις πού ἔχουν πάντοτε τίς συνήθειες τῆς πόλεως); Ὁ λογισμός τῆς ἐγκράτειας πότε ἄφησε τόν ἀρχαῖο λαό; ὄχι ὅταν ἐπίσης γέρασαν ἐπάνω στά στρώματα, ὅταν ὁ προφήτης παραπονιόταν, «Αὐτοί πού τρώγουν κατσίκια ἀπό κοπάδια καί μοσχάρια τρυφερά ἀπό κοπάδια βοδιῶν, πού πίνουν τό καθαρό κρασί, καί ἀλείφονται μέ τά καλύτερα μύρα, πού εἶναι ξαπλωμένοι ἐπάνω στά κρεβάτια τους καί καθόλου δέν ὑπέφεραν γιά τή συντριβή

29. Βλ. Α΄ Βασ. 1, 3· 2, 12-17· 4, 11.

30. Δευτ. 32, 15. 31. Ἰεζ. 16, 49.

καὶ οὐδὲν ἔπασχον ἐπὶ τῇ συντριβῇ Ἰωσήφ"; Τίσι τὸν ταλανισμὸν ὁ Ἠσαΐας ἐπήγαγεν; οὐχὶ τοῖς ἐν συμποσίοις ὀρθρίζουσιν, οὑτωσὶ λέγων, "Οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωῒ καὶ τὸ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὀψέ· ὁ γὰρ οἶνος 5 *συγκαύσει αὐτούς. Μετὰ γὰρ κιθάρας καὶ ψαλτηρίου τὸν οἶνον πίνουσιν, τὰ δὲ ἔργα Κυρίου οὐκ ἐμβλέπουσιν"; Πότε οἱ ἱερεῖς τοῦ Βὴλ ὑπὸ τοῦ Δανιὴλ κατῃσχύνθησαν; οὐχ ὅτε ἡ σποδὸς αὐτοὺς ἤλεγξεν διὰ βρωμάτων ἢ πομάτων θηρεύσασα;*

Καὶ τί δεῖ με λέγειν περὶ τῶν τὴν πλατεῖαν βαδίζειν 10 *ἑλαμένων καὶ τὴν στενὴν λοιδορούντων; Ἀρκεῖ μοι ὁ σωτήριος λόγος πρὸς ἔλεγχον τῶν κνισοδιωκτῶν, ὅπου τὸν ἀνώνυμον πλούσιον, λαμπρῶς καθ' ἡμέραν εὐφραινόμενον ἐν τῷ παρόντι βίῳ, δείκνυσι ψυχίων καὶ ῥανίδος τοῦ πένητος Λαζάρου ἐπιποθοῦντα καὶ ἀστοχοῦντα. Ἴδωμεν δὲ καὶ τὸν* 15 *χορὸν τῶν πάλαι ἁγίων καὶ μάθωμεν ὅλως ποίῳ χαρακτῆρι τῆς διδασκαλίας ἐχρήσαντο, τῷ διὰ βίου σεμνοῦ καὶ λόγου εὐθοῦς, ἢ τῷ διὰ συμποσίων καὶ εὐωχίας. Πρῶτος ὁ Ἑνὼχ πίστει μετετέθη, ἢ συμποσίῳ; Εἶτα ὁ Νῶε τὸ τῆς οἰκουμένης γένος πίστει διέσωσεν ἐν τῷ ξύλῳ, ὅτε ὁ περίγειος ἐκαθαρίζετο* 20 *κόσμος, ἀπὸ τῆς τῶν συμποσίων καὶ ἀκαθάρτων ἔργων συνεχείας, ἢ νηστείᾳ καὶ προσευχαῖς; Οὐχ ἵνα μικρὸν ἀπὸ τοῦ τοσούτου κλύδωνος πόματι ἀνεθῇ, ἀσχημοσύνην αὐτοῦ, καὶ οὐ κλέος, κηρύσσουσιν αἱ Γραφαί; ὁ μακάριος Ἀβραὰμ τῶν πέντε βασιλέων τῶν ἐν Σοδόμοις πίστει καὶ δικαιοσύνῃ* 25 *περιεγένετο, ἢ βρώμασι καὶ πόμασι, τὸν Λὼτ ἀνακαλεσάμενος;*

Καὶ ὁ Θεόδωρος εἶπεν·

Ο ΔΙΑΚ. Εἰ τὸν Ἀβραὰμ ἄγεις εἰς μέσον, οὐκοῦν ἄκουσον καὶ παρ' ἐμοῦ· λέξει σοι γὰρ ὁ τυχών, ὅτι τοῦ μὲν πολέμου πίστει περιεγένετο, τὸν δὲ Θεὸν διὰ τραπέζης ἐθήρευσεν, ὡς 30 *προλαβὼν αὐτὸς ὑφηγήσω.*

Ο ΕΠΙΣΚ. Βαβαί! Ἐπεὶ ὁ Ἀβραὰμ τραπέζῃ τὸν Θεὸν ἐθήρευσεν, οὐκοῦν πάντες καταλείψαντες τὴν πίστιν καὶ τὰς λοιπὰς ἀρετάς, τὰ συμπόσια φιλοκαλήσωμεν; Οὐδὲν διαφέροντες καπήλων ἢ πανδοχέων τῶν τὰς λεωφόρους δι' αὐτὸ

32. Ἀμώς 6, 4.6. 33. Ἠσ. 5, 11.12.

34. Κνίσα· ὁ λιπαρός ἀχνός καί ἡ μυρωδιά πού βγάζει τό κρέας ὅταν ψήνεται.

τοῦ 'Ιωσήφ»;[32] Ποιούς ταλάνιζε ὁ 'Ησαΐας; ὄχι αὐτούς πού ξενυχτοῦσαν στά συμπόσια, λέγοντας ἔτσι, «'Αλλοίμονο σ' ἐκείνους πού σηκώνονται τό πρωί καί ἐπιδιώκουν τά ποτά, πού μένουν ὡς ἀργά τό βράδυ, ἐπειδή τό κρασί θά τούς κατακάψει. Γιατί μαζί μέ τήν κιθάρα καί τό ψαλτήρι πίνουν τό κρασί, τά ἔργα ὅμως τοῦ Κυρίου δέν τά βλέπουν»;[33] Πότε οἱ ἱερεῖς τοῦ Βάαλ ἀτιμάσθηκαν ἀπό τό Δανιήλ; ὄχι ὅταν τούς ἔλεγξε ἡ στάχτη ἀφοῦ τούς ἔπιασε μέ τά φαγητά ἤ μέ τά ποτά;

Καί τί πρέπει νά πῶ γι' αὐτούς πού προτιμοῦν νά βαδίζουν τόν πλατύ δρόμο καί κακολογοῦν τό στενό; Μοῦ ἀρκεῖ ὁ λόγος τοῦ Σωτήρα γιά ἔλεγχο αὐτῶν πού ἐπιδιώκουν τήν κνίσα[34], ὅπου δείχνει τόν ἀνώνυμο πλούσιο, ὁ ὁποῖος διασκέδαζε μεγαλοπρεπῶς κάθε ἡμέρα στήν παροῦσα ζωή, νά ἐπιθυμεῖ μάταια μερικά ψίχουλα καί μιά σταγόνα νερό τοῦ φτωχοῦ Λαζάρου[35]. Ἄς δοῦμε ὅμως καί τό χορό τῶν ἁγίων τῆς ἀρχαίας ἐποχῆς καί ἄς μάθουμε γενικά ποιό τρόπο διδασκαλίας χρησιμοποίησαν, τόν τρόπο μέ σεμνή ζωή καί λόγο εἰλικρινή, ἤ τόν τρόπο μέ συμπόσια καί διασκεδάσεις. Πρῶτα ὁ 'Ενώχ μεταφέρθηκε ζωντανός ἀπό τόν κόσμο στούς οὐρανούς μέ τήν πίστη του, ἤ μέ τό συμπόσιο;[36] Ἔπειτα ὁ Νῶε μέ τήν πίστη του διέσωσε τό γένος τῆς οἰκουμένης μέσα στήν κιβωτό, ὅταν ὅλος ὁ κόσμος τῆς γῆς καθαριζόταν ἀπό τά ἀδιάκοπα συμπόσια καί τά ἀκάθαρτα ἔργα, ἤ μέ τή νηστεία καί τίς προσευχές;[37] ὄχι γιά ν' ἀνακουφισθεῖ λίγο ἀπό τόσο μεγάλη τρικυμία μέ τό ποτό, κηρύσσουν οἱ Γραφές τήν ἀσχημοσύνη του, καί ὄχι τή δόξα του;[38] 'Ο μακάριος 'Αβραάμ νίκησε τούς πέντε βασιλεῖς τῶν Σοδόμων μέ τήν πίστη καί τή δικαιοσύνη του, ἤ μέ τά φαγητά καί τά ποτά, ὅταν ἐλευθέρωσε τό Λώτ;[39]

Καί ὁ Θεόδωρος εἶπε·

Ο ΔΙΑΚ. 'Αφοῦ τόν 'Αβραάμ φέρεις σάν παράδειγμα, λοιπόν ἄκουσε καί ἀπό μένα· γιατί ὁ ὁποιοσδήποτε θά σοῦ πεῖ, ὅτι νίκησε στόν πόλεμο μέ τήν πίστη του, τό Θεό ὅμως τόν προσέλκυσε μέ τό τραπέζι, ὅπως ὁ ἴδιος διηγήθηκες προηγουμένως.

Ο ΕΠΙΣΚ. 'Αλλοίμονο! 'Αφοῦ ὁ 'Αβραάμ προσέλκυσε τό Θεό μέ τό τραπέζι, λοιπόν ἄς ἀγαπήσουμε ὅλοι τά συμπόσια, ἐγκαταλείποντας τήν πίστη καί τίς ἄλλες ἀρετές; χωρίς νά διαφέρουμε καθόλου ἀπό τούς παντοπῶλες καί τούς ἰδιοκτῆτες πανδοχείων, οἱ ὁποῖοι ἀκριβῶς

36. Βλ. Γεν. 5, 24· 'Εβρ. 11, 5.

37. Βλ. Γεν. 6, 13-7, 23· 'Εβρ. 11, 7.

38. Βλ. Γεν. 9, 20-23.

39. Βλ. Γεν. 14, 8-16

τοῦτο ἐπιτειχισάντων ἕνεκα κέρδους. Καὶ αἱ παρθένοι τοίνυν, αἱ ἀγωνιζόμεναι ἅγιαι εἶναι σώματι καὶ πνεύματι εἰς δόξαν Θεοῦ, ἐπειδὴ Μαρία τὸν Χριστὸν ἐγέννησεν, καὶ αὗται γεννησάτωσαν· εἰ γὰρ οὕτως ποιήσουσιν, οὐδὲν τῶν ἑταιρίδων διαλλάσσουσιν. Εἰ γὰρ οἱ διδάσκαλοι διὰ τὸν Ἀβραὰμ τὰ τῶν τραπεζῶν εὐτρεπίζουσιν, καὶ αἱ παρθένοι διὰ τὴν Μαρίαν γεννάτωσαν. Ἄπαγε, τιμιώτατε, τὰ καλῶς κατὰ τὸν οἰκεῖον καιρὸν γεγενημένα ἢ γινόμενα μὴ ὑβρίζωμεν· ἑκάστου γὰρ τὸ συνειδός, ἐὰν βούληται, τὸ συμφέρον ὑπαγορεύει.

Εἶτα ὁ παλαιστὴς Ἰακὼβ ἀσκήσει τὰ τοῦ Λάβαν ἀφείλατο, ἢ συμποσιαρχίᾳ; -ὁ λέγων· "Ἐγενόμην τοῖς καύμασι συγκαιόμενος καὶ τῷ παγέτῳ τῆς νυκτός, καί ἀφίστατο ἀπ᾽ ἐμοῦ ὁ ὕπνος". Καὶ οὐδὲν πλέον αἰτῶν ἐν τῇ προσευχῇ ἢ ἄρτον καὶ ἱμάτιον, λέγων· "Ἐὰν δῷς μοι ἄρτον φαγεῖν καὶ ἱμάτιον περιβαλέσθαι, πᾶν ὃ ἐὰν δῷς μοι, δεκάτην ἀποδεκατώσω αὐτά σοι"· οὐκ εἶπεν, 'τραπέζαις καταναλώσω'. Ὁ τοῦ Θεοῦ ὑποφήτης καὶ πιστὸς θεράπων Μωϋσῆς ἐκεῖνος, ποίαν τράπεζαν εὐτρεπίσας ἐξεκλησίασεν λαὸν ἐν τῷ ὄρει; Τίνας δὲ καὶ κρατῆρας πομάτων εἶχεν; Ὁ πέτραν ῥάβδῳ ἀμέλξας διὰ τὴν τοῦ λαοῦ ἀπιστίαν, ὁ ἑξακοσίων χιλιάδων ἀφηγητής, πυξία νόμου ἐβάσταζεν εἰς διόρθωσιν τοῦ λαοῦ, ἢ φιάλας ἀεροφανεῖς ὑστέρας τε χοίρων καὶ ὄρνεις ἐκ Φάσιδος καὶ ἰχθὺν ἐκ πελάγους καὶ οἶνον διϋλισμένον ἐκ Τύρου καὶ ἄρτους πλυτοὺς προβαλλόμενος τοῖς παιδευομένοις, ἢ λόγον;

Ο ΔΙΑΚ. Ἀλλ᾽ ἀνθυποίσει σοί τις πρὸς ταῦτα, πάτερ· "Κἀμοὶ δὸς μάννα κἀκεῖνο τὸ ὕδωρ, καὶ οὐδὲν ἐπιζητῶ πλέον".

Ο ΕΠΙΣΚ. Καὶ τίς οὕτως ἀργαλέος, ἵνα προκρίνῃ τῆς πνευματικῆς διδασκαλίας μάννα αἰσθητὸν καὶ ὕδωρ ῥευστόν; Εἶτα Σαμουήλ, ὁ διδάσκαλος τοῦ λαοῦ, ἐπὶ εἴκοσι καὶ πέντε ἔτη ἐν Ἀρμαθάϊμ ἡσυχάσας, τίνα ποτὲ τραπέζῃ τῶν εἰδώλων ἀπέστησεν καὶ οὐ λόγῳ; Πότε δὲ ὁ βασιλεύς [illegible] καὶ προφήτης καὶ ψαλμῳδός, τρυφῆς ἐστήσατο τράπεζαν; ὁ λέγων, ὅτι "Σποδόν, ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων". Ὁ τῆς οἰκουμενικῆς νηστείας δημιουρ-

---

40. Γεν. 31, 40. 41. Γεν. 28, 20.22. 42. Ἐξ. 19, 17. 43. Ἐξ. 17, 1-6.
44. Πόλη τοῦ Καυκάσου, στίς ἐκβολές τοῦ ὁμώνυμου ποταμοῦ.

γι' αὐτό ὀχύρωσαν τούς μεγάλους δρόμους ἐξ αἰτίας τοῦ κέρδους. Καί οἱ παρθένες λοιπόν, οἱ ὁποῖες ἀγωνίζονται νά εἶναι ἅγιες στό σῶμα καί στό πνεῦμα γιά τή δόξα τοῦ Θεοῦ, ἐπειδή ἡ Μαρία γέννησε τό Χριστό, ἄς γεννήσουν καί αὐτές· γιατί ἐάν κάμουν ἔτσι, δέ θά διαφέρουν καθόλου ἀπό τίς πόρνες. Ἐάν λοιπόν οἱ διδάσκαλοι ἑτοιμάζουν τά σχετικά μέ τά τραπέζια ἐξ αἰτίας τοῦ Ἀβραάμ, ἄς γεννήσουν καί οἱ παρθένες ἐξ αἰτίας τῆς Μαρίας. Μακριά μιά τέτοια σκέψη, ἐντιμότατε· ἄς μή βρίζουμε ἐκεῖνα πού ἔγιναν ἤ γίνονται καλῶς τόν κατάλληλο καιρό· γιατί ἡ συνείδηση τοῦ καθενός, ἐάν θέλει, ὑπαγορεύει ἐκεῖνο πού συμφέρει.

Ἔπειτα ὁ ἀθλητής Ἰακώβ ἀπέσπασε τά ὑπάρχοντα τοῦ Λάβαν μέ τήν ἄσκησή του ἤ μέ τό νά παραθέτει συμπόσια; -ὁ ὁποῖος λέγει· «Συνέβηκε νά καίγομαι μαζί μέ τή φωτιά καί τήν παγωνιά τῆς νύχτας καί ἔφυγε ἀπό μένα ὁ ὕπνος»[40], καί δέ ζητοῦσε στήν προσευχή του τίποτε περισσότερο, παρά ψωμί καί ροῦχο λέγοντας· «Ἐάν μοῦ δώσεις ψωμί νά φάγω καί ροῦχο νά ντυθῶ, ἀπ' αὐτά πού θά μοῦ δώσεις θά σοῦ προσφέρω τό ἕνα δέκατο»[41]- Δέν εἶπε, 'θά τό ξοδέψω σέ τραπέζια'. Ὁ Μωυσῆς ἐκεῖνος, ὁ προφήτης τοῦ Θεοῦ καί πιστός ὑπηρέτης του, ποιό τραπέζι ἑτοίμασε καί συγκέντρωσε τό λαό στό βουνό[42]; καί ποιά ποτήρια γιά ποτά εἶχε; Αὐτός πού μέ τό ραβδί του ἔβγαλε ἀπό τήν πέτρα νερό ἐξ αἰτίας τῆς ἀπιστίας τοῦ λαοῦ[43], ὁ ἀρχηγός σ' ἑξακόσιες χιλιάδες ἀνθρώπους, βάσταζε γιά τή διόρθωση τοῦ λαοῦ τίς ξύλινες πλάκες τοῦ νόμου, ἤ φιάλες διαφανεῖς καί ἐντόσθια χοίρων καί κότες ἀπό τή Φάσιδα[44] καί ψάρια ἀπό τό πέλαγος καί ἁγνό κρασί ἀπό τήν Τύρο καί ἐκλεκτά ψωμιά παρουσίαζε σ' αὐτούς πού διόρθωνε, ἤ λόγο;

Ο ΔΙΑΚ. Ἀλλά θά σοῦ ἀπαντοῦσε σ' αὐτά κάποιος πάτερ· 'Δῶσε καί σέ μένα τό μάννα καί ἐκεῖνο τό νερό, καί δέν ἐπιζητῶ τίποτε περισσότερο'.

Ο ΕΠΙΣΚ. Καί ποιός εἶναι τόσο κακός, γιά νά προτιμήσει μάννα αἰσθητό καί νερό ρευστό, ἀπό τήν πνευματική διδασκαλία; Ἔπειτα ὁ Σαμουήλ, ὁ διδάσκαλος τοῦ λαοῦ, ὅταν ἡσύχασε γιά εἴκοσι πέντε χρόνια στήν Ἀρμαθάιμ, ποιόν ἀπομάκρυνε ποτέ ἀπό τά εἴδωλα μέ τό τραπέζι καί ὄχι μέ λόγο[45]; Καί πότε ὁ βασιλιάς, πού ἦταν μαζί καί προφήτης καί ψαλμωδός, ἔστησε τραπέζι τρυφῆς; αὐτός πού ἔλεγε, ὅτι «Ἔφαγα στάχτη, σάν ψωμί, καί τό ποτό μου τό ἀνακάτευα μέ τό κλάμα μου»[46]. Ὁ Θεσβίτης Ἠλίας, ὁ δημιουργός τῆς νηστείας στήν

45. Α´ Βασ. 7, 3.4. 15-17. 46. Ψαλμ. 101, 10.

γὸς τρία ἔτη καὶ μῆνας ἓξ ἀσιτίαν ἀκουσίως τοῖς γαστριμάργοις παρασκευάσας, ποίᾳ τραπέζῃ τῆς ἁμαρτίας ἀπήλλαξεν ὁ Θεσβείτης Ἠλίας; τίνας δὲ καὶ ὀψοποιοὺς εἶχεν οὐχὶ διὰ κοράκων τὴν ἐπιούσιον ἐδέχετο μᾶζαν; Ὁ σοφὸς Δανιὴλ καὶ 5 *τῶν μελλόντων αὐτόπτης, ποίᾳ τραπέζῃ τοὺς Ἀσσυρίους ἐπαίδευσεν; οὐχὶ νηστείᾳ καὶ προσευχῇ τὸν δράκοντα ὤλεσεν καὶ τὸν Βὴλ κατέστρεψεν καὶ τοὺς λέοντας ἐφίμωσεν καὶ τὸν βασιλέα ἔπεισεν τοὺς πατρῴους θεοὺς ἀπαρνήσασθαι ὁμολογίᾳ τοῦ ὄντως ὄντος Θεοῦ;*

10 *Τίσι τραπέζαις, ποίᾳ δὲ χρηστοφαγίᾳ ἐχρήσατο ὁ χορὸς τῶν λοιπῶν προφητῶν ἢ ἀποστόλων; Οὐκ ἦσαν διδάσκαλοι; οὐ τὴν ὑπουράνιον ἐπιστεύθησαν; οὐ τούτων ἐσμὲν διάδοχοι; Οὐ μιμητὰς ἡμᾶς τούτων εἶναι βούλεται ὁ λόγος, προσέχοντας τοῖς τρόποις, καθὼς ὁ Παῦλος διδάσκει λέγων, "Ὧν ἀναθεω-* 15 *ροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς μιμεῖσθε τὴν πίστιν"; Ποῖα μελίπηκτα εἶχε ἐν τῇ ἐρήμῳ ὁ κήρυξ τῆς μετανοίας, ὁ βαπτιστὴς Ἰωάννης, ὁ τοῖς προσερχομένοις οὐ μόνον εὐτρεπίσας ἄριστα, ἀλλὰ καὶ αὐτὴν τὴν συντυχίαν πικρὰν μετ' ἐπιπλήξεως παρέχων; Οὐ μόνον γὰρ δριμεῖ τῷ βλέμματι τὸ* 20 *μεμολυσμένον συνειδὸς αὐτῶν σείων, ἀλλὰ καὶ αὐτῷ τῷ σχήματι, πολλῷ δὲ μᾶλλον καθάπερ ξίφει τῷ λόγῳ τὰ τῶν ψυχῶν ἀποστήματα τέμνων· " 'Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ μόνῳ τῷ βαπτίσματι* 25 *ἐπερείδεσθε ἢ τῷ τέκνα εἶναι τοῦ Ἀβραάμ".*

Τί δαὶ ὁ διδάσκαλος τῶν ἐθνῶν, ὁ τῆς περιτομῆς καταλυτής, ἵνα περιτομὴν πίστεως στήσῃ, "τὸ σκεῦος τῆς ἐκλογῆς", Παῦλος; Ὅλως εὑρίσκεται σχολὴν ἄγων τραπέζης, ὁ πάντων μᾶλλον χρεώστης τούτου, καὶ ὀφείλων ὡς ἔθνεσιν ἀπίστοις 30 *πρότερον τὴν διὰ τραπέζης ποιεῖσθαι σχέσιν; Τί δαὶ καὶ γράφει τῷ Τιμοθέῳ ἐπισκόπῳ Ἐφέσου; "Πρόσεχε" τῇ τῆς τραπέζης φιλοτιμίᾳ ἢ "τῇ ἀναγνώσει, τῇ π[illegible]σει, τῇ διδασκαλίᾳ" (ἐν οἷς μάλιστα ἄοκνος ἦν καὶ εὔτονος ὁ μακάριος Ἰωάννης)· -"ἀκαίρως, εὐκαίρως ἐπίστηθι", λέγων,* 35 *"ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον" (μηδενὸς αὐτῷ ἐπισκήπτοντος, ὅτι δύο μὲν τὰ πικρὰ καὶ ἓν τὸ προσηνές, ἴσως κἀκεῖνο μετὰ φειδωλίας ἐπάγοντος· τὸ δέ, "ἔλεγξον, ἐπιτίμη-*

47. Γ΄ Βασ. 17, 1-6· 18, 1.2. 48. Ἑβρ. 13, 7.

οἰκουμένη, ἀφοῦ προετοίμασε ἀκούσια τρία χρόνια καί ἕξι μῆνες ἀσιτία στούς κοιλιόδουλους, μέ ποιό τραπέζι τούς ἀπάλλαξε ἀπό τήν ἁμαρτία[47]; καί ποιούς μαγείρους εἶχε; δέν τοῦ ἔφεραν τά κοράκια τήν καθημερινή του τροφή; Ὁ σοφός Δανιήλ ὁ ὁποῖος ἔβλεπε καί τά μέλλοντα, μέ ποιό τραπέζι δίδαξε τούς Ἀσσυρίους; Μέ τή νηστεία καί τήν προσευχή δέν ἐξαφάνισε τό δράκοντα, καί κατέστρεψε τό Βάαλ, καί φίμωσε τά λιοντάρια, καί ἔπεισε τό βασιλιά ν' ἀπαρνηθεῖ τούς πατρικούς του θεούς μέ τήν ὁμολογία τοῦ ἀληθινοῦ Θεοῦ;

Ποιά τραπέζια καί ποιά καλοφαγία χρησιμοποίησαν ὅλοι οἱ ἄλλοι προφῆτες καί ἀπόστολοι; Δέν ἦταν διδάσκαλοι; Δέν τούς ἀνατέθηκε ἡ γῆ; Δέν εἴμαστε διάδοχοί τους; Δέ θέλει ὁ λόγος νά εἴμαστε μιμητές τους, προσέχοντας τή διαγωγή τους, καθώς ὁ Παῦλος διδάσκει λέγοντας, «Αὐτῶν νά μελετᾶτε τό τέλος τῆς ζωῆς καί τῆς συμπεριφορᾶς καί νά μιμεῖστε τήν πίστη τους»[48]; Ποιές μελόπιττες εἶχε στήν ἔρημο ὁ κήρυκας τῆς μετάνοιας, ὁ βαπτιστής Ἰωάννης, ὁ ὁποῖος σ' αὐτούς πού τόν πλησίαζαν ὄχι μόνο προετοίμαζε ἄριστα τή ζωή, ἀλλά καί ἔκαμε πικρή τή συνάντησή τους αὐτή μέ ἐπιπλήξεις; Γιατί δέν τάραζε τή μολυσμένη συνείδησή τους μόνο μέ τό αὐστηρό του βλέμμα, ἀλλά καί μέ τήν ἴδια τήν ἐνδυμασία του, καί πολύ περισσότερο μέ τό λόγο του σάν μέ ξίφος ἔκοβε τά ἀποστήματα τῶν ψυχῶν τους, λέγοντας, «Ἀπόγονοι τῶν φαρμακερῶν ὀχιῶν, ποιός σᾶς συμβούλεψε νά ξεφύγετε ἀπό τή μελλοντική ὀργή; Κάμετε λοιπόν ἔργα ἄξια τῆς μετάνοιας, καί μή στηρίζεστε μόνο στό βάπτισμα ἤ στό ὅτι εἶστε ἀπόγονοι τοῦ Ἀβραάμ»[49].

Τί λοιπόν ἔκανε ὁ διδάσκαλος τῶν ἐθνῶν, αὐτός πού κατάργησε τήν περιτομή, γιά νά στήσει τήν περιτομή τῆς πίστης, «τό ἐκλεκτό ὄργανο», ὁ Παῦλος; Ἀπέχει τελείως ἀπό τραπέζια, ἐκεῖνος πού ὄφειλε αὐτό περισσότερο ἀπ' ὅλους, καί ἔπρεπε, ἐπειδή ἦταν ἄπιστοι οἱ ἐθνικοί, νά χρησιμοποιεῖ πρῶτα τό τραπέζι σάν μέσο ἐπαφῆς; Καί τί ἀκριβῶς γράφει στόν Τιμόθεο, τόν ἐπίσκοπο Ἐφέσου, «Ν' ἀφοσιώνεσαι» στή γενναιοδωρία τῶν τραπεζιῶν ἤ «στήν ἀνάγνωση τῶν Γραφῶν, στήν παρηγορία, στή διδασκαλία τῶν πιστῶν»[50] (στά ὁποῖα ἦταν δραστήριος καί δυνατός ὁ μακάριος Ἰωάννης); -«στάσου σέ περιστάσεις κατάλληλες ἀλλά καί ἀκατάλληλες», λέγοντας, «ἔλεγξε, ἐπιτίμησε, παρηγόρησε»[51] (χωρίς νά τοῦ ἐπιβάλλει κανείς, γιατί δύο εἶναι τά σκληρά καί ἕνα τό μαλακό, ἴσως καί αὐτό τό ἀναφέρει μέ κάποια περίσκεψη. Τό «ἔλεγξε, ἐπιτίμησε» ὅμως, ἐπειδή ἦταν

49. Λουκᾶ 3, 7-8. 50. Α' Τιμ. 4, 13. 51. Β' Τιμ. 4, 2.

σον", πικρῶν ὄντων σφοδρῶς, ἐν τῷ "παρακάλεσον", καὶ οὐ 'κολάκευσον'· ὅπερ ἐπιστημονικῶς γιγνόμενον, πικρότερόν ἐστι τοῖς φιληδόνοις καὶ ἀναπεπτωκόσι φορτικωτέρων εὑρισκομένων τῶν ἐλέγχων. Ἐκεῖ μὲν γὰρ ἴσως ὑπό τινος θυμοῦ
5 *ἀντιβαίνουσα ἡ ψυχὴ ἀναισθήτως ἔχει πρὸς τὰ λεγόμενα τοῦ ἐλέγχου· ἐνταῦθα δὲ ἡσύχως καὶ κατὰ μικρὸν τοῖς ἐπιεικέσι μετὰ τῆς ἀληθείας λόγοις αἰσθητικῶς, ὡς ὑπὸ πυρὸς μαλακοῦ, καιομένη διαπρίεται). Τί δὲ καὶ ὑπομιμνήσκει αὐτόν· τὰ συμπόσια καὶ τὰς εὐωχίας ἢ τὰ τῶν θλίψεων σεμνολογήματα;*
10 *Λέγων· " 'Σὺ γὰρ παρηκολούθηκάς μου τῇ ἀγωγῇ', ὅπως διετέθην τῇ προθέσει τοῦ πάντα εἰς δόξαν Θεοῦ ποιεῖν ἐν τοῖς διωγμοῖς". Ἐπὶ τοῖς ἐλέγχοις τῆς πλάνης, μή που τραπέζης μνεία;*

Τίτῳ δὲ πάλιν τῷ ἐπισκόπῳ Κρήτης ἴδωμεν τί ἐπιστέλλει·
15 *περὶ βρωμάτων καὶ πομάτων ἢ περὶ ἐλέγχων καὶ διδασκαλίας; λέγων· "Τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα τὰ λείποντα ἐπανορθώσῃς καὶ πείσῃς αὐτοὺς μὴ ἑτεροδιδασκαλεῖν, μηδὲ προσέχειν μύθοις καὶ γενεαλογίαις ἀπεράντοις", ἐπιφέρων καὶ τῶν ἐλέγχων τὸν τρόπον· "Κρῆτες ἀεὶ ψεῦσται, κακὰ*
20 *θηρία, γαστέρες ἀργαί". Εἰπάτωσαν ἡμῖν οἱ κοιλιολάτραι καὶ τραπεζογίγαντες καὶ γυναικοϊέρακες, οἱ τὴν Ἰωάννου ἄσκησιν μεμφόμενοι, ἐμπερινοστήσαντες Παλαιὰν καὶ Καινὴν Διαθήκην, ποῦ εὗρον ἐν ἐπαίνῳ συμπόσιον, εἰ μή που πρὸς ἀλλοφύλους, καὶ τοῦτο διὰ τὴν τῆς εἰρήνης σπεῖσιν, τῷ τῆς*
25 *τραπέζης νόμῳ θηρίων τε καὶ βαρβάρων τιθασσευομένων; Πότε δὲ τὰ συμπόσια ὑπόθεσις ἁμαρτίας οὐ γέγονεν; Τί δὲ λέγω 'ἁμαρτίας', τάχα δὲ καὶ 'τῆς μείζονος εἰδωλολατρείας καὶ ἀδελφοκτονίας';– Καθὼς γέγραπται· "'Ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν". Ἦν δὲ τὸ παίγνιον*
30 *μέθης ἔκγονον. "Δεῦτε, ποιήσωμεν θεοὺς οἵτινες προπορεύσονται ἡμῶν". Οἱ γὰρ σεισμὸν ὑποστάντες δι' οἴνου κινητοὺς θεοὺς ἐπεζήτουν, τὸν ἄσειστον καὶ πάντα πληροῦντα ἄνευ τοῦ βαδίζειν ἀφέντες.*

Τί δαὶ λέγει ὁ προφήτης; 'Χείλη ἱερέως μελετήσωσι
35 *συμπόσια, ὅτι δεῖπνα καὶ ἄριστα ἐκζητήσουσιν ἀπ' αὐτοῦ', ἢ "Ὅτι χείλη ἱερέως φυλάξεται νόμον, καὶ λόγον ἐκ στόματος αὐτοῦ ἐκζητήσουσιν, ὅτι ἄγγελος Κυρίου ἐστί", καὶ οὐ*

ὑπερβολικά σκληρό, τό συμπλήρωσε μέ τό «παρηγόρησε», καί ὄχι μέ τό 'κολάκεψε', τό ὁποῖο ὅταν γίνεται μέ δεξιότητα εἶναι πιό σκληρό στούς φιλήδονους καί νωθρούς, ἐπειδή οἱ ἔλεγχοι εἶναι πιό ἐνοχλητικοί. Γιατί ἐκεῖ ἴσως ἡ ψυχή ἀντιδρώντας ἀπό κάποιο θυμό εἶναι ἀναίσθητη σ' ὅσα λέγονται, ἐνῶ ἐδῶ ἥσυχα καί σιγά-σιγά μέ τά μαλακά λόγια τῆς ἀλήθειας αἰσθάνεται σάν νά καίγεται ἀπό σιγανή φωτιά). Καί τί θυμίζει σ' αὐτόν· τά συμπόσια καί τίς εὐτυχίες ἤ τά σεμνολογήματα τῶν θλίψεων, λέγοντας, «Ἐσύ βέβαια ἔχεις παρακολουθήσει τή συμπεριφορά μου, ποιά ἦταν ἡ πρόθεσή μου γιά νά κάνω στούς διωγμούς μου τά πάντα γιά τή δόξα τοῦ Θεοῦ»[52]; Στούς ἐλέγχους τῆς πλάνης, μήπως ἀναφέρει τραπέζια;

Ἄς δοῦμε ὅμως πάλι τί γράφει στόν Τίτο, τόν ἐπίσκοπο τῆς Κρήτης, γιά φαγητά καί ποτά ἤ γιά ἐλέγχους καί διδασκαλία λέγοντας, «Γι' αὐτό σέ ἄφησα στήν Κρήτη, γιά νά συμπληρώσεις ὅσα παρέλειψα ἐγώ καί νά πείσεις αὐτούς νά μή διδάσκουν ἄλλες διδασκαλίες, οὔτε νά προσέχουν σέ μύθους καί γενεαλογίες ἀτελείωτες»[53], προσθέτοντας καί τόν τρόπο τῶν ἐλέγχων, «Οἱ Κρῆτες εἶναι πάντοτε ψεῦτες, κακά θηρία, ἄνθρωποι πού θέλουν νά τρώγουν χωρίς νά ἐργάζονται»[54]; Ἄς μᾶς ποῦν οἱ κοιλιόδουλοι καί πολυφαγάδες καί γυναικομανεῖς, οἱ ὁποῖοι μέμφονται τήν ἄσκηση τοῦ Ἰωάννη, ὅταν ἔψαξαν τήν Παλαιά καί τήν Καινή Διαθήκη, ποῦ βρῆκαν νά ἐπαινεῖται τό συμπόσιο, ἐκτός ὅταν προσφέρεται στούς ξένους, καί τοῦτο γιά τή σύναψη συνθήκης, εἰρήνης, ἀφοῦ μέ τή συνήθεια τοῦ γεύματος ἡμερώνουν καί θηρία καί βάρβαροι; Καί πότε τά συμπόσια δέν ἔγιναν ἀφορμή ἁμαρτίας; Καί τί λέγω ἁμαρτίας, ἴσως καί τῆς μεγαλύτερης εἰδωλολατρίας καί ἀδελφοκτονίας, καθώς εἶναι γραμμένο· «Κάθισε ὁ λαός νά φάγει καί νά πιεῖ, καί σηκώθηκαν νά παίξουν»[55]. Καί τό παιχνίδι ἦταν προϊόν τῆς μέθης. «Ἐμπρός, ἄς κάνουμε θεούς οἱ ὁποῖοι θά βαδίζουν μπροστά ἀπό μᾶς»[56]. Αὐτοί λοιπόν πού μέ τό κρασί κλονίσθηκαν ἐπιζητοῦσαν κινητούς θεούς, ἀφήνοντας αὐτόν πού εἶναι ἀκλόνητος καί γεμίζει τά πάντα χωρίς νά βαδίζει.

Τί λοιπόν λέγει ὁ προφήτης; «Τά χείλη τοῦ ἱερέα θά μελετήσουν τά συμπόσια, γιατί θά ζητήσουν ἀπ' αὐτόν δεῖπνα καί γεύματα», ἤ «Ὅτι τά χείλη τοῦ ἱερέα θά φυλάξουν τό νόμο, καί θά ζητήσουν ἀπό τό στόμα του λόγο, γιατί εἶναι ἄγγελος Κυρίου»[57], καί ὄχι μάγειρος;

52. Β΄ Τιμ. 3, 10.11.
53. Τίτ. 1,5· Α΄ Τιμ. 1, 3.4.
54. Τίτ. 1, 12.
55. Ἐξ. 32, 6.
56. Ἐξ. 32, 1.
57. Μαλ. 2, 7.

μάγειρος; Καὶ ὁ ἐν Χαλάννῃ δὲ πύργος πότε ᾠκοδομήθη; πρὸ οἴνου ἢ μετὰ οἶνον; Οὐ μετὰ οἴνου ἡνίκα Νῶε φυτεύσας τὸ κλῆμα πρῶτος τὸν ὄνειδον ἐκαρπώσατο; Εἴ γε οὕτως ἔχει, οὐ διὰ τὴν πόσιν ἢ τὴν φυτείαν, ἀλλὰ διὰ τὴν ἀμετρίαν. Ἰωσὴφ πότε 5 *ἐπράθη ὑπὸ τῶν ἀδελφῶν; Ὅτε τὰ πρόβατα ἐποίμαινον ἐν αὐτοῖς ἀσχολούμενοι, ἢ ὅτε τὰ κάλλιστα σφάζοντες καὶ ἐσθίοντες ἐπὶ σχολῆς κατ' αὐτοῦ ἐν συμποσίῳ τὸν φθόνον ἐτεκταίνοντο; Τὴν τοῦ βαπτιστοῦ Ἰωάννου κεφαλὴν ἐπὶ πίνακος ποῦ ἐπέδοσαν τῷ πορνιδίῳ; Ἐν συλλόγῳ σοφίας ἢ ἐν* 10 *συμποσίῳ ἀνομίας; Ὁ μακάριος Παῦλος πίνων καὶ τρώγων παρέτεινεν ἕως μεσονυκτίου τὸν λόγον, ἢ ἀσιτῶν καὶ διδάσκων καὶ τοὺς τὸν Θεὸν ἀγνοοῦντας εἰς πίστιν ἄγων;*

Αὐτὸς ὁ ἀρχιποίμην καὶ ἀρχιδιδάσκαλος καὶ ἀρχισοφιστής, Ἰησοῦς ὁ Χριστός, ὁ τῆς ἀνθρωπίνης πλάνης διορθω- 15 *τής, ποῦ εὑρίσκεται ἐν πόλει φαγὼν πλὴν τοῦ Πάσχα;- Ὃ ἦν μυστηρίων ἐκπλήρωσις. Τί δαὶ καὶ μεριμνῶσι τοῖς μαθηταῖς εὑρίσκεται λέγων, περὶ βρωμάτων ἢ περὶ ἀναγνωσμάτων; "Ἐργάζεσθε", λέγων, "μὴ τὴν ἀπολλυμένην βρῶσιν, ἀλλὰ τὴν μένουσαν". Λεγέτω τοίνυν μετὰ τοῦ Κυρίου καὶ ὁ καλὸς* 20 *Ἰωάννης· "Ἐμὸν συμπόσιόν ἐστιν ἡ τοῦ Λόγου διδασκαλία καὶ διανομή, εἰς ἣν καὶ ἐξελέχθην εἰς τὴν τοῦ λαοῦ σωτηρίαν". "Βρῶμα γὰρ ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ, οὔτε ἐὰν φάγωμεν, οὔτε ἐὰν μὴ φάγωμεν". Ἐθνικῶν γὰρ ἡ συνήθεια αὕτη, τὸ τραπέζαις ἀπατᾶν τοὺς ὑπ' αὐτῶν δελεαζομένους, λόγῳ* 25 *πείθειν μὴ δυναμένων τῶν λεγόντων· "Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν". Πρὸς οὓς ὁ ἀπόστολος πληκτικώτερον τὴν διόρθωσιν ἐπάγει, λέγων· "Μὴ πλανᾶσθε· 'Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί". "Ὁμιλίας" λέγων "κακάς" τὰς περὶ τά τοιαῦτα ἑλισσομένας λέξεις.*

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'

30 *Ο ΔΙΑΚ. Γνησίως μὲν καὶ πολυμαθῶς εἴρηκας τὰ εἰρημένα,*

58. Πρόκειται γιά τόν πύργο τῆς Βαβέλ. Βλ. Γεν. 11, 1-9 καί 10, 10.

59. Γεν. 9, 20-21. 60. Γεν. 37, 25-28.

61. Γιά τήν ἀποκεφάλιση τοῦ Βαπτιστῆ Ἰωάννη Βλ. Μάρκ. 6, 14-29.

Καί ὁ πύργος στήν Χαλάννη[58] πότε κτίσθηκε; πρίν τό κρασί ἤ μετά τό κρασί; ὄχι μέ μέθη ὅταν ὁ Νῶε φύτεψε τό ἀμπέλι καί δέχθηκε πρῶτος τή μομφή[59]; 'Εάν βέβαια ἔτσι ἔχει τό πράγμα, ὄχι γιατί ἤπιε ἤ φύτεψε, ἀλλά γιατί ἤπιε ὑπερβολικά. 'Ο 'Ιωσήφ πότε πουλήθηκε ἀπό τούς ἀδελφούς του; ὅταν ἔβοσκαν τά πρόβατα ἀσχολούμενοι μ' αὐτά, ἤ ὅταν σέ ἀργία σφάζοντας καί τρώγοντας τά καλύτερα πρόβατα ἐπινοοῦσαν τό φθόνο ἐναντίον του στό συμπόσιο[60]; Τό κεφάλι τοῦ βαπτιστῆ 'Ιωάννη μέσα σέ πιάτο ποῦ τό ἔδωσαν στή νεαρή πόρνη; σέ συγκέντρωση σοφίας ἤ σέ συμπόσιο ἀνομίας[61]; 'Ο μακάριος Παῦλος πίνοντας καί τρώγοντας παρέτεινε τό λόγο μέχρι τά μεσάνυχτα[62], ἤ μένοντας νηστικός καί διδάσκοντας καί ὁδηγώντας στήν πίστη ἐκείνους πού ἀγνοοῦσαν τό Θεό;

'Ο ἴδιος ὁ ἀρχιποιμένας καί ἀρχιδιδάσκαλος καί ἀρχιφιλόσοφος, ὁ 'Ιησοῦς Χριστός, ὁ διορθωτής τῆς ἀνθρώπινης πλάνης, ποῦ βρίσκεται νά τρώγει σέ πόλη ἐκτός ἀπό τό Πάσχα; -πράγμα πού ἦταν ἐκπλήρωση μυστηρίων[63]. Καί τί λοιπόν λέγει στούς μαθητές πού μεριμνοῦσαν, γιά φαγητά ἤ γιά ἀναγνώσματα; -«Νά ἐργάζεστε», λέγοντας, «γιά ν' ἀποκτήσετε ὄχι τήν τροφή πού φθείρεται, ἀλλά τήν πνευματική τροφή πού μένει ἄφθαρτη»[64]. Ἄς λέγει λοιπόν μαζί μέ τόν Κύριο καί ὁ καλός 'Ιωάννης, «Δικό μου συμπόσιο εἶναι ἡ διδασκαλία καί ἡ διανομή τοῦ λόγου τοῦ Θεοῦ, στήν ὁποία καί ἐκλέχθηκα γιά τή σωτηρία τοῦ λαοῦ». «Γιατί τό φαγητό δέ μᾶς παρουσιάζει εὐάρεστους στό Θεό, οὔτε ἐάν φάμε, οὔτε ἐάν δέ φάμε»[65]. Γιατί εἶναι τῶν ἐθνικῶν ἡ συνήθεια αὐτή, τό νά ἐξαπατοῦν δηλαδή μέ τά τραπέζια αὐτούς πού παραπλανοῦν, ἀφοῦ δέν μποροῦν μέ λόγια νά τούς πείσουν αὐτοί, πού λέγουν· «Ἄς φάμε καί ἄς πιοῦμε, γιατί αὔριο πεθαίνουμε»[66]. Πρός αὐτούς ὁ ἀπόστολος προσθέτει τή διόρθωση μέ σκοπό νά καταφέρει δυνατότερα χτυπήματα, λέγοντας· «Μήν πλανιέστε· 'καταστρέφουν τά καλά ἤθη οἱ κακές συναναστροφές'»[67], λέγοντας «κακές συναναστροφές» τίς λέξεις πού στρέφονται γύρω ἀπ' αὐτά τά τραπέζια.

ΚΕΦΑΛΑΙΟ ΙΓ΄

Ο ΔΙΑΚ. Εἶπες καθαρά καί πολύ καλά τά προηγούμενα, καί ἔτσι

62. Πράξ. 20, 7.
63. Βλ. 'Ιω. 6, 28-35. 48-58.
64. 'Ιω. 6, 27.
65. Α΄ Κορ. 8, 8.
66. Α΄ Κορ. 15, 32.
67. Α΄ Κορ. 15, 33.

καὶ οὕτως ἔχει. "Οὐαὶ γὰρ τῷ λέγοντι τὸ γλυκὺ πικρόν, καὶ τὸ πικρὸν γλυκύ. Οὐαὶ τῷ τιθέντι τὸ σκότος φῶς, καὶ τὸ φῶς σκότος". Λέξει δέ τις, ὅτι "Οὔτε ἡμεῖς τοῦτο λέγομεν εἶναι αὐτὸν ἔκδοτον ταῖς τοιαύταις τραπέζαις. Ἡ γὰρ ἄμετρος φιλοτιμία φιληδονίας ὑπόθεσις, καὶ ἡ εἰς ἄγαν ἀπόκλεισις ὄκνου καὶ μικρολογίας ἀπόδειξις. Ἐδύνατο γὰρ κἂν μόνους ἐπισκόπους καλεῖν, καὶ τούτων μάλιστα τοὺς εὐσεβεστέρους· ἢ εἰ μὴ τούτους, κἂν τὸν ἴδιον κλῆρον, μιμούμενος τὸν Δεσπότην ἐσθίοντα μετὰ τῶν δώδεκα ἀποστόλων".

Ο ΕΠΙΣΚ. Συνεκτικώτατα ἀνθυπήνεγκας, φιλαληθέστατε τῶν ἀνδρῶν, εἴ γε ἠνείχοντο οἱ κληρικοὶ συναριστεῖν τῷ Ἰωάννῃ, παρ' ὥραν ἢ παρ' ἡμέραν ἐσθίοντες· οἱ δὲ ὡς τάχιστα μετὰ πολλῆς τῆς παρασκευῆς πολυτέλειαν ἐπεζήτουν. Ἄτοπον ἦν τὰς τῶν νοσούντων ἢ πτωχευόντων τροφὰς τῇ τῶν ὑγιαινόντων ἀκρασίᾳ προσαναλῶσαι. Ποῖος δὲ καὶ νόμος οὗτος, νομοθετεῖν τὸν παιδευτὴν τοὺς παιδευομένους, ἢ τοὺς ἀῤῥώστους τὸν ἰατρόν, ἢ τοὺς ἐπιβάτας τὸν κυβερνήτην, ἀεὶ τοῦ ἰατροῦ τοὺς νοσοῦντας ὑγιάζοντος, καὶ τοῦ διδάσκοντος τοὺς παιδευομένους ἐπανορθοῦντος, καὶ τοῦ κυβερνήτου τοῖς ἐμπλέουσι τὸ συμφέρον μνηστευομένου; Καὶ ἰατρῷ μὲν καὶ κυβερνήτῃ πειθόμενοι οἱ ὑπ' αὐτοὺς διὰ φιλοζωΐαν πᾶσαν ὀδύνην καὶ ἐπάχθειαν φέρουσι, παρ' οἷς καὶ τὸ ἐπιτυχεῖν ἄδηλον· διδασκάλῳ δὲ τῶν κρειττόνων, νόσους καὶ μαλακίας ἀπελαύνειν ἐμπεπιστευμένῳ καὶ τρικυμίας ἡδονῶν ὑπερβαίνειν ἐξησκημένῳ, ἀχαλινώτοις στόμασιν ἐπανατείνονται ἀνίπτοις ποσὶ πάντα φύροντες.

Εἰ δὲ καὶ ἐδεδώκει ἑαυτὸν ἔκδοτον ταῖς τραπέζαις, πόσοις ἐξήρκει ἀξιώμασι τὴν τηλικαύτην πόλιν οἰκῶν, ἑκάστου ἢ δι' εὐλογίαν, ἢ διὰ πενίαν, ἢ διὰ γαστριμαργίαν τὸ φαγεῖν ἐπιζητοῦντος; Ποῦ δὲ καὶ σχολὴν ἦγεν ἡ τοῦ Θεοῦ θεωρία, ἡ τοῦ λαοῦ θεραπεία, ἡ τῶν Γραφῶν ἱστορία, ἡ τῶν χηρῶν κηδεμονία, ἡ τῶν παρθένων παραμυθία, ἡ τῶν ἀῤῥωστούντων νοσοκομία, ἡ τῶν καταπονουμένων ἐπικουρία, ἡ τῶν πλανωμένων ἐπιστροφή, ἡ τῶν συντετριμμένων φροντίς, ἡ τῶν ἐν φυλακαῖς ἐπίσκεψις; Πῶς δὲ ἔφυγεν τὸν ὀνειδιστικὸν ταλανισμὸν τοῦ Θεοῦ, ὃν ὀνειδίζει ἐν τῷ Ἰεζεκιήλ; "Ὦ οἱ ποιμένες οἱ ποιμαίνοντες ἑαυτούς, καὶ οὐ τὰ πρόβατα νέμοντες· τὸ

1. Ἠσ. 5, 20.

πραγματικά συμβαίνει. «Γιατί άλλοίμονο σ' έκεῖνον πού λέγει τό γλυκό πικρό, καί τό πικρό γλυκό. 'Αλλοίμονο σ' έκεῖνον πού θεωρεῖ τό σκοτάδι φῶς, καί τό φῶς σκοτάδι»[1]. Θά πεῖ ὅμως κάποιος, ὅτι «Οὔτε καί ἐμεῖς λέμε αὐτό, πώς δηλαδή ὁ 'Ιωάννης ἐπιδίδονταν σέ τέτοια τραπέζια. Γιατί ἡ ἄμετρη σπατάλη εἶναι προϋπόθεση τῆς ἡδυπάθειας, καί ὁ ὑπερβολικός ἀποκλεισμός της εἶναι ἀπόδειξη ἀπροθυμίας καί φιλαργυρίας. Μποροῦσε λοιπόν νά καλεῖ τουλάχιστο μόνο τούς ἐπισκόπους καί ἀπ' αὐτούς ἰδιαίτερα τούς εὐσεβέστερους· ἤ ἄν δέν καλοῦσε αὐτούς, τουλάχιστο τούς δικούς του κληρικούς, γιά νά μιμεῖται τόν Κύριο πού ἔτρωγε μαζί μέ τούς δώδεκα ἀποστόλους».

Ο ΕΠΙΣΚ. Πολύ σωστά ὑπέβαλες τήν ἔνσταση, φιλαληθέστατε ἄνδρα, ἄν βέβαια δέχονταν οἱ κληρικοί νά γευματίζουν μαζί μέ τόν 'Ιωάννη, τρώγοντας σέ ἀκατάλληλη ὥρα ἤ ἡμέρα παρά ἡμέρα, ἐνῶ αὐτοί ὅσο πιό γρήγορα γινόταν ἐπιζητοῦσαν τήν πολυτέλεια μέ μεγάλη ἑτοιμασία. Ἦταν παράλογο νά καταναλώσουν τίς τροφές τῶν ἀρρώστων ἤ φτωχῶν στήν ἀκράτεια τῶν ὑγιῶν. Καί τί συνήθεια εἶναι αὐτή, νά συμβουλεύουν οἱ μαθητές τό διδάσκαλο, ἤ οἱ ἄρρωστοι τόν ἰατρό, ἤ οἱ ἐπιβάτες τόν κυβερνήτη, ἀφοῦ πάντοτε ὁ ἰατρός θεραπεύει τούς ἄρρωστους καί ὁ διδάσκαλος διορθώνει τούς μαθητές καί ὁ κυβερνήτης συνδέεται μ' αὐτό πού συμφέρει στούς συνταξιδιῶτες του; Καί στόν ἰατρό βέβαια καί στόν κυβερνήτη ὑπακούοντας ὅσοι βρίσκονται κάτω ἀπό τίς διαταγές τους ὑπομένουν κάθε πόνο καί κάθε δυσάρεστο ἐξ αἰτίας τῆς ἀγάπης τους γιά τή ζωή, στούς ὁποίους καί ἡ ἐπιτυχία εἶναι ἄγνωστη. 'Ενῶ στό διδάσκαλο τῶν ἀνώτερων ἀγαθῶν, ὁ ὁποῖος ἔχει ὁρισθεῖ νά θεραπεύει ἀρρώστιες καί ἀδυναμίες καί ἔχει ἐξασκηθεῖ νά ξεπερνᾶ τίς τρικυμίες τῶν ἡδονῶν, μακρηγοροῦν μέ ἀχαλίνωτα στόματα βρίζοντας χωρίς προετοιμασία τά πάντα.

'Εάν ὅμως παραδινόταν στά τραπέζια, σέ πόσες ἀξιώσεις θά ἔφθανε, κατοικώντας σέ τόσο μεγάλη πόλη, ὅταν ὁ καθένας ἐπιζητοῦσε τό φαγητό ἤ γιά εὐλογία, ἤ ἀπό φτώχεια ἤ ἀπό λαιμαργία; Καί πῶς θά πραγματοποιοῦνταν ἡ παρατήρηση τοῦ Θεοῦ, ἡ θεραπεία τοῦ λαοῦ, ἡ γνώση τῶν Γραφῶν, ἡ φροντίδα τῶν χηρῶν, ἡ παρηγοριά τῶν παρθένων, ἡ περίθαλψη τῶν ἄρρωστων, ἡ βοήθεια τῶν κουρασμένων, ἡ ἐπιστροφή αὐτῶν πού βρίσκονται σέ πλάνη, ἡ φροντίδα τῶν θλιμμένων, ἡ ἐπίσκεψη τῶν φυλακισμένων; Καί πῶς θ' ἀπέφευγε τόν ὀνειδιστικό ταλανισμό τοῦ Θεοῦ, πού ὀνειδίζει στόν 'Ιεζεκιήλ; «Οἱ ποιμένες, οἱ ὁποῖοι φροντίζουν τόν ἑαυτό τους καί δέ φροντίζουν νά βόσκουν τά πρόβατά τους· δέ φέρατε πίσω ἐκεῖνο πού

πεπλανημένον οὐκ ἐπεστρέψατε, τὸ ἀπολωλὸς οὐκ ἐζητήσατε, τὸ ἀσθενὲς οὐκ ἐπεσκέψασθε, τὸ συντετριμμένον οὐ κατεδήσατε, τὰ λιπαρὰ σφάζοντες ἐσθίετε". Περὶ ὧν γράφει ὁ Παῦλος· "'Ανέχεσθε γάρ, εἴ τις ὑμᾶς καταδουλοῖ, εἴ τις
5 *κατεσθίει, εἴ τις λαμβάνει". "Καὶ τὰ μὲν ἔρια περιεβάλλεσθε, τὰ δὲ πρόβατα οὐ ποιμαίνετε". Καὶ ἐν τῷ 'Ιερεμίᾳ περὶ ἀργοτρόφων ποιμένων λέγει· "Ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου".*

Λέγει ὁ διάκονος·

10 *Ο ΔΙΑΚ. 'Εδύνατο καὶ τούτους διὰ χρόνου θεραπεύειν καὶ τῶν ἐκκλησιαστικῶν φροντίζειν, ἵνα μὴ δόξῃ κακῶς ἀκούειν, ἐν τοῖς ἄλλοις ὢν μέγας.*

Ο ΕΠΙΣΚ. Τοῦτο γάρ ἐστι τὸ ζητούμενον, ἵνα μὴ κακῶς ἀκούῃ, ἵνα πλουσίως παρέχῃ τὸν λόγον, τὴν σπουδήν, τὸν
15 *ζῆλον, τὴν ἄλλην ἱερατικὴν εὔνοιαν. Ἢ οὐκ οἶδας, ὦ τιμιώτατε Θεόδωρε, ὅτι καὶ ἀλόγου κακηγορίας μακαρισμὸς ὥρισται ὑπὸ τοῦ Κυρίου σὺν τοῖς ἄλλοις μακαρισμοῖς εἰπόντος· "Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν. Οὐαὶ δὲ ὑμῖν, ὅταν καλῶς ὑμᾶς*
20 *εἴπωσι πάντες οἱ ἄνθρωποι· κατὰ ταῦτα γὰρ ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν"; Πῶς δὲ καὶ στόμα ἐξησκημένον ἐν θείοις λογίοις καὶ οὓς χρησμῶν ἐπακούειν θείων ἠνείχετο πολυλογίας τραπέζης, τοῦ Δεσπότου λέγοντος· "Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν". Ἔπειτα, "Οὐ δύνασθε Θεῷ*
25 *δουλεύειν καὶ μαμωνᾷ"; Ζητήσωμεν ἄρα τίς ὁ μαμωνᾶς, μή ποτε εὑρεθῶμεν οὐχὶ τοῖς δύο κυρίοις δουλεύοντες, ἀλλ' ἢ μόνῳ τῷ μαμωνᾷ. "Μαμωνᾶν" γὰρ νῦν οὐ "τὸν διάβολον" λέγει, ἀλλὰ τὴν ματαιοπονίαν τοῦ κόσμου τούτου, οὗ τοὺς ἑαυτοῦ μαθητὰς ὁ λόγος ἀπέστησεν.*

30 *Ο ΔΙΑΚ. 'Επανάζευξον, ὦ ἱερώτατε πάτερ, ἐπὶ τὰ λοιπὰ τῶν πραγμάτων, ἱκανῶς ἀποδεδειγμένου τοῦ περὶ τραπέζης λόγου. Κἀμοὶ δὲ μὴ χαλεπήνῃς ἐπὶ τοῖς ἀνθυπενεχθεῖσι· πλέον γάρ τι βουλόμενος μαθεῖν, ἐπεξεργαστικώτερον ἠρόμην τὴν σὴν πολυμάθειαν.*

35 *Ο ΕΠΙΣΚ. Τοῦτό σοι παρ' ἐμοῦ σαφέστερον εἰρήσθω, Θεόδωρε φιλομαθέστατε (εἷς γὰρ γέγονα τῶν σπουδασάντων ὄχλοις διὰ τραπέζης ἀρέσαι), ὅτι ἐπίσκοπος, μάλιστα πόλεως*

εἶχε πλανηθεῖ, δέ ζητήσατε τό χαμένο, δέν ἐπισκεφθήκατε τό ἄρρωστο, δέν περιποιηθήκατε τό τραυματισμένο, σφάζετε καί τρώγετε τά παχιά» (γιά τούς ὁποίους γράφει ὁ Παῦλος· «Γιατί ἀνέχεστε, ἐάν κανείς σᾶς ὑποδουλώνει, ἐάν κανείς σᾶς κατατρώγει, ἐάν κανείς σᾶς συλλαμβάνει»[2]), «καί ντύνεστε μέ τά μαλλιά τους, δέ φυλάγετε ὅμως τά πρόβατα»[3]. Καί στόν Ἱερεμία γιά τούς ποιμένες πού τρώγουν χωρίς νά ἐργάζονται, λέγει· «Πολλοί ποιμένες κατέστρεψαν τόν ἀμπελώνα μου»[4].

Λέγει ὁ διάκονος·

Ο ΔΙΑΚ. Μποροῦσε καί αὐτούς νά περιποιεῖται ὕστερα ἀπό κάποια διακοπή καί τά ἐκκλησιαστικά πράγματα νά φροντίζει, γιά νά μή φανεῖ ὅτι τόν κατηγοροῦν, ἀφοῦ στά ἄλλα ζητήματα ἦταν μεγάλος.

Ο ΕΠΙΣΚ. Αὐτό λοιπόν εἶναι τό ζητούμενο, νά μήν τόν κατηγοροῦν γιά νά παρέχει πλούσια τή διδασκαλία, τή φροντίδα, τήν προθυμία, τήν ἄλλη ἱερατική συμπάθεια. Ἤ δέ γνωρίζεις, τιμιότατε Θεόδωρε, ὅτι ἀνάμεσα στούς ἄλλους μακαρισμούς ἔχει θέσει ὁ Κύριος καί μακαρισμό γιά παράλογη κακολογία, λέγοντας, «Μακάριοι γίνεστε, ὅταν σᾶς βρίσουν οἱ ἄνθρωποι καί ποῦν κάθε κακολογία ἐναντίον σας. Ἀλλοίμονο σέ σᾶς, ὅταν σᾶς ἐπαινέσουν ὅλοι οἱ ἄνθρωποι· γιατί τά ἴδια ἀκριβῶς ἔκαναν καί στούς προφῆτες οἱ πρόγονοί τους»[5]; Καί πῶς στόμα ἐξασκημένο στά θεῖα λόγια καί αὐτί ν' ἀκούει θείους χρησμούς θ' ἀνεχόταν τήν πολυλογία τῶν τραπεζιῶν, ὅταν ὁ Κύριος λέγει, «Κανείς δέν μπορεῖ νά δουλεύει σέ δύο κυρίους», καί ἔπειτα, «δέν μπορεῖτε νά δουλεύετε καί στό Θεό καί στό μαμωνά»[6]; Ἄς ἐξετάσουμε λοιπόν ποιός εἶναι ὁ μαμωνάς, μήπως βρεθοῦμε νά δουλεύουμε ὄχι στούς δύο κυρίους, ἀλλά μόνο στό μαμωνά. Γιατί «μαμωνά» ἐδῶ δέ λέγει τό διάβολο, ἀλλά τήν ματαιοπονία τοῦ κόσμου αὐτοῦ, ἀπό τόν ὁποῖο ὁ λόγος ἀπομάκρυνε τούς μαθητές του.

Ο ΔΙΑΚ. Ξανασύνδεσε τό λόγο, ἱερότατε πάτερ, μέ τά ὑπόλοιπα πράγματα, ἀφοῦ ἀρκετά κράτησε ὁ λόγος γιά τραπέζια καί φαγητά. Καί μή δυσφορεῖς μέ μένα γιά τίς παρατηρήσεις μου. Γιατί θέλοντας νά μάθω κάτι περισσότερο, ἐρώτησα γιά περισσότερες λεπτομέρειες τήν πολυμάθειά σου.

Ο ΕΠΙΣΚ. Θά σοῦ τό πῶ σαφέστερα αὐτό, Θεόδωρε φιλομαθέστατε (γιατί εἶμαι ἕνας ἀπ' αὐτούς πού φρόντισαν ν' ἀρέσουν στούς ἄλλους μέ τόν τρόπο τῶν τραπεζιῶν), ὅτι ἕνας ἐπίσκοπος, καί μάλιστα

2. Β´ Κορ. 11, 20.
3. Ἰεζ. 34, 2.4.3.
4. Ἰερ. 12, 10.
5. Ματθ. 5, 11 καί Λουκᾶ 6, 26.
6. Ματθ. 6, 24.

μεγάλης, "καταλείψας τὴν τοῦ λόγου διακονίαν", νύκτωρ τε καὶ μεθ' ἡμέραν ἐν ταῖς χερσὶν οὐκ ἔχων τὰ τοῦ νόμου πυξία, καὶ τὴν τῶν πτωχῶν ἐπιμέλειαν οὐ δι' ἑαυτοῦ, ἀλλὰ δι' ἑτέρων ποιεῖται, μακρὰν ἔσται τῶν εἰρηκότων· "Ἰδού, ἀφήκαμεν
5 *πάντα, καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἡμῖν ἔσται;". Συναριθμούμενος τοῖς φήσασι· "Κύριε, οὐχὶ τῷ σῷ ὀνόματι τὰ καὶ τὰ ἐποιήσαμεν;". Ἀκουσόμενος μετ' αὐτῶν· "Ὑπάγετε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι· οὐκ οἶδα ὑμᾶς, πόθεν ἐστέ". Οὐ γὰρ ἐπιγινώσκει ὁ λόγος ἀλόγους ἐργάτας· "Καθαρὸς γὰρ αὐτοῦ*
10 *ὀφθαλμὸς τοῦ μὴ ὁρᾶν πονηρά".*

Πολλοὶ γὰρ τῶν λεγομένων ἐπισκόπων τὸ εὔλογον αὐτῶν μῖσος, ὃ μεμίσηνται διὰ τοὺς οἰκείους αὐτῶν τρόπους καὶ τὴν τῶν νοητῶν ἀζηλίαν, περικόψαι βουλόμενοι πάθει πάθος ἀντικαταλλάττουσι πλεονεξίαν κενοδοξίᾳ· τῇ μὲν χειρὶ ἀφει-
15 *δῶς ἀδικοῦντες εἰς κέρδος αἰσχρόν, τῇ δ' ἑτέρᾳ τὰς τραπέζας ἐπιτεχνώμενοι καὶ στήλας ὑψηλῶν οἰκοδομημάτων ἐγείραντες, ἵνα ἐκ τούτων δόξαντες χρηστοὶ καὶ φιλόπονοι φαίνεσθαι, τιμὴν ἀντὶ ἀτιμίας καρπώσωνται, οὐ μνημονεύοντες τοῦ ἐκκλησιαστοῦ τοῦ καὶ κτίσαντος καὶ μισήσαντος, καὶ τὰ*
20 *τοιαῦτα σαφῶς ἀπαγορεύσαντος ἐν τῷ γράψαι· "Ἐποίησά μοι οἴκους καὶ παραδείσους", καὶ τὰ ἑξῆς, "καὶ ἰδού, τὰ πάντα ματαιότης· καὶ ἐμίσησα σύμπαντα μόχθον μου, ὃν ἐγὼ μοχθῶ ὑπὸ τὸν ἥλιον". Οὐκ εἶπεν, "ὑπὲρ τὸν ἥλιον", ἵνα μὴ τοὺς νοητοὺς καθυβρίσῃ πόνους. Ταῦτα δὲ λέγω, οὐ συμπεριλαμ-*
25 *βάνων τοὺς εὐλόγως καὶ δι' ἀνάγκην κτίζοντας ἢ διορθουμένους τὰ τῆς ἐκκλησίας, ἀλλὰ διὰ τοὺς τὰ τῶν πτωχῶν εἰς κρεμαστοὺς περιβόλους καὶ ἀερίων ὑδάτων δεξαμενὰς ἐν τριωρόφοις καὶ ἀπρεπῆ ἀνδρογύνων λουτρὰ ἐν ἀποκρύφοις καταναλίσκοντας εἰς συλλογὴν ἢ πλείονος ἀργυρίου ἢ τοὔμπα-*
30 *λιν παρὰ τῶν ἀθυρμάτων ἀγαπηθῆναι, ἐν αὐτῷ τούτῳ τῆς σπουδῆς τὴν χάριν ἀντιπληρούντων, τῷ πάντα πρὸς ἡδονὴν ἐνδιδόναι τοῖς ἁμαρτάνουσιν. Ἐμοὶ δὲ μὴ γένοιτο, Θεόδωρε μεγαλώνυμε, φαύλοις ἀρέσαι ποτέ· οὐ γὰρ ἄλλοθεν αὐτοῖς ἀρέσω, ἢ ἐκ τῶν Χριστῷ μὴ ἀρεσκόντων.*
35 *Ὁ διάκονος ἐπὶ τούτοις θαυμάσας ἤρετο λέγων·*

---

7. Ματθ. 19, 27. 9. Ματθ. 25, 41 καί Λουκᾶ 13, 25.

8. Ματθ. 7, 22. 10. Ἀβακούμ 1, 13. 11. Ἐκκλ. 2, 4-5. 11.18.

μεγάλης πόλης, «ὅταν ἀφήσει τή διακονία τοῦ κηρύγματος», χωρίς νά ἔχει νύχτα καί ἡμέρα στά χέρια του τίς πινακίδες τοῦ νόμου, καί φροντίζει τούς φτωχούς ὄχι μόνος του, ἀλλά μέ ἄλλους, θά εἶναι μακριά ἀπό ἐκείνους πού εἶπαν, «Νά ἐμεῖς ἀφήσαμε ὅλα, καί σέ ἀκολουθήσαμε. Τί ἄραγε θά μᾶς δοθεῖ ὡς ἀμοιβή;»[7], καί περιλαμβανόμενος ἀνάμεσα σ' ἐκείνους πού εἶπαν· «Κύριε, μέ τό δικό σου ὄνομα δέν κάναμε αὐτά καί αὐτά;»[8], θ' ἀκούσει μαζί μ' αὐτούς· «Φύγετε ἀπό μένα, ἐσεῖς οἱ καταραμένοι· δέ σᾶς ξέρω ἀπό ποῦ εἶστε»[9]. Οὔτε βέβαια ὁ λόγος τοῦ Θεοῦ ἀναγνωρίζει τούς ἀπερίσκεπτους ἐργάτες· «γιατί εἶναι καθαρό τό μάτι του ὥστε νά μή βλέπει τά πονηρά»[10].

Γιατί πολλοί ἀπό τούς λεγόμενους ἐπισκόπους θέλοντας νά ἐξαλείψουν τό εὔλογο ἐναντίον τους μίσος τό ὁποῖο αἰσθάνονται γιά τούς δικούς τους τρόπους καί τήν ἀπουσία ζήλου τους γιά τά πνευματικά, ἀντικαθιστοῦν μέ πάθος τό πάθος, τήν πλεονεξία μέ τή ματαιοδοξία. Ἀπό τή μιά μεριά ἀδικοῦν πολύ γιά αἰσχρό κέρδος, ἐνῶ ἀπό τήν ἄλλη ἐπινοοῦν τά τραπέζια καί κατασκευάζουν κολῶνες ὑψηλῶν οἰκοδομημάτων, ὥστε, ἀφοῦ δώσουν ἀπ' αὐτά τήν ἐντύπωση ὅτι εἶναι καλοί καί φιλόπονοι, ν' ἀπολαύσουν τήν τιμή ἀντί γιά τήν ἀτιμία, χωρίς νά θυμοῦνται τόν ἐκκλησιαστή, ὁ ὁποῖος καί ἔκτισε καί μίσησε καί ἀπαγόρευσε μέ σαφήνεια τά παρόμοια καθώς ἔγραψε· «Ἔκαμα γιά μένα ἀνάκτορα καί κήπους», καί τά ἑπόμενα, «καί νά, τά πάντα εἶναι μάταια· καί ἐμίσησα ὅλο τόν κόπο μου, πού ἔκαμα στή γῆ»[11]. Δέν εἶπε, 'στόν οὐρανό' γιά νά μήν περιφρονήσει τούς πνευματικούς κόπους. Καί λέγω αὐτά, χωρίς νά συμπεριλαμβάνω ὅσους δικαιολογημένα καί ἀπό ἀνάγκη κτίζουν ἤ διορθώνουν τά κτίσματα τῆς ἐκκλησίας, ἀλλά γι' αὐτούς πού ξοδεύουν τά χρήματα τῶν φτωχῶν σέ κρεμαστά περιβόλια καί δεξαμενές τῶν νερῶν τῆς βροχῆς ἐπάνω σέ τριώροφα κτίσματα καί αἰσχρά μικτά λουτρά σέ μυστικά δωμάτια γιά νά συγκεντρώσουν ἤ περισσότερα χρήματα ἤ ἀντίθετα ν' ἀγαπηθοῦν ἀπό τούς ἀπερίσκεπτους, πού ἀνταποδίδουν ἀκριβῶς μ' αὐτό τήν εὐγνωμοσύνη τῆς ἀπόλαυσης, μέ τό νά παραχωροῦν ὅλα στούς ἀνήθικους, γιά τήν ἀπόλαυσή τους. Εἴθε ὅμως νά μή συμβεῖ ποτέ σέ μένα, ἔξοχε Θεόδωρε, ν' ἀρέσω σέ φαύλους ἀνθρώπους· οὔτε λοιπόν θ' ἀρέσω σ' αὐτούς ἀπό ἀλλοῦ, παρά ἀπ' ἐκεῖνα πού δέν ἀρέσουν στό Χριστό.

Ὁ διάκονος ὕστερα ἀπ' αὐτά θαυμάζοντας, ἐρώτησε λέγοντας·

Ο ΔΙΑΚ. Τούτων οὕτως φυσικῶς εἰρημένων καὶ μὴ ἐχόντων ἀντίῤῥησιν, εἴ τίς σοι γνῶσις περὶ τῶν κατὰ τὴν Ἀσίαν ὑπὸ τοῦ ἁγίου Ἰωάννου, περὶ οὗ νῦν ἡμῖν ὁ λόγος, τετυπωμένων, μετάδος.

5 *Ο ΕΠΙΣΚ. Καὶ πάνυ γε.*

Ο ΔΙΑΚ. Αὐτὸς παρὼν ἔγνως, ἢ παρ' ἑτέρου μαθών;

Ο ΕΠΙΣΚ. Ἀλλ' οὔτε εἰς τὸ τυχὸν μέρος ἤμην ἀπολειφθεὶς τῆς δίκης.

Ο ΔΙΑΚ. Τίνα οὖν ἐστι τὰ παρακολουθήσαντα, καὶ ποῖον
10 *εἴληφε τέλος, καὶ πόθεν τὴν ἀρχὴν ἐσχηκότα, λεπτομερῶς μοι παράστησον· ἐπειδὴ μάλιστα ὁ Θεόφιλος ἐν οἰκείῳ συγγράμματι τὴν ἰδίαν προπέτειαν σεμνῦναι ἢ περιστεῖλαι σπουδάσας ἔφησεν τὸν μακάριον Ἰωάννην φιλαρχίας πάθει κινούμενον δέκα ἓξ ἐπισκόπους καθῃρηκέναι ἐν ἡμέρᾳ μιᾷ καὶ ἰδίους*
15 *ἀντ' αὐτῶν κεχειροτονηκέναι.*

Ο ΕΠΙΣΚ. Οὐδὲν ἀπεικὸς τῶν ἰδίων τρόπων πεποίηκεν ὁ θαυμάσιος, καὶ γράψας κατὰ Ἰωάννου καὶ ψευδῆ γράψας. Ἐξ ὧν γὰρ νομίζει καλύπτειν τὴν ἰδίαν ἀσχημοσύνην, ἐκ τούτων αὐτὴν μᾶλλον παραδειγματίζει, καὶ ἄκων σεμνύνων τὸ
20 *ἄθῷον Ἰωάννου κατὰ τὸ Βαλαὰμ ἐκεῖνον. Εἰ γὰρ ἦν αὐτὸν καθελών, οὐ χρεία συγγράμματος ἢ ἐξορίας, ἱκανῆς οὔσης τῆς καθαιρέσεως αἰσχῦναι τοὺς καθαιρουμένους· ἐπειδὴ δὲ ἀκαθαίρετος ἕστηκεν ὁ ἐνάρετος, τῇ ἥττῃ τὴν νίκην κατέχων, μένει ὁ φθόνος τὴν ἧτταν τῆς ἀλόγου νίκης ἀποφερόμενος, πομφό-*
25 *λυγος δίκην ἀναφυσώμενος, καὶ εἰς ἑαυτὸν συντριβόμενος, γράφων καὶ καταγράφων, τὸ τοῦ προφήτου Ἠσαΐου· "Οὐαὶ" ὁ ἐπισπώμενος τὸ πάντα ψευδῆ καὶ ποιεῖν καὶ λέγειν καὶ γράφειν· "Οὐαί," γάρ φησιν, "οἱ γράφοντες· πονηρίαν γὰρ γράφουσιν". Περὶ δὲ τῶν κατὰ Ἀσίαν καθαιρεθέντων οὐ δέκα*
30 *ἕξ, ἀλλὰ ἓξ ἐπισκόπων, ὡς ἐπὶ τῆς θείας δίκης ἐρῶ, καὶ οὔτε τῆς ποσότητος τοῦ ἀριθμοῦ ὑφελῶ οὔτε τῇ ποιότητι τῶν πραγμάτων προσθήσω, ἀλλ' ὡς ἔχει φύσεως, οὕτως σοι ἀπαγγείλω. Ἐπὶ τῆς τρισκαιδεκάτης ἐπινεμήσεως ἐν τῇ Κωνσταντινουπόλει ἐλθόντες οἱ ἀπὸ τῆς Ἀσίας τινῶν ἕνεκα*
35 *ἀναγκαίων διέτριβον σὺν ἡμῖν, παρόντων καὶ ἑτέρων ἐπισκόπων, τῶν τε ἀπὸ Σκυδίας, Θεοτίμου λέγω, καὶ ἀπὸ Θράκης*

12. Ἀριθμ. 22, 2-24, 25. Ὁ Βαλαάμ χωρίς τή θέλησή του ἔγινε ὄργανο τοῦ Θεοῦ. Προεῖπε τήν ἐπιτυχία τοῦ Ἰσραήλ. 13. Ἠσ. 10, 1.

Ο ΔΙΑΚ. 'Αφοῦ αὐτά λέχθηκαν τόσο ἀληθινά καί δέ χωροῦν ἀντίρρηση, πληροφόρησέ μας, ἐάν ξέρεις κάτι γιά ὅσα ἔγιναν στήν 'Ασία ἀπό τόν ἅγιο 'Ιωάννη, γιά τόν ὁποῖο εἶναι ὁ λόγος μας τώρα.

Ο ΕΠΙΣΚ. Καί πολλά μάλιστα ξέρω.

Ο ΔΙΑΚ. Τά γνώρισες αὐτοπροσώπως, ἤ τά ἔμαθες ἀπ' ἄλλον;

Ο ΕΠΙΣΚ. 'Αλλ' οὔτε στό μέρος τῆς δίκης ἤμουν ἀπών.

Ο ΔΙΑΚ. Ποιά λοιπόν εἶναι τά ἑπόμενα καί πῶς τελείωσαν, καί ἀπό ποῦ ἄρχισαν, διηγήσου με μέ κάθε λεπτομέρεια. 'Επειδή μάλιστα ὁ Θεόφιλος, φροντίζοντας σέ συγγραμμά του νά ἐπαινέσει τή δική του ἀπερισκεψία παρά νά τή συγκαλύψει, εἶπε ὅτι ὁ μακάριος 'Ιωάννης παρακινούμενος ἀπό τό πάθος τῆς φιλαρχίας καθαίρεσε σέ μία ἡμέρα δεκαέξι ἐπισκόπους καί χειροτόνησε στή θέση τους ἄλλους τόσους δικούς του.

Ο ΕΠΙΣΚ. Δέν ἔχει κάμει τίποτε τό ἀντίθετο πρός τό χαρακτήρα του ὁ θαυμάσιος, καί ὅταν ἔγραψε ἐναντίον τοῦ 'Ιωάννη, καί ὅταν ἔγραψε ψέματα. Γιατί, ἀπ' αὐτά πού νομίζει πώς καλύπτει τήν ἀσχημοσύνη του, ἀπό τά ἴδια τήν διαπομπεύει περισσότερο, ἐπαινώντας χωρίς τή θέλησή του τήν ἀθωότητα τοῦ 'Ιωάννη κατά τό παράδειγμα τοῦ Βαλαάμ[12]. Γιατί, ἐάν τόν καθαιροῦσε, δέ θά εἶχε ἀνάγκη ἀπό συγγράμματα ἤ ἐξορία, ἀφοῦ ἦταν ἀρκετή ἡ καθαίρεση νά ντροπιάσει αὐτούς πού καθαιροῦνταν· ἐπειδή ὅμως ὁ ἐνάρετος ἦταν ἀκαθαίρετος, ὑπερνικώντας μέ τήν ἧττα τή νίκη, μένει ὁ φθόνος νά φέρει τήν ἧττα τῆς παράλογης νίκης, πού φουσκώνει σάν σαπουνόφουσκα καί καταστρέφεται μόνος του, πού γράφει καί καταγράφει, αὐτό πού εἶπε ὁ προφήτης 'Ησαΐας· «'Αλλοίμονο» σ' ἐκεῖνον πού παρασύρεται στό νά κάνει καί νά λέγει καί νά γράφει ὅλα τά ψέματα· γιατί λέγει, «'Αλλοίμονο σ' ἐκείνους πού γράφουν· γιατί γράφουν πράγματα πονηρά»[13]. Γιά τούς ἐπισκόπους ὅμως πού καθαιρέθηκαν στήν 'Ασία, ὄχι δεκαέξι ἀλλά ἕξι, θά μιλήσω σάν στή θεία δίκη καί οὔτε ἀπό τό μέγεθος τοῦ ἀριθμοῦ θ' ἀφαιρέσω οὔτε στήν ποιότητα τῶν πραγμάτων θά προσθέσω, ἀλλ', ὅπως εἶναι πραγματικά, ἔτσι θά σέ πληροφορήσω. Στή διάρκεια τῆς δέκατης τρίτης ἰνδικτιῶνας[14] ἦρθαν στήν Κωνσταντινούπολη οἱ ἐπίσκοποι ἀπό τήν 'Ασία γιά κάποιες ἀναγκαῖες ὑποθέσεις καί ἔμεναν μαζί μας, ἐνῶ ἦταν παρόντες καί ἄλλοι ἐπίσκοποι, καί ἀπό τή Σκυθία ὁ Θεότιμος,

---

14. Στό τέλος τῆς ἄνοιξης ἤ ἀρχές καλοκαιριοῦ τοῦ 404. 'Ο χρόνος ἀπό 1 Σεπτεμβρίου 399 ἕως 31 Αὐγούστου 400 ἦταν ὁ δέκατη τρίτη ἰνδικτιώνα.

Ἄμμωνος τοῦ Αἰγυπτίου καὶ ἀπὸ Γαλατίας Ἀραβιανοῦ, πάντων μητροπολιτῶν γεγηρακότων, συντεινόντων εἰς εἴκοσι δύο ἐπισκόπους.

Πάντων δὲ συναγομένων καὶ κοινωνούντων ἐπιτηρήσας 5 *Εὐσέβιός τις ἀπὸ τῶν Κελβιανῶν λεγομένων τόπων ἐπίσκοπος Οὐαλεντινουπόλεως, τὴν συνηγμένην σύνοδον ἐπιστὰς τῇ μιᾷ τοῦ σαββάτου, λιβέλλους ἐπέδωκεν τῇ συνόδῳ, δηλαδὴ ἀκολούθως προτάξας τὸ ὄνομα Ἰωάννου, κατὰ Ἀντωνίνου τοῦ Ἐφεσίων ἐπισκόπου, ἑπτὰ κεφάλαια ἐντάξας· ἓν μέν, ὅτι* 10 *κειμήλια χωνεύσας ἀργύριον εἰς ὄνομα τοῦ υἱοῦ κατεσκεύασεν· δεύτερον δέ, ὅτι μάρμαρα τῆς εἰσόδου τοῦ βαπτιστῆρος λαβὼν ἐν τῷ βαλανείῳ τῷ ἰδίῳ προσέθηκεν· ἔπειτα κίονας ἐκκλησιαστικοὺς ἀπὸ πλειόνων ἐτῶν κειμένους ἔνδον εἰς τὸν ἑαυτοῦ τρίκλινον ἔστησεν· τέταρτον, ὅτι ὁπαῖς αὐτοῦ φόνον* 15 *πεποίηκεν, καὶ ἔχει αὐτὸν ἐν τῇ ὑπηρεσίᾳ ἀνέγκλητον· πέμπτον, ὅτι χωρία ὑπὸ Βασιλίνης, τῆς μητρὸς Ἰουλιανοῦ τοῦ βασιλέως, καταλειφθέντα τῇ ἐκκλησίᾳ πωλήσας ἐσφετερίσατο· ἕκτον, ὅτι ἀποταξάμενος τῆς οἰκείας γαμετῆς πάλιν αὐτῇ συνῆλθεν καὶ ἐπαιδοποίησεν ἐξ αὐτῆς· ἕβδομον, ὅτι ὡς νόμον* 20 *καὶ δόγμα ἔχει πωλεῖν τὰς τῶν ἐπισκόπων χειροτονίας κατὰ τὴν τῶν προσόδων ἀναλογίαν. "Καὶ πάρεισιν οἱ δόντες καὶ χειροτονηθέντες, καὶ ὁ λαβών· καὶ ἐπὶ τούτοις ἔχω τὰς ἀποδείξεις".*

ΚΕΦΑΛΑΙΟΝ ΙΔ΄

25 *Ο ΔΙΑΚ. Παρακαλῶ, πάτερ, σύστειλον τὸ διήγημα τοῦτο· βλάπτονται γὰρ οἱ παρόντες, ἐπισκόπων ταῦτα διηγουμένων, μή τί γε καὶ πραττόντων.*

Ο ΕΠΙΣΚ. Οἴμοι τάλας ἐγὼ τηρθεὶς ταῖς ἡμέραις ταύταις, ἐν αἷς ἀργυρίῳ ἱερωσύνη πιπράσκεται, εἴ γε καὶ ἱερωσύνη. 30 *"Γέγονα δὲ καὶ ἄφρων" διηγούμενος τῶν Ἰωάννην συκοφαντούντων εἰς ταῦτα ἡμᾶς περιστησάντων. Πλὴν μακροθύμως ἀνάσχου μου, ἵνα καὶ ἐκ τούτων θαυμάσῃς τὴν Ἰωάννου ἐπιείκειαν, κοιμήσαντος τέως τὸν ζῆλον, εἰπόντος δὲ τῷ*

15. Εὐσέβιος καί Ἀντωνῖνος εἶναι γνωστοί μόνο ἀπό τόν παρόντα διάλογο.

16. Αἴθουσα συμποσίου μέ τρία κρεβάτια.

καί ἀπό τή Θράκη ὁ Ἄμμωνας ὁ Αἰγύπτιος, καί ἀπό τή Γαλατία ὁ Ἀραβιανός, ὅλοι μητροπολίτες γέροι, πού μαζεύονταν ὅλοι σέ εἴκοσι δύο ἐπίσκοποι.

Ἐνῶ συγκεντρώνονταν ὅλοι καί ἐπικοινωνοῦσαν καιροφυλακτώντας κάποιος Εὐσέβιος ἀπό τούς λεγόμενους Κελβιανούς τόπους, ἐπίσκοπος Οὐαλεντινουπόλεως, ἀφοῦ παρουσιάσθηκε στή σύνοδο τήν Κυριακή, ἐπέδωσε ἔγγραφα κατηγορίας στή σύνοδο, δηλαδή, ἀφοῦ πρῶτα ἔβαλε τό ὄνομα τοῦ Ἰωάννη, ἔπειτα ἐναντίον τοῦ Ἀντωνίνου[15], τοῦ ἐπισκόπου Ἐφέσου, ἔβαλε ἑπτά προτάσεις· πρώτη, ὅτι κατασκεύασε ἀργυρό νόμισμα γιά τόν υἱό του ἀφοῦ ἔλειωσε κειμήλια· δεύτερη, ὅτι πῆρε τά μάρμαρα ἀπό τήν εἴσοδο τοῦ βαπτιστηρίου καί τά πρόσθεσε στό δικό του λουτρό· ἔπειτα, κολῶνες τῆς ἐκκλησίας πού ἀπό πολλά χρόνια βρίσκονταν, τίς τοποθέτησε μέσα στό δικό του τρίκλινο[16]· τέταρτη, ὅτι ὁ ὑπηρέτης του ἔκαμε φόνο καί τόν ἔχει στήν ὑπηρεσία του χωρίς τιμωρία· πέμπτη, ὅτι τά κτήματα πού ἄφησε στήν ἐκκλησία ἡ Βασιλίνα, ἡ μητέρα τοῦ αὐτοκράτορα Ἰουλιανοῦ[17], ἀφοῦ τά πούλησε, τά ἔκαμε δικά του· ἕκτη, ὅτι ἀφοῦ ἀπαρνήθηκε τή νόμιμη σύζυγό του, πάλι συνῆλθε μαζί της καί ἔκαμε παιδί ἀπ' αὐτήν· ἕβδομη, ὅτι ὡς νόμο καί δόγμα ἔχει νά πουλάει τίς χειροτονίες τῶν ἐπισκόπων ἀνάλογα μέ τά εἰσοδήματά τους. «Καί εἶναι παρόντες αὐτοί πού ἔδωσαν καί χειροτονήθηκαν, καί αὐτός πού ἔλαβε· καί γι' αὐτά ἔχω τίς ἀποδείξεις».

ΚΕΦΑΛΑΙΟ ΙΔ΄

Ο ΔΙΑΚ. Σέ παρακαλῶ, πάτερ, περιόρισε τή διήγηση αὐτή· γιατί βλάπτονται οἱ παρόντες, ὅταν ἐπίσκοποι ἀφηγοῦνται αὐτά, μήπως βέβαια καί τά πράττουν.

Ο ΕΠΙΣΚ. Ἀλλοίμονο, εἶμαι δυστυχισμένος ἐγώ πού ζῶ αὐτές τίς ἡμέρες, στίς ὁποῖες ἡ ἱερωσύνη πουλιέται μέ χρήματα, ἄν δηλαδή εἶναι καί ἱερωσύνη. «Ἔγινα ὅμως καί ἀνόητος»[1] ἀφηγούμενος τίς πράξεις τῶν συκοφαντῶν τοῦ Ἰωάννη, ἀφοῦ μᾶς ἔφεραν σ' αὐτήν τήν κατάσταση. Ἀλλά νά μέ ἀνεχθεῖς μέ μακροθυμία, γιά νά θαυμάσεις καί ἀπ' αὐτά τήν ἐπιείκεια τοῦ Ἰωάννη, ὁ ὁποῖος πρῶτα καταπράυνε

---

17. Ἡ Βασιλίνα πέθανε τό 331 καί ὁ Ἰουλιανός, ὁ γνωστός ὡς ἀποστάτης, ἦταν αὐτοκράτορας ἀπό τό 361 ἕως τό 363.

1. Β΄ Κορ. 12, 11.

Εὐσεβίῳ· "Ἀδελφὲ Εὐσέβιε, ἐπειδὴ πολλάκις αἱ κατὰ λύπην κατηγορίαι οὐκ εὐχερεῖς ἔχουσι τὰς ἀποδείξεις, παρακέκλησο παύσασθαι τοῦ ἐγγράφως κατειπεῖν τοῦ ἀδελφοῦ Ἀντωνίνου, ἡμῶν τὰ αἴτια τῆς λύπης διορθουμένων". Πρὸς τούτοις
5 *διαθερμανθεὶς τραχέσιν ἐκέχρητο λόγοις, σφαδάζων ὅλος κατὰ τοῦ Ἀντωνίνου, ἐπιμένων τῇ κατηγορίᾳ. Παρακαλεῖ ὁ Ἰωάννης Παῦλον τὸν Ἡρακλείας (ἐδόκει γὰρ σπουδάζειν τῷ Ἀντωνίνῳ), ἵν' εἰς φιλίαν αὐτοὺς συνελάσῃ. Καὶ ἀναστὰς εἰσῆλθεν εἰς τὴν ἐκκλησίαν σὺν τοῖς ἐπισκόποις (ἦν γὰρ*
10 *καιρὸς τῆς ἱερατείας), δοὺς δὲ τῷ λαῷ τὴν συνήθη τῆς εἰρήνης προσηγορίαν, ἐκάθισεν σὺν τοῖς λοιποῖς ἐπισκόποις.*

Ἐπεισελθὼν δὲ λεληθότως ὁ κατήγορος Εὐσέβιος ἐπὶ παντὸς τοῦ λαοῦ καὶ τῶν ἐπισκόπων ἐπιδίδωσιν ἕτερον λίβελλον τὰ αὐτὰ περιέχοντα, ὁρκίζων τὸν Ἰωάννην ὅρκους
15 *φρικτούς, συμπλέξας αὐτοῖς καὶ "τὴν σωτηρίαν τῶν βασιλέων", μετὰ πολλῆς ταραχῆς· ὡς νομίσαι τοὺς λαοὺς διαπτοηθέντας ἐπὶ τῷ ἱταμῷ, ὅτι θανάτου συγχώρησιν παρακαλεῖ αἰτῆσαι τὸν βασιλέα τὸν Ἰωάννην. Ὁ δὲ Ἰωάννης θεασάμενος τὴν ἔνστασιν τοῦ ἀνδρὸς, τὸ ἀτάραχον μνώμενος τῷ λαῷ, ἐδέξατο*
20 *τὸ βιβλίον καὶ μετὰ τὰ ἀναγνώσματα τῶν θείων λογίων παρακαλέσας Πανσόφιον τὸν Πισιδίας προσαγαγεῖν τὰ δῶρα, αὐτὸς συνεξῆλθεν τοῖς λοιποῖς ἐπισκόποις· παρῃτεῖτο γὰρ ἐπιθόλως ἱερατεύειν, κατὰ τὸ Εὐαγγέλιον, τό, "Ὅταν προσφέρῃς τὸ δῶρόν σου", καὶ τὰ ἑξῆς. Καὶ διασκεψάμενος μετὰ τὴν*
25 *λαοῦ ἀπόλυσιν, καθεσθεὶς ἐν τῷ φωτιστηρίῳ σὺν τοῖς λοιποῖς ἐπισκόποις, τὸν κατήγορον προσκαλεῖται, φήσας αὐτῷ ἐπὶ πάντων· "Καὶ πάλιν σοι τὰ αὐτὰ λέγω, ὅτι πολλοὶ ἀπὸ λύπης ἢ ὀργῆς πολλὰ καὶ λέγουσι καὶ γράφουσιν, ἀτονοῦντες περὶ τὰς ἀποδείξεις. Εἰ τοίνυν σαφῶς ἐπίστασαι, περὶ ὧν βούλει*
30 *κατηγορεῖν (οὔτε γὰρ δυνάμενον ἀπωθούμεθα οὔτε μὴ δυνάμενον ἕλκομεν), πρὶν ἀναγνωσθῆναι τὸν λίβελλον, ἔκλεξαι τὸ συμφέρον· μετὰ γὰρ τὸ ἀναγνωσθῆναι καὶ εἰς ἀκοὰς πάντων ἐλθεῖν, πραττομένων ὑπομνημάτων, οὐκέτι σοι ἔξεστιν, ἐπισκόπῳ ὄντι, ζητεῖν ἀβολιτίωνα".*
35 *Ἐπὶ τούτοις πάλιν ἐνέμεινεν τῇ ἐνστάσει. Πρὸς οἷς κελεύουσιν ἀναγνωσθῆναι τὸ βιβλίον· ἀνεγνώσθη τὰ προειρη-*

---

2. Μά τή ζωή τῶν βασιλέων. 3. Ματθ. 5, 23.

τό φθόνο καί ἔπειτα εἶπε στόν Εὐσέβιο· «'Αδελφέ Εὐσέβιε, ἐπειδή πολλές φορές οἱ λυπηρές κατηγορίες δέν ἔχουν εὔκολες ἀποδείξεις, σέ παρακαλοῦμε νά σταματήσεις νά κατηγορεῖς ἐγγράφως τόν ἀδελφό 'Αντωνίνο, ἀφοῦ ἐμεῖς μποροῦμε νά διορθώσουμε τά αἴτια τῆς λύπης σου». 'Αφοῦ ὀργίσθηκε ἀκόμη περισσότερο, χρησιμοποιοῦσε βαριά λόγια ὁρμώντας ὁλόκληρος ἐναντίον τοῦ 'Αντωνίνου, ἐπιμένοντας στήν κατηγορία. Παρακαλεῖ ὁ 'Ιωάννης τόν Παῦλο, τόν ἐπίσκοπο τῆς 'Ηράκλειας (γιατί φαινόταν πώς ἐνδιαφερόταν γιά τόν 'Αντωνίνο), γιά νά τούς ὁδηγήσει σέ φιλία. Καί ἀφοῦ σηκώθηκε μπῆκε στήν ἐκκλησία μαζί μέ τούς ἐπισκόπους (γιατί ἦταν ἡ ὥρα τῆς ἱεροτελεστίας), καί δίνοντας στό λαό τό συνηθισμένο χαιρετισμό τῆς εἰρήνης, κάθισε μέ τούς ὑπόλοιπους ἐπισκόπους.

'Αφοῦ μπῆκε ὕστερα κρυφά καί ὁ κατήγορος Εὐσέβιος δίνει ἐνώπιον ὅλων τῶν πιστῶν καί τῶν ἐπισκόπων καί ἄλλο λίβελλο μέ τό ἴδιο περιεχόμενο, ὁρκίζοντας τόν 'Ιωάννη μέ ὅρκους φοβερούς ἀναφέροντας μαζί μ' αὐτούς καί «τή σωτηρία τῶν βασιλέων»[2], μέ μεγάλη ταραχή, ὥστε νά νομίσουν οἱ πιστοί πού πολύ ταράχθηκαν γιά τό τόλμημα αὐτό, ὅτι παρακαλεῖ τόν 'Ιωάννη νά ζητήσει ἀπό τόν αὐτοκράτορα συγχώρηση θανάτου. 'Ο 'Ιωάννης ὅμως βλέποντας τήν ἐπιμονή τοῦ ἐπισκόπου, συνιστώντας στό λαό ψυχραιμία, δέχθηκε τό ἔγγραφο καί μετά τήν ἀνάγνωση τῶν ἱερῶν γραμμάτων ἀφοῦ παρακάλεσε τόν Πανσόφιο Πισιδίας νά προσκομίσει τά θεῖα δῶρα, αὐτός βγῆκε ἔξω μαζί μέ τούς ὑπόλοιπους ἐπισκόπους· γιατί ἀρνήθηκε νά τελέσει τή λειτουργία ἐπειδή ἦταν ταραγμένος, σύμφωνα μέ τό Εὐαγγέλιο, τό «Ὅταν προσφέρεις τό δῶρο σου»[3], καί τά λοιπά. Καί ἀφοῦ ἐξέτασε μέ προσοχή τό θέμα ὕστερα ἀπό τήν ἀπόλυση τοῦ λαοῦ, ὅταν κάθισε στό βαπτιστήριο τοῦ ναοῦ μαζί μέ τούς ὑπόλοιπους ἐπισκόπους, καλεῖ τόν κατήγορο καί τοῦ λέγει ἐνώπιον ὅλων· «Καί πάλι σοῦ λέγω τά ἴδια, ὅτι πολλοί ἀπό λύπη ἤ ὀργή καί λέγουν καί γράφουν πολλά, χωρίς νά ἔχουν ἰσχυρές ἀποδείξεις. 'Εάν λοιπόν γνωρίζεις πολύ καλά, γι' αὐτά πού θέλεις νά κατηγορήσεις (γιατί οὔτε σέ ἀπομακρύνουμε ἐάν μπορεῖς, οὔτε σέ σύρουμε μέ τή βία ἐάν δέν μπορεῖς νά κατηγορήσεις), πρίν διαβασθεῖ ὁ λίβελλος, διάλεξε αὐτό πού συμφέρει. Γιατί, ὅταν διαβασθεῖ καί γίνει γνωστός σ' ὅλους, ἀφοῦ συντάσσονται πρακτικά, δέν μπορεῖς πιά, ἐπειδή εἶσαι ἐπίσκοπος, ν' ἀποσύρεις τήν κατηγορία».

Μετά ἀπ' αὐτά ἐπέμεινε πάλι στήν ἔνσταση. Τότε δίνουν ἐντολή νά διαβασθεῖ τό ἔγγραφο· διαβάσθηκαν οἱ προτάσεις πού ἀναφέρθη-

μένα κεφάλαια. Λέγουσιν οἱ γέροντες τῶν ἐπισκόπων τῷ Ἰωάννῃ, ἀκούσαντες τὴν δύναμιν τοῦ βιβλίου· "Εἰ καὶ τὰ μάλιστα ἓν τοῦ ἑνός κεφαλαίου δυσσεβές ἐστι καὶ ἀπηγορευμένον πανταχόθεν τοῖς ἱεροῖς νόμοις, ἵνα δὲ μὴ δόξωμεν ἐν τοῖς
5 ὑποβεβληκόσι τὴν ἅπασαν σχολὴν ποιεῖσθαι, ἀπὸ τοῦ φρικωδεστέρου ἡ ἐξέτασις γένηται. Εἰ γὰρ ἐκεῖνο ἀληθὲς εὑρεθείη, οὐκ ἔστιν ἀντίῤῥησις περὶ τῶν λοιπῶν κεφαλαίων, τῆς ῥίζης ἐκείνου τοῦ κεφαλαίου πᾶν εἶδος κακίας καρποφορούσης, κατὰ τὸν εἰπόντα· ''Ῥίζα πάντων κακῶν ἐστιν ἡ φιλαργυρία'. Ὁ
10 γὰρ 'ἐπ' ἀθῴοις δῶρα λαβὼν' καὶ τὴν τοῦ Ἁγίου Πνεύματος διανομὴν ἀργυρίῳ ἀπεμπολῆσαι νομίσας, πῶς φείσεται ἔτι κειμηλίων ἢ λίθων ἢ χωρίων τῆς ἐκκλησίας; Τότε ὁ Ἰωάννης ἄρχεται τῆς ἐξετάσεως, φήσας τῷ Ἀντωνίνῳ· "Τί λέγεις πρὸς ταῦτα, ἀδελφὲ Ἀντωνῖνε;" Ἠρνήσατο ἐξ ἀνάγκης (πῶς γὰρ
15 οἷόν τε ἐκ προοιμίων αὐτῶν τὴν ἰδίαν αἰσχύνην ὁμολογῆσαι). Ἠρωτήθησαν οἱ δεδωκότες, ἠρνήσαντο κἀκεῖνοι.

Ἐπὶ τούτοις ἐπιμελῶς τῆς ἐξετάσεως γιγνομένης μέχρις ὥρας ὀγδόης, ἐκ τεκμηρίων τινῶν ἐμορφοῦτο ἡ δίκη. Καταλήγει τὰ τελευταῖα, ὡς εἰκός, εἰς μάρτυρας, ἐφ' ὧν καὶ δεδώκασι καὶ
20 εἴληφεν. Οὐ παρῆσαν οἱ μάρτυρες· χρεία γίνεται τῆς τούτων παραστάσεως. Ἀποβλέψας εἰς τὸ ἐργῶδες τῆς παραστάσεως ὁ Ἰωάννης προθυμεῖται ἐπὶ καθαρισμῷ τῆς ἐκκλησίας καὶ φειδοῖ τῶν μαρτύρων, δι' ἑαυτοῦ παραγενόμενος εἰς τὴν Ἀσίαν, τὴν ἐξέτασιν συμπεραιῶσαι. Θεασάμενος ὁ Ἀντωνῖνος
25 τὸ ἄοκνον Ἰωάννου καὶ τὸ ἀδέκαστον, ὡς ἅτε συνειδὼς ἑαυτῷ, ὑπεισελθὼν εἰς ἕνα τῶν κρατούντων, οὗ καὶ τῶν γηδίων ἐφρόντιζε τῶν ἐν τῇ Ἀσίᾳ, παρακαλεῖ αὐτὸν ποιῆσαι ἐπισχεθῆναι τὸν Ἰωάννην, ἵνα μὴ ἀπέλθῃ εἰς τὴν Ἀσίαν, ὑποσχόμενος τὴν τῶν μαρτύρων παράστασιν. Ὃς ἐξαυτῆς παρασκευάζει
30 δηλωθῆναι ἐκ τοῦ παλατίου τῷ ἐπισκόπῳ Ἰωάννῃ τάδε· "Ἄτοπόν ἐστι πρᾶγμα, ἐπίσκοπόν σε ὄντα καὶ τῶν ψυχῶν ἡμῶν προστάτην, ἐν τοσαύτῃ προσδοκίᾳ θορύβου καταλείψαντα τὴν πόλιν, στείλασθαι τὴν ἀποδημίαν τὴν εἰς τὴν Ἀσίαν, εὐχερῶς τῶν μαρτύρων διαγομένων". -Ἦν δὲ ὁ Γαϊνᾶς, ὁ βάρβαρος, ὁ
35 προσδοκώμενος θόρυβος.

---

4. Α΄ Τιμ. 6, 10. 5. Ψαλμ. 14, 5. 6. Δηλαδή, 2 μετά τό μεσημέρι.

καν προηγουμένως. Όταν άκουσαν τό περιεχόμενο τοῦ ἐγγράφου, λέγουν οἱ γέροντες ἀπό τούς ἐπισκόπους στόν Ἰωάννη· «Ἄν καί τό νά ἐξετάζουμε ἀπό ἕνα λίβελλο μία πρόταση εἶναι πολύ μεγάλη ἀσέβεια καί ἀπαγορεύεται τελείως ἀπό τούς ἱερούς κανόνες, γιά νά μή φανοῦμε ὅτι ἀσχολούμαστε ὁλότελα μέ τά ἐπουσιώδη, νά γίνει ἡ ἐξέταση ἀπό τή φοβερότερη. Ἐάν λοιπόν ἀποδειχθεῖ ἀληθινή αὐτή, δέν ὑπάρχει ἀντίρρηση γιά τίς ὑπόλοιπες προτάσεις, ἀφοῦ ἡ ρίζα αὐτῆς τῆς πρότασης παράγει κάθε εἶδος κακίας, σύμφωνα μ' ἐκεῖνον πού εἶπε· «Ἡ ρίζα ὅλων τῶν κακῶν εἶναι ἡ φιλαργυρία»[4]. Γιατί ἐκεῖνος 'πού πῆρε δῶρα ἀπό ἀθώους'[5], καί θεώρησε καλό νά πουλήσει μέ χρήματα τά χαρίσματα τοῦ ἁγίου Πνεύματος, πῶς θά λυπηθεῖ στή συνέχεια τά κειμήλια ἤ τούς πολύτιμους λίθους ἤ τά κτήματα τῆς ἐκκλησίας;»· Τότε ὁ Ἰωάννης ἀρχίζει τήν ἐξέταση, λέγοντας στόν Ἀντωνίνο· 'Τί λέγεις γι' αὐτά, ἀδελφέ Ἀντωνίνε;' Ἀρνήθηκε ἀπό ἀνάγκη (γιατί πῶς ἦταν δυνατό ἀπό τήν ἀρχή ἀκόμη νά ὁμολογήσει τήν αἰσχρή του πράξη). Ἐρωτήθηκαν ἐκεῖνοι πού ἔδωσαν τά χρήματα, ἀρνήθηκαν καί αὐτοί.

Ἔπειτα, καθώς γινόταν μέ προσοχή ἡ ἐξέταση μέχρι τήν ὄγδοη ὥρα[6], διαμορφωνόταν ἡ δίκη ἀπό κάποιες ἀποδείξεις. Καταλήγει στό τέλος, ὅπως εἶναι φυσικό, στούς μάρτυρες, γιά ὅσα ἐκεῖνοι ἔδωσαν καί αὐτός πῆρε. Δέν ἦταν παρόντες οἱ μάρτυρες· χρειάσθηκε νά παραστοῦν αὐτοί. Ἀναλογιζόμενος πόσο δύσκολο εἶναι νά παραστοῦν, ὁ Ἰωάννης προθυμοποιεῖται γιά καθαρισμό τῆς ἐκκλησίας καί γιά μέριμνα τῶν μαρτύρων, νά ἔρθει μόνος του στήν Ἀσία καί νά τελειώσει τήν ἐξέταση. Βλέποντας ὁ Ἀντωνίνος πώς ὁ Ἰωάννης εἶναι ἄοκνος καί ἀδέκαστος, ἐπειδή αἰσθανόταν τήν ἐνοχή του, ἦρθε κρυφά σ' ἕναν ἀπό τούς ἰσχυρούς, πού τοῦ φρόντιζε καί τά κτήματά του στήν Ἀσία καί τόν παρακαλεῖ νά ἐνεργήσει ὥστε νά συγκρατηθεῖ ὁ Ἰωάννης, γιά νά μήν πάει στήν Ἀσία, δίνοντας τήν ὑπόσχεση πώς θά παραστοῦν οἱ μάρτυρες. Αὐτός ἀμέσως ἑτοιμάζει νά γνωστοποιηθοῦν ἀπό τό παλάτι στόν ἐπίσκοπο Ἰωάννη τά ἑξῆς· «Εἶναι ἄτοπο πράγμα ἐσύ, πού εἶσαι ἐπίσκοπος καί προστάτης τῶν ψυχῶν μας, σέ τόσο μεγάλη ἀναμονή ταραχῆς, ἀφοῦ ἐγκαταλείψεις τήν πόλη, ν' ἀναχωρήσεις στήν Ἀσία, ἐνῶ εἶναι εὔκολο νά μεταφέρουμε τούς μάρτυρες». –Ἦταν ὁ Γαϊνᾶς, ὁ βάρβαρος, ἡ ἀναμενόμενη ταραχή[7].

7. Γιά τήν κατάσταση στήν Κων/πολη αὐτή τήν ἐποχή μιλάει ὁ Χρυσόστομος στό πρῶτο κεφάλαιο τῆς ὁμιλίας του· ὅτε Σατουρνῖνος καί Αὐρηλιανός ἐξωρίσθησαν καί Γαϊνᾶς ἐξῆλθε τῆς πόλεως (Πατρολογία τοῦ Migne 52, 413-420).

Καὶ τί γάρ; Ἵνα μὴ μακρηγορήσω, πείθεται ἀπομεῖναι, φροντίζων ὁμοῦ καὶ τῆς δίκης καὶ τῆς συντριβῆς τῶν μαρτύρων. Ἑρμαῖον δὲ τῷ κατηγορηθέντι ὑπῆρχεν ἡ εἰς τοὺς μάρτυρας ἀναβολή, οὓς ἐδύνατο φυγαδεῦσαι ἢ ἀργυρίῳ ἢ δυναστείᾳ. Ταῦτα προεορακὼς ὁ Ἰωάννης σκέπτεται μετὰ τῆς παρούσης συνόδου τινάς τῶν παρόντων ἐπισκόπων ἀποσταλῆναι εἰς τὴν Ἀσίαν ἐπὶ ἐρωτήσει τῶν μαρτύρων. Ἐξαυτῆς οὖν ὡρίσθησαν τρεῖς ἐπίσκοποι κατελθεῖν, Συγκλήτιος μητροπολίτης Τραϊανουπόλεως καὶ Ἡσύχιος ὁ Παρίου καὶ Παλλάδιος ὁ Ἑλενουπόλεως, διαλαλησάσης τῆς συνόδου ἐν τοῖς ὑπομνήμασιν, ὡς τὸν ἐντὸς δύο μηνῶν μὴ ἀπαντήσαντα καὶ συστάντα τοῖς ἑαυτοῦ δικαίοις ἐν Ὑπαίποις τῇ Ἀσιανῶν πόλει (διὰ τὸ ἐκ γειτόνων εἶναι καὶ τοὺς ἐλεγχομένους καὶ τοὺς λοιποὺς τῶν ἐπισκόπων τοὺς ὀφείλοντας συνδικάσαι τοῖς περὶ Συγκλήτιον), τοῦτον ἀκοινώνητον γίνεσθαι. Πρὸς τούτοις κατῆλθον οἱ τυπωθέντες Συγκλήτιος καὶ Παλλάδιος ἐν Σμύρνῃ· ὁ γὰρ Ἡσύχιος φίλος ὢν τοῦ Ἀντωνίνου προσεποιήσατο κεκακῶσθαι. Ἐξαυτῆς δὲ γράψαντες ἐσήμαναν ἀμφοτέροις τοῖς μέρεσιν τὴν ἑαυτῶν ἐνδημίαν, ἵνα συνδραμόντες εἰς τὴν ὡρισμένην πόλιν ἐκπληρώσωσι τὰς ὑποσχέσεις.

Οἱ δὲ πείσαντες ἀλλήλους, ὁ μὲν χρυσίῳ, ὁ δὲ ὅρκῳ, φίλοι γεγόνασι πρὸ τῆς τῶν δικαστῶν παρουσίας. Συνδραμόντες δὲ σχήματι ἐν τῇ Ὑπαιπινῶν ἐνόμιζον τοὺς κριτὰς διαπαίζειν ἐπὶ ὑπερθέσει πάλιν τῶν μαρτύρων, ὡς ἐκδημούντων εἰς διαφόρους χρείας. Πρὸς τούτοις ἐπερωτῶσιν οἱ δικασταὶ τὸν κατήγορον· "Ἐντὸς οὖν ποσῶν ἡμερῶν διάγεις αὐτούς; καὶ ἐκδεχόμεθα". Νομίσας αὐτοὺς δυσφοροῦντας πρὸς τὴν τῶν ἀέρων ἐπάχθειαν ἀποχωρεῖν (ἦν γὰρ τὸ ἀκραφνὲς τῆς θερινῆς ὥρας) ὑπέσχετο, ἐντὸς τεσσαράκοντα ἡμερῶν ἐγγράφως ἢ ἄγειν τοὺς μάρτυρας ἢ ὑφίστασθαι τὰ τῶν κανόνων. Ἀφεθεὶς οὖν εἰς ἐπιζήτησιν τῶν μαρτύρων, καταλιπὼν τὸ πρᾶγμα, καταλαμβάνει τὴν Κωνσταντινούπολιν, ἐκεῖσε διαλανθάνων. Ἐξεδέξαντο οἱ κριταὶ τὰς τεσσαράκοντα ἡμέρας, ὡς εἰκός· καὶ ὡς οὐδαμοῦ ἐφάνη, ἐπιστέλλουσι τοῖς πανταχοῦ τῆς Ἀσίας ἐπισκόποις, ποιήσαντες αὐτὸν ἀκοινώνητον, ἢ ὡς λιποτάκτην ἢ ὡς συκοφάντην. Μετὰ δὲ τοῦτο προσεκαρτέρησαν ἄλλας

---

8. Δηλαδή οἱ Εὐσέβιος καί Ἀντωνίνος. 9. Καλοκαίρι τοῦ 400.

Καί τί λοιπόν ἔγινε; Γιά νά μήν πῶ πολλά, πείθεται νά παραμείνει, φροντίζοντας μαζί καί γιά τή δίκη καί γιά τήν προσέλευση τῶν μαρτύρων. Κέρδος ὅμως στόν κατηγορούμενο ἦταν ἡ ἀναβολή προσαγωγῆς τῶν μαρτύρων, τούς ὁποίους μποροῦσε νά φυγαδεύσει ἤ μέ χρήματα ἤ μέ τήν ἐξουσία. Προβλέποντας αὐτά ὁ 'Ιωάννης ἀποφασίζει μαζί μέ τήν παρούσα σύνοδο νά στείλουν μερικούς ἀπό τούς παρόντες ἐπισκόπους στήν 'Ασία γιά νά ἐξετάσουν τούς μάρτυρες. 'Αμέσως λοιπόν ὁρίσθηκαν νά κατεβοῦν τρεῖς ἐπίσκοποι, ὁ Συγκλήτιος ὁ μητροπολίτης Τραϊανουπόλεως, ὁ 'Ησύχιος ὁ ἐπίσκοπος Παρίου καί ὁ Παλλάδιος ὁ ἐπίσκοπος 'Ελενουπόλεως, ἀφοῦ ἡ σύνοδος διακήρυξε στά πρακτικά, ὅτι ὅποιος δέν ἀπαντήσει μέσα σέ δύο μῆνες καί δέν ὑποστηρίξει τά δίκαιά του στά Ὕπατα, τήν πόλη τῆς 'Ασίας (ἐπειδή εἶναι γείτονες καί οἱ ἐλεγχόμενοι καί οἱ ἄλλοι ἐπίσκοποι πού πρέπει νά δικάσουν μαζί μ' αὐτούς πού ἦταν μέ τό Συγκλήτιο), αὐτός ἀποκλείεται ἀπό τήν κοινωνία. Ἔπειτα κατέβηκαν οἱ προηγούμενοι Συγκλήτιος καί Παλλάδιος στή Σμύρνη, γιατί ὁ 'Ησύχιος, πού ἦταν φίλος τοῦ 'Αντωνίου, προσποιήθηκε ὅτι ἦταν κακή ἡ κατάσταση τῆς ὑγείας του. Καί ἀμέσως ἔγραψαν καί ἔκαμαν γνωστή τήν παρουσία τους καί στά δύο μέρη ὥστε νά συγκεντρωθοῦν στήν πόλη πού εἶχε ὁρισθεῖ καί νά ἐκπληρώσουν τίς ὑποσχέσεις τους.

Οἱ ἀντίδικοι[8] ὅμως πείθοντας ὁ ἕνας τόν ἄλλο, ὁ ἕνας μέ χρήματα καί ὁ ἄλλος μέ ὅρκο, ἔγιναν φίλοι πρίν ἀπό τήν παρουσία τῶν δικαστῶν. Καί ἀφοῦ ἦρθαν γιά τόν τύπο μαζί στήν πόλη τῶν 'Υπαιπινῶν νόμιζαν ὅτι θά περιπαίζουν τούς δικαστές μέ τή μετακίνηση πάλι τῶν μαρτύρων, ἐπειδή τάχα ταξιδεύουν γιά διάφορες ἀνάγκες. Ἔπειτα ἐρωτοῦν ἡ δικαστές τόν κατήγορο· «Μέσα σέ πόσες ἡμέρες λοιπόν θά τούς φέρεις αὐτούς; Θά τούς περιμένουμε». Νομίζοντας ὅτι θά φύγουν, ἐπειδή θά δυσανασχετοῦσαν ἀπό τήν ἐνόχληση τῶν ἀνέμων (γιατί ἦταν ἡ ἀκμή τοῦ Καλοκαιριοῦ[9]), ὑποσχέθηκε ἐγγράφως μέσα σέ σαράντα ἡμέρες ἤ νά φέρει τούς μάρτυρες ἤ νά ὑποστεῖ τίς συνέπειες τῶν κανόνων. 'Αφοῦ τόν ἄφησαν λοιπόν γιά νά βρεῖ τούς μάρτυρες, ἐγκατέλειψε τό πράγμα καί φθάνει στήν Κωνσταντινούπολη μένοντας ἀπαρατήρητος ἐκεῖ. Οἱ δικαστές, ὅπως ἦταν φυσικό, περίμεναν τίς σαράντα ἡμέρες· καί ἐπειδή δέ φάνηκε πουθενά, γράφουν πρός τούς ἐπισκόπους ὅλης τῆς 'Ασίας, ἀποκλείοντας αὐτόν ἀπό τήν ἐκκλησιαστική ἐπικοινωνία, ἤ σάν λιποτάκτη ἤ σάν συκοφάντη. Ὕστερα ἀπ' αὐτό περίμεναν ἄλλες τριάντα ἡμέρες καί, ἐπειδή δέ φάνηκε πουθενά ἀναχώρησαν καί

τριάκοντα ἡμέρας καί, ὡς οὐδαμοῦ ἐφάνη, ἀναχωρήσαντες ἦλθον εἰς τὴν Κωνσταντινούπολιν· κἀκεῖ περιτυχόντες αὐτῷ ἐνεκάλουν ἐπὶ τῷ τετολμημένῳ. Ὁ δὲ πάλιν ἀῤῥωστίαν σώματος προφασισάμενος ὑπισχνεῖτο τοὺς μάρτυρας.

5 *Τούτων οὕτω χρονοτριβούντων, ἀποθνήσκει ὁ Ἀντωνῖνος, μεθ᾽ οὗ εἶχεν ὁ Εὐσέβιος τὴν δίκην. Αὖθις ψήφισμα ἔρχεται ἀπὸ Ἀσίας, τοῦτο μὲν τοῦ κλήρου τῆς ἐκκλησίας τῆς Ἐφεσίων, τοῦτο δὲ τῶν ἐπισκόπων, πρὸς τὸν Ἰωάννην, ἀξίωσιν μεθ᾽ ὅρκου φρικτοῦ περιέχον· "Ἐπειδὴ ἐν τοῖς ἔμπροσθεν χρόνοις*
10 *φύρδην οἵ τε θεσμοὶ καὶ ἡμεῖς ἐποιμάνθημεν, ἀξιοῦμέν σου τὴν τιμιότητα κατελθοῦσαν τύπον ἐπιθεῖναι θεόπεμπτον τῇ Ἐφεσίων ἐκκλησίᾳ ἐκ μακρῶν τῶν χρόνων καταπονηθείσῃ, τοῦτο μὲν ὑπὸ τῶν τὰ Ἀρείου φρονούντων, τοῦτο δὲ ὑπὸ τῶν τὰ ἡμέτερα μετὰ πλεονεξίας καὶ φιλαυτίας αὐχούντων· ἐπειδὴ*
15 *μάλιστα πολλοὶ οἱ ἐφεδρεύοντες, ὡς λύκοι βαρεῖς, διὰ χρημάτων ἁρπάσαι τὸν θρόνον ἐπειγόμενοι". Ὁ δὲ Ἰωάννης ἐν τοσαύτῃ σώματος ἀνωμαλίᾳ καὶ χειμερίας τῆς ὥρας, οὐδὲν πρὸ ὀφθαλμῶν θέμενος λυπηρόν, ἐπὶ καταστάσει μάλιστα νενοσηκότων πραγμάτων ὅλης τῆς Ἀσιανῆς διοικήσεως δι᾽*
20 *ἀπειρίαν ἢ ἐρημίαν ποιμένων, τονωθεὶς τῇ προθυμίᾳ, ἐμβὰς εἰς πλοῖον, ἀπαίρει τῆς πόλεως.*

Ἐπιγενομένου δὲ σφοδροῦ ἀνέμου βοῤῥέου, φοβηθέντες οἱ ναυτικοί, ἵνα μὴ εἰς τὴν Προκόνησσον ἐκριφῶσι, τὸ ἔπαρμα θέντες τῇ βαλλομένῃ, ὑποτρέχουσι τὸ ὄρος τοῦ Τρίτωνος·
25 *κἀκεῖσε ῥίψαντες τοὺς κατόχους, ἔμενον ἐκδεχόμενοι νότον, ἵνα παραβάλωσι τῇ Ἀπαμείᾳ. Ἐπιμείναντες οὖν δύο ἡμέρας νήστεις ῥεμβόμενοι ἐν τῷ πλοίῳ, τῇ τρίτῃ ἐξῆλθον εἰς τὴν Ἀπάμειαν, ἐν ᾗ ἐξεδέχοντο Παῦλος καὶ Κυρῖνος καὶ Παλλάδιος οἱ ἐπίσκοποι (τούτους γὰρ ἔλαβε συνεκδήμους ὁ Ἰωάν-*
30 *νης). Διανύσαντες δὲ τῇ πεζικῇ πορείᾳ τὴν ὁδὸν εἰσβάλλουσιν εἰς τὴν Ἔφεσον· καὶ συναγαγόντες τοὺς τῆς Λυδίας ἐπισκόπους καὶ Ἀσίας καὶ Καρίας συντείνοντας εἰς ἑβδομήκοντα ἄνδρας, ποιοῦνται τὴν χειροτονίαν, τῶν πολλῶν ἐκ προθυμίας ἑκουσίου ἀπαντησάντων, μάλιστα Φρυγῶν, ἐπὶ ἀπολαύσει*

---

10. Στό τέλος τοῦ 400.

11. Ὁ Χρυσόστομος ἀπουσίαζε ἀπό τήν Κων/πολη, σύμφωνα μέ ὁμιλία του (Πατρολογία τοῦ Migne 52, 421-424), περισσότερο ἀπό 150 ἡμέρες).

ἦρθαν στήν Κωνσταντινούπολη. Καί ἐκεῖ ὅταν τόν συνάντησαν τυχαῖα τόν κατηγοροῦσαν γι' αὐτό πού τόλμησε καί ἔκαμε. Αὐτός ὅμως προφασιζόμενος πάλι ἀσθένεια τοῦ σώματος ὑποσχόταν τούς μάρτυρες.

'Ενῶ αὐτοί ἔτσι χρονοτριβοῦσαν, πεθαίνει ὁ 'Αντωνῖνος[10], μέ τόν ὁποῖο εἶχε ὁ Εὐσέβιος τή δίκη. 'Αμέσως ἔρχεται ψήφισμα ἀπό τήν 'Ασία, καί ἀπό τούς κληρικούς τῆς ἐκκλησίας τῆς 'Εφέσου, καί ἀπό τούς ἐπισκόπους, πού περιεῖχε τήν ἑξῆς ἀξίωση μαζί μέ φοβερό ὅρκο· «'Επειδή στά προηγούμενα χρόνια καί οἱ θεσμοί καί ἐμεῖς ποιμανθήκαμε μέ κακό τρόπο, ἔχουμε τήν ἀξίωση νά κατεβεῖ ἡ τιμιότητά σου καί νά θέσει θεόσταλτο ὑπόδειγμα στήν ἐκκλησία τῆς 'Εφέσου, ἡ ὁποία ταλαιπωρήθηκε ἐπί πολλά χρόνια, καί ἀπό τούς ὀπαδούς τοῦ 'Αρείου, καί ἀπ' ἐκείνους πού ἐξουσιάζουν τά δικά μας μέ πλεονεξία καί ἐγωισμό· ἐπειδή μάλιστα εἶναι πολλοί ἐκεῖνοι πού καιροφυλακτοῦν, σάν λύκοι βλαβεροί, καί βιάζονται ν' ἁρπάξουν μέ χρήματα τό θρόνο». Καί ὁ 'Ιωάννης μέ τέτοια κακή κατάσταση τῆς ὑγείας του καί σ' ἐποχή χειμώνα, ἀφοῦ δέ θεωροῦσε τίποτε τό ὀδυνηρό μπροστά στήν κατάσταση τῶν ὑπερβολικά νοσηρῶν πραγμάτων ὅλης τῆς ἐπαρχίας τῆς 'Ασίας ἀπό τήν ἀπειρία ἤ τήν ἀπουσία ποιμένων, τονώθηκε ἀπό τήν προθυμία του καί, ἀφοῦ μπῆκε σέ πλοῖο, φεύγει ἀπό τήν πόλη[11].

'Επειδή φοβήθηκαν οἱ ναυτικοί, νά μή βγοῦν στήν Προκόνησσο, γιατί φύσηξε δυνατός βόρρειος ἄνεμος, βάζοντας τά πανιά μέσα στό πλοῖο πού τό χτυποῦσαν οἱ ἄνεμοι, καταφεύγουν κάτω ἀπό τό ὄρος τοῦ Τρίτωνα. Καί ἀφοῦ ἔριξαν τίς ἄγκυρες ἐκεῖ, περίμεναν νότιο ἄνεμο, γιά νά περάσουν στήν 'Απάμεια. Παραμένοντας λοιπόν δύο ἡμέρες νηστικοί περιπλανώμενοι μέσα στό πλοῖο, τήν τρίτη ἡμέρα βγῆκαν στήν 'Απάμεια, στήν ὁποία τούς ὑποδέχονταν οἱ ἐπίσκοποι Παῦλος, καί Κυρῖνος καί Παλλάδιος (γιατί αὐτούς πῆρε ὁ 'Ιωάννης συνοδούς του). 'Αφοῦ βάδισαν μέ τά πόδια τό δρόμο, μπαίνουν στήν Ἔφεσο· καί συγκεντρώνοντας τούς ἐπισκόπους τῆς Λυδίας, τῆς 'Ασίας καί τῆς Καρίας πού ἔφθαναν τούς ἑβδομήντα, κάνουν τή χειροτονία[12], ἀφοῦ οἱ περισσότεροι ἐμφανίσθηκαν ἀπό δική τους θέληση καί προθυμία, μάλιστα οἱ ἐπίσκοποι τῆς Φρυγίας, γιά ν'

12. 'Ο 'Ηρακλείδης, ἕνας ἀπό τούς διακόνους τοῦ Χρυσοστόμου, χειροτονήθηκε ἐπίσκοπος 'Εφέσου (Σωκράτη, 'Εκκλ. 'Ιστ. 6, 11 καί Σωζομενοῦ, 'Εκκλ. 'Ιστ. 8, 6). Τρία χρόνια ἀργότερα καθαιρέθηκε καί στάλθηκε ἐξορία.

στόματος σοφίας, κατὰ τὸ εἰρημένον· "Σοφία ἐν ἐξόδοις ὑμνεῖται" (τοῦτ' ἔστιν ἐν τοῖς λαλοῦσιν), "ἐν δὲ πλατείαις παῤῥησίαν ἄγει" (τοῦτ' ἔστι καρδίαις ταῖς διὰ πολυτρόπων θλίψεων πλατυνθείσαις, κατὰ τό, "Ἐν θλίψει ἐπλάτυνάς με").
5 *-Στενοχωρεῖται γὰρ ἡ σοφία ἐν τοῖς τὰ ζιζάνια γεωργοῦσι καὶ τὸν λόγον συμπνίγουσιν.*

ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄

Τούτων οὖν οὕτως ἐχόντων, προσῆλθεν ὁ τῆς μακρηγορίας ἡμῖν αἴτιος τοῖς ἐπισκόποις πᾶσιν Εὐσέβιος, ὁ κατήγορος τῶν
10 *ἐξ λοιπῶν ἐπισκόπων, ἀξιῶν δεχθῆναι εἰς κοινωνίαν. Προσαντιλέγουσί τινες τῶν ἐπισκόπων, μὴ δεῖν αὐτὸν δεχθῆναι ὡς συκοφάντην. Ἐπὶ τούτοις ἱκετεύει λέγων· "Ἐπειδὴ ἡ δίκη τὸ πλεῖστον μέρος ἐπὶ δύο ἔτη ἐβασανίσθη, εἰς μάρτυρας δὲ γεγένηται ἡ ὑπέρθεσις, δέομαι τῆς ὑμετέρας θεοσεβείας*
15 *σήμερον πάραυτα δοῦναί με τοὺς μάρτυρας. Εἰ γὰρ καὶ Ἀντωνῖνος ἐτελεύτησεν ὁ λαβὼν τὸ χρυσίον καὶ χειροτονήσας, ἀλλ' οὖν γε μένουσιν οἱ δεδωκότες καὶ χειροτονηθέντες". Ἐδικαίωσεν ἡ παροῦσα σύνοδος ζητηθῆναι τὸ πρᾶγμα. Ἄρχεται ἡ ὑπόθεσις ἐξ ἀναγνώσματος τῶν πρώην πραχθέντων*
20 *ὑπομνημάτων. Εἰσῆλθον οἱ μάρτυρες, εἰσῆλθον καὶ ἐξ τῶν δεδωκότων καὶ χειροτονηθέντων. Ἐν μὲν τῇ ἀρχῇ ἠρνοῦντο· ἐπιμενόντων δὲ τῶν μαρτύρων, τῶν μὲν λαϊκῶν, τῶν δὲ καὶ πρεσβυτέρων, οἷς ἔδοξαν τεθαῤῥηκέναι, καὶ γυναικῶν τινων, καὶ τὰ εἴδη τῶν ἐνεχύρων λεγόντων, καὶ τοὺς τόπους καὶ τοὺς*
25 *καιροὺς καὶ τὴν ποσότητα, οὐ πάνυ καλῶς διακειμένης αὐτῶν τῆς συνειδήσεως, αὐθαίρετοι ὁμολογοῦσι δίχα πολλῆς ἀνάγκης, ὅτι "Δεδώκαμεν, ὡμολόγηται, καὶ γεγόναμεν, τοιαύτην νομίσαντες εἶναι ἀκολουθίαν, ἵνα δόξωμεν τοῦ βουλευτηρίου ἐλευθεροῦσθαι. Καὶ νῦν δεόμεθα, εἰ μὲν ἔστιν ὅσιον, ἡμᾶς εἶναι*
30 *ἐν τῇ λειτουργίᾳ τῆς ἐκκλησίας· ἐπεὶ κἂν τὸ χρυσίον, ὃ δεδώκαμεν, ἵνα λάβωμεν· τῶν γὰρ γυναικῶν ἡμῶν τινες δεδώκαμεν σκεύη".*

13. Παροιμ. 1, 20. 14. Ψαλμ. 4, 2. 15. Βλ. Ματθ. 13, 22. 24-30.

1. Τέλος ἄνοιξης ἢ ἀρχές καλοκαιριοῦ τοῦ 402.

ἀπολαύσουν σοφία ὁμιλίας, σύμφωνα μέ τό εἰπωμένο· «Ἡ σοφία ὑμνεῖται δημόσια στούς δρόμους» (δηλαδή σ' αὐτούς πού μιλοῦν), «καί στίς πλατεῖες ἔχει τήν τόλμη νά παρουσιάζεται»[13] (δηλαδή στίς καρδιές τῶν ἀνθρώπων πού μέ ποικίλες θλίψεις ἔγιναν πλατιές, σύμφωνα μέ τό «Στή θλίψη μου ἔδωσες ἄνεση στήν ψυχή μου»[14]. Γιατί πιέζεται ἡ σοφία ἀνάμεσα σ' αὐτούς πού καλλιεργοῦν τά ζιζάνια καί πνίγουν τό λόγο[15].

ΚΕΦΑΛΑΙΟ ΙΕ΄

Ἐνῶ λοιπόν αὐτά ἔτσι συνέβαιναν, ὁ αἴτιος τῆς μακρηγορίας μας Εὐσέβιος ἦρθε σ' ὅλους τούς ἐπισκόπους, ὁ κατήγορος τῶν ἄλλων ἕξι ἐπισκόπων, ἀξιώνοντας νά γίνει δεκτός σέ κοινωνία. Ἐναντιώθηκαν μερικοί ἀπό τούς ἐπισκόπους λέγοντας, ὅτι δέν πρέπει νά γίνει δεκτός αὐτός ὡς συκοφάντης. Ἔπειτα παρακαλεῖ λέγοντας· «Ἐπειδή ἡ δίκη κατά τό μεγαλύτερο μέρος της ἐξετάσθηκε γιά δύο χρόνια[1], καί γιά τούς μάρτυρες ἔγινε ἡ ἀναβολή της, παρακαλῶ τή δική σας θεοσέβεια ἀμέσως σήμερα νά δώσω τούς μάρτυρες. Γιατί ἄν καί πέθανε ὁ Ἀντωνίνος πού πῆρε τά χρήματα καί ἔκαμε τίς χειροτονίες, μένουν ὅμως αὐτοί πού τά ἔδωσαν καί χειροτονήθηκαν». Ἔκρινε δίκαιο ἡ παρούσα σύνοδος νά ἐξετασθεῖ τό πράγμα. Ἀρχίζει ἡ ὑπόθεση μέ τήν ἀνάγνωση τῶν πρακτικῶν πού συντάχθηκαν προηγουμένως. Ὑπῆρχαν οἱ μάρτυρες καί ἕξι ἀπ' αὐτούς πού ἔδωσαν χρήματα καί χειροτονήθηκαν. Στήν ἀρχή ἀρνοῦνταν. Ὅταν ὅμως ἐπέμεναν οἱ μάρτυρες πού ἦταν καί λαϊκοί καί πρεσβύτεροι, στούς ὁποίους νόμισαν ὅτι εἶχαν ἐμπιστοσύνη, καί μερικές γυναῖκες, καί ἔλεγαν τά εἴδη τῶν ἐνεχύρων καί τούς τόπους καί τό χρόνο καί τήν ποσότητα, καθώς ἡ συνείδησή τους τούς ἔλεγχε, ὁμολογοῦν μέ τή θέλησή τους χωρίς πολύ ἐξαναγκασμό, ὅτι «Ἔχουμε δώσει, τό ὁμολογοῦμε, καί γίναμε ἐπίσκοποι, ἐπειδή νομίσαμε πώς τέτοιος εἶναι ὁ τρόπος, γιά νά φανοῦμε ἀπαλλαγμένοι ἀπό τό βουλευτικό ἀξίωμα[2]. Καί τώρα σᾶς παρακαλοῦμε, ἐάν βέβαια εἶναι σύμφωνο μέ τούς ἱερούς κανόνες, νά παραμείνουμε στήν ὑπηρεσία τῆς ἐκκλησίας· ἤ τουλάχιστο τά χρήματα πού δώσαμε, νά τά πάρουμε πίσω· γιατί μερικοί ἔχουμε δώσει τά κοσμήματα τῶν γυναικῶν μας».

2. Οἱ βουλευτές εἶχαν πολλές ὑποχρεώσεις. Ὁ Κωνσταντίνος ἀπάλλαξε τούς κληρικούς ἀπ' ὅλες τίς δημόσιες ὑπηρεσίες (Εὐσεβίου, Ἐκκλ. Ἱστ. 10, 7).

Ὁ Ἰωάννης πρὸς ταῦτα ὑπέσχετο τῇ συνόδῳ, ὅτι "Τοῦ μὲν βουλευτηρίου ἐγὼ αὐτοὺς σὺν Θεῷ ἀπαλλάξω, ἀξιώσας τὸν βασιλέα, ὑμεῖς δὲ προστάξατε αὐτοὺς λαβεῖν ὃ δεδώκασιν παρὰ τῶν Ἀντωνίνου κληρονόμων". Προσέταξεν ἡ σύνοδος, τὸ
5 μὲν χρυσίον αὐτοὺς λαβεῖν παρὰ τῶν κληρονόμων Ἀντωνίνου, κοινωνεῖν δὲ ἔνδον τοῦ θυσιαστηρίου, εἶναι δὲ ἀπὸ ἱερέων, ἵνα μὴ τούτων συγχωρηθέντων ἔθος γένηται Ἰουδαϊκὸν ἢ Αἰγύπτιον, τοῦ πωλεῖν καὶ ἀγοράζειν τὴν ἱερωσύνην. Φασὶ δὲ τὸν λυμεῶνα καὶ ψευδώνυμον πατριάρχην τῶν Ἰουδαίων κατ' ἔτος
10 ἀμείβειν, ἢ καὶ παρ' ἔτος, τοὺς ἀρχισυναγώγους ἐπὶ συλλογῇ τοῦ ἀργυρίου, ὁμοίως δὲ καὶ τὸν ζηλωτὴν τούτου τῶν Αἰγυπτίων πατριάρχην, ἵνα πληρωθῇ τὸ προφητικόν· "Οἱ ἱερεῖς αὐτῆς μετὰ δώρων ἀπεκρίνοντο, καὶ οἱ προφῆται αὐτῆς μετὰ ἀργυρίου ἐμαντεύοντο". Τούτων πάντων ἐστὶ καὶ ὑπομνήματα
15 καὶ οἱ κρίναντες. Καὶ οὐκ εἰς μίαν ἡμέραν γεγένηται, ὡς ἐψεύσατο ὁ Θεόφιλος, ἡ ἐξέτασις, ἀλλ' ἐπὶ δύο ἔτη. Καὶ ἔστερξαν οἱ καθαιρεθέντες, τῆς μελλούσης κρίσεως ἐλευθερωθέντες, ὡς τὸν ἕνα ἐξ αὐτῶν ἔκδικον δημοσίων γενέσθαι πραγμάτων· καὶ εἰς τοὺς τόπους αὐτῶν ἕτεροι ἀείπαιδες
20 ἀντεισήχθησαν, βίῳ καὶ λόγῳ κεκοσμημένοι.

Καὶ οἱ γεννάδες καὶ φιλόνεικοι μετὰ τὴν Ἰωάννου ἐξορίαν λαβόντες ὃ ἔλαβον (οὐ γὰρ ἔχει ὄνομα ἡ κακία, ὥσπερ οὐδὲ οὐσίαν), τοὺς μὲν πρὸ τετραετίας ῥιφέντας πάλιν εἰσέφρησαν εἰς τὰς ἐκκλησίας, τοὺς δὲ ἐνδέσμως ἐνθρονι-
25 σθέντας ἐξέωσαν ἐπὶ σκορπισμῷ τῶν τοῦ Χριστοῦ προβάτων. Τὸ μέντοι γελοιωδέστατον πάντων, μᾶλλον δὲ θρήνου ἄξιον, ἐὰν ἀκούσῃς, Θεόδωρε φιλομαθέστατε, "Ἠχήσει μέν σου", κατὰ τὸν προφήτην, "ἀμφότερα τὰ ὦτα", ἀποκλαύσεις δέ, φιλόθεος ὤν, τοὺς μαινομένους τῶν ἐπισκόπων, ἐσκοτισμένῃ
30 χειρὶ λυμαινομένους τὰς δωρεὰς τοῦ Χριστοῦ. Ὡς γὰρ μετὰ νηστείας καὶ δεήσεως καὶ δοκιμασίας κλήρου καὶ φόβου οἱ περὶ Πέτρον καὶ Ἰωάννην ἐποίουν χειροτονίας, αὐτοὶ τὸ ἐναντίον μετὰ κραιπάλης καὶ μέθης καὶ δώρων οἰκτρῶν τὰ τῶν ἀνθρώπων ἐκτρώματα, ἃ μήτε χοίρων ἀλόγων ἢ κυνῶν ἄξια,

---

3. Μιχ. 3, 11.

4. Μετά τό Σίμωνα τό μάγο ἡ κακία αὐτή ὀνομάζεται σιμωνία.

Ὁ Ἰωάννης ἔπειτα ὑποσχέθηκε στή σύνοδο, ὅτι «Ἐγώ μέ τή βοήθεια τοῦ Θεοῦ θά τούς ἀπαλλάξω ἀπό τό βουλευτικό ἀξίωμα, ἀξιώνοντας τοῦτο ἀπό τό βασιλιά· ἐσεῖς ὅμως προστάξτε νά πάρουν ἀπό τούς κληρονόμους τοῦ Ἀντωνίνου αὐτά πού ἔδωσαν». Ἡ σύνοδος πρόσταξε νά πάρουν αὐτοί τά χρήματα ἀπό τούς κληρονόμους τοῦ Ἀντωνίνου, καί νά κοινωνοῦν μέσα στό χῶρο τοῦ θυσιαστηρίου, ἐνῶ νά καθαιρεθοῦν ἀπό τήν ἱερατική ἐξουσία, γιά νά μή γίνει ἡ συνήθεια ἡ ἰουδαϊκή ἤ ἡ αἰγυπτιακή, ὅταν συγχωρηθοῦν αὐτοί, νά πουλοῦν καί ν' ἀγοράζουν τήν ἱερωσύνη. Λέγουν λοιπόν ὅτι ὁ ἐκμεταλλευτής καί ψευτοπατριάρχης τῶν Ἰουδαίων ἄλλαζε κάθε χρόνο ἤ καί χρόνο παρά χρόνο τούς ἀρχισυναγώγους γιά νά συγκεντρώνει χρήματα, ὅπως ἐπίσης καί ὁ ζηλωτής αὐτοῦ πατριάρχης τῆς Αἰγύπτου, γιά νά πραγματοποιηθεῖ τό προφητικό· «Οἱ ἱερεῖς της ἀπαντοῦσαν μέ δῶρα, καί οἱ προφῆτες της προφήτευαν μέ χρήματα»[3]. Γιά ὅλα αὐτά ὑπάρχουν καί πρακτικά καί οἱ δικαστές. Καί δέν ἔγινε ἡ ἐξέταση σέ μία μόνο ἡμέρα, ὅπως εἶπε ψέματα ὁ Θεόφιλος, ἀλλά σέ δύο χρόνια. Καί ἦταν εὐχαριστημένοι αὐτοί πού καθαιρέθηκαν, ἀφοῦ ἀπαλλάχθηκαν ἀπό τή μέλλουσα κρίση, ὥστε ὁ ἕνας ἀπ' αὐτούς νά γίνει δικηγόρος τῶν δημόσιων πραγμάτων· καί στίς ἐπισκοπές τους χειροτονήθηκαν σ' ἀντικατάστασή τους ἄλλοι μοναχοί, στολισμένοι μ' ἐνάρετο βίο καί λόγο.

Καί οἱ θρασεῖς καί φιλόνικοι μετά τήν ἐξορία τοῦ Ἰωάννη παίρνοντας αὐτά πού πῆραν (γιατί δέν ἔχει ὄνομα ἡ κακία[4], ὅπως οὔτε καί οὐσία), ἔφεραν πάλι στίς ἐκκλησίες ἐκείνους πού εἶχαν απομακρυνθεῖ πρίν τέσσερα χρόνια, ἐνῶ ἔδιωξαν αὐτούς πού εἶχαν ἐνθρονισθεῖ νόμιμα, γιά νά σκορπίσουν τά πρόβατα τοῦ Χριστοῦ. Βέβαια τό πιό γελοῖο ἀπ' ὅλα, ἤ μᾶλλον ἀξιοθρήνητο, ἐάν ἀκούσεις, Θεόδωρε φιλομαθέστατε, «Θά φρίξουν», σύμφωνα μέ τόν προφήτη, «καί τά δύο τά αὐτιά σου»[5], ἐνῶ θά θρηνήσεις, ἐπειδή εἶσαι θεοσεβής, τούς μανιακούς ἐπισκόπους, πού ἐκμεταλλεύονται μέ σκοτεινό χέρι τίς δωρεές τοῦ Χριστοῦ. Γιατί τίς χειροτονίες πού ἔκαναν οἱ ἀπόστολοι, πού ἦταν μαζί μέ τόν Πέτρο καί τόν Ἰωάννη, τίς ἔκαμαν μέ νηστεία καί δέηση καί δοκιμασία κλήρου καί φόβο[6], αὐτοί ἀντίθετα μέ κραιπάλη καί μέθη καί ἐλεεινά δῶρα χειροτονοῦσαν τά ἐκτρώματα τῶν ἀνθρώπων, τά ὁποῖα δέν εἶναι ἰσάξια οὔτε μέ τούς χωρίς λογικό

5. Ἱερ. 19, 3.

6. Βλ. Πράξ. 1, 15-26· 6, 1-6.

κατὰ τὸν προφητεύσαντα περὶ αὐτῶν Ἰὼβ ἐκ προσώπου τοῦ Σωτῆρος· "Οὓς οὐχ ἡγησάμην ἀξίους κυνῶν τῶν ἐμῶν νομάδων, οἱ ὑπὸ φρύγανα διητῶντο". Οἱ τοίνυν μετὰ μιμάδων καὶ Ἰουδαίων, ὡς φίλοι τοῦ Σωτῆρος, παρὰ τῶν σοφῶν τὰ 5 ἀπόρρητα τῆς ἱερωσύνης καταπιστεύονται· δι' οὓς καὶ τοὺς εὐκτηρίους οἴκους φεύγουσιν οἱ λαοὶ τῶν ὀρθοδόξων.

Ἔφθασεν γὰρ πάντως τὸ καινὸν καὶ κουφωδέστατον τοῦ τολμήματος καὶ μέχρις ὑμῶν τῆς κατὰ Ἔφεσον ἐκκλησίας· πῶς γὰρ οὔ; παραθαλασσίας οὔσης καὶ ῥαδίως διαπορθμευ-10 ούσης τὰς φήμας. Εἰς τὸν τόπον γάρ, μᾶλλον δὲ εἰς τὸν Ἰωάννου τοῦ τὸ Εὐαγγέλιον γράψαντος, τοῦ εἰς τὸ τῆς σοφίας στῆθος πιστῶς ἐπαναπεσόντος, περὶ οὗ γέγραπται· ""Ὃν ἠγάπα ὁ Ἰησοῦς"· ὃν Τιμόθεος, ὁ Παύλου μαθητής, πρὸς ὃν αἱ δύο φέρονται τοῦ ἀποστόλου Ἐπιστολαί, διαδέχεται, 15 "βδέλυγμα ἐρημώσεως" ἀντεισάγεται. Χειροτονήσαντες γὰρ τὸν Βίκτωρος τοῦ τριβούνου εὐνοῦχον ἐνεθρόνισαν, καὶ τὸν ὑπὸ ἑβδομήκοντα ἐπισκόπων ἐνθρονισθέντα ἐν εἱρκτῇ δαπανῶντες μέχρι τῆς δεῦρο, ἄνδρα μονάσαντα ἐν τῇ ἐρήμῳ, ἀπὸ ἐγκυκλίων ἡγμένον μαθημάτων, καὶ τῶν θείων Γραφῶν ἐντὸς 20 γενόμενον, καὶ διακονήσαντα ἔτη τρία. Καὶ εἴθε ὁ χειροτονηθεὶς εὐνοῦχος διὰ βίου σεμνοῦ ἦν ἡγμένος, καὶ ἡμίκακον ἦν τὸ κακόν· νυνὶ δέ, γῆς ἔντερον, γαστρίδουλον, θηλυμανές, ἰταμόν, μέθυσον, πορνοκόπον, ἀργυρώνητον, ἀνελεύθερον, φιλάργυρον, πρὸς αὐτῇ τῇ γενέσει σιδηροκατάδικον, ἄναν-25 δρον, ἄθηλυ, ἐπιμανές· (καθὼς ἤκουσα πολλάκις) τὰ θεατρικὰ κοράσια ἐπ' ὤμων βαστάσαντα ἐν σατυρικοῖς συμποσίοις, κισσῷ τὴν κεφαλὴν ἐστεμμένον καὶ κρατῆρα ἐν τῇ χειρὶ ἐνημμένον οἰνοχοηκέναι ἐν προσχήματι τοῦ μυθικοῦ Διονύσου.

30 *Ταῦτα δὲ πάντα ἔπραξεν οὐ πρὸ τῆς εἰς Χριστὸν μυσταγωγίας, ἀλλὰ μετὰ τὸ φώτισμα· ὃς αἰνίσσεται διὰ τούτων μηδὲ τῇ ἀναστάσει πιστεύειν. Τῆς γὰρ ἀναστάσεως τὸν θεμέλιον σαθρώσας, πῶς οὗτος ἐπὶ ταύτῃ πιστεύει; Ὁ δὲ μὴ πιστεύων τῇ ἀναστάσει, πῶς κῆρυξ γένηται τῆς ἀναστάσεως, κατὰ τὸν 35 εἰπόντα, "Πῶς δὲ κηρύξωσιν, ἐὰν μὴ πιστεύσωσιν;" οὗτος σωφρονεῖ μὲν ἄμισθα διὰ σιδήρου, μαίνεται δὲ ἄκαρπα δι'*

7. Ἰώβ 30, 1.7. 8. Δηλαδή, στή Ρώμη. 9. Ἰω. 13, 23.
10. Ματθ. 24, 15· Δαν. 9, 27. 11. Ἐννοεῖ τόν Ἡρακλείδη.

χοίρους ἤ σκύλους, σύμφωνα μέ τόν 'Ιώβ πού προφήτεψε γι' αὐτά σάν ἐκπρόσωπος τοῦ Σωτήρα· «Αὐτούς δέν θεώρησα ἰσάξιους μέ τά σκυλιά τῶν κοπαδιῶν μου, πού ζοῦσαν κάτω ἀπό τούς θάμνους»[7]. Αὐτοί λοιπόν πού ἦταν ἰσάξιοι μέ τούς ὑποκριτές καί τούς 'Ιουδαίους, σάν φίλοι δῆθεν τοῦ Σωτήρα, θεωροῦνται ἀπό τούς σοφούς ἄξιοι ἐμπιστοσύνης γιά τά ἀπόρρητα τῆς ἱερωσύνης· γι' αὐτούς ἀποφεύγουν καί τίς ἐκκλησίες οἱ ὀρθόδοξοι χριστιανοί.

Ἔφθασε βέβαια ὁπωσδήποτε καί μέχρι σέ σᾶς[8] τό καινούριο καί πιό ἀνόητο τόλμημα πού ἔγινε στήν ἐκκλησία τῆς 'Εφέσου· πῶς λοιπόν ὄχι; -ἐπειδή εἶναι παραθαλάσσια ἡ Ἔφεσσος καί εὔκολα διαβιβάζει τίς φῆμες. Γιατί στό θρόνο της -ἤ καλύτερα στό θρόνο τοῦ 'Ιωάννη, πού ἔγραψε τό εὐαγγέλιο καί ἔγειρε μέ πίστη στό στῆθος τῆς σοφίας, γιά τόν ὁποῖο ἔχει γραφεῖ· «Τόν ὁποῖο ἀγαποῦσε ὁ 'Ιησοῦς»[9], πού διαδέχθηκε ὁ Τιμόθεος, ὁ μαθητής τοῦ Παύλου, πρός τόν ὁποῖο ἀπευθύνονται οἱ δύο ἐπιστολές τοῦ ἀποστόλου- τοποθετεῖται «ἄνθρωπος βέβηλος»[10]. Γιατί, ἀφοῦ χειροτόνησαν τόν εὐνοῦχο τοῦ χιλίαρχου Βίκτωρα, τόν ἐνθρόνισαν βασανίζοντας στή φυλακή μέχρι σήμερα αὐτόν[11] πού ἐνθρονίσθηκε ἀπό ἑβδομήντα ἐπισκόπους, ἄνδρα πού μόνασε στήν ἔρημο, πού ὁδηγήθηκε ἀπό τά ἐγκύκλια γράμματα καί ἔγινε γνώστης τῶν θείων Γραφῶν, καί πού ὑπηρέτησε τρία χρόνια. Καί εἴθε ὁ εὐνοῦχος πού χειροτονήθηκε νά εἶχε προσαχθεῖ ἐξ αἰτίας τῆς σεμνῆς ζωῆς του, τό κακό θά ἦταν μισό. Τώρα ὅμως εἶναι σκουλήκι τῆς γῆς, κοιλιόδουλος, θηλυμανής, θρασύς, μέθυσος, ἀσελγής, ἀργυρώνητος, δουλοπρεπής, φιλάργυρος καταδικασμένος μέ σίδερο[12] μετά τή γένησή του, ἄνανδρος, χωρίς γυναίκα, μανιακός· καί καθώς ἄκουσα πολλές φορές, βαστάζοντας ἐπάνω στούς ὤμους του τά μικρά κορίτσια τοῦ θεάτρου σέ σατυρικά συμπόσια, στεμμένος μέ κισσό στό κεφάλι του καί κρατώντας τόν κρατήρα στό χέρι κερνοῦσε κρασί μ' ἐμφάνιση σάν τοῦ μυθικοῦ Διονύσου.

Καί ὅλα αὐτά τά ἔκανε ὄχι πρίν τή μύησή του στό Χριστό, ἀλλά μετά τό βάπτισμα. Αὐτός ὑπονοεῖ μ' αὐτά ὅτι δέν πιστεύει οὔτε στήν ἀνάσταση. Γιατί, ἀφοῦ κατέστρεψε τό θεμέλιο τῆς ἀνάστασης, πῶς θά πιστεύει σ' αὐτήν; Ὅποιος ὅμως δέν πιστεύει στήν ἀνάσταση, πῶς θά γίνει κήρυκας τῆς ἀνάστασης, σύμφωνα μ' ἐκεῖνον πού εἶπε· «Πῶς ὅμως θά κηρύξουν, ἐάν δέν πιστέψουν;»[13]. Αὐτός βέβαια γίνεται

12. Τό σιδερένιο ἐργαλεῖο μέ τό ὁποῖο εἶχε γίνει εὐνοῦχος.

13. Ρωμ. 10, 14.

*οἰκείαν αἰσχρότητα. Ταῦτα δέ ἐστι τὰ κατὰ τὴν Ἀσίαν γεγενη-
μένα, περὶ ὧν ἐπηρώτησας, διὰ τὸν γράψαντα Θεόφιλον δέκα
ἓξ ἐπισκόπους καθῃρηκέναι τὸν Ἰωάννην. Ἔσο οὖν εἰδὼς ἐπὶ
τῆς ἀληθείας, ὅτι ἓξ εἰσι. Τούτων ἐστὶ καὶ τὰ ὑπομνήματα
5 σωζόμενα παρ' ἡμῖν μετὰ ὑπογραφῆς τῶν εἴκοσι δύο ἐπισκό-
πων τῶν τὴν ἀρχὴν ἀκουσάντων καὶ τῶν ἑβδομήκοντα τῶν
καθελόντων καὶ τὴν δίκην περαιωσάντων.*

ΚΕΦΑΛΑΙΟΝ ΙϚ΄

*Ο ΔΙΑΚ. Σύγγνωθί μοι, πάτερ, ὑπερβαίνει μέθην καὶ μανίαν
10 καὶ παίγνιον τὰ τοιαῦτα. Οἱ μὲν γὰρ μαινόμενοι καὶ μέθυσοι
καὶ οἱ παῖδες, οἱ μὲν μετὰ τὴν νῆψιν, οἱ δὲ μετὰ τὴν πέψιν, οἱ
δ' ἄλλοι μετὰ τὴν ἔννομον ἡλικίαν ἀρνοῦνται, ἐπαισχυνόμενοι
τοῖς αἰσχρῶς ἢ ἀτάκτως γεγενημένοις ἢ λελεγμένοις· οὗτοι δὲ
ἐν ἡλικίᾳ τελείᾳ καὶ δοκούσῃ νήψει δεδρακότες, οὐ μόνον οὐ
15 μεταμελοῦνται ἐπὶ τοῖς πραχθεῖσιν, ἀλλ' ἔτι εὔχονται ἀσάλευ-
τον καὶ βεβαίαν διαμεῖναι τὴν ἑαυτῶν κακοπραγίαν. Οἱ γὰρ μὴ
φρίξαντες Εὐαγγέλιον ἐπιθεῖναι ἐναγεῖ κεφαλῇ, εἰς ἣν γυναι-
κῶν αἱ ἀνήμεροι ἐπωρχήσαντο, τίσιν ἄλλοις συναριθμήσονται,
ἢ τοῖς τὸν ἀκάνθινον στέφανον τῷ Υἱῷ τοῦ Θεοῦ περιθεῖσιν;
20 Αὐτὸς δὲ εἰ οἶσθα τὸν τρόπον τῆς καταστάσεως Πορφυρίου
τοῦ Ἀντιοχέων, ἢ τοὺς καταστήσαντας, ἢ τὸν πάλαι τοῦ
ἀνθρώπου βίον, εἰ ἄσημος ἢ ἐπίσημος, τά τε δόγματα, εἰ ἀληθῆ
ἢ ψευδῆ, ἀπάγγελον ἡμῖν· ἐπειδὴ μάλιστα καὶ γεγράφηκεν τῇ
ἐκκλησίᾳ Ῥωμαίων, καὶ ἀντιγράφων οὐκ ἠξιώθη.
25 Ο ΕΠΙΣΚ. Ὁ αὐτὸς ἔσται μοι λόγος τῆς ἀληθείας, οὐ γὰρ
ἐπιλήσομαι τῆς τοῦ Δεσπότου φωνῆς τῆς λεγούσης· "Περὶ
παντὸς λόγου ἀργοῦ δώσουσι λόγον οἱ ἄνθρωποι ἐν ἡμέρᾳ
κρίσεως". Ἐγὼ δὲ προσπλέξας τολμηρῶς εἴποιμι· "Καὶ περὶ
πάσης ἀργῆς ἀκοῆς". Ὡς γοῦν καὶ σευατὸν ἀ[illegible]σαι, εἴ τι
30 οὐ συνορᾷς με ἀληθεύειν, μὴ τῇ πολιᾷ μου ἡττώμενος, ἀλλὰ τῇ
τῶν πραγμάτων φύσει. Τί γάρ μοι ἐκ τῶν σήμερον ἢ ἐκ τῶν χθὲς
εἰρημένων ὄφελος ψευσαμένῳ, εἰς αἰῶνα ἐνώπιον τῆς ἀκρι-
βοῦς δίκης καταισχυνομένῳ; Πῶς δὲ ὑποίσω τὸν μυλικὸν*

---

1. Ὁ Πορφύριος ἦταν ἐπίσκοπος Ἀντιόχειας ἀπό τό 404 ἕως τό 413.

ἐγκρατής χωρίς ἀμοιβή μέ τό σίδερο[14], μαίνεται ὅμως ἀνώφελα ἐξ αἰτίας τῆς προηγούμενης αἰσχρότητάς του. Αὐτά λοιπόν εἶναι τά γεγονότα πού συνέβηκαν στήν Ἀσία, γιά τά ὁποῖα ἔκαμες ἐρώτηση ἐξ αἰτίας τοῦ Θεοφίλου πού ἔγραψε ὅτι ὁ Ἰωάννης εἶχε καθαιρέσει δεκαέξι ἐπισκόπους. Γνώριζε λοιπόν τήν ἀλήθεια, ὅτι ἕξι εἶναι. Τῶν γεγονότων αὐτῶν ὑπάρχουν καί τά πρακτικά, τά ὁποῖα σώζονται σέ μᾶς μέ τήν ὑπογραφή τῶν εἴκοσι δύο ἐπισκόπων πού ἄκουσαν τήν ἀρχή, καί τῶν ἑβδομήντα πού ἔκαναν τήν καθαίρεση καί τελείωσαν τή δίκη.

Ο ΔΙΑΚ. Συγχώρησέ με, πάτερ, ξεπερνοῦν τή μέθη καί τή μανία καί τά παιχνίδια τά παρόμοια. Γιατί οἱ παράφρονες καί οἱ μεθυσμένοι καί τά παιδιά, οἱ πρῶτοι μετά τήν ἀνάνηψή τους, οἱ ἄλλοι μετά τήν πέψη τῆς μέθης τους, καί τά παιδιά μετά τήν ἐνηλικίωσή τους τά ἀρνοῦνται αὐτά, ἐπειδή ντρέπονται γιά ὅσα μέ αἰσχρό ἤ ἄπρεπο τρόπο ἔκαμαν ἤ εἶπαν. Αὐτοί ὅμως ἐνεργώντας σέ ὥριμη ἡλικία καί μέ φαινομενική νηφαλιότητα, ὄχι μόνο δέ μετανοοῦν γιά τίς πράξεις τους, ἀλλ' ἀκόμη εὔχονται νά παραμείνει σταθερή καί μόνιμη ἡ κακοπραγία τους. Γιατί αὐτοί πού δέ φοβήθηκαν νά βάλουν τό εὐαγγέλιο ἐπάνω σέ μολυσμένο κεφάλι, στό ὁποῖο χόρεψαν γυμνές γυναῖκες, μαζί μέ ποιούς ἄλλους θά συμπεριληφθοῦν, παρά μ' ἐκείνους πού ἔβαλαν τό ἀκάνθινο στεφάνι γύρω ἀπό τό κεφάλι τοῦ Υἱοῦ τοῦ Θεοῦ; Ἐσύ ὅμως ἐάν γνωρίζεις τόν τρόπο τῆς τοποθέτησης τοῦ Πορφυρίου, τοῦ ἐπισκόπου Ἀντιοχείας[1], ἤ αὐτούς πού τόν τοποθέτησαν, ἤ τόν προηγούμενο βίο τοῦ ἀνθρώπου, ἐάν ἦταν ἀσήμαντος ἤ διαβόητος, καί τίς διδασκαλίες του, ἐάν εἶναι ἀληθινές ἤ ψεύτικες, πληροφόρησέ μας· ἐπειδή μάλιστα καί ἔχει γράψει στήν ἐκκλησία τῆς Ρώμης[2], ἀλλά δέ θεωρήθηκε ἄξιος γι' ἀπάντηση.

Ο ΕΠΙΣΚ. Ἔχω τόν ἴδιο τό λόγο τῆς ἀλήθειας, γιατί δέ θά ξεχάσω τή φωνή τοῦ Κυρίου πού λέγει· «Γιά κάθε λόγο περιττό θά δώσουν λόγο οἱ ἄνθρωποι τήν ἡμέρα τῆς κρίσης»[3]. Ἐγώ ὅμως προσθέτοντας θά πῶ μέ τόλμη· «Καί γιά κάθε περιττή ἀκοή». Ἔτσι λοιπόν καί τόν ἑαυτό σου προφύλαξε, ἐάν καταλαβαίνεις πώς δέ λέγω κάτι ἀλήθεια, χωρίς νά ὑποχωρεῖς στή γεροντική μου ἡλικία, ἀλλά στή φύση τῶν πραγμάτων. Γιατί ποιό θά εἶναι τό κέρδος μου ἀπ' αὐτά πού εἶπα σήμερα ἤ χθές, ἐάν πῶ ψέματα, ὅταν καταντροπιάζομαι αἰώνια

2. Τό γράμμα αὐτό δέ σώθηκε.

3. Ματθ. 12, 36.

λίθον τῆς καταλαλιᾶς ἐν τῷ τραχήλῳ τῆς διανοίας, εἰς τὸν βυθὸν τῆς γεέννης κατασπώμενος, ἐπὶ τοῖς διὰ τῶν ψευσμάτων μου σκανδαλισθεῖσιν;

Πορφύριος οὗτος ἐν μὲν τῇ ἐκκλησίᾳ ἐχρόνισεν καὶ διακονήσας καὶ ἱερατεύσας ἐν τῷ πρεσβυτερίῳ, τῶν μέντοι χρόνων ἀλλότριον τὸ ἦθος φέρων, εἰς οὐδὲν πνευματικὸν ἐχρησίμευσέ ποτε τῇ ἐκκλησίᾳ· τοῖς δὲ περιχωρίοις τῶν εὐλαβῶν ἐπισκόπων ἀεὶ ἀντιπράττων, ὡς ἅτε μεγίστης ὢν πόλεως, καὶ ἔχων τοὺς ἄρχοντας ἐπ' ἐξουσίας, τὸ πρᾶγμα ἐκαπήλευεν· ἐπιβουλεύων δὲ ταῖς σεμναῖς χειροτονίαις, ὑπεισήρχετο τῇ τῶν τρόπων δεινότητι τοὺς κατὰ καιρὸν ἐπισκόπους (ὡς ἂν εἴποι τις) καὶ ἄκοντας κατασπῶν ἐπὶ τὰς ἀνεμοφθόρους ἄγων χειροτονίας. Δεινὸν γὰρ ἡ κολακεία, κατὰ τὸν κωμικὸν Μένανδρον, μετὰ δυστροπίας συγκεκλωσμένη, καθὼς λέγει· "Χαλεπόν, Παμφίλη, ἐλευθέρᾳ γυναικὶ πρὸς πόρνην μάχεσθαι. Πλείονα οἶδεν, πλείονα κακουργεῖ, αἰσχύνεται οὐδένα, κολακεύει μᾶλλον". Κατὰ δὲ τὸν σοφὸν Σολομῶντα, "Λόγοι κερκώπων μαλακοί, αὐτοὶ δὲ τύπτουσιν εἰς ταμεῖα κοιλίας". Σωφροσύνης μὲν γὰρ τῆς κατὰ τὰς σαρκικὰς ἡδονὰς οὐ μόνον ξένος, ἀλλὰ καὶ ἐχθρός, καθάπερ γὺψ μύρου, καθέστηκεν, ὡς κρατεῖν αὐτοῦ φήμην καὶ τῆς κατὰ Σόδομα κακομανίας.

Νόμων γὰρ καὶ μέτρων καὶ τειχῶν κειμένων παρὰ τῆς φύσεως ἐπὶ ταῖς ἡδοναῖς, ὥς φασιν οἱ πολλοί, πατήσας μὲν τὸ τεῖχος, συντρίψας δὲ τὸ μέτρον, ἐνυβρίσας δὲ τὸν νόμον, ταύτην ἀπεκύησε τὴν ὑπόληψιν, τῶν γοήτων καὶ ἡνιόχων καὶ τῶν τὰ παλαιὰ δι' ἀσχήμου κινήσεως μετ' ἐκστροφῆς σκέλους δεικνυόντων προΐστασθαι καὶ συνεστιᾶσθαι. Γοήσι μὲν γὰρ συναγωνίζεσθαι καὶ φιλικῶς συμβαλεῖν οὐ διετράπη, ὡς καὶ ἐν ὑπομνήμασι διαφόρων ἀρχόντων ἐμφέρεσθαι ἐγκλήματα, οὐκ ἀνεγνωκὼς τὸ γνωμικόν· "Ἃ μὴ δεῖ ποιεῖν, μηδ' ὑπονοοῦ ποιεῖν". (Δι' ὃν καὶ ὁ μεσίτης πληγαῖς ἀνηρέθη, [illegible] εὑρὼν ἐξωρίσθη, καὶ ὁ γόης ἐφυγαδεύθη). Φασὶ δέ, πρὸς ταῖς προλαβούσαις κακοπραγίαις, μετὰ τὴν χειροτονίαν τὰ κειμή-

---

4. Μένανδρος· ὁ πιό σημαντικός ποιητής τῆς νέας ἀττικῆς κωμῳδίας (342-291 π.Χ.). 5. Παροιμ. 26, 22. 6. Γιά τήν κακομανία αὐτή Βλ. Γεν. 19, 4-5.

7. Τό γνωμικό ἀποδίδεται στόν Πυθαγόρα.

ἐνώπιον τῆς ἀλάνθαστης δίκης; Καί πῶς θ' ἀνεχθῶ τή μυλόπετρα τῆς κακολογίας στό λαιμό τῆς διάνοιάς μου, ὅταν παρασύρομαι στό βυθό τῆς γέεννας, γι' αὐτούς πού μέ τά ψέματά μου σκανδαλίσθηκαν;

Ὁ Πορφύριος αὐτός ἔζησε πολλά χρόνια μέσα στήν ἐκκλησία καί σάν διάκονος καί σάν ἱερέας στό πρεσβυτέριο, ἔχοντας ὅμως συμπεριφορά ἄσχετη μέ τά χρόνια, σέ κανένα πνευματικό δέν ἦταν ποτέ χρήσιμος στήν ἐκκλησία. Ἀντιδρώντας ὅμως πάντοτε στούς γειτονικούς εὐσεβεῖς ἐπισκόπους, ἐπειδή ἦταν στήν πιό μεγάλη πόλη, καί ἐπειδή κρατοῦσε τούς ἄρχοντες στό χέρι του, ἐκμεταλλευόταν τήν κατάσταση. Καί ἐπειδή φθονοῦσε τίς ἱερές χειροτονίες, πλησίαζε μέ τήν ἐπιτηδειότητα τῶν τρόπων του τούς κατά καιρούς ἐπισκόπους, ὅπως θά μποροῦσε νά πεῖ κανείς, καί παρασύροντας αὐτούς χωρίς τή θέλησή τους τούς ὁδηγοῦσε στίς ἀνεμόπληκτες χειροτονίες. Γιατί εἶναι φοβερό πράγμα ἡ κολακεία, κατά τόν κωμικό Μένανδρο[4], πού εἶναι ἑνωμένη μέ κακότροπο χαρακτήρα, καθώς λέγει· «Εἶναι δύσκολο, Παμφίλη, στήν ἐλεύθερη γυναίκα νά συναγωνίζεται μέ πόρνη. Αὐτή γνωρίζει περισσότερα, βλάπτει περισσότερο, δέν ντρέπεται κανένα, κολακεύει περισσότερο». Καί κατά τό σοφό Σολομώντα· «Τά λόγια τῶν ἀπατεώνων εἶναι τρυφερά, πληγώνουν ὅμως τήν ψυχή»[5]. Γιατί ὄχι μόνο ἔγινε ξένος πρός τήν ἐγκράτεια σχετικά μέ τις σαρκικές ἡδονές, ἀλλά καί ἐχθρός, ὅπως ἀκριβῶς ὁ γύπας τοῦ μύρου, ὥστε νά ἐπικρατεῖ γι' αὐτόν ἡ φήμη ὅτι εἶχε καί τή διαστροφή πού ὑπῆρχε στά Σόδομα[6].

Ἐνῶ λοιπόν εἶχαν τεθεῖ ἀπό τή φύση νόμοι καί μέτρα καί τείχη γιά τίς ἡδονές, ὅπως λέγουν οἱ πολλοί, ἀφοῦ καταπάτησε τό τεῖχος, ἔσπασε τό μέτρο καί παραβίασε τό νόμο, ὁ Πορφύριος ἀπέκτησε αὐτή τή φήμη, ὅτι ἦταν ἀρχηγός καί ἔτρωγε μαζί μέ τούς ἀγύρτες καί τούς ἁμαξάδες καί μ' ἐκείνους πού ἐπιδεικτικά ἀσχημονοῦν μέ τίς γνωστές ἄσεμνες κινήσεις τοῦ σκέλους. Γιατί δέν ἄλλαξε γνώμη νά συναγωνίζεται καί νά συναντιέται φιλικά μέ τούς ἀγύρτες, καθώς καί νά ἀναμειγνύεται σέ ἐγκλήματα, ὅπως ἀναφέρεται σέ ὑπομνήματα διάφορων ἀρχόντων, ἐπειδή δέ διάβασε τό γνωμικό· «Ὅσα δέν πρέπει νά κάνεις, οὔτε νά σκέπτεσαι νά τά κάνεις»[7]. (Γι' αὐτόν καί ὁ μεσίτης σκοτώθηκε καί αὐτός πού βρῆκε κάτι ἐξορίσθηκε, καί ὁ ἀγύρτης φυγαδεύτηκε). Λέγουν ἀκόμη, μαζί μέ τίς προηγούμενες κακές του πράξεις ὅτι μετά τή χειροτονία του ἀφοῦ ἔλειωσε τά κειμήλια τῆς ἐκκλησίας τά ξόδεψε γιά τούς ἄρχοντες, γιά νά φανεῖ ὅτι ἐξουσιάζει

λια χωνεύσας τοῖς ἄρχουσι προσαναλίσκει, ἵνα δόξη κρατεῖν οὐ λόγῳ, ἀλλὰ τυραννίδι, τῶν ἀθλίως αὐτῷ παραπεσόντων.

Τῇ γὰρ Ἰωάννου ἐξορίᾳ τῇ εἰς τὴν Ἀρμενίων συνήκμασεν ὁ θάνατος Φλαβιανοῦ τοῦ Ἀντιοχέων ἐπισκόπου. Θεασάμε-
5 *νος ὁ Πορφύριος τήν τε ἀνδρωνῖτιν καὶ τὴν γυναικωνῖτιν πόθῳ ἐκκρεμαμένην τῷ τραχήλῳ Κωνσταντίνου τοῦ πρεσβυτέρου, τοῦ ἐξ ἁπαλῶν ὀνύχων δουλεύσαντος τῇ ἐκκλησίᾳ ἀνδρός, ὡς λέγουσιν οἱ Κριταί, "ἀμφοτεροδεξίου" (καὶ ἡ νομιζομένη γὰρ αὐτοῦ ἀριστερὰ τῆς ἄλλων δεξιᾶς ἀμείνων ὑπῆρχεν)· ὃς τὰ μὲν*
10 *πρῶτα ἐν ἐπιστολαῖς ὑπηρετήσας, ἄμεμπτος ἀπὸ κέρδους αἰσχροῦ καὶ δώρων εὑρέθη· μετέπειτα δὲ ἐπὶ τὸν ἀναγνώστην καὶ διάκονον φθάσσας, ἀκόπως ἐκράτησεν τῆς ἐν ἀνθρώποις βασιλευούσης τῶν γυναικῶν ἡδονῆς, ὡς λέγει ὁ παροιμιαστής· "Χεὶρ ἐκλεκτῶν κρατήσει εὐχερῶς". Τὸ μὲν γὰρ κρατεῖν ἔστιν*
15 *ἴσως καὶ τῶν ἐπὶ πλεῖστον φαύλων ἢ φόβῳ ἢ αἰσχύνῃ τὴν διὰ σώματος ἐνέργειαν κωλυόντων μετὰ πολλῆς τῆς ἀνάγκης, τῷ δὲ ἔρωτι τῶν ἄνω μὴ ἡττηθῆναι τοῖς κάτω μόνον ἐστὶ τῶν φιλοθέων, οὓς καὶ "ἐκλεκτοὺς" ὠνόμασεν ἡ Γραφή, τό, "Χεὶρ ἐκλεκτῶν κρατήσει εὐχερῶς", εἰποῦσα. Πραῢς μὲν γάρ ἐστιν,*
20 *εἰ καί τις ἄλλος, ἀσκητής, διορατικός, ὀξὺς συνιδεῖν, βραδὺς εἰς κόλασιν, σύνους, τὸ σκεπτικὸν ἀεὶ αἰνιττόμενος, ἐλεήμων, ἀφιλάργυρος, δίκαιος εἰς τὰς κρίσεις, μακρόθυμος εἰς τὰς ὕβρεις, εὔτονος εἰς τὸ πεῖσαι, παρατείνας πολλάκις νῆστης ἕως ἑσπέρας, ἵν' ἐλευθερώσῃ καταπονουμένους, σεμνὸς*
25 *ἰδεῖν, δριμὺς τὸ βλέμμα, ὀξὺς τὸ βάδισμα, ἄγαμος, ὡς εἰκός, ἄνθος μειδιῶν ἐπὶ προσώπου σώζων καὶ ἐν αὐτοῖς ταῖς νόσοις.*

Τοῦτον οὖν τὸν τοιοῦτον παρασκευάζει διὰ χρημάτων φυγαδευθῆναι τῷ τρόπῳ τούτῳ· ἀποστείλας εἰς τὸ στρατόπεδον πρὸς τοὺς κρατοῦντας τῶν ἐπισκόπων ποιεῖ αὐτὸν ἀπὸ
30 *γράμματος βασιλικοῦ εἰς Ὄασιν ἐξορισθῆναι ὡς ἀναστάτην τῶν δήμων. Ὃς ἐξαυτῆς γνοὺς διασώζεται παρὰ τῶν φίλων ἐπὶ τὴν Κύπρον. Αὐτὸς δὲ ὁ Πορφύριος τοὺς περὶ Κυριακὸν καὶ Διόφαντον τοὺς πρεσβυτέρους καὶ λοιποὺς κληρικοὺς ὑπὸ τὴν τάξιν ποιήσας, ἐπιτηρεῖ καιρόν, ἐν ᾧ πᾶσα ἡ πόλις μεθωρμίζε-*

---

8. Ὁ Κωνστάντιος ἀναφέρεται στίς ἐπιστολές τοῦ Χρυσοστόμου 221 καί 225. Οἱ ἐπιστολές 237-241 εἶναι δικές του.

9. Κριτ. 3, 15. 10. Παροιμ. 12, 24.

όχι μέ τό λόγο, άλλά μέ τήν τυραννία, εκείνους πού μέ άθλιο τρόπο τόν πλησίασαν.

Γιατί μέ τήν εξορία τοῦ 'Ιωάννη στήν 'Αρμενία, συνέπεσε καί ὁ θάνατος τοῦ Φλαβιανοῦ, τοῦ ἐπισκόπου τῆς 'Αντιόχειας. Παρατήρησε ὁ Πορφύριος πώς ὅλοι οἱ ἄνδρες καί οἱ γυναῖκες μέ πόθο ἦταν κρεμασμένοι στό λαιμό τοῦ πρεσβυτέρου Κωνσταντίου[8], ὁ ὁποῖος ἀπό τήν παιδική του ἡλικία ὑπηρέτησε στήν ἐκκλησία, καθώς λέγουν οἱ Κριτές, «ἦταν ἄνδρας ἱκανός νά χρησιμοποιεῖ καί τά δύο χέρια του»[9], (γιατί καί τό θεωρούμενο ἀριστερό του χέρι ἦταν καλύτερο ἀπό τό δεξιό τῶν ἄλλων). Αὐτός ὑπηρετώντας πρῶτα στίς ἀποστολές, βρέθηκε ἄμεμπτος ἀπό αἰσχρό κέρδος καί δῶρα. 'Αργότερα ὅταν ἔγινε ἀναγνώστης καί διάκονος, χωρίς κόπο συγκράτησε τήν ἡδονή τῶν γυναικῶν πού βασίλευε στούς ἀνθρώπους, ὅπως λέγει ὁ παροιμιαστής· «Τά χέρια τῶν ἐκλεκτῶν θά κυριαρχοῦν εὔκολα»[10]. Γιατί τό νά κυριαρχοῦν ἀνήκει ἴσως καί στούς πάρα πολύ φαύλους, πού ἤ ἀπό φόβο ἤ ντροπή ἐμποδίζουν τή διά μέσου τοῦ σώματος ἐνέργεια μέ μεγάλο ἐξαναγκασμό, ἐνῶ τό νά μήν παραδοθοῦν στά γήινα ἀπό ἔρωτα τῶν οὐράνιων ἀγαθῶν ἀνήκει μόνο στούς θεοσεβεῖς, τούς ὁποίους καί «ἐκλεκτούς» ὀνόμασε ἡ Γραφή, λέγοντας τό· «Τά χέρια τῶν ἐκλεκτῶν θά κυριαρχοῦν εὔκολα». Γιατί εἶναι πράος, περισσότερο ἀπό κάθε ἄλλον, ἀσκητής, διορατικός, γρήγορος στήν ἀντίληψη, ἀργός στήν τιμωρία, σκεπτικός, ὁμιλεῖ πάντοτε ἀφοῦ σκεφθεῖ, ἐλεήμονας, ἀφιλάργυρος, δίκαιος στίς κρίσεις, μακρόθυμος στίς ὕβρεις, ἱκανός στό νά πείθει, παραμένοντας πολλές φορές νηστικός μέχρι τό βράδυ, γιά νά ἐλευθερώσει τούς κατακουρασμένους, σεμνός στήν ὄψη, αὐστηρός στό βλέμμα, γρήγορος στό βάδισμα, ἄγαμος, ὅπως εἶναι φυσικό, διατηρώντας ζωηρό χαμόγελο στό πρόσωπό του καί σ' αὐτές τίς ἀρρώστιες.

Αὐτόν λοιπόν τόν ἄνδρα ἑτοιμάζει μέ χρήματα ν' ἀπομακρυνθεῖ μέ τόν ἑξῆς τρόπο· στέλνοντας στήν πρωτεύουσα πρός τούς ἰσχυρούς ἐπισκόπους κάνει μέ γράμμα τοῦ βασιλιᾶ νά ἐξορισθεῖ αὐτός στήν Ὄαση σάν ταραχοποιός τοῦ λαοῦ. Αὐτός μαθαίνονας ἀμέσως διασώζεται ἀπό τούς φίλους του στήν Κύπρο. 'Ο Πορφύριος ὅμως ἀφοῦ ἔθεσε κάτω ἀπό τόν ἔλεγχό του τούς γύρω ἀπό τόν Κυριακό καί Διόφαντο[11] τούς πρεσβυτέρους καί τούς ἄλλους κληρικούς, παρακολουθεῖ τήν εὐκαιρία, πού ὁλόκληρη ἡ πόλη μετακινοῦταν στά

11. Οἱ Κυριακός καί Διόφαντος μνημονεύονται ἀπό τό Χρυσόστομο στίς ἐπιστολές 22, 62, 66, 107, 130 καί 222.

το ἐν τοῖς τῆς πόλεως προαστείοις, ἔχων παρ' ἑαυτῷ τοὺς περὶ Ἀκάκιον καὶ Σευηριανὸν καὶ Ἀντίοχον κεκρυμμένους, μιᾶς τῶν παρὰ τοῖς ἔθνεσιν ἐπισήμων ἑορτῶν διὰ τετραετίας ἐπιτελουμένων τῶν Ἡρακλείων ἄθλων, Ὀλυμπίων καλουμέ-
5 *νων, ἐν ᾗ, ὡς εἰπεῖν, καὶ γυναικῶν αἱ νομάδες σὺν τοῖς δήμοις ἐκριπίζονται ἐπὶ τὴν Δάφνην ἐπὶ θέᾳ τῶν ἀγωνιζομένων. Ἐπεισπηδήσας τῇ ἐκκλησίᾳ μετὰ τῶν προειρημένων ἐπισκόπων καὶ κληρικῶν ὀλίγων χειρονονεῖται λάθρᾳ, θυρῶν κεκλεισμένων, μετὰ πολλῆς τῆς σπουδῆς, ὡς μηδὲ τὴν εὐχὴν αὐτοὺς*
10 *φθάσαι ἐπιτελέσαι, φόβῳ τοῦ καταληφθῆναι (τοιοῦτον γὰρ ἡ μοιχεία, τὰ σπούρια καὶ γεννῶσα καὶ δρῶσα). Οἱ δὲ περὶ Σευηριανὸν "λαβόντες τὸ ἱκανόν" δι' ὀρέων καὶ ἀνοδιῶν ἔφυγον, τὸν ἀνθρώπινον διαδράσαντες φόβον, τῷ δὲ θείῳ, ὃν ἠγνόησαν, περιπαρέντες.*

15 *Λυθέντος δὲ τοῦ δημοτικοῦ θεάτρου καὶ τῶν δήμων εἰσελθόντων εἰς τὴν πόλιν, ἠγγέλθη αὐτοῖς τὸ κατὰ τὸνΠορφύριον πάθος καὶ τὸ κατὰ Ἀκάκιον δρᾶμα. Διακαρτερήσαντες οὖν τὴν ἑσπέραν ἐκείνην ἐπὶ τὴν αὔριον, ὡς ἐπὶ μοιχείᾳ πληγέντες, διαναστάντες συνέρρευσαν πάντες μετὰ πυρὸς καὶ*
20 *φρυγάνων, συναφανίσαι τὸν Πορφύριον τοῖς δωματίοις βουληθέντες. Ὁ δὲ Πορφύριος οὐκ ἀγνοῶν ὃ μεμίσηται μῖσος, καταλείψας τὸν Θεόν, καταφεύγει ἐπὶ τὸν στρατοπεδάρχην καὶ πληρώσας αὐτοῦ τὰς χεῖρας ἀντιστρατεύει τοῖς ἀκροαταῖς τοῦ Σωτῆρος, ἀποστρέψας τῶν Ἰσαυρικῶν πολέμων. Καὶ οἱ*
25 *μὲν ληστρικώτατοι Ἴσαυροι Ῥωσὸν καὶ Σελεύκειαν ἐπόρθουν, Πορφύριος δὲ καὶ Οὐαλεντῖνος ὁκόμης μετὰ τῶν ὁπλιτῶν τὴν ἐκκλησίαν τῶν ὀρθοδόξων ἐλεηλάτουν, τὸ φρικωδέστατον τοῦ σταυροῦ σημεῖον, ὃ ἀντὶ διδασκάλου ἐπ' ὤμων φέροντες ἐπὶ τῆς ἀσπόρου ἐλιτάνευον, τοῖς ἑαυτῶν ποσὶ*
30 *συμπατήσαντες. Διαγενομένων δὲ ἡμερῶν, ἀποστέλλει ἐν τῷ στρατοπέδῳ σπουδαίως καὶ παρασκευάζει πρὸς τοῖς τοιούτοις ἄρχουσιν ἴδιόν τινα ὠμογέροντα, δύστροπον, σκολιόν, χειροτονηθῆναι νυκτέπαρχον, ἵνα ἐπ' ἀδείας ἔχων τοῦ συκοφαντεῖν τοὺς σπουδαίους χειρώσηται τὴν πόλιν, Νέρωνος τοῦ*
35 *θεομάχου ἀπομιμούμενος τοὺς τρόπους. Οὐ γὰρ πάρεστιν*

12. Δημόσιο πάρκο σέ προάστειο τῆς Ἀντιόχειας.

13. Πράξ. 17, 9.

προάστειά της, ἔχοντας μαζί του αὐτούς πού ἦταν μέ τόν 'Ακάκιο καί Σευηριανό καί 'Αντίοχο κρυμμένους, μιᾶς ἐπίσημης ἑορτῆς τῶν ἐθνικῶν πού γινόταν κάθε τέσσερα χρόνια καί τελοῦνταν οἱ ἆθλοι τοῦ 'Ηρακλῆ, πού ὀνομάζονταν 'Ολύμπια, κατά τήν ὁποία (ὅπως θά μπορούσαμε νά ποῦμε) καί τά κοπάδια τῶν γυναικῶν τρέχουν ἔξω μαζί μέ τούς ὄχλους στή Δάφνη[12] γιά νά παρακολουθήσουν τούς ἀθλητές. Εἰσβάλλοντας τότε στήν ἐκκλησία μαζί μέ τούς ἐπισκόπους πού ἀναφέρθηκαν παραπάνω καί λίγους κληρικούς χειροτονεῖται στά κρυφά, ἐνῶ οἱ πόρτες ἦταν κλειστές, μέ πολλή βιασύνη, ὥστε νά μήν προφθάσουν αὐτοί οὔτε τήν εὐχή νά τελειώσουν, ἀπό φόβο νά τούς πιάσουν (γιατί τέτοια εἶναι ἡ μοιχεία ἀφοῦ γεννᾶ τέτοιους καρπούς καί κάνει τέτοια ἔργα). Αὐτοί πού ἦταν μέ τό Σευηριανό «ἀφοῦ πῆραν ἀρκετά χρήματα»[13] ἔφυγαν μέσα ἀπό τά βουνά καί μέρη πού δέν εἶχαν δρόμους, ἀποφεύγοντας τόν ἀνθρώπινο φόβο, ἐνῶ τούς διατρυποῦσε ὁ φόβος τοῦ Θεοῦ, πού ἀγνόησαν.

Ὅταν ὅμως τελείωσε τό θέαμα τοῦ λαοῦ καί ὁ λαός μπῆκε στήν πόλη, πληροφορήθηκε τήν περιπέτεια τοῦ Πορφυρίου καί τήν ἐνέργεια τοῦ 'Ακακίου. 'Αφοῦ περίμεναν λοιπόν τό βράδυ ἐκεῖνο μέχρι τήν ἑπόμενη ἡμέρα, σάν νά προσβλήθηκαν ἀπό μοιχεία, σηκώθηκαν καί συγκεντρώθηκαν ὅλοι μέ φωτιά καί φρύγανα, ἐπειδή ἤθελαν νά ἐξαφανίσουν τόν Πορφύριο μαζί μέ τά δωμάτια. Καί ὁ Πορφύριος, ὁ ὁποῖος δέν ἀγνοοῦσε μέ πόσο μίσος τόν μισοῦσαν, ἀφοῦ ἐγκατέλειψε τό Θεό, καταφεύγει στό διοικητή τοῦ στρατοπέδου καί, γεμίζοντας τά χέρια του μέ χρήματα, τόν ὁδήγησε ἐναντίον τῶν ἀκροατῶν τοῦ Σωτήρα, ἀφοῦ τόν ἔστρεψε ἀπό τούς 'Ισαυρικούς πολέμους. Καί οἱ ληστρικότατοι Ἴσαυροι κυρίευσαν τίς πόλεις Ρωσό καί Σελεύκεια, ἐνῶ ὁ Πορφύριος καί ὁ κόμης Οὐαλεντῖνος λεηλατοῦσαν μέ τούς στρατιῶτες τήν ἐκκλησία τῶν ὀρθοδόξων, πατώντας μέ τά πόδια τους τό φοβερότατο σημεῖο τοῦ σταυροῦ, πού ἔφεραν σάν διδάσκαλο ἐπάνω στούς ὤμους καί τό λιτάνευαν στήν ἄσπαρτη γῆ. Ὅταν πέρασαν μερικές ἡμέρες, στέλνει γρήγορα στήν πρωτεύουσα καί προετοιμάζει κοντά σέ τέτοιους ἄρχοντες νά ἐκλεγεῖ διοικητής τῆς νύχτας κάποιος δικός του ἄγριος γέροντας, δύστροπος καί διεστραμμένος, γιά νά αἰχμαλωτίσει τήν πόλη, ἀφοῦ μποροῦσε ἄφοβα νά συκοφαντεῖ τούς σπουδαίους ἀνθρώπους, ἐνεργώντας ὅπως ἀκριβῶς καί ὁ θεομάχος Νέρωνας[14]. Γιατί δέν εἶχε τή δύναμη νά πείθει μέ τό

14. Νέρων· αὐτοκράτορας τῆς Ρώμης (54-68), σκληρός καί τυραννικός, διώκτης τοῦ χριστιανισμοῦ.

αὐτῷ τὸ λόγῳ πείθειν, ἀλλὰ ἀλογίᾳ καὶ δυσμενείᾳ θλίβειν, οὐκ ἔχοντι σκοπὸν ἀρέσαι Θεῷ, πλανωμένας προσάγοντι ψυχάς, ἀλλ' ἐμπλῆσαι ὀφιώδη γαστέρα ἐπὶ τῷ στήθει βαδίζουσαν. Εἰσὶν οὖν καὶ ἄκοντες οἱ λαοὶ τῷ μὲν δοκεῖν συναγόμενοι
5 φόβῳ τῶν αἰκισμῶν ἐν τῇ ἐκκλησίᾳ, τῇ δὲ ἀληθείᾳ δυσφημοῦντες αὐτῶν τὴν ζωήν, ἕξειν τὴν παρὰ τοῦ Θεοῦ ἀντίληψιν ἀναμένοντες.

Πρὸς ταῦτα ὁ Θεόδωρος ἐκπληττόμενος ἔλεγε·

Ο ΔΙΑΚ. Παρὰ φύσιν ὁρῶ τῶν λόγων τὰ πράγματα, πάτερ.
10 Ὡς γὰρ ἐπὶ τὸ πλεῖστον οἱ κενόδοξοι, ἀνθρωπάρεσκοι ὄντες, καὶ κόλακες εὑρίσκονται καὶ τραπέζας πολυτελεῖς ἐπιτεχνῶνται, τοῦ ἀγαπηθῆναι χάριν καὶ καλοὶ ἀκοῦσαι, καὶ ἐμπτυσμάτων ἀνεχόμενοι πολλάκις. Πῶς τοίνυν ὁ Πορφύριος, ἢ ἄλλος τις, τὰς ἀπειλὰς καὶ τὰς τιμωρίας καὶ τὰς ἐξορίας ἐξήσκησαν,
15 ἀπορῶ.

Ο ΕΠΙΣΚ. Τοῦτο γάρ ἐστι τὸ θαυμαστόν, Θεόδωρε, ὅτι εἰς τοσοῦτον κακίας ἠλάκασι μέτρον, ὡς οὐ μόνον μὴ σπεύδειν ἀρέσκειν ἀνθρώποις, ἀλλὰ καὶ τῆς ὑπὲρ τῶν πραττομένων αἰσχύνης μηδ' ὅλως φροντίζειν· κακία γὰρ κακίας ἐν κακίᾳ
20 προάγει. Τότε γὰρ ἡ κακία προβάλλεται τὴν κενοδοξίαν, ὅτε ἐλπίζει κρατεῖν διὰ τῆς κολακείας τῶν ἀνοήτων· ὅταν δὲ ἀνώτεροι εὑρεθῶσιν καὶ κολακείας καὶ τραπέζης οἱ θηρευόμενοι, τὰς ἀπειλὰς καὶ τὰς τιμωρίας προφέρει, ἵν' οὓς οὐκ ἐδελέασεν τραπέζῃ ἢ κολακείᾳ, καταπτήξῃ ἀπανθρωπίᾳ καὶ
25 δέει, ὡς ἐπὶ τῶν μαρτύρων. Ἐκεῖ γὰρ ἀμφότερα ἐτεκταίνετο, καὶ ἡ διὰ δώρων καὶ τιμῶν μηχανευομένη παγίς, τοὺς περὶ τὰ δοξάρια κεχηνότας θηρῶσα, καὶ ἡ διὰ κολάσεων ἀπειλή, τήγανα καὶ ἀρθρέμβολα καὶ θηρία καὶ ὅσα περὶ σφοδρὰν ὀδύνην ἐπιτήδεια εὐτρεπίζουσα, τοὺς ἀνδρείους καὶ φιλο-
30 θέους ἀναδεικνῦσα.

Ὁ μέντοι κλῆρος ὁ Ἀντιοχέων ὁ ἐπίσημος κεκρυμμένως συνάγει, μηδὲ πλησιάζων τοῖς τοίχοις τῆς ἐκκλησίας, καὶ πᾶσα ἡ ἐπίσημος γυναικωνῖτις, δι' ἃς μάλιστα ἔκφρονες γεγόνασιν οἱ ἀργυρολόγοι τῶν ἡγουμένων. Περὶ δὲ τῶν Κωνσταντινουπό-
35 λεως τί δεῖ καὶ λέγειν, ὅσον πλῆθος ἀπέστη τῆς ἐκκλησίας,

---

15. Βλ. Γεν. 3, 15.

λόγο, ἀλλά νά στενοχωρεῖ μέ παραλογισμό καί ἐχθρότητα, ἐπειδή δέν εἶχε σκοπό νά γίνει εὐάρεστος στό Θεό, ὁδηγώντας σ' αὐτόν ἁμαρτωλές ψυχές, ἀλλά νά γεμίσει τήν κοιλιά του πού σάν τό φίδι βάδιζε πάνω στό στῆθος του[15]. Εἶναι λοιπόν καί χωρίς τή θέλησή τους μερικοί ἄνθρωποι πού περιμένουν ν' ἀποκτήσουν τή βοήθεια τοῦ Θεοῦ, ἐπειδή φαινομενικά συγκεντρώνονται στήν ἐκκλησία ἀπό τό φόβο τῶν βασανιστηρίων, στήν πραγματικότητα ὅμως περιφρονοῦν τή ζωή τους.

Σ' αὐτά ὁ Θεόδωρος κατάπληκτος ἔλεγε·

Ο ΔΙΑΚ. 'Αφύσικα βλέπω τά πράγματα τῶν λόγων σου, πάτερ. Γιατί τίς περισσότερες φορές οἱ ματαιόδοξοι, ἐπειδή θέλουν ν' ἀρέσουν σέ ἀνθρώπους, καί κόλακες γίνονται καί πλούσια τραπέζια ἐπινοοῦν, γιά ν' ἀγαπηθοῦν καί ν' ἀκούσουν ὅτι εἶναι καλοί, ἀνεχόμενοι πολλές φορές ἀκόμη καί φτυσίματα. Πῶς λοιπόν ὁ Πορφύριος, ἤ κάποιος ἄλλος, χρησιμοποίησαν τίς ἀπειλές καί τίς τιμωρίες καί τίς ἐξορίες, ἀπορῶ.

Ο ΕΠΙΣΚ. Αὐτό λοιπόν εἶναι τό παράδοξο, Θεόδωρε, ὅτι δηλαδή εἶχαν φθάσει σέ τόσο μεγάλο μέγεθος κακίας, ὥστε ὄχι μόνο δέν προσπαθοῦσαν ν' ἀρέσουν στούς ἀνθρώπους, ἀλλά και δέ φρόντιζαν καθόλου γιά τή ντροπή τῶν πράξεών τους, γιατί ἡ κακία μεγαλώνει μέσα σέ κακία τίς κακίες. Τότε λοιπόν ἡ κακία μεταχειρίζεται σάν πρόφαση τή ματαιοδοξία, ὅταν ἐλπίζει πώς θά ὑπερισχύσει μέ τήν κολακεία στούς ἀνόητους. Ὅταν ὅμως αὐτοί πού εἶναι τό θήραμα ἀποδειχθοῦν ἀνώτεροι καί ἀπό τήν κολακεία καί ἀπό τά τραπέζια, χρησιμοποιεῖ τίς ἀπειλές καί τίς τιμωρίες, ὥστε, ὅσους δέ δελέασε μέ τραπέζια ἤ τήν κολακεία, νά τούς φοβερίσει μέ τήν ἀπανθρωπιά καί τόν τρόμο, ὅπως στήν περίπτωση τῶν μαρτύρων. Γιατί ἐκεῖ ἐπινοοῦνταν καί τά δύο, ἡ παγίδα πού στηνόταν μέ δῶρα καί τιμές, γιά νά πιάσει αὐτούς πού ἄνοιγαν τό στόμα τους γι' ἀσήμαντα ἀξιώματα, καί ἡ ἀπειλή μέ τιμωρίες, ἑτοιμάζοντας τηγάνια καί ὄργανα γιά στρεβλώσεις καί θηρία καί ὅσα ἦταν κατάλληλα νά προξενήσουν φοβερό πόνο, ἀνακηρύσσοντας τούς ἀνδρείους καί τούς εὐσεβεῖς.

Οἱ σεβάσμιοι λοιπόν κληρικοί τῆς 'Αντιόχειας μαζεύονται στά κρυφά, χωρίς νά πλησιάζουν οὔτε στούς τοίχους τῆς ἐκκλησίας, ὅπως καί ὅλες οἱ ἐξέχουσες γυναῖκες, γιά τίς ὁποῖες μάλιστα ἔγιναν παράφρονες οἱ ἀργυρολόγοι ἀπό τούς ἄρχοντες. Ὅσο ἀφορᾶ ὅμως τά πράγματα τῆς Κωνσταντινουπόλεως, τί χρειάζεται νά πῶ, πόσο πλῆθος ἀπομακρύνθηκε ἀπό τήν ἐκκλησία καί μαζευόταν στήν

συνάγον ἐν τῷ ὑπαίθρῳ, ὡς προειρήκαμεν, ὡς μηδὲ τοὺς κρατοῦντας τῶν ἐκκλησιαστικῶν πραγμάτων ἔχειν τοσούτους ἀκροατὰς τῆς σιγῆς; Λόγος γὰρ οὐδαμοῦ παρ' αὐτοῖς.

Ο ΔΙΑΚ. Ἠλευθέρωσάς μου τὴν διάνοιαν, πάτερ, τῇ
5 *ἀμφιβολίᾳ δεδουλωμένην, τοῖς ὀφθαλμοῖς μου παραστήσας τὰ πράγματα. Ἡ γὰρ συμφωνία τῶν λόγων καὶ ἡ ἄσκηπτος διήγησις ἐπληροφόρησέν με ἀληθῆ εἶναι τὰ γεγενημένα· ἀδύνατον γὰρ ψευδῆ λόγον ἑαυτῷ συμφωνῆσαι. Ἀνεπαχθῶς τοίνυν διήγησαι ἡμῖν καὶ τὰ κατὰ τὴν Ὀλυμπιάδα, εἴ γέ τίς σοι*
10 *γνῶσις.*

Ο ΕΠΙΣΚ. Ποίαν ταύτην; Ἐπειδή εἰσι καὶ ἕτεραι.

Ο ΔΙΑΚ. Τὴν διάκονον Κωνσταντινουπόλεως, νύμφην ποτὲ γενομένην Νεβριδίου τοῦ ἀπὸ ἐπάρχων.

Ο ΕΠΙΣΚ. Καὶ πάνυ γε οἶδα.

15 *Ο ΔΙΑΚ. Ποταπὴ γυνὴ τυγχάνει οὖσα;*

Ο ΕΠΙΣΚ. Μὴ λέγε "γυνή", ἀλλ' "οἷος ἄνθρωπος"· ἀνὴρ γάρ ἐστι παρὰ τὸ τοῦ σώματος σχῆμα.

Ο ΔΙΑΚ. Ἐν τίνι;

Ο ΕΠΙΣΚ. Ἔν τε βίῳ καὶ πόνοις καὶ γνώσει καὶ τῇ τῶν
20 *περιστάσεων ὑπομονῇ.*

Ο ΔΙΑΚ. Πῶς οὖν ὁ Θεόφιλος αὐτὴν ἐλοιδόρησεν;

Ο ΕΠΙΣΚ. Ποῖος οὗτος;

Ο ΔΙΑΚ. Ὁ Ἀλεξανδρέων ἡγούμενος.

Ο ΕΠΙΣΚ. Ἔοικάς μοι, Θεόδωρε, τοὺς τοσούτους διαύλους
25 *τῶν λόγων λήθῃ κεκαλυφέναι.*

Ο ΔΙΑΚ. Ἐν τίνι;

Ο ΕΠΙΣΚ. Ὁ τῆς ἀληθείας μὴ φεισάμενος, ἀλλὰ ταύτην καταπατήσας, ὡς οἱ προάγοντες λόγοι παρέστησαν, καὶ ὁ τὴν ἐκκλησίαν τὴν ὑπ' οὐρανόν, δι' ἣν ὁ μονογενής, τὸ δὴ
30 *λεγόμενον, ἐσκύλη, ἵνα ταύτην ἑνώσῃ, μὴ τιμήσας, ἀλλ' ἐνυβρίσας τῷ σχήματι, γυναικὸς ἔχει φείσασθαι χήρας, ἐν προσευχαῖς τὸ ζῆν ἀναλισκούσης; Ἐμπερινόστησον καὶ ἴδε εἴτινά ποτε τῶν κακῶν ἐλοιδόρησεν, μισευλαβὴς ὑπάρχων ἀεί. Διὰ τί δὲ καὶ ἐκ τῶν ἐπιστολῶν αὐτοῦ οὐ στοχάζῃ, πῶς εἰσιν*
35 *ἐναντίαι ἀλλήλαις; Ἐπιφάνιον γὰρ τὸν μακάριον τὸν Κωνσταντίας τῆς Κύπρου ἐπίσκοπον, τριάκοντα ἓξ ἔτη ἄρξαντα τῆς ἐκκλησίας, δυσφημήσας, ὡς αἱρετικὸν ἢ σχισματάριν ἐπὶ Δαμάσου καὶ Σιρικίου τοῦ μακαρίου, ὕστερον ἐν τῇ πρὸς τὸν*

ὕπαιθρο, ὅπως εἴπαμε προηγουμένως, ὥστε οὔτε οἱ ἰσχυροί τῶν ἐκκλησιαστικῶν πραγμάτων νά ἔχουν τόσους ἀκροατές τῆς σιγῆς τους; -γιατί λόγος ἀπ' αὐτούς δέν ἀκουόταν πουθενά.

Ο ΔΙΑΚ. Μοῦ ἐλευθέρωσες τή διάνοια, πάτερ, πού ἦταν δούλη στήν ἀμφιβολία, παρουσιάζοντας στά μάτια μου τά πράγματα. Γιατί ἡ συμφωνία τῶν λόγων καί ἡ καθαρή ἀφήγηση μέ πληροφόρησε ὅτι εἶναι ἀληθινά τά γεγονότα, ἀφοῦ εἶναι ἀδύνατο ὁ ψεύτικος λόγος νά συμφωνήσει μέ τόν ἑαυτό του. Ἀνενόχλητα λοιπόν ἀφηγήσου μας καί τά σχετικά μέ τήν Ὀλυμπιάδα, ἐάν βέβαια ξέρεις κάτι.

Ο ΕΠΙΣΚ. Ποιά ἐννοεῖς; γιατί ὑπάρχουν καί ἄλλες.

Ο ΔΙΑΚ. Τή διακόνισσα τῆς Κωνσταντινουπόλεως, πού ἔγινε κάποτε νύφη τοῦ Νεβριδίου ἑνός ἀπό τούς ἐπάρχους τῆς πόλης.

Ο ΕΠΙΣΚ. Καί πολλά μάλιστα ξέρω.

Ο ΔΙΑΚ. Τί γυναίκα εἶναι αὐτή;

Ο ΕΠΙΣΚ. Νά μή λέγεις «γυναίκα», ἀλλά «τί ἄνθρωπος»· γιατί εἶναι ἄνδρας παρά τό σχῆμα τοῦ σώματός της.

Ο ΔΙΑΚ. Σέ τί;

Ο ΕΠΙΣΚ. Καί στή ζωή καί στούς κόπους καί στή γνώση καί στήν ὑπομονή τῶν περιστάσεων.

Ο ΔΙΑΚ. Πῶς λοιπόν ὁ Θεόφιλος τήν κατηγόρησε;

Ο ΕΠΙΣΚ. Ποιός εἶναι αὐτός;

Ο ΔΙΑΚ. Ὁ πατριάρχης τῆς Ἀλεξάνδρειας.

Ο ΕΠΙΣΚ. Μοῦ φαίνεσαι, Θεόδωρε, ὅτι ξέχασες τούς τόσους ἀγῶνες τῶν λόγων μου.

Ο ΔΙΑΚ. Σέ τί;

Ο ΕΠΙΣΚ. Ἐκεῖνος πού δέ σεβάσθηκε τήν ἀλήθεια, ἀλλά πού τήν καταπάτησε, ὅπως οἱ προηγούμενοι λόγοι παρουσίασαν, καί ἐκεῖνος πού δέν τίμησε τήν ἐπίγεια Ἐκκλησία, γιά τήν ὁποία ὁ μονογενής Υἱός, ὅπως λέγεται κοινά, ξεσχίσθηκε γιά νά τήν ἑνώσει, ἀλλά πού τήν πρόσβαλε μέ τό σχῆμα του, μπορεῖ νά σεβασθεῖ χήρα γυναίκα, πού ξοδεύει τή ζωή της στίς προσευχές; Ψάξε παντοῦ καί δές ἐάν κατηγόρησε ποτέ κάποιον ἀπό τούς κακούς, ἐπειδή πάντοτε αὐτός μισοῦσε τήν εὐσέβεια. Γιατί ὅμως δέ συμπεραίνεις καί ἀπό τίς ἐπιστολές του, πῶς εἶναι ἀντίθετες μεταξύ τους; Γιατί τόν μακάριο Ἐπιφάνιο τόν ἐπίσκοπο τῆς Κωνσταντίας Κύπρου, πού διοίκησε τήν ἐκκλησία τριάντα ἕξι χρόνια, ἀφοῦ τόν κακολόγησε ὡς αἱρετικό ἤ σχισματικό στό Δάμασο[16], καί τό μακάριο Σιρίκιο[17], ὕστερα στήν ἐπιστολή του

16. Πάπας Ρώμης (366-384). 17. Πάπας Ρώμης (384-398).

πάπαν Ἰννοκέντιον ἐπιστολῇ λοιδορῶν τὸν μακάριον Ἰωάννην, εὑρίσκεται ἁγιώτατον ὀνομάζων τὸν Ἐπιφάνιον. Ποσάκις δὲ θέλεις καὶ τὰ γόνατα ταύτης ἐφίλησεν, ἐλπίδι τοῦ ἀργυρίου, ἣν νῦν λοιδορεῖ, ἐκείνης χαμαὶ πιπτούσης ἐπὶ τῷ
5 *πράγματι καὶ δάκρυα ῥαινούσης, ἐπισκόπου ταῦτα ποιοῦντος; Πλὴν ἐν τίνι ἐλοιδόρησεν αὐτήν;*

Ο ΔΙΑΚ. Ὡς ὑποδεξαμένην τοὺς ὑπ' αὐτοῦ ῥιφέντας μοναχούς.

Ο ΕΠΙΣΚ. Καὶ ἔξεστιν ἐπισκόπῳ ἢ πρέπον ὅλως ῥίπτειν τὸν
10 *τυχόντα μαθητήν, μήτι γε καὶ μονάζοντα;*

Ο ΔΙΑΚ. Ὡς ἐὰν παρώξυναν αὐτὸν ἢ κακῶς εἶπον.

Ο ΕΠΙΣΚ. Καὶ τὴν ἰδίαν ὀργὴν ὤφειλεν ἐκπληρῶσαι, φροντίζων τῆς κατηγορίας; Πῶς ἔτι οὗτος τὰς Χριστοῦ ὕβρεις ζητήσει, ὁ περὶ τὰς ἰδίας ἀσχολούμενος δόξας; Διὰ τί δὲ ὅλως
15 *τὸν εἰπόντα διδάσκαλον οὐκ ἐμιμήσατο, "Λοιδορούμενοι εὐλογοῦμεν";*

Ο ΔΙΑΚ. Τί οὖν, ὡς εἰ ἑτερόδοξοι ὑπῆρχον οἱ μονάζοντες;

Ο ΕΠΙΣΚ. Καὶ πάντως ἔδει διορθώσασθαι καὶ πεῖσαι, μὴ γὰρ ῥῖψαι.

20 *Ο ΔΙΑΚ. Ὡς εἰ καὶ τοῦτο ἐποίησεν, αὐτοὶ δὲ οὐκ ἐπείσθησαν φιλόνεικοι ὄντες;*

Ο ΕΠΙΣΚ. Τὸ ἀποστολικὸν ἔδει ποιῆσαι· "Τὸν αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος"· μὴ γὰρ ῥῖψαι καὶ λεηλατῆσαι καὶ
25 *ἔξω τῆς θρεψαμένης ἀπελάσαι μετὰ τῆς τῶν ἀρχόντων ἀπειλῆς.*

Ο ΔΙΑΚ. Τελείου ἀνδρός μοι λέγεις μέτρα καὶ θεοφιλοῦς καὶ ἀνεξικάκου.

Ο ΕΠΙΣΚ. Καὶ μὴν οὐκ ἔστι μέγα ἐγκώμιον τὸν ἥττονα
30 *βαστάσαι. Πλὴν εἰ μὴ ἔστι τέλειος, ὅσον ἥκει, πῶς καὶ ἐπίσκοπος ὁ τοιοῦτος; Ἀτελὴς γὰρ ἀτελῶν οὐδέποτε προνοήσει. Πῶς δὲ καὶ Θεόφιλος λέγεται, μὴ φιλῶν τὸν Θεόν, δι' ὃν ὤφειλεν τὰς τῶν ἀνθρώπων ὕβρεις ῥαδίως φέρειν; Εἰ δὲ Θεὸν οὐ φιλεῖ, δῆλον οὐδὲ ἑαυτόν· ὁ δὲ ἑαυτοῦ ἐχθρός, πῶς λοιπὸν*
35 *ἄλλους φιλήσει; Οὐκοῦν οὐδὲν ξένον, εἰ τούτου χάριν ἔψεξεν Ὀλυμπιάδα ὡς τοὺς μονάζοντας δεξαμένην.*

---

18. Ἡ ἐπιστολὴ αὐτὴ δὲ σώθηκε. 19. Α' Κορ. 4, 12. 20. Τίτ. 3, 10.11.

πρός τόν πάπα 'Ιννοκέντιο[18], κατηγορώντας τό μακάριο 'Ιωάννη, όνομάζει άγιότατο τόν 'Επιφάνιο. Καί όπόσες φορές νομίζεις δέν φίλησε τά γόνατά της, μέ τήν ἐλπίδα τῶν χρημάτων, ἐκείνην πού τώρα βρίζει, ὅταν ἐκείνη ἔπεφτε κάτω γι' αὐτό καί ἔχυνε δάκρυα, ἀφοῦ ἐπίσκοπος ἔκαμνε αὐτά; 'Αλλά γιατί κατηγόρησε αὐτήν;

Ο ΔΙΑΚ. 'Επειδή ὑποδέχθηκε τούς μοναχούς πού ἀπομάκρυνε αὐτός.

Ο ΕΠΙΣΚ. Καί ἐπιτρέπεται στόν ἐπίσκοπο ἤ εἶναι σωστό ν' ἀπομακρύνει τελείως ἕναν ὁποιοδήποτε μαθητή, καί μάλιστα ὅταν εἶναι καί μοναχός;

Ο ΔΙΑΚ. Σάν νά τόν ἐξόργισαν ἤ νά τόν κακολόγησαν.

Ο ΕΠΙΣΚ. Καί τή δική του ὀργή ἔπρεπε νά πραγματοποιήσει, φροντίζοντας γιά τήν κατηγορία; καί πῶς αὐτός θά ζητήσει τίς ὕβρεις τοῦ Χριστοῦ, αὐτός πού ἀσχολεῖται μέ τούς δικούς του ἐπαίνους; Καί γιατί δέ μιμήθηκε καθόλου τό διδάσκαλο πού εἶπε, «Ὅταν μᾶς βρίζουν, εὐλογοῦμε;»[19].

Ο ΔΙΑΚ. Τί λοιπόν, μήπως ἦταν ἑτερόδοξοι οἱ μοναχοί;

Ο ΕΠΙΣΚ. 'Οπωσδήποτε θά ἔπρεπε νά τούς διορθώσει καί νά τούς πείσει, ὄχι βέβαια νά τούς ἀπομακρύνει.

Ο ΔΙΑΚ. Μήπως τό ἔκαμε καί αὐτό, αὐτοί ὅμως δέν πείσθηκαν, ἐπειδή ἦταν φιλόνεικοι;

Ο ΕΠΙΣΚ. Ἔπρεπε νά κάμει τό ἀποστολικό· «Τόν αἱρετικό ἄνθρωπο, ὕστερα ἀπό τήν πρώτη καί τή δεύτερη συμβουλή, παράτησέ τον, γνωρίζοντας ὅτι ἕνας τέτοιος ἄνθρωπος ἔχει διαστραφεῖ»[20]. Δέν ἔπρεπε λοιπόν νά τούς ἀπομακρύνει καί νά τούς λεηλατήσει καί νά τούς ἐξορίσει ἔξω ἀπό τή χώρα τους μέ τήν ἀπειλή τῶν ἀρχόντων.

Ο ΔΙΑΚ. Μοῦ λέγεις μέτρα πού ταιριάζουν σ' ἕναν τέλειο ἄνδρα καί εὐσεβῆ καί ἀνεξίκακο.

Ο ΕΠΙΣΚ. Καί βέβαια δέν εἶναι μεγάλο ἐγκώμιο νά ὑπομένει κανείς τό χειρότερο. 'Αλλ' ἐάν δέν εἶναι τέλειος, ὅσο πρέπει, πῶς θά εἶναι καί ἐπίσκοπος ἕνας τέτοιος; Γιατί ὁ ἀτελής ποτέ δέ θά φροντίσει γιά τούς ἀτελεῖς. Πῶς ὅμως λέγεται καί Θεόφιλος, ἀφοῦ δέν ἀγαπάει τό Θεό, γιά τόν ὁποῖο ἔπρεπε νά ὑποφέρει εὔκολα τίς ὕβρεις τῶν ἀνθρώπων; 'Εάν ὅμως τό Θεό δέν ἀγαπάει, εἶναι φανερό πώς οὔτε τόν ἑαυτό του δέν ἀγαπάει· αὐτός ὅμως πού εἶναι ἐχθρός τοῦ ἑαυτοῦ του, πῶς θ' ἀγαπήσει στή συνέχεια τούς ἄλλους; 'Επομένως δέν εἶναι καθόλου παράξενο, ἐάν γι' αὐτό κατηγόρησε τήν 'Ολυμπιάδα, ἐπειδή δηλαδή δέχθηκε τούς μοναχούς.

Ο ΔΙΑΚ. Ὡμολόγηται μέν, ὅτι Θεόφιλος ὀργίλιον ἐποίησε πρᾶγμα, ῥίψας αὐτούς, εἴ τινες ἂν εἶεν, εἴτε ὀρθόδοξοι, εἴτε αἱρετικοί· ἡ μέντοι διάκονος οὐκ ὤφειλεν αὐτοὺς ὑποδέξασθαι.

5 *Ο ΕΠΙΣΚ. Τί σοι οὖν ἐφάνη; καλῶς πεποιηκέναι ἢ κακῶς;*

Ο ΔΙΑΚ. Εἶπον ὅτι κακῶς.

Ο ΕΠΙΣΚ. Καὶ ἡ εὐποιΐα κρίνεταί ποτε;

Ο ΔΙΑΚ. Καὶ πάνυ γε, ὅταν ᾖ ἐπὶ κακῶν καὶ μὴ ὀφειλόντων εὖ παθεῖν γινομένη.

10 *Ο ΕΠΙΣΚ. Τίνες τοίνυν ἦσαν οἱ πεντακισχίλιοι, οὓς ἔθρεψεν ὁ Σωτὴρ ἐκ πέντε ἄρτων κριθίνων, καλοὶ ἢ κακοί;*

Ο ΔΙΑΚ. Δηλονότι καλοί, ὡς παρὰ τοῦ Σωτῆρος τραφέντες.

Ο ΕΠΙΣΚ. Διὰ τί οὖν κριθίνοις ἐτράφησαν, καλοὶ ὄντες;

Ο ΔΙΑΚ. Διὰ σπάνην ἴσως πυρίνων καὶ λιμόν.

15 *Ο ΕΠΙΣΚ. Πῶς οὖν ὀνειδίζονται ἐπὶ ἀπιστίᾳ, ὡς καλοὶ ἢ ὡς κακοί;*

Ο ΔΙΑΚ. Εἰ ὀνειδίζονται, ὡς κακοὶ δηλονότι.

Ο ΕΠΙΣΚ. Καὶ δύνανται οἱ αὐτοὶ καλοὶ εἶναι καὶ κακοί;

Ο ΔΙΑΚ. Καὶ πάνυ γε.

20 *Ο ΕΠΙΣΚ. Πῶς;*

Ο ΔΙΑΚ. Ὡς μὲν πρὸς χείρονας καλοί, ὡς δὲ πρὸς κρείττονας κακοί.

Ο ΕΠΙΣΚ. Θαυμασίως εἴρηκας. Τούτῳ τοίνυν τῷ τρόπῳ καὶ οἱ μονάζοντες καὶ καλοὶ ἦσαν καὶ κακοί. Καὶ ἡ μὲν πιστοτάτη

25 *ὡς καλοὺς αὐτοὺς ἐξένισεν, ὁ δὲ θαυμάσιος ὡς κακοὺς ἔρριψεν, ὅπερ οὐκ ἔδει.*

Ο ΔΙΑΚ. Ἀλλ' ἐρεῖ σοι, ὅτι "Ἐπὶ λύπῃ ἐμῇ ἐδέξω τοὺς ἐχθρούς μου".

Ο ΕΠΙΣΚ. Ὅλως μὲν οὖν ἥττημα αὐτῷ ἐστιν, ὅτι καὶ

30 *ἐχθροὺς ὀνομάζει, ὁ χρεώστης τῶν ὕβρεων ὡς Χριστοῦ μιμητής.*

Ο ΔΙΑΚ. Ποῦ δαὶ ὀνειδίζονται οἱ πεντακισχίλιοι ὑπὸ τοῦ Σωτῆρος, ὡς εἴρηκας; Οὐ γὰρ ἀναφέρονται.

Ο ΕΠΙΣΚ. Ἡνίκα συναθροισθέντες ἐκ δευτέρου προσῆλ-

35 *θον τῷ Ἰησοῦ, ἀκούσαντες· "Ζητεῖτέ με, οὐχ ὅτι εἴδετε σημεῖα καὶ τέρατα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων καὶ ἐχορτάσθητε".*

---

21. Βλ. Ἰω. 6, 5-13· Ματθ. 14, 13-21· Μάρκ. 6, 30-44 καὶ Λουκᾶ 9, 7-17.
22. Ἰω. 6, 25. 26.

Ο ΔΙΑΚ. Εἶναι ἀλήθεια βέβαια, ὅτι ὁ Θεόφιλος ἐνέργησε ὀργισμένα, ἀπομακρύνοντας αὐτούς, ὁποιοιδήποτε καί ἄν ἦταν, εἴτε ὀρθόδοξοι, εἴτε αἱρετικοί· ἡ διακόνισσα ὅμως δέν ἔπρεπε νά τούς δεχθεῖ αὐτούς.

Ο ΕΠΙΣΚ. Τί λοιπόν σοῦ φαίνεται; ἔκανε καλά ἤ κακά;

Ο ΔΙΑΚ. Εἶπα πώς ἔκανε κακά.

Ο ΕΠΙΣΚ. Καί ἡ εὐεργεσία καταδικάζεται ποτέ;

Ο ΔΙΑΚ. Καί πολύ μάλιστα, ὅταν γίνεται σέ κακούς καί σ' ἐκείνους πού δέν πρέπει νά εὐεργετοῦνται.

Ο ΕΠΙΣΚ. Τί λοιπόν ἦταν οἱ πέντε χιλιάδες, πού ἔθρεψε ὁ Σωτήρας ἀπό πέντε ψωμιά κριθαρένια[21], καλοί ἤ κακοί;

Ο ΔΙΑΚ. Ὁλοφάνερα καλοί, ἀφοῦ τούς ἔθρεψε ὁ Σωτήρας.

Ο ΕΠΙΣΚ. Γιατί λοιπόν τούς ἔθρεψε μέ κριθαρένια ψωμιά, ἀφοῦ ἦταν καλοί;

Ο ΔΙΑΚ. Ἀπό ἔλλειψη ἴσως σιταρένιων καί ἀπό πείνα μεγάλη.

Ο ΕΠΙΣΚ. Πῶς λοιπόν κατηγοροῦνται γιά τήν ἀπιστία τους, ὡς καλοί ἤ ὡς κακοί;

Ο ΔΙΑΚ. Ἀφοῦ κατηγοροῦνται, εἶναι φανερό ὡς κακοί.

Ο ΕΠΙΣΚ. Καί μποροῦν οἱ ἴδιοι νά εἶναι καί καλοί καί κακοί;

Ο ΔΙΑΚ. Βεβαιότατα.

Ο ΕΠΙΣΚ. Πῶς;

Ο ΔΙΑΚ. Σέ σύγκριση μέ τούς χειρότερους εἶναι καλοί, ἐνῶ σέ σύγκριση μέ τούς καλύτερους εἶναι κακοί.

Ο ΕΠΙΣΚ. Θαυμάσια μίλησες. Κατά τόν ἴδιο λοιπόν τρόπο καί οἱ μοναχοί ἦταν καί καλοί καί κακοί. Καί αὐτή πού ἦταν πάρα πολύ πιστή τούς φιλοξένησε ὡς καλούς, ἐνῶ ὁ θαυμάσιος τούς ἀπομάκρυνε ὡς κακούς, πράγμα πού δέν ἔπρεπε νά κάνει.

Ο ΔΙΑΚ. Ἀλλά θά σοῦ πεῖ, ὅτι «Γιά δική μου λύπη δέχθηκες τούς ἐχθρούς μου».

Ο ΕΠΙΣΚ. Ἀποτελεῖ λοιπόν πλήρη ἀποτυχία γι' αὐτόν, ἐπειδή τούς ὀνομάζει καί ἐχθρούς, αὐτός πού εἶναι χρεώστης τῶν ὕβρεων σάν μιμητής τοῦ Χριστοῦ.

Ο ΔΙΑΚ. Ποῦ λοιπόν κατηγοροῦνται οἱ πέντε χιλιάδες ἀπό τό Σωτήρα, ὅπως εἶπες; γιατί δέν ἀναφέρονται.

Ο ΕΠΙΣΚ. Ὅταν συγκεντρώθηκαν καί ἦρθαν γιά δεύτερη φορά στόν Ἰησοῦ, ἀκούοντας· «Μή ζητᾶτε, ὄχι γιατί εἴδατε ἀποδείξεις καί θαύματα, ἀλλά γιατί φάγατε ἀπό τά ψωμιά καί χορτάσατε»[22].

Ὁ Θεόδωρος εἶπεν·

Ο ΔΙΑΚ. Σαφέστατα ἔχει.

Ο ΕΠΙΣΚ. Ὁ δὲ ψεκτός, κατὰ τοῦτο καὶ κακός.

Ο ΔΙΑΚ. Μενοῦνγε.

5 *Ο ΕΠΙΣΚ. Κακοὺς οὖν ἔθρεψεν, ἢ καλοὺς ὁ Σωτήρ;*

Ο ΔΙΑΚ. Ὡμολόγηται ὅτι κακούς· "Οὐ" γὰρ "χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες".

Ο ΕΠΙΣΚ. Τί οὖν; Κακὸν πεποίηκεν Ὀλυμπιάς, τὸν ἑαυτῆς Κύριον μιμησαμένη, "Τὸν βρέχοντα καὶ ἀνατέλλοντα τὸν 10 *ἑαυτοῦ ἥλιον ἐπὶ δικαίους καὶ ἀδίκους"; Κἂν οἱ Φαρισαῖοι ὀνειδίζωσι τοὺς μαθητάς, λέγοντες· "Ὁ διδάσκαλος ὑμῶν μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει καὶ πίνει".*

Ο ΔΙΑΚ. Ὡς ἔοικε, παρὰ τὴν σύνεσιν τῶν πολλῶν κακολογεῖται μὲν τὰ σεμνά, φιλεῖται δὲ τὰ αἰσχρά.

15 *Ο ΕΠΙΣΚ. Πρὸς τί σοι οὗτος ὁ λόγος, φιλαληθέστατε Θεόδωρε;*

Ο ΔΙΑΚ. Ὅτι εἰ μὴ σὺ ἐγύμνωσάς μοι τὸν λόγον, συλλογιστικῶς σαφηνίσας, εἰς τὴν ἀναίσθητον συναπηγόμην δόξαν, οὐ τῷ σκοπῷ τῆς ἐλευθερίας προσέχων, ἀλλὰ τοῖς Θεοφίλου 20 *θρύλοις.*

Ο ΕΠΙΣΚ. Οὐκοῦν τὸ ἐνατίον, ἐὰν ἀποδειχθῶσιν οἱ ἅγιοι ἐκεῖνοι ἄνδρες οὐ μόνον οὐ κακοί, ἀλλὰ καὶ πολλοὺς ἀπὸ κακίας πρὸς ἀρετὴν ἐπαναγαγόντες, δῆλος ἔσται ὁ τούτων διώκτης ἄξιος οὐ διωχθῆναι, ἀλλὰ ἐλεηθῆναι, ὡς τοὺς μὲν 25 *καλοὺς ἀεὶ λυμαινόμενος, τοὺς δὲ κακοὺς ἀποδεχόμενος.*

Ο ΔΙΑΚ. Οὕτως ἔχει, ὡς εἴρηκας. Κἂν γὰρ μὴ ἀποδειχθῶσιν ἐκεῖνοι σοφοί τε καὶ ἅγιοι (ὥς φασιν οἱ πολλοί), ἐκτὸς μέμψεως ἔσται ἡ Ὀλυμπιὰς ἐκ τῶν προλαβόντων συλλογισμῶν, τὸ τοῦ Σωτῆρος μίμημα ἐπιδειξαμένη.

30 *Ο ΕΠΙΣΚ. Καὶ ποίαν μείζω ὁρᾷς μαρτυρίαν τῶν πράξεων, τὴν τοῦ Εὐαγγελίου ἢ τὴν Θεοφίλου;*

Ο ΔΙΑΚ. Ἄπαγε, παρακαλῶ· ὡμολόγηται γὰρ παρὰ πᾶσι κἀκείνους αὐτὸν ἀπό τινος ὀργῆς καὶ φιλαρχίας ἐῤῥῖφθαι, καὶ ταύτην ἀπὸ δεισιδαιμονίας καὶ ἔχθρας λελοιδορηκέναι, προ- 35 *φασισαμένου ἐκείνου τοὺς μονάζοντας. Ἀστοχήσας γὰρ ἐπὶ*

---

23. Λουκᾶ 5, 31.

24. Ματθ. 5, 45.

῾Ο Θεόδωρος εἶπε.

Ο ΔΙΑΚ. Εἶναι σαφέστατο τό πράγμα.

Ο ΕΠΙΣΚ. Αὐτός ὅμως πού εἶναι ἄξιος κατηγορίας, εἶναι ἐπίσης καί κακός.

Ο ΔΙΑΚ. Βεβαιότατα.

Ο ΕΠΙΣΚ. Κακούς λοιπόν ἔθρεψε, ἤ καλούς ὁ Σωτήρας;

Ο ΔΙΑΚ. Ἔχει ἀποδειχθεῖ ὅτι κακούς, γιατί «δέν ἔχουν ἀνάγκη ἀπό ἰατρό οἱ ὑγιεῖς, ἀλλ' ὅσοι ἔχουν ἄσχημα στήν ὑγεία τους»[23].

Ο ΕΠΙΣΚ. Τί λοιπόν; ἔκαμε κακό ἡ ᾿Ολυμπιάδα πού μιμήθηκε τόν Κύριό της, «ὁ ὁποῖος βρέχει καί ἀνατέλλει τόν ἥλιο του σέ δίκαιους καί ἄδικους»[24]; ἀκόμα καί ἄν οἱ Φαρισαῖοι κατηγοροῦν τούς μαθητές του, λέγοντας· «῾Ο διδάσκαλός σας τρώγει καί πίνει μαζί μέ τούς τελῶνες καί τούς ἁμαρτωλούς»[25].

Ο ΔΙΑΚ. Ὅπως φαίνεται, ἀντίθετα μέ τή σύνεση τῶν πολλῶν, κατηγοροῦνται τά σεμνά, ἐνῶ ἀγαπιοῦνται τά αἰσχρά.

Ο ΕΠΙΣΚ. Τί σημαίνει αὐτός ὁ λόγος σου, φιλαληθέστατε Θεόδωρε;

Ο ΔΙΑΚ. Ὅτι θά παρασυρόμουν στήν ἀνόητη γνώμη, ἐάν δέ μοῦ γύμνωνες τό λόγο, ἐπεξηγώντας μέ συλλογιστικό τρόπο, γιατί δέν πρόσεχα στό σκοπό τῆς ἐλευθερίας, ἀλλά στούς θρύλους τοῦ Θεοφίλου.

Ο ΕΠΙΣΚ. ῾Επομένως τό ἀντίθετο, ἐάν ἀποδειχθοῦν οἱ ἅγιοι ἐκεῖνοι ἄνδρες πώς ὄχι μόνο δέν ἦταν κακοί, ἀλλά καί πολλούς ἀπό τήν κακία ὁδήγησαν στήν ἀρετή, θά γίνει φανερό πώς ὁ διώκτης τους δέν εἶναι ἄξιος νά διωχθεῖ, ἀλλά νά ἐλεηθεῖ, ἐπειδή τούς μέν καλούς πάντοτε βλάπτει, ἐνῶ δέχεται τούς κακούς.

Ο ΔΙΑΚ. Ἔτσι ἔχει τό πράγμα, ὅπως εἶπες. Γιατί ἄν δέν ἀποδειχθοῦν ἐκεῖνοι καί σοφοί καί ἅγιοι (ὅπως ἰσχυρίζονται οἱ πολλοί), θά εἶναι ἔξω ἀπό κάθε κατηγορία ἡ ᾿Ολυμπιάδα σύμφωνα μέ τούς προηγούμενους συλλογισμούς μας, ἐπειδή ἔδειξε τή μίμηση τοῦ Σωτήρα.

Ο ΕΠΙΣΚ. Καί ποιά θεωρεῖς μεγαλύτερη μαρτυρία τῶν πράξεων, τοῦ Εὐαγγελίου ἤ τοῦ Θεοφίλου;

Ο ΔΙΑΚ. Σταμάτησε, σέ παρακαλῶ. Γιατί ὅλοι ἔχουν παραδεχθεῖ ὅτι ὁ Θεόφιλος καί ἐκείνους τούς ἀπομάκρυνε ἀπό κάποια ὀργή του καί φιλαρχία, καί αὐτήν ἀπό δεισιδαιμονία καί μίσος τήν ἔχει κατηγορήσει, μέ πρόφαση τούς μοναχούς. ᾿Αφοῦ λοιπόν ἀπέτυχε μέ

---

25. Ματθ. 9, 11 καί Μάρκ. 2, 16.

ταῖς δουλοπρεπέσι κολακείαις τοῦ μηδὲν παρ' αὐτῆς εἰληφέναι πλὴν βρωμάτων ἢ ξενίων, εἰς λοιδορίαν ἐτράπη· τοῦτο γὰρ αὐτοῦ τὸ ἔθος ἐπὶ πάντων.

ΚΕΦΑΛΑΙΟ ΙΖ΄

5 *Ο ΕΠΙΣΚ. Ἄκουε τοίνυν, διακόνων ἄριστε, ὁρῶ γάρ σε χρήσιμον τῷ κοινῷ· τὸ γὰρ σπουδαῖόν σου ἐν τῷ νέῳ ἐχέγγυον τοῦ ἔντιμον ἐν γήρᾳ ἔσεσθαι. Οἱ ἄνδρες οὗτοι ἐξ ἁπαλῶν ὀνύχων καὶ Χριστιανῶν γονέων Θεῷ ὑποταγέντες, οὐκ ἠνέσχοντο, οὐδὲ κομιδῇ νέοι, τῇ ματαιότητι δουλεῦσαι, οὐδὲ τοῖς* 10 *ὄχλοις συναναστραφῆναι, ἀλλὰ καταλαβόντες τὴν ἐκ μεσημβρίας ἀοίκητον πόῤῥω που κειμένην τῆς οἰκουμένης, συνεστήσαντο καλύβας, ὅσον διαφυγεῖν τὴν ἐπάχθειαν τῆς ἡλιακῆς λαμπάδος καὶ τὴν δρόσον τὴν ἐκ τοῦ ἀέρος. Ἐν αἷς διάγοντες, εὐχαῖς καὶ ἀναγνώσμασι τὸν ἑαυτῶν κατηνάλωσαν χρό-* 15 *νον, τοσοῦτον θλιβέντες τοὺς καρποὺς τῶν χειρῶν ἐν ἔργοις σωματικοῖς, ὅσον εἰς τροφὴν εὐτελῆ ἐπαρκέσαι, ἄμεινον ἡγησάμενοι συναγελάζεσθαι δορκάσι καὶ στρουθοῖς καὶ βουβάλοις ἢ συνευωχεῖσθαι τοῖς Θεὸν ἀγνοοῦσιν ἀνθρώποις. Τούτων ὁ μὲν γεραιότατος ἀμφὶ τὰ ἐνενήκοντα παριππάσας* 20 *ἔτη, συνανεστράφη τῷ μακαρίῳ Ἀντωνίῳ, Ἱέραξ καλούμενος, τὸ κύριον ὄνομα εἰσέτι καὶ νῦν ἐνισχύων· ὁ δ' ἕτερος, Ἀμμώνιος, σὺν δυσὶν ἀδελφοῖς ἀσκηταῖς καὶ ἑνὶ ἐπισκόπῳ, οἳ καὶ κλοιοφορήσαντες ἐπὶ Οὐάλεντος ἐξωρίσθησαν (ὡς πᾶσα ἐπιγινώσκει ἡ Ἀλεξάνδρεια), ἑξηκοντούσης· τοιοῦτοι ὄντες* 25 *ἐν γνώσει, ὡς μηδὲν αὐτοὺς διαφεύγειν τῶν ἐν ταῖς Γραφαῖς τοῖς πολλοῖς ἀπορουμένων.*

Ὧν οἱ μὲν δύο ἐκοιμήθησαν τελευτήσαντες ἐν Κωνσταντινουπόλει· Ἀμμώνιος μέν, ὡς οἱ περὶ Αὐρήλιον καὶ Σισίννιον διηγήσαντο, προφητεύσας περὶ τὴν ἔξοδον, ὡς μεγάλου διω- 30 *γμοῦ ἐπιγενομένου καὶ σχίσματος ταῖς ἐκκλησίαις, αἴσχιστον*

1. Ἀντώνιος ὁ μέγας (250-355)· διάσημος ἀσκητής, πατέρας τοῦ μοναχικοῦ βίου.

2. Εἶναι γνωστός μόνο ἀπό τόν παρόντα διάλογο.

3. Αὐτοί εἶναι οἱ τέσσερις ὀνομαστοί Μακροί Ἀδελφοί. Ἐκτός ἀπό τόν Ἀμμώνιο ὁ Παλλάδιος ἀναφέρει μέ τό ὄνομά του μόνο τό Διόσκουρο. Οἱ ἄλλοι δύο ἦταν ὁ Εὐσέβιος καί ὁ Εὐθύμιος.

τίς δουλοπρεπεῖς κολακεῖες του νά πάρει ἀπ' αὐτήν κάτι, ἐκτός ἀπό φαγητά ἤ δῶρα φιλοξενίας, στράφηκε στήν ὕβρη· γιατί αὐτή εἶναι ἡ συνήθειά του σέ ὅλους.

ΚΕΦΑΛΑΙΟ ΙΖ΄

Ο ΕΠΙΣΚ. Ἄκου λοιπόν, ἄριστε διάκονε, γιατί σέ βλέπω χρήσιμο στό κοινό· γιατί τό ὅτι εἶσαι σπουδαῖος τώρα πού εἶσαι νέος εἶναι ἀπόδειξη τοῦ ὅτι θά εἶσαι ἔντιμος στά γηρατειά. Οἱ ἄνδρες αὐτοί ἀπό μικρά παιδιά καί ἀπό χριστιανούς γονεῖς ἀφοῦ ὑποτάχθηκαν στό Θεό, δέν ἀνέχονταν, οὔτε ὅταν ἦταν ἐντελῶς νέοι, νά γίνουν δοῦλοι τῆς ἁμαρτίας, οὔτε νά συναναστραφοῦν μέ τούς ὄχλους, ἀλλ', ἀφοῦ ἔφθασαν στήν ἔρημο πού εἶναι στά νότια καί βρίσκεται μακριά ἀπό κατοικούμενες περιοχές, ἔκαμαν καλύβες, γιά ν' ἀποφύγουν μόνο τήν ἐνόχληση τῶν ἀκτίνων τοῦ ἥλιου καί τήν ὑγρασία ἀπό τόν ἀέρα. Μένοντας σ' αὐτές, ξόδεψαν τά χρόνια τους μέ προσευχές καί ἀναγνώσματα, καί κουράζονταν σέ χειρωνακτικά ἔργα τόσο μόνο, ὅσο νά ἐπαρκέσουν γιά λιτή τροφή, θεωρώντας καλύτερο νά συναναστρέφονται μέ ζαρκάδια καί στρουθοκαμήλους ἤ καί μέ βουβάλια, παρά νά διασκεδάζουν μαζί μ' ἀνθρώπους πού ἀγνοοῦν τό Θεό. Ὁ γεροντότερος ἀπ' αὐτούς πού ξεπέρασε τά ἐνενήντα περίπου χρόνια, συναναστράφηκε μέ τό μακάριο Ἀντώνιο[1], ὀνομάζεται Ἱέρακας[2] καί διατηρεῖ τό κύριο ὄνομά του ἀκόμη καί σήμερα, ὁ ἄλλος ὅμως, ὁ Ἀμμώνιος, μαζί μέ δύο ἀδελφούς ἀσκητές καί ἕναν ἐπίσκοπο[3], οἱ ὁποῖοι βασανίσθηκαν μέ κλοιούς τήν ἐποχή τοῦ Οὐάλη[4], ἐξορίσθηκαν (ὅπως ὅλη ἡ Ἀλεξάνδρεια ξέρει πολύ καλά), ἐνῶ ἦταν ἑξήντα χρονῶν. Εἶχαν τέτοια γνώση, ὥστε δέν τούς ξέφευγε καμιά ἀπό τίς ἀπορίες πού εἶχαν οἱ πολλοί γιά τίς Γραφές.

Ἀπ' αὐτούς οἱ δύο κοιμήθηκαν πεθαίνοντας στήν Κωνσταντινούπολη[5]. Ὁ Ἀμμώνιος, ὅπως ἀφηγήθηκαν αὐτοί πού ἦταν μέ τόν Αὐρήλιο καί τό Σισίννιο[6], προφήτευσε κοντά στό τέλος του, ὅτι ὅταν γίνει μεγάλος διωγμός καί σχίσμα στίς ἐκκλησίες, θά φέρει αἰσχρότατο

4. Οὐάλης (364-378)· αὐτοκράτορας στό Ἀνατολικό Ρωμαϊκό Κράτος.

5. Πρόκειται γιά τούς Ἀμμώνιο καί Διόσκορο πού ὁ θάνατός τους συνέβηκε τό 403.

6. Ὁ Αὐρήλιος εἶναι γνωστός μόνο ἀπό τό διάλογο αὐτόν, ἐνῶ ὁ Σισίννιος ἔγινε ἀρχιεπίσκοπος Κων/πόλεως γιά ἕνα χρόνο καί δέκα μῆνες (426-427).

τέλος ἀπενεγκεῖν τοὺς αἰτίους καὶ οὕτως ἑνωθῆναι τὰς ἐκκλησίας· ὃ δὴ καὶ ἐκ μέρους γεγένηται καὶ γενήσεται (ἐντεῦθεν γάρ τινων τὰ σώματα, ἐπισκόπων τε καὶ λαϊκῶν, ἡ νόσος παραλαβοῦσα ποικίλοις πάθεσιν ἐμερίζετο, πυρετῷ μὲν 5 *μαλακῷ τὰ σπλάγχνα διακαίουσα, κνησμῷ δ᾽ ἀφορήτῳ τὴν ἐπιφάνειαν ὅλην τοῖς ὄνυξιν ἐξορύττουσα, κόλου τε συνεχεῖς ἀλγηδόνες. Τινὸς περί τε τοὺς πόδας ὑδρωπιῶντος οἰδήματα πελιδνά· ἑτέρου δὲ ῥεύματα περὶ τὰ τέσσαρα ἄρθρα θερμὸν ψυχρὸν τοὺς κακῶς ὑπογράψαντας δακτύλους ἔφρισσεν, τοῦ* 10 *τε ἤτρου φλεγμονὴ καὶ διὰ μορίου τινὸς σηπεδὼν δυσωδίαν εἰς μακρὸν παρατείνουσα, σκώληκας γεννῶσα. Ὀρθόπνοιά τε πρὸς τούτοις καὶ δύσπνοια καὶ πάντων τῶν μελῶν διατάσεις· φαντασίαι τε νυκτεριναὶ εἰς κύνας λυττῶντας καὶ ξιφήρεις βαρβάρους, ἀλλόγλωσσον καὶ κυματώδη φωνὴν ἐξηχοῦντας,* 15 *μετεσχηματίζοντο, ἄϋπνον τὸν ὕπνον ἀποτελοῦσαι. Ἕτερος δὲ ἐξ ἵππου πεσὼν καὶ καυληδὸν τὸ δεξιὸν κατεάξας σκέλος παραυτίκα τὸ ζῆν ἀπέρρηξεν· ἄλλος ἀποκλεισθεὶς τὴν φωνὴν ὀκταμηνιαίῳ χρόνῳ ἐπὶ κλίνης ἐταριχεύετο, μηδὲ τῷ ἰδίῳ στόματι τὰς χεῖρας προσάγειν δεδυνημένος.*

20 *Ἕτερος ζῶν τὰ σκέλη ἕως γονάτων κατ᾽ ὀλίγον ἐπρίζετο ἐπὶ τριετίαν, ἐρυσιπέλου δῆθεν τὰς ἀφορμὰς γεννῶντος· ἄλλος τὴν γλῶσσαν οἰδήσας, ὥς φασι, μετὰ λάβρου πυρετοῦ, ὡς διάφραγμα κεῖσθαι τῷ στόματι ἀντερείδων τοῖς ὀδοῦσι, μὴ χωρούσης τῆς γλώσσης ἐν τῷ ὡρισμένῳ παρὰ τῆς φύσεως* 25 *τόπῳ, ἐν πυξίῳ γράψας ἐξομολόγησιν ἐποιεῖτο. Καὶ ἦν ἰδεῖν θεήλατον ὀργὴν διαφόροις τιμωρίαις στρατηγοῦσαν. Οἱ γὰρ τὸν τῶν ψυχῶν ἰατρὸν καὶ ἐπαοιδὸν παροξύναντες καὶ μεταστήσαντες τοῦ τῆς σωτηρίας ἐργαστηρίου τὸν ὑποφήτην τούτου, τοῖς τῶν σωμάτων ἰατροῖς εἰς αἰκισμὸν παρεδίδοντο,* 30 *ὀδύνην μὲν ἐπιχορηγούντων τοῖς νομιζομένοις φαρμάκοις, σωτηρίαν δ᾽ οὐκ ἐμποιούντων. Τίς γὰρ ἰάσεται τὸν ὑπὸ Θεοῦ τιμωρούμενον; Ὡς ὁ προφήτης λέγει· "Μὴ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί σοι;" Οὕτως ἀπώλλυντο πάντες οἱ ἀντιπράττοντες τῇ εἰρήνῃ τῆς ἐκκλησίας σου, Κύριε). Λέγεται* 35 *δὲ τὸ μνῆμα τοῦ μονάζοντος Ἀμμωνίου νόσους τὰς περὶ ῥῖγος ἐλαύνειν· τέθαπται δὲ ἐν τῷ μαρτυρίῳ τῶν Ἀποστόλων πέραν*

7. Δηλαδή, τήν ἐκκλησία. 8. Ψαλμ. 87, 11.

τέλος στούς ὑπεύθυνους καί ἔτσι θά ἑνωθοῦν οἱ ἐκκλησίες, πράγμα λοιπόν πού ἔγινε κατά ἕνα μέρος καί θά γίνει (γιατί ἡ ἀρρώστια, ἀφοῦ παρέλαβε ἀπ' ἐδῶ τά σώματα μερικῶν, καί ἐπισκόπων καί λαϊκῶν, χωριζόταν σέ διάφορες παθήσεις, καίγοντας τά σπλάχνα τους μέ χαμηλό πυρετό, βγάζοντας ὅλη τήν ἐπιφάνεια στά νύχια τους μέ δυσάρεστη φαγούρα, καί προκαλώντας ἀδιάκοπους πόνους στό παχύ ἔντερο. Σέ κάποιον, πού ἔπασχε ἀπό ὑδρωπικία, καί στά πόδια προξένησε μελανά πρηξίματα, ἐνῶ σ' ἄλλον τρεμούλα στά δάχτυλα πού κακῶς ὑπέγραψαν μέ ρεύματα ἄλλοτε θερμά καί ἄλλοτε ψυχρά στίς τέσσερις ἀρθρώσεις, καί φλεγμονή στό ὑπογάστριο, καί σάπισμα σέ κάποιο μέλος, πού βγάζοντας δυσωδία ἔφθανε πολύ μακριά καί γεννοῦσε σκουλήκια. Προκαλοῦσε ἀκόμη καί ἔντονο ἄσθμα καί δύσπνοια καί κόπωση ὅλων τῶν μελῶν τοῦ σώματος. Καί νυχτερινές φαντασίες μεταβάλλονταν σέ λυσσασμένα σκυλιά καί ὁπλισμένους μέ ξίφη βαρβάρους, πού ἔβγαζαν ἀλλόγλωσση καί ἄγρια φωνή, κάνοντας ἄυπνο τόν ὕπνο. Ἄλλος, ἀφοῦ ἔπεσε ἀπό τό ἄλογο καί κυλιόμενος ἔσπασε τό δεξί του πόδι, πέθανε ἀμέσως. Ἄλλος πού ἔχασε τή φωνή του μαράζωνε γιά ὀχτώ μῆνες στό κρεβάτι, χωρίς νά μπορεῖ νά φέρει τά χέρια στό στόμα του.

Ἄλλος ἐνῶ ζοῦσε πριζόταν σιγά-σιγά στά πόδια μέχρι τά γόνατα γιά τρία χρόνια, καί οἱ ἀφορμές προέρχονταν δῆθεν ἀπό ἀνεμοπύρωμα. Ἄλλου πρίσθηκε ἡ γλώσσα του, ὅπως λέγουν, μέ δυνατό πυρετό, ὥστε νά εἶναι διάφραγμα μέσα στό στόμα πού ὑποστηρίζει τά δόντια, καί ἐξομολογιόταν γράφοντας σέ ξύλινη πινακίδα, ἐπειδή ἡ γλώσσα του δέν ὑποχωροῦσε στή θέση πού τῆς ὅρισε ἡ φύση. Καί ἦταν δυνατό νά δεῖ κανείς τή θεόσταλτη ὀργή νά ὁδηγεῖ διάφορες τιμωρίες. Γιατί αὐτοί πού ἐξόργισαν τόν ἰατρό καί θεραπευτή τῶν ψυχῶν καί ἀπομάκρυναν ἀπό τό ἐργαστήριο τῆς σωτηρίας[7] τόν προφήτη του, παραδίνονταν στούς ἰατρούς τῶν σωμάτων γιά βλάβη τους, ἐπειδή μέ τά θεωρούμενα φάρμακα χορηγοῦν βέβαια πόνο, ἀλλά δέν φέρουν τή σωτηρία. Γιατί ποιός θά θεραπεύσει ἐκεῖνον πού τιμωρεῖ ὁ Θεός; -ὅπως λέγει ὁ προφήτης· «Μήπως οἱ ἰατροί θ' ἀναστήσουν τούς νεκρούς γιά νά σέ δοξολογήσουν;»[8]. Ἔτσι χάθηκαν ὅλοι πού ἐναντιώνονταν στήν εἰρήνη τῆς ἐκκλησίας σου, Κύριε). Λέγεται ὅτι τό μνῆμα τοῦ μοναχοῦ 'Αμμωνίου θεραπεύει τίς σχετικές μέ τό ρίγος ἀσθένειες. Ἔχει ταφεῖ στό μαρτύριο τῶν 'Αποστόλων, ἀπέναντι ἀπό

θαλάσσης. Ὁ δὲ ἐπίσκοπος Διόσκορος, ὥς φασιν, εὐξάμενος πλεῖστα ἢ εἰρήνην ἰδεῖν τῶν ἐκκλησιῶν ἢ τέλος τὸ ἑαυτοῦ, κατηξιώθη τοῦ τέλους, ἐπειδὴ οὐκ ἦν ἄξιος ὁ κόσμος τῆς εἰρήνης, ταφεὶς ἐν τῷ πρὸ τῆς πύλης μαρτυρίῳ, ὡς τὰς
5 *πλείστας τῶν γυναικῶν καταλειψάσας τῆς μάρτυρος τοὺς ὅρκους, κατὰ τῶν εὐχῶν Διοσκόρου ὀμνύειν. Περὶ δὲ τῶν λοιπῶν ἀσκητῶν πολύς μοι λόγος καταναλίσκεται εἰς τὸ διηγήσασθαι, ἴσως ἐπειγομένου σου, φερώνυμε ἄνθρωπε.*

Ο ΔΙΑΚ. Καὶ τίς οὕτω τρισάθλιος τοῖς τῆς ἀρετῆς διηγήμασι
10 *μὴ διδοὺς χώραν; Λέγε τοίνυν, παρακαλῶ, καὶ οἱῳδήποτε λόγῳ εὐλόγῳ ἀπάγεγέ μου τὸν νοῦν τῶν βιωτικῶν νοημάτων.*

Ο ΕΠΙΣΚ. Ἔτσι τοίνυν ἕτερος Ἱέραξ, Ἑλληνικῷ μὲν καλούμενος ὀνόματι, πνευματικοῖς δὲ κεκοσμημένος τρόποις· ὃς τὰ μὲν πρῶτα ἔξω πάσης Αἰγύπτου καὶ Θηβαΐδος ἐν τῷ
15 *Πορφυρίτῃ ὄρει μόνος ἀναχωρήσας, ἄνευ πνοῆς ἀνθρωπίνης, τέσσαρα ἐκαρτέρησεν ἔτη, μόναις ταῖς ἀρεταῖς ἀρκούμενος εἰς παράκλησιν· ἔπειτα δὲ τῇ τῆς Νιτρίας ἐρήμῳ εἴκοσι πέντε ἔτη ἅμα τοῖς προειρημένοις πατράσιν. Τούτῳ «δαίμονες» ἐπιστάντες (ὡς αὐτὸς ἡμῖν διηγήσατο), πολυχρόνιον ζωὴν*
20 *ὑποβάλλοντες, ἀπὸ "τῆς προκειμένης ἐλπίδος" σαλεύειν ἐσπούδαζον, "μετασχηματισθέντες εἰς ἀγγέλους φωτός". "Πεντήκοντα ἔτη", λέγοντες, "ἔχεις ζῆσαι. Πῶς καρτερήσεις ἐν τῇ ἐρήμῳ;" Ὁ δὲ τῇ συνέσει διὰ τῆς πίστεως ἀνθυποφέρει, φήσας· "Ἐλυπήσατέ με, ἐλάττονα τῆς προθέσεως τὸν χρόνον*
25 *εἰπόντες· διακοσίων γὰρ ἐτῶν παρασκευὴν ἐποιησάμην ἐν τῇ ἐρήμῳ". Οἱ δὲ ἀκούσαντες ᾤχοντο ὀλολύζοντες. Καὶ τοῦτον τὸν τοιοῦτον, ὃν οἱ δαίμονες οὐκ ἐσάλευσαν, πολυμήκη χρόνον εἰς ἀκηδίαν σοφισάμενοι, ὁ πάπας Θεόφιλος διὰ προστάγματος αὐτὸν μετανέστησεν καὶ εἰς τοσαύτην περιέ-*
30 *στησεν ἀνάγκην, ὡς καὶ στρατόπεδον καταλαβεῖν· ὃς νῦν μετὰ τὴν κοίμησιν Ἀμμωνίου τὴν πανέρημον πάλιν κατείληφεν, τὴν τοῦ ἀρότρου παραβολὴν φοβηθείς.*

Ἄλλος πάλιν πρεσβύτερος Ἰσαὰκ λεγόμενος, μαθητὴς Μακαρίου τοῦ μαθητοῦ Ἀντωνίου, φιλέρημος εἰσάγαν, πεν-

---

9. Στή Λαυσαϊκή Ἱστορία του λέγει σχετικά ὁ Παλλάδιος· «θάπτεται ἐν τῷ μαρτυρίῳ τῷ λεγομένῳ Ρουφινιαναῖς. οὗ τό μνῆμα λέγεται θεραπεύειν πάντας τούς ριγιαζομένους».

10. Ὁ Σωζομενός (8, 17) μᾶς λέγει πώς τό ὄνομα τοῦ μάρτυρα ἦταν Μόκιος καί ὁ Σωκράτης (6, 17) τοποθετεῖ τό μαρτύριο στή Δρῦ, ὅπου ἔγινε καί ἡ γνωστή σύνοδος.

τή θάλασσα[9]. Ἐνῶ ὁ ἐπίσκοπος Διόσκορος, ὅπως λέγουν, ἀφοῦ εὐχήθηκε πολύ ἤ νά δεῖ τήν εἰρήνη τῶν ἐκκλησιῶν ἤ τό δικό του τέλος, καταξιώθηκε νά δεῖ τό τέλος του, ἐπειδή δέν ἦταν ὁ κόσμος ἄξιος γιά εἰρήνη, καί τάφηκε στό μαρτύριο πού εἶναι μπροστά ἀπό τήν πύλη[10], ἐνῶ οἱ περισσότερες γυναῖκες, ἀφοῦ ἐγκατέλειψαν τούς ὅρκους τῆς μαρτύρισσας, ὁρκίζονται στίς εὐχές τοῦ Διοσκόρου. Γιά τούς ἄλλους ἀσκητές θά μοῦ χρειασθεῖ πολύς χρόνος νά σοῦ τά ἀφηγηθῶ, πού ἴσως νά βιάζεσαι ἐσύ, περίφημε ἄνθρωπε.

Ο ΔΙΑΚ. Καί ποιός εἶναι τόσο τρισάθλιος πού νά μή δίνει χρόνο στίς ἀφηγήσεις τῆς ἀρετῆς; λέγε λοιπόν, σέ παρακαλῶ, καί μέ ὁποιοδήποτε εὔλογο λόγο ὁδήγησε τό νοῦ μου μακριά ἀπό τίς βιωτικές σκέψεις.

Ο ΕΠΙΣΚ. Ὑπάρχει λοιπόν κάποιος ἄλλος Ἱέρακας[11], μ' ἑλληνικό ὄνομα, ἀλλά μέ πνευματικά χαρίσματα στολισμένος, ὁ ὁποῖος πρῶτα, ἀφοῦ ἀναχώρησε μόνος του ἔξω ἀπ' ὅλη τήν Αἴγυπτο καί τή Θηβαΐδα στό ὄρος Πορφυρίτη, χωρίς ἀνθρώπινη ἀναπνοή γιά συντροφιά, ἄντεξε τέσσερα χρόνια, περιοριζόμενος γιά παρηγοριά μόνο ἀπό τίς ἀρετές· ἐνῶ ἔπειτα ἔμεινε εἴκοσι πέντε χρόνια στήν ἔρημο τῆς Νιτρίας μαζί μέ τούς προηγούμενους πατέρες. Σ' αὐτόν παρουσιάσθηκαν οἱ δαίμονες (ὅπως μᾶς ἀφηγήθηκε), «παίρνοντας τό ἐξωτερικό σχῆμα τῶν ἀγγέλων τοῦ φωτός»[12], καί ἀφοῦ τοῦ ὑποσχέθηκαν μακροχρόνια ζωή, προσπαθοῦσαν νά τόν μετακινήσουν «ἀπό τήν ἐλπίδα πού ἔχομε μπροστά μας»[13], λέγοντας· «Ἔχεις νά ζήσει πενήντα χρόνια. Πῶς θ' ἀντέξεις στήν ἔρημο;». Αὐτός μέ σύνεση καί πίστη ἀπάντησε, λέγοντας· «Μέ λυπήσατε, λέγοντας λιγότερο χρόνο ἀπό τήν πρόθεσή μου, γιατί ἔκανα ἑτοιμασία νά ζήσω στήν ἔρημο διακόσια χρόνια». Αὐτοί μόλις ἄκουσαν ἔφυγαν μέ φωνές. Καί αὐτόν, πού οἱ δαίμονες δέ μετακίνησαν, ἐπινοώντας πολύ χρόνο γιά ἀδράνεια, ὁ πάπας Θεόφιλος μέ προσταγή του τόν ἀνάγκασε νά φύγει ἀπό τή χώρα του καί τόν ἔφερε σέ τόσο μεγάλη ἀνάγκη, ὥστε νά φθάσει καί στήν πρωτεύουσα. Αὐτός τώρα μετά τό θάνατο τοῦ Ἀμμωνίου ἔπιασε πάλι τήν ἔρημο, ἐπειδή φοβήθηκε τήν παραβολή τοῦ ἀρότρου[14].

Ἄλλος πάλι πρεσβύτερος, ὀνομαζόμενος Ἰσαάκ, μαθητής τοῦ Μακαρίου, τοῦ μαθητῆ τοῦ Ἀντωνίου, πού ἀγαποῦσε τήν ἔρημο σέ

11. Αὐτός ὁ Ἱέρακας εἶναι πιθανῶς ἐκεῖνος πού ἀναφέρεται στή Λαυσαϊκή Ἱστορία. Εἶναι γνωστός μόνο ἀπό τόν Παλλάδιο.

12. Β΄ Κορ. 11, 14. 13. Ἑβρ. 6, 18. 14. Βλ. Λουκᾶ 9, 62.

τηκοστὸν ἔτος ἄγων κατὰ διάνοιαν σώζων τὴν πᾶσαν Γραφήν, κεράστας ὄφεις ἐν ταῖς χερσὶν ἀκινδύνως βαστάζων, παρθένος ἐκ μήτρας, ἑπταετὴς καταλαβὼν τὴν ἔρημον, μετὰ τεσσαράκοντα ἔτη σὺν τοῖς προειρημένοις παρὰ τοῦ πάπα Θεοφί-
5 *λου ἐσινιάζετο. Ἕτερος Ἰσαὰκ πρεσβύτερος καὶ αὐτὸς μαθητὴς καὶ διάδοχος Κρονίου τοῦ πρεσβυτέρου, μαθητοῦ καὶ αὐτοῦ Ἀντωνίου, γνωστικὸς καὶ αὐτὸς ἐν Γραφαῖς ὑπερβαλλόντως, φιλόξενος εἰ καί τις ἄλλος, ὡς δι᾽ ὑπερβολὴν φιλανθρωπίας ξενοδοχεῖον κατασκευάσαι ἐν τῇ πανερήμῳ εἰς*
10 *ἀνάψυξιν καὶ τῶν ἀρρωστούντων μοναχῶν καὶ τῶν ἐπιχωριζόντων ξένων θέας ἕνεκεν τῶν μακαρίων πατέρων, φασὶ δέ ὀργῆς ἀλλόριος, τριακοστὸν ἔτος ἄγων ἐν τῇ ἀναχωρήσει, σὺν τούτοις ἐκακουχεῖτο. Τούτων ὁ μὲν πρότερος Ἰσαὰκ ἑκατὸν πεντήκοντα εἶχεν ὑφ᾽ ἑαυτὸν ἀσκητάς· οὗ καὶ μαθητὰς*
15 *ἐπισκόπους κατέστησεν ὁ Θεόφιλος ἕως ἑπτὰ ἢ ὀκτώ, ἡνίκα Θεόφιλος ἦν· ὁ δ᾽ ἕτερος διακοσίους δέκα, οὗ καὶ αὐτοῦ πολλοὶ ἐν ἐπισκόποις μαθηταὶ κατηριθμήθησαν.*

Οὗτοί εἰσι, περὶ ὧν τρίτην ἡμέραν διηγησάμεθα, Ἰσιδώρου χάριν τοῦ πρεσβυτέρου τῆς ἐρήμου ἠλάσθαι παρὰ Θεοφί-
20 *λου τοῦ πάπα. Οὗτοί εἰσιν, οὓς παρεῖδον ἱερεῖς καὶ Λευῖται, καὶ εἰς αἰσχύνην ἀνδρῶν ἀνδρεία γυνὴ ὑπεδέξατο καὶ εἰς κρῖμα ἐπισκόπων διάκονος θήλεια ἐξένισεν, ἧς ὁ ἔπαινος ἐν ταῖς ἐκκλησίαις ἐμπολιτεύεται πολλῶν ἕνεκεν, τὸν Σαμαρείτην ἐκεῖνον, ὅστις ποτέ ἐστι, μιμησαμένη, ὃς τὸν ὑπὸ λῃστῶν*
25 *συντριβέντα, ἡμιθανῆ, ἐν τῇ καταβάσει Ἱερειχὼ εὑρών, ἐπὶ τὸ ἴδιον ἐπεβίβασεν ὑποζύγιον μέχρι τοῦ πανδοχείου ἐνηνοχώς, καὶ τὸ τῆς φιλανθρωπίας ἔλαιον σὺν τῷ στύφοντι οἴνῳ κεράσας ἰάσατο τὰ οἰδήματα. Καὶ ταῦτα μὲν εἰρήσθω. Ὅσην δὲ περιουσίαν χρημάτων ἢ κτημάτων τοῖς δεομένοις διένειμεν,*
30 *οὐκ ἐμὸν τὸ λέγειν, ἀλλὰ τῶν εὖ παθόντων (ὑπερόριος γὰρ ὤν, ἀβαρὴς ἐφυλάχθην). Ἄκουσον δὲ τῆς μείζονος ἀρετῆς. Ὀρφανὴ γὰρ ἀνδρὶ συναφθεῖσα οὐ συνεχωρήθη παρὰ τοῦ προγνώστου Θεοῦ, τοῦ προορῶντος τὰς τῶν ἀνθρώπων ἐκβάσεις, οὐδὲ εἴκοσι μῆνας δουλεῦσαι τῇ τῆς σαρκὸς ἡδονῇ τῆς*
35 *πάντων βασιλευούσης, τοῦ συναφθέντος αὐτῇ συντόμως τὸ τῆς φύσεως χρέος ἀπαιτηθέντος.*

---

15. Βλ. κεφ. 6 16. Βλ. Λουκᾶ 10, 30-35.

ὑπερβολικό βαθμό, πού ἦταν πενήντα χρονῶν καί διατηροῦσε στή μνήμη του ὅλη τή Γραφή, πού κρατοῦσε στά χέρια του χωρίς κίνδυνο φαρμακερά φίδια, ἁγνός ἀπό τή γέννησή του, πού σέ ἡλικία ἑφτά χρονῶν πῆγε στήν ἔρημο, ὕστερα ἀπό σαράντα χρόνια μαζί μέ τούς προηγούμενους ταλαιπωροῦνταν ἀπό τόν πάπα Θεόφιλο. Ἄλλος Ἰσαάκ, πρεσβύτερος καί αὐτός, μαθητής καί διάδοχος τοῦ πρεσβυτέρου Κρονίου, τοῦ μαθητῆ τοῦ Ἀντωνίου, πού γνώριζε καί αὐτός τίς Γραφές σέ ὑπερβολικό βαθμό, φιλόξενος περισσότερο ἀπό τόν καθένα, ὥστε ἀπό ὑπερβολική φιλανθρωπία νά κατασκευάσει ξενοδοχεῖο στήν ἔρημο γι' ἀνακούφιση καί τῶν ἄρρωστων μοναχῶν καί τῶν ξένων πού σύχναζαν ἐκεῖ γιά νά δοῦν τούς μακάριους πατέρες πού λέγουν ὅτι ἦταν ἐχθρός τῆς ὀργῆς, καί ἦταν στόν τριακοστό χρόνο τῆς παραμονῆς του στήν ἔρημο, μαζί μ' αὐτούς βασανιζόταν. Ἀπ' αὐτούς ὁ πρῶτος Ἰσαάκ εἶχε κάτω ἀπό τίς ἐντολές του ἑκατό πενήντα ἀσκητές, καί ὁ Θεόφιλος μαθητές του ἔκαμε ἐπισκόπους μέχρι ἑφτά ἤ ὀχτώ, ὅταν ἦταν Θεόφιλος[14]· ἐνῶ ὁ ἄλλος εἶχε διακόσιους δέκα, καί πολλοί μαθητές του ἔγιναν ἐπίσκοποι.

Αὐτοί εἶναι ἐκεῖνοι, γιά τούς ὁποίους τήν τρίτη ἡμέρα ἀφηγηθήκαμε, πού ἐξ αἰτίας τοῦ πρεσβυτέρου Ἰσιδώρου[15] ὁ πάπας Θεόφιλος τούς ἔδιωξε ἀπό τήν ἔρημο. Αὐτοί εἶναι ἐκεῖνοι τούς ὁποίους παρέβλαψαν ἱερεῖς καί Λευίτες, καί γιά ντροπή τῶν ἀνδρῶν τούς ὑποδέχθηκε ἡ ἀνδρεία γυναίκα καί γιά καταδίκη τῶν ἐπισκόπων τούς φιλοξένισε διακόνισσα, πού ὁ ἔπαινός της ὑπάρχει στίς ἐκκλησίες γιά πολλές αἰτίες, ἀφοῦ ἐκεῖνον τόν Σαμαρείτη, ὁποιοσδήποτε καί ἄν εἶναι, μιμήθηκε, ὁ ὁποῖος, ὅταν συνάντησε κατεβαίνοντας στήν Ἰεριχώ μισοπεθαμένο ἐκεῖνον πού χτύπησαν οἱ ληστές, τόν ἀνέβασε στό ζῶο του καί τόν ἔφερε μέχρι τό πανδοχεῖο, καί, ἀφοῦ ἀνακάτωσε τό λάδι τῆς φιλανθρωπίας μέ τό στυφό κρασί, τοῦ θεράπευσε τίς πληγές[16]. Καί αὐτά βέβαια ἄς λεχθοῦν. Ἐνῶ πόση περιουσία χρημάτων ἤ κτημάτων μοίρασε σ' ἐκείνους πού εἶχαν ἀνάγκη, δέν εἶναι στήν ἁρμοδιότητά μου νά πῶ, ἀλλ' αὐτῶν πού εὐεργετήθηκαν (γιατί δέν εὐεργετήθηκα ἐγώ, ἐπειδή ἤμουν σέ ξένη χώρα). Ἄκουσε ὅμως τή μεγαλύτερη ἀρετή της. Γιατί, ἐνῶ ἦταν ὀρφανή καί παντρεύτηκε, δέν τῆς ἐπέτρεψε ὁ Θεός, ὁ ὁποῖος ἀπό πρίν γνωρίζει καί βλέπει τίς μεταβολές τῶν ἀνθρώπων, οὔτε εἴκοσι μῆνες νά γίνει δούλη στήν ἡδονή τῆς σάρκας πού βασιλεύει σ' ὅλους, ἀφοῦ ὁ ἄνδρας της σύντομα πλήρωσε τό χρέος τῆς φύσης.

Λέγεται δὲ παρθένος ὑπάρχειν, ὡς ἡ φήμη διδάσκει. Δυναμένη γὰρ τῷ ἀποστολικῷ νόμῳ δουλεῦσαι τῷ, "Βούλομαι νεωτέρας χήρας γαμεῖν, οἰκοδεσποτεῖν", οὐκ ἠνέσχετο, καίπερ καὶ γένει καὶ πλούτῳ καὶ παιδείᾳ μαθημάτων πολυτελῶν
5 *καὶ εὐφυΐᾳ φύσεως καὶ ἄνθους ὥρᾳ κεκοσμημένη, δορκάδος δίκην τοῦ δευτέρου γάμου τὴν παγίδα ἀνεκτῶς ὑπερπηδήσασα. "Δικαίῳ" γὰρ "νόμος οὐ κεῖται, ἀλλ' ἀνυποτάκτοις, βεβήλοις", ἀκορέστοις περὶ φθοράν. Ἔτυχεν δὲ κατά τινα φθόνον σατανικὸν δηλατορευθῆναι ταύτης τὴν ἄωρον χηρείαν*
10 *εἰς τὰς ἀκοὰς Θεοδοσίου τοῦ βασιλέως, ὃς ἔσπευσεν αὐτὴν Ἐλπιδίῳ τινὶ συγγενεῖ ἑαυτοῦ Σπανῷ συνάψαι εἰς γάμον. Καὶ πολλὰ λιπαρήσας τὴν ἄνθρωπον, ἀποτυχὼν ἐλυπήθη, δηλωσάσης αὐτῆς· "Εἰ ἐβούλετό με ὁ ἐμὸς βασιλεὺς ἄῤῥενι συζῆν, οὐκ ἄν μου τὸν πρῶτον ἀφείλετο· ἀλλ' ἐπειδὴ ἀνεπιτήδειόν με*
15 *τῷ πεφυρμένῳ βίῳ ἔγνω, μὴ δυναμένην ἀνδρὶ ἀρέσαι, κἀκεῖνον τοῦ δεσμοῦ ἠλευθέρωσεν, κἀμὲ τοῦ βαρυτάτου ζυγοῦ καὶ τῆς ἀνδρικῆς δουλείας ἀπήλλαξεν, τὸν χρηστὸν αὐτοῦ ζυγὸν τῆς ἐγκρατείας ἐπιθεὶς μου τῇ διανοίᾳ". Μετὰ τὴν ἀπόκρισιν ταύτην προστάσσει τῷ ἐπάρχῳ τῆς πόλεως φρουρεῖσθαι ταύ-*
20 *της τὰ πράγματα, μέχρι οὗ πληρώσει τριάκοντα ἔτη τὴν τοῦ σώματος ἡλικίαν.*

Ὃς ἐξαυτῆς λαβὼν τὴν τοῦ βασιλέως ἐπιτροπήν, εἰς τοσοῦτον αὐτὴν ἔθλιβεν, ὑποβαλλόμενος ὑπὸ τοῦ Ἐλπιδίου, ὡς μὴ ἔχειν ἐξουσίαν μηδὲ τοῖς ἐπισήμοις συντυγχάνειν τῶν
25 *ἐπισκόπων μηδὲ ἐκκλησίᾳ παραβάλλειν, ἵνα στενωθεῖσα ὑπὸ τῆς ἀκηδίας καταπέσῃ εἰς τὴν αἵρεσιν τοῦ γάμου. Ἡ δὲ πλέον ἡσθεῖσα καὶ τῷ Θεῷ εὐχαριστήσασα ἀντεδήλωσεν τῷ βασιλεῖ ταῦτα· "Πρέπουσαν βασιλεῖ καὶ ἁρμόττουσαν ἀρετὴν ἐπισκόπῳ εἰς ἐμὲ τὴν ταπεινὴν ἐπεδείξω, δέσποτα, κελεύσας παρα-*
30 *φυλαχθῆναί μου τὸ βαρύτατον φορτίον, περὶ οὗ ἐφρόντιζον, ὅπως διοικηθῇ· μεῖζον δὲ ποιήσεις, προστάξας αὐτὸ τοῖς πενομένοις καὶ ταῖς ἐκκλησίαις διασκορπισθῆναι. Ἐγὼ γὰρ ἀπηυξάμην πάλαι τὴν ἐκ τῆς διανομῆς κενοδοξίαν, ὅπως μὴ ἀμελήσω τοῦ τῆς φύσεως πλούτου, ἑλιττομένη περὶ τὴν ὕλην".*
35 *Οὕτως ἐπανελθὼν ἀπὸ τοῦ πρὸς Μάξιμον πολέμου προσέταξεν ἐξουσιάζειν αὐτὴν τῶν πραγμάτων, ἀκούσας τὸν τῆς*

17. Α΄ Τιμ. 1, 9.

18. Θεοδόσιος (379-395)· αὐτοκράτορας τοῦ Βυζαντίου, ἐπέβαλε τό

᾿Ακόμη λέγεται ὅτι εἶναι ἁγνή, καθώς φημολογεῖται. Γιατί, ἐνῶ μποροῦσε νά χρησιμοποιήσει τόν ἀποστολικό νόμο πού λέγει, «Θέλω οἱ νεότερες χῆρες νά παντρεύονται, νά νοικοκυρεύονται», δέ δέχθηκε, ἄν καί ἦταν στολισμένη μέ ἔνδοξη καταγωγή καί πλοῦτο καί παιδεία πολύ χρήσιμων μαθημάτων καί ὀμορφιά σώματος καί νιάτα, πηδώντας μέ ἄνεση σάν ζαρκάδι τήν παγίδα τοῦ δεύτερου γάμου. Γιατί «ὁ νόμος δέν ὁρίσθηκε γιά τό δίκαιο, ἀλλά γιά τούς ἀνυπότακτους καί τούς βέβηλους»[17], τούς ἀχόρταγους γιά καταστροφή. Ἔτυχε ὅμως κατά κάποιο σατανικό φθόνο νά φθάσει μέ τρόπο ἡ πρόωρη χηρεία της στά αὐτιά τοῦ βασιλιᾶ Θεοδοσίου[18], ὁ ὁποῖος ἔσπευσε νά τήν παντρέψει μέ κάποιο συγγενή του, τόν ᾿Ελπίδιο Σπανό. Καί ἀφοῦ παρακάλεσε ἐπίμονα τή γυναίκα, λυπήθηκε μέ τήν ἀποτυχία του, ὅταν αὐτή τοῦ δήλωσε· «᾿Εάν ἤθελε ὁ δικός μου βασιλιάς νά συζῶ μέ ἄνδρα, δέ θά μοῦ ἔπαιρνε τόν πρῶτο. ᾿Αφοῦ ὅμως μ᾿ ἔκρινε ἀκατάλληλη γιά τή συζυγική ζωή, ἐπειδή δέν μποροῦσα ν᾿ ἀρέσω σέ ἄνδρα, καί ἐκεῖνον ἐλευθέρωσε ἀπό τό δεσμό, καί μένα ἀπάλλαξε ἀπό τό βαρύτατο ζυγό καί τήν ἀνδρική δουλεία, θέτοντας στήν ψυχή μου τόν ἀγαθό ζυγό τῆς ἐγκράτειας». Μετά τήν ἀπάντησή της αὐτή προστάζει τόν ἔπαρχο τῆς πόλης νά φυλάγονται τά πράγματά της, μέχρι πού νά συμπληρώσει τά τριάντα χρόνια στήν ἡλικία τοῦ σώματός της.

Αὐτός μόλις ἔλαβε τήν ἐξουσιοδότηση τοῦ βασιλιά, τόσο πολύ τήν πίεζε, παρακινούμενος ἀπό τόν ᾿Ελπίδιο, ὥστε νά μήν ἔχει δικαίωμα οὔτε τούς σεβάσμιους ἐπισκόπους νά συναντάει, οὔτε στήν ἐκκλησία νά πλησιάζει, γιά νά ὁδηγηθεῖ στήν ἐκλογή τοῦ γάμου, ἀφοῦ στενοχωρηθεῖ ἀπό τήν ἀδράνεια. Αὐτή ὅμως πού εὐχαριστήθηκε περισσότερο καί εὐχαρίστησε τό Θεό, ἀπάντησε στό βασιλιά τά ἑξῆς· «Σέ μένα τήν ταπεινή, βασιλιά μου, ἔδειξες ἀρετή πού ταιριάζει σέ βασιλιά καί ἁρμόζει σ᾿ ἐπίσκοπο, διατάζοντας νά φυλαχθεῖ τό βαρύτατο φορτίο μου, γιά τό ὁποῖο φρόντιζα, πῶς νά διοικηθεῖ. Θά κάμεις ὅμως καλύτερα, προστάζοντας νά μοιρασθεῖ αὐτό στούς φτωχούς καί στίς ἐκκλησίες. Γιατί ἐγώ περιφρόνησα ἀπό καιρό τή ματαιοδοξία τῆς διανομῆς, γιά νά μήν ἀμελήσω τόν πλοῦτο τῆς φύσης, ἀσχολούμενη συνεχῶς μέ τήν περιουσία». Ἔτσι, ὁ βασιλιάς, ὅταν ἐπέστρεψε ἀπό τόν πόλεμο ἐναντίον τοῦ Μαξίμου[19], πρόσταξε νά

Χριστιανισμό σάν ἐπίσημη θρησκεία τοῦ κράτους..

19. Μάξιμος· σφετεριστής τῶν ἐπαρχιῶν Βρετανίας, Γαλατίας καί ᾿Ισπανίας. ῾Η ἐκστρατεία ἐναντίον του ἔγινε τό 388.

ἀσκήσεως αὐτῆς τόνον.

Ο ΔΙΑΚ. Δικαίως οὖν αὐτὴν ἐτίμα ὁ Ἰωάννης, ἀσκουμένην οὕτως.

Ο ΕΠΙΣΚ. Ἀπέχεται μὲν γὰρ ἐμψύχων, ἀλουτεῖ δὲ τὸ
5 *πλεῖστον· ἂν δὲ χρεία γένηται δι' ἀῤῥωστίαν (πάσχει γὰρ συνεχῶς τὸν στόμαχον), σὺν τῷ χιτωνίσκῳ τοῖς ὕδασι καταβαίνει, αἰδουμένη καὶ ἑαυτήν, ὥς φασιν.*

Ο ΔΙΑΚ. Λέγεται δὲ καὶ αὕτη πάνυ τεθεραπευκέναι τὸν μακάριον Ἰωάννην.

10 *Ο ΕΠΙΣΚ. Καὶ τί ἄξιον τῆς αὐτοῦ ἀρετῆς εἰς αὐτὸν ἐπεδείξατο; Εἰ μὴ τὸ ἀπερίσπαστον τῆς καθημερινῆς μάζης παρασχομένη· ὅπερ ἐστὶν οὐ μικρὸν τοῖς τοῦ Χριστοῦ ἐργάταις νύκτωρ τε καὶ μεθ' ἡμέραν τὰ τοῦ Χριστοῦ μεριμνῶσιν· ὡς λέγει Παῦλος ἀσπαζόμενος Περσίδα, τὸ αὐτὸ τῇ Ὀλυμπιάδι*
15 *τάχα καμούσῃ· "Ἀσπάσασθε", γράφων, "Περσίδα τὴν ἀγαπητήν, ἥτις πολλὰ ἐκοπίασεν ἐν Κυρίῳ· οἱ πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσιν, καὶ οὐ τὰ τοῦ Χριστοῦ". Οἶδα ταύτην τὸν μακάριον Νεκτάριον πλέον τεθεραπευκέναι, ὡς καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς αὐτῇ πείθεσθαι. Ἀμφιλόχιον δὲ καὶ Ὄπτιμον καὶ*
20 *Γρηγόριον καὶ Πέτρον, τὸν ἀδελφὸν Βασιλείου, καὶ Ἐπιφάνιον τὸν Κύπρου, τοὺς ἁγίους, τί δεῖ λέγειν, οἷς καὶ κτήματα ἀγρῶν καὶ χρήματα ἐδωρήσατο; Ὀπτίμου δὲ τελευτῶντος ἐν Κωνσταντινουπόλει καὶ τοὺς ὀφθαλμοὺς ἰδίαις χερσὶν ἐκάμμυσεν. Πρὸς τούτοις καὶ τοὺς ἐλεεινοὺς οὐ μετρίως ἀνέψυξεν*
25 *ἐν πᾶσιν, Ἀντίοχον καὶ Ἀκάκιον καὶ Σευηριανόν, καὶ ἁπλῶς ἐκ μέρους πάντας τοὺς ἐπιδημοῦντας ἱερατικούς, ἀσκητῶν δὲ ἢ παρθένων ἀναριθμήτους.*

Ἰωάννης μέντοι, ἐπειδὴ κρίνας ἦν, ὡς εἰπεῖν, τύπος ἀποστελεὶς τοῖς μετάπειτα ἐπισκόποις τὸ ὅπως ὀφείλουσι ζῆν,
30 *κατὰ τὸν Παῦλον, "ἐν ἰδίῳ μισθώματι κηρῦξαι τὴν μετάνοιαν", μηδενὸς ἁπτόμενος τῶν τῆς ἐκκλησίας, τὰ τῆς ἡμέρας μόνης ἐλάμβανε βρώματα, δραπετεύων ἀεὶ τὴν τοιαύτην φροντίδα. Λέγεται δὲ ὅτι καὶ αἰδουμένῳ ἐῴκει, τῆς αἰσθητῆς μεταλαμβά-*

20. Ρωμ. 16, 12 καί Φιλιπ. 2, 21.

21. Ἀμφιλόχιος· ἐπίσκοπος Ἰκονίου (374-394).

22. Ὄπτιμος· ἐπίσκοπος Ἀντιόχειας τῆς Πισιδίας.

23. Γρηγόριος, ὁ Θεολόγος· ἐπίσκοπος Κων/πόλεως γιά ἕνα μήνα τό 381.

ἐξουσιάζει τά πράγματά της, ἀκούγοντας τή δύναμη τῆς ἄσκησής της.

Ο ΔΙΑΚ. Δίκαια λοιπόν τήν τιμοῦσε ὁ Ἰωάννης, ἀφοῦ ἀσκήτευε μέ τέτοιο τρόπο.

Ο ΕΠΙΣΚ. Ἀποφεύγει βέβαια τίς ζωικές τροφές, ἐνῶ τίς περισσότερες φορές εἶναι ἄλουστη· ἐάν ὅμως παρουσιασθεῖ ἀνάγκη ἐξ αἰτίας τῆς ἀρρώστιας (γιατί ὑποφέρει συνέχεια ἀπό τό στομάχι), κατεβαίνει μαζί μέ τό μικρό της χιτώνα μέσα στό νερό, ἐπειδή ντρέπεται καί τόν ἑαυτό της ἀκόμη, -ὅπως λέγουν.

Ο ΔΙΑΚ. Λέγουν ἀκόμη ὅτι αὐτή ἔχει ὑπηρετήσει πολύ τόν μακάριο Ἰωάννη.

Ο ΕΠΙΣΚ. Καί τί ἰσάξιο τῆς ἀρετῆς του ἔδειξε σ' αὐτόν; ἐκτός πού τοῦ πρόσφερε συνέχεια τήν καθημερινή τροφή, πράγμα πού δεν εἶναι μικρό γιά τούς ἐργάτες τοῦ Χριστοῦ, οἱ ὁποῖοι νύχτα καί ἡμέρα φροντίζουν ἐκεῖνα πού θέλει ὁ Χριστός ὅπως λέγει ὁ Παῦλος, ὅταν χαιρετᾶ τήν Περσίδα, ἐνῶ τό ἴδιο ἴσως ἔκαμε ἡ Ὀλυμπιάδα. «Χαιρετῆστε», γράφει, «τήν Περσίδα τήν ἀγαπητή, ἡ ὁποία πολύ κοπίασε στήν ὑπηρεσία τοῦ Κυρίου, γιατί ὅλοι ζητοῦν τά δικά τους, καί ὄχι ἐκεῖνα πού θέλει ὁ Χριστός»[20]. Ξέρω ὅτι αὐτή ἔχει ὑπηρετήσει περισσότερο τό μακάριο Νεκτάριο, ὥστε νά ὑπακούει σ' αὐτήν καί γιά τά ἐκκλησιαστικά ζητήματα. Γιατί πρέπει ν' ἀναφέρω τόν Ἀμφιλόχιο[21] καί τόν Ὄπτιμο[22] καί τό Γρηγόριο[23] καί τόν Πέτρο[24], τόν ἀδελφό τοῦ Βασιλείου[25], καί τόν Ἐπιφάνιο τῆς Κύπρου, τούς ἁγίους, στούς ὁποίους χάρισε καί χωράφια καί χρήματα; Ὅταν πέθανε στήν Κωνσταντινούπολη ὁ Ὄπτιμος καί τά μάτια του μέ τά ἴδια τά χέρια της τοῦ ἔκλεισε. Ἀκόμη καί τούς ἐλεεινούς πολύ ἀνακούφισε σ' ὅλα, τόν Ἀντίοχο καί τόν Ἀκάκιο καί τό Σευηριανό, καί ἕναν ἕναν χωριστά ὅλους τούς παρεπιδημοῦντες κληρικούς, ἀναρίθμητους ὅμως ἀσκητές ἤ μοναχές.

Ὁ Ἰωάννης ὅμως ἐπειδή θεωροῦσε -γιά νά πῶ ἔτσι- ὅτι στάθηκε ὑπόδειγμα γιά τούς μεταγενέστερους ἐπισκόπους πῶς πρέπει νά ζοῦν, σύμφωνα μέ τόν Παῦλο, «μέ δικό του μίσθωμα νά κηρύξει τή μετάνοια»[26], χωρίς ν' ἀγγίζει τίποτε ἀπό τά πράγματα τῆς ἐκκλησίας, ἔπαιρνε τῆς ἡμέρας μόνο τήν τροφή, ἀποφεύγοντας πάντοτε μιά τέτοια φροντίδα. Λέγεται ὅτι ἔμοιαζε πώς ντρεπόταν, ὅταν ἔτρωγε τήν

24. Πέτρος· ἐπίσκοπος Σεβάστειας (380-392).

25. Βασίλειος ὁ μέγας (329-379)· ἐπίσκοπος Καισάρειας τῆς Καππαδοκίας.

26. Τό χωρίο θεμελιώνεται πάνω στό Α΄ Κορ. 9, 18 καί Πράξ. 28, 30 καί 20, 21.

νων τροφῆς. Ὥσπερ γὰρ ἐπὶ τῶν μήλων, ἐπὰν πεπανθῶσιν εἰς ἄκρον, οὐκ ἀνέχονται παραμένειν τῷ κλάδῳ, τὴν τοῦ δεσπότου χεῖρα ἐπιζητοῦντα, οὕτω καὶ ἐπὶ τῶν ἁγίων, ὅταν ὑπερφυῶς ἐρασθῶσι τοῦ κάλλους τῶν οὐρανίων πραγμάτων, πρὸ
5 *τῆς ὡρισμένης ἐξόδου ἐπείγονται τυχεῖν τῆς ἐπαγγελίας· καθάπερ καὶ ἐπὶ τῶν δεσποτικῶν παιδίων, ἐκεῖνα γὰρ πολλάκις τῇ προσδοκίᾳ τῇ τῶν μελιπήκτων ἀθίγουσι τῶν προκειμένων βρωμάτων ἐπὶ φυλακῇ τῆς ὀρέξεως, ἵν' ἐμπλησθῶσι τῆς προσδοκωμένης γλυκύτητος. Γνωρίσωσι δὲ τοὺς λόγους οἱ εἰς*
10 *τὸ αὐτὸ ἴχνος τῆς πνευματικῆς πορείας ἐμβεβηκότες· "Λόγον", γάρ, "συνετὸν ἐὰν ἀκούσῃ σοφός, αἰνέσει αὐτὸν καὶ ἐπ' αὐτὸν προσθήσει".*

ΚΕΦΑΛΑΙΟΝ ΙΗ΄

Ο ΔΙΑΚ. Παρεκάλεσάς με, τίμιε πάτερ, πεπονημένως μοι
15 *περὶ πάντων διηγησάμενος τὰ αὐτὰ τῆς προλαβούσης φήμης, μετά τινος χάριτος ἀρτύσας τὰ εἰρημένα. Τοῦτο δὲ λέγω, ὅτι οὐδὲν ἐβάρει τὴν ἐκκλησίαν ἡ τοῦ ἐπισκόπου τροφή, εἰ τῆς ἐκκλησίας μετελάμβανεν ὁ ἅγιος Ἰωάννης, κατὰ τὸν εἰπόντα· "Ἄξιος" γὰρ "ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ", καὶ πάλιν, "Τίς*
20 *ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει; Τίς δὲ φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐ μεταλαμβάνει;" Οὐ τῆς Γραφῆς ἐστι ταῦτα καὶ πολλὰ ἕτερα;*

Ο ΕΠΙΣΚ. Πρεπόντως μὲν καὶ συνετῶς εἴρηκας, ὦ Θεόδωρε· πρόσθες δὲ τοῖς εἰρημένοις λόγοις καὶ τὰ ἑπόμενα
25 *ῥήματα. Ἐξουσίας γὰρ διδομένης παρὰ τοῦ ἱεροῦ νόμου "τοὺς τὰ ἱερὰ ἐργαζομένους ἐκ τοῦ ἱεροῦ ἐσθίειν", ὁ πλεονέκτης τῶν ἀγαθῶν Παῦλος τί ἐπιφέρει; "Οὐκ ἐχρησάμην τῇ ἐξουσίᾳ" ἐπὶ τοῖς σωματικοῖς, "ἵνα συγκοινωὸς γένωμαι τοῦ Εὐαγγελίου" ἐν τοῖς πνευματικοῖς, μὴ γενόμενος "πρόσκομμα*
30 *τοῖς ἀσθενέσι", κατὰ τὸν εἰπόντα, "Ἐὰν γάρ τις ἴδῃ σε τὸν ἔχοντα γνῶσιν" ἐν ἀσθενείᾳ "κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθήσεται" εἰς τὸ τὰ ἀσθενῆ μιμεῖσθαι; Εἰ μὲν γὰρ μέχρις ἡμῶν εἱστήκει τὰ πράγματα,*

---

27. Σοφ. Σειρ. 21, 15. 1. Α΄ Τιμ. 5, 18. 2. Α΄ Κορ. 9, 7.

αἰσθητή τροφή. Γιατί, ὅπως ἀκριβῶς συμβαίνει στά μῆλα, ὅταν ὡριμάσουν πολύ καλά, δέν ἀντέχουν νά παραμένουν στό κλαδί, καί ἐπιζητοῦν τό χέρι τοῦ ἰδιοκτήτη, ἔτσι γίνεται καί στήν περίπτωση τῶν ἁγίων, ὅταν ἀγαπήσουν ὑπερβολικά τήν ὀμορφιά τῶν οὐράνιων πραγμάτων, βιάζονται ν' ἀπολαύσουν τήν ὑπόσχεση πρίν τό καθορισμένο τέλος τους· ὅπως ἀκριβῶς συμβαίνει καί στά παιδιά τοῦ οἰκοδεσπότη, γιατί πολλές φορές αὐτά, ἐπειδή περιμένουν τά γλυκίσματα, ἀφήνουν ἄθικτα τά φαγητά πού εἶναι μπροστά τους καί φυλάγουν τήν ὄρεξή τους, γιά νά χορτάσουν ἀπό τή γλυκύτητα πού περιμένουν. Ἄς γνωρίσουν βέβαια τούς λόγους αὐτοί, πού ἔχουν μπεῖ στά ἴδια ἴχνη τῆς πνευματικῆς πορείας, γιατί «ὁ σοφός, ἐάν ἀκούσει λόγο συνετό, θά τόν ἐπαινέσει καί ὁ ἴδιος κάτι θά προσθέσει»[27].

ΚΕΦΑΛΑΙΟ ΙΗ΄

Ο ΔΙΑΚ. Μέ παρηγόρεσες, τίμιε πάτερ, ἀφοῦ μέ κόπο μοῦ διηγήθηκες γιά ὅλα, πού τά ἴδια πρόλαβε ἡ φήμη, στολίζοντας τά λόγια σου μέ κάποια χάρη. Λέγω ὅμως αὐτό, ὅτι δέν ἦταν καθόλου βάρος στήν ἐκκλησία ἡ τροφή τοῦ ἐπισκόπου, ἐάν ὁ ἅγιος Ἰωάννης τήν ἔπαιρνε ἀπό τήν ἐκκλησία, σύμφωνα μ' ἐκεῖνον πού εἶπε· «Εἶναι δίκαιο ὁ ἐργάτης νά παίρνει τήν τροφή του»[1], καί πάλι, «Ποιός βόσκει ποίμνιο, καί δέν τρώγει ἀπό τό γάλα τοῦ ποιμνίου; Καί ποιός φυτεύει ἀμπέλι, καί δέν τρώγει ἀπό τόν καρπό του;»[2]. Δέν εἶναι αὐτά λόγια τῆς ἁγίας Γραφῆς καί πολλά ἄλλα;

Ο ΕΠΙΣΚ. Βέβαια μίλησες ὅπως ἔπρεπε καί μέ σύνεση, Θεόδωρε· πρόσθεσε ὅμως σ' αὐτά πού εἶπες καί τά ἑπόμενα λόγια. Ἀφοῦ λοιπόν ὁ ἱερός νόμος δίνει τό δικαίωμα «ὅσοι ὑπηρετοῦν στή λατρεία τοῦ ἱεροῦ νά τρώγουν ἀπό τά προσφερόμενα στό ναό»[3], ὁ πλεονέκτης τῶν ἀγαθῶν Παῦλος τί προσθέτει; «Δέ χρησιμοποίησα τό δικαίωμα» γιά τά σωματικά, «γιά νά γίνω συμμέτοχος τοῦ εὐαγγελίου»[4] στά πνευματικά ἀγαθά, χωρίς νά γίνει «αἰτία ν' ἁμαρτήσουν οἱ ἀδύνατοι στήν πίστη»[5], σύμφωνα μ' αὐτόν πού εἶπε, «Γιατί, ἐάν κανείς δεῖ ἐσένα, πού ἔχεις τήν ὀρθή γνώση, νά βρίσκεσαι» σ' ἀδυναμία «δέ θά στερεωθεῖ ἡ συνείδησή του, ἀφοῦ αὐτός εἶναι ἀδύνατος»[6], στό νά μιμεῖται τά ἀδύνατα; Ἐάν λοιπόν τά πράγματα σταματοῦσαν σέ μᾶς,

3. Α΄ Κορ. 9, 13. 4. Α΄ Κορ. 9, 12.23. 5. Α΄ Κορ. 8, 9. 6. Α΄ Κορ. 8, 10.

οὐδενὸς μεθ' ἡμᾶς διαδεξομένου τὴν τοῦ λαοῦ θεραπείαν, ἣν εἰπεῖν πλημμελοῦντα· "Βιώσωμεν ὡς βουλόμεθα, ἀπολαύσαντες τῶν βιωτικῶν πραγμάτων".

Ἐπειδὴ δὲ οἱ μεθ' ἡμᾶς ὡς διδασκάλοις ἡμῖν χρῶνται, τὸν
5 *ἡμέτερον προβαλλόμενοι νόμον καὶ ἔθος, ἀναγκαῖόν ἐστι "μὴ μόνον ἑαυτοῖς ζῶντας, ἀλλὰ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι", καὶ τὸ τοῦ λαοῦ παραβιαζομένους τὴν ἀσθένειαν, ἐπὶ τὸ σωφρονέστερον καὶ ἀπεριττότερον μέρος ἄγειν τὴν τάξιν, ἑαυτοὺς νουθετοῦντας, κατὰ τὸν λέγοντα· "Τίς ἐστιν*
10 *ἄνθρωπος ὁφοβούμενος τὸν Κύριον; Νομοθετήσει αὐτῷ ἐν ὁδῷ ᾗ ἡρετίσατο". Τοῖς μὲν γὰρ προπετέσι καὶ ἐλεεινοῖς ἁμαρτάνουσιν ἀπερισκέπτως νομοθετεῖ ὁ Δεσπότης, ὡς ἅτε τὸ τῆς "δουλείας" ἀσπαζομένοις "πνεῦμα", κατὰ τὸν ᾠδικὸν Δαυείδ· "Νομοθετήσει Κύριος ἁμαρτάνοντας ἐν ὁδῷ", κολά-*
15 *σει δὲ παραβαίνοντας· ὁ δέ γε δίκαιος ὑπερβὰς τὰ μέτρα τοῦ τῆς δουλείας νόμου διὰ τὸ ἀγαπᾶν τὸν Δεσπότην, ἐπὶ τὸ τῆς υἱοθεσίας ἐπειγόμενος μέρος, ἑαυτοῦ νομοθέτης γίνεται. Οἷος ἦν ὁ Ἰώβ, καὶ ποιῶν καὶ λέγων· "Διαθήκην ἐθέμην τοῖς ἀδελφοῖς μου, καὶ οὐ μὴ συνήσω ἐπὶ παρθένον". Τίς δ' ἦν ἡ*
20 *διαθήκη; Τὸ αὐτοὺς ἀτακτήσαντας εἰς τὴν σωφροσύνην ἐκκοπῆναι· ὁμοίως λέγων καὶ ὁ Δαυείδ· "Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου"· τὸ ἐπαμφοτερίζον καὶ ἐνδυάζον τῆς γνώμης ὅρκῳ πεδήσας.*

Ὧν μιμητὴς πατέρων ὡς γνήσιος υἱός, καὶ οὐ νόθος
25 *ὑπάρχων ὁ Ἰωάννης, πλαδῶσαν τὴν τῶν ἀνθρώπων ἀγέλην ταῖς διαφόροις ἐπιθυμίαις ῥαῖσαι γλιχόμενος ἐπὶ τὸ στεγνότερον μέρος τοῦ βίου, ἑαυτοῦ δικαστὴς καὶ νομοθέτης ἐγίνετο, ἀμεταθέτῳ κρίσει πυκνούμενος, συμποσίων καὶ συλλόγων εὐτραπέλων καὶ γελωτοποιῶν καὶ ματαιολόγων ἀποσχονίσας*
30 *ἀνθρώπων, θωρακίσας ἑαυτοῦ τὸν τῆς ψυχῆς ὀφθαλμὸν τῇ τοῦ πνεύματος πανοπλίᾳ, ἵνα μὴ διὰ συμποσίου ἢ ἀκαίρου λόγου παρείσδυσιν εὑροῦσα ἡ ἀφροσύνη ἐξαφανίσῃ τὴν σωφροσύνην, κατὰ τὸν εἰπόντα· "Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί". Διὸ καὶ συνεσκευάσθη· βαρὺς γὰρ αὐτοῖς ἦν καὶ*
35 *φαινόμενος, καθάπερ λύχνος λημιῶσιν ὄμμασιν. Τοιοῦτός τις*

---

7. Β΄ Κορ. 5, 15. 9. Ρωμ. 8, 15. 11. Ἰώβ 31, 1.
8. Ψαλμ. 24, 12. 10. Ψαλμ. 24, 8. 12. Ψαλμ. 18, 106.

ἀφοῦ κανένας ὕστερα ἀπό μᾶς δέ θ' ἀναλάμβανε τή φροντίδα τοῦ λαοῦ, θά μποροῦσε νά πεῖ κάποιος ἁμαρτάνοντας· '"Ας ζήσουμε ὅπως θέλουμε, ἀπολαμβάνοντας τά βιωτικά πράγματα'.

'Επειδή ὅμως οἱ μεταγενέστεροι θά μᾶς χρησιμοποιήσουν σάν διδασκάλους, προβάλλοντας τό δικό μας κανόνα καί συνήθεια, εἶναι ἀνάγκη «ζώντας ὄχι μόνο γιά τόν ἑαυτό μας, ἀλλά γιά ἐκεῖνον πού πέθανε καί ἀναστήθηκε γιά χάρη μας»[7], καί ἐνισχύοντας τήν ἀδυναμία τοῦ λαοῦ, νά ὁρίσομε τό νόμο πρός τό σωφρονέστερο καί ἁπλούστερο μέρος, νουθετώντας τόν ἑαυτό μας, σύμφωνα μ' αὐτόν πού εἶπε· «Ποιός εἶναι ὁ ἄνθρωπος πού φοβεῖται τόν Κύριο; θά νομοθετήσει γιά τόν ἑαυτό του σύμφωνα μέ τή ζωή πού διάλεξε»[8]. Γιατί στούς ἀνόητους καί ἐλεεινούς πού ἁμαρτάνουν χωρίς περίσκεψη, νομοθετεῖ ὁ Κύριος, ἐπειδή δέχονται τό «πνεῦμα τῆς δουλείας»[9], σύμφωνα μέ τόν ψαλμωδό Δαυίδ· «Θά νομοθετήσει ὁ Κύριος γι' αὐτούς πού ἁμαρτάνουν στή ζωή τους»[10] καί θά τιμωρήσει τούς παραβάτες. 'Ενῶ βέβαια ὁ δίκαιος, πού ξεπέρασε τά ὅρια τοῦ νόμου τῆς ἁμαρτίας, ἐπειδή ἀγαπᾶ τόν Κύριο καί σπεύδει πρός τό μέρος τῆς υἱοθεσίας, γίνεται νομοθέτης τοῦ ἑαυτοῦ του. Τέτοιος ἦταν ὁ 'Ιώβ, καί ὅταν ἐνεργοῦσε καί ὅταν ἔλεγε· «"Εκαμα συμφωνία μέ τά μάτια μου, γιά νά μή βλέπω μέ κακή ἐπιθυμία τίς παρθένους»[11]. Καί ποιά ἦταν ἡ συμφωνία; Τό νά ἐξολοθρευτοῦν αὐτοί πού δέν τήρησαν τήν ἐγκράτεια. Τό ἴδιο λέγει καί ὁ Δαυίδ· «"Εκαμα ὅρκο καί ἔμεινα σταθερός νά φυλάξω τίς ἀποφάσεις τῆς δικαιοσύνης σου»[12], ἐμποδίζοντας μέ ὅρκο τή γνώμη του ν' ἀμφιταλαντεύεται καί νά κάνει καί τά δύο.

Αὐτῶν τῶν πατέρων ὑπῆρξε μιμητής σάν γνήσιος υἱός καί ὄχι νόθος ὁ 'Ιωάννης, καί θέλοντας ν' ἀνακουφίσει πρός τό στεγνότερο μέρος τῆς ζωῆς τό σύνολο τῶν ἀνθρώπων πού ἦταν βρεγμένο μέ τίς διάφορες ἐπιθυμίες, γινόταν δικαστής καί νομοθέτης τοῦ ἑαυτοῦ του, ἀφοῦ τόν πίεζε μέ σταθερή κρίση, ἀποκλείοντας τά συμπόσια καί τίς συγκεντρώσεις τῶν εὐτράπελων καί γελωτοποιῶν καί φλύαρων ἀνθρώπων, θωρακίζοντας τό μάτι τῆς ψυχῆς του μέ τήν πανοπλία τοῦ πνεύματος, γιά νά μήν ἐξαφανίσει τή σωφροσύνη ἡ ἀφροσύνη βρίσκοντας εἴσοδο μέ τό συμπόσιο ἤ τόν ἀνοητο λόγο, σύμφωνα μ' αὐτόν πού εἶπε· «Καταστρέφουν τά καλά ἤθη οἱ κακές συναναστροφές»[13]. Γι' αὐτό καί τόν ἐξόρισαν· γιατί ἦταν ἐνοχλητικός σ' αὐτούς καί μέ τήν παρουσία του μόνο, ὅπως τό λυχνάρι σέ μάτια γεμάτα τσίμπλες. "Ενας τέτοιος ἦταν ὁ συμπαθητικός 'Ιερεμίας, ὁ ὁποῖος

13. Α΄ Κορ. 15, 33.

ἣν ὁ συμπαθὴς Ἰερεμίας, ὀδάκρυσιν ὀλοφυρόμενος τῶν
ἀρχόντων καὶ τῶν ἱερέων τὴν ἀπιστίαν, ἐπιλέγων· "Τίς δώσει
μου τῇ κεφαλῇ ὕδωρ καὶ ὀφθαλμοῖς μου πηγὰς δακρύων, καὶ
κλαύσομαι τὸν λαόν μου ἡμέρας καὶ νυκτός;" Πάλιν, "Τίς
5 *δώσει μοι σταθμὸν ἔσχατον ἐν τῇ ἐρήμῳ, καὶ καταλείψω τὸν*
λαόν μου καὶ ἀπελεύσομαι ἀπ' αὐτῶν; Διότι πάντες μοιχῶνται
"· "Σύνοδον ἀθετούντων" τὸν σύλλογον ὀνομάζων τῶν ψευδο-
προφητῶν καὶ ἱερέων· ὡς καὶ ἀλλαχοῦ προσφωνεῖ τῷ Θεῷ, οὐχ
ὡς αὐτοῦ ἀγνοοῦντος, ἀλλ' ὡς ἡμῶν ὀφειλόντων μιμεῖσθαι·
10 *"Κύριε, εἰ ἐκάθισα ἐν συνεδρίῳ αὐτῶν παιζόντων, ἀλλ'*
εὐλαβούμην ἀπὸ προσώπου σου· κατὰ μόνας ἐκαθήμην, ὅτι
πικρίας ἐνεπλήσθην".

Συνῳδὰ δὲ τούτοις καὶ Δαυείδ· "Οὐκ ἐκάθισα μετὰ
συνεδρίου ματαιότητος", λέγων, "καὶ μετὰ παρανομούντων οὐ
15 *μὴ εἰσέλθω"· καὶ ἐπιφέρει σαφηνίζων· "Ἐμίσησα ἐκκλησίαν*
πονηρευομένων, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καδίσω. Νίψομαι ἐν
ἀθῴοις τὰς χεῖράς μου", τὰς πρακτικὰς δυνάμεις, "καὶ
κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε". Οἱ δὲ ἔλαττον φροντί-
σαντες τοῦ θυσιαστηρίου καὶ δόντες αὐτῷ νῶτα, οὐ προθέσει,
20 *ἀλλ' ἢ βιοῦσιν, οὐ μόνον ἀνίπτοις χερσὶ καὶ ᾑμαγμέναις,*
δωροδοκίᾳ, δωροληψίᾳ, καὶ ψευδογραφίᾳ, ἀλλὰ καὶ πεπηλω-
μένοις ποσὶ λὰξ πατοῦντες· περὶ ὧν αἰνιττόμενος ὁ προφήτης
Ἰεζεκιὴλ φησιν· "Εἰσήγαγέ με ἐπὶ τὰ πρόθυρα τῆς αὐλῆς, καὶ
εἶδον, καὶ ἰδοὺ ὀπὴ μία ἐν τῷ τοίχῳ. Καὶ εἶπε πρός με·
25 *'Διόρυξον, υἱὲ ἀνθρώπου'. Καὶ διώρυξα, καὶ εἶδον, καὶ ἰδοὺ*
θύρα μία. Καὶ εἶπε πρός με· 'Εἴσελθε, καὶ ἴδε τὰς ἀνομίας τὰς
πονηράς, ἃς ποιοῦσιν ὧδε'. Καὶ εἰσῆλθον, καὶ ἰδοὺ πᾶσα
ὁμοίωσις ἑρπετοῦ καὶ κτήνους, καὶ εἴδωλα μάταια βδελύγ-
ματα. Καὶ εἶπέ μοι· 'Ἑόρακας, υἱὲ ἀνθρώπου, ἃ ποιοῦσιν οἱ
30 *πρεσβύτεροι οἴκου Ἰσραὴλ ἐν σκοτεινῷ ἐν τῷ κοιτῶνι αὐτῶν*
τῷ κρυπτῳ;' "–τὴν ἀκάθαρτον αὐτῶν διάνοιαν αἰνιττόμενος–
"διότι εἶπον· 'Οὐχ ὁρᾷ Κύριος ἡμᾶς, ἐγκαταλέ[illegible] Κύριος
τὴν γῆν'. Καὶ εἶπε πρός με· 'Ἔτι ὄψει ἀνομίας μείζονας ἃς
οὗτοι ποιοῦσι'. Καὶ εἰσήγαγέ με εἰς ἕτερον τόπον, καὶ ἔδειξέ
35 *μοι· καὶ ἰδοὺ ἐκεῖ γυναῖκες καθήμεναι κλαίουσαι τὸν Θαμ-*

---

14. Ἰερ. 9, 1.
15. Ἰερ. 9, 2.
16. Ἰερ. 9, 2.
17. Ἰερ. 15, 17.
18. Ψαλμ. 25, 4.
19. Ψαλμ. 25, 5-6.

θρηνοῦσε μέ δάκρυα γιά τήν ἀπιστία τῶν ἀρχόντων καί τῶν ἱερέων, προσθέτοντας· «Ποιός θά δώσει στό κεφάλι μου νερό, καί στά μάτια μου πηγές ἀπό δάκρυα γιά νά κλάψω τό λαό μου ἡμέρα καί νύχτα;»[14]· πάλι ἔλεγε· «Ποιός θά μοῦ δώσει τόν τελευταῖο σταθμό στήν ἔρημο, γιά νά ἐγκαταλείψω τό λαό μου καί νά φύγω ἀπ' αὐτούς; γιατί ὅλοι εἶναι μοχοί»[15]· καί ὀνομάζει «σύναξη ἀνθρώπων πού παραβαίνουν τό νόμο τοῦ Θεοῦ»[16] τή σύναξη τῶν ψευδοπροφητῶν καί ἱερέων. Ὅπως καί ἀλλοῦ λέγει στό Θεό, ὄχι γιατί ἀγνοεῖ αὐτός, ἀλλά γιατί πρέπει ἐμεῖς νά τόν μιμούμαστε· «Κύριε, ἄν καί κάθισα στό συμβούλιο ἐμπαικτῶν, ὅμως φοβόμουν τό πρόσωπό σου. Καθόμουν μόνος μου, γιατί χόρτασα ἀπό πικρία»[17].

Κοντά σ' αὐτά καί ὁ Δαυίδ λέγει· «Δέν κάθισα μ' ἀνθρώπους πού συνεδριάζουν γιά μάταια πράγματα, καί δέ θά μπῶ στό συμβούλιο τῶν παρανόμων»[18]. Καί προσθέτει ἐπεξηγώντας· «Μίσησα τή συγκέντρωση τῶν πονηρῶν καί μαζί μέ τούς ἀσεβεῖς δέ θά καθίσω. Θά καθαρίσω τά χέρια μου μέ ἔργα ἀθῶα» -τίς πρακτικές δυνάμεις- «καί θά περιτριγυρίζω τό θυσιαστήριό σου, Κύριε»[19]. Αὐτοί ὅμως φρόντισαν λιγότερο γιά τό θυσιαστήριο καί ἔστρεψαν σ' αὐτό τά νῶτα τους, ὄχι μέ πρόθεση, ἀλλά μέ τή δωροδοκία μέ τήν ὁποία ζοῦν, τή δωροληψία καί τήν πλαστογραφία, ὄχι μόνο μέ ἀκάθαρτα καί αἱματοβαμμένα χέρια, ἀλλά καί τό πάτησαν μέ λασπωμένα πόδια περπατώντας μέ τή φτέρνα. Αὐτούς ὑπονοεῖ ὁ προφήτης Ἰεζεκιήλ ὅταν λέγει· «Μέ ὁδήγησε μέσα στά πρόθυρα τῆς αὐλῆς, καί εἶδα, καί νά μία τρύπα στόν τοῖχο. Καί εἶπε σέ μένα· 'Τρύπησε τόν τοῖχο, υἱέ τοῦ ἀνθρώπου'. Καί ἄνοιξα τρύπα, καί εἶδα, καί νά μία πόρτα. Καί εἶπε σέ μένα· 'Πήγαινε μέσα, καί δές τίς πονηρές παρανομίες, πού κάνουν ἐδῶ'. Καί μπῆκα μέσα, καί νά τό καθετί εἶναι ὅμοιο μέ ἑρπετό καί κτῆνος, καί ψεύτικα εἴδωλα πού προκαλοῦν ἀποστροφή. Καί μοῦ εἶπε· 'Εἶδες, υἱέ τοῦ ἀνθρώπου, αὐτά πού κάνουν οἱ πρεσβύτεροι τοῦ Ἰσραηλιτικοῦ λαοῦ στά σκοτεινά μέσα στό ἰδιαίτερο δωμάτιό τους;» (ὑπονοώντας τήν ἀκάθαρτη διάνοιά τους) «Γιατί εἶπαν· 'Δέ μᾶς βλέπει ὁ Κύριος, ἔχει ἐγκαταλείψει ὁ Κύριος τή γῆ'. Καί εἶπε σέ μένα· 'Θά δεῖς ἀκόμη παρανομίες μεγαλύτερες πού κάνουν αὐτοί'. Καί μέ ἔβαλε μέσα σ' ἄλλο τόπο, καί μοῦ ἔδειξε· καί νά ἐκεῖ κάθονταν γυναῖκες πού

μούζ"· καὶ πάλιν· "Εἰσήγαγέ με εἰς τὸν οἶκον Κυρίου τὸν ἐσώτερον· καὶ ἰδοὺ ἐκεῖ εἴκοσι καὶ τέσσαρες πρεσβύτεροι, καὶ τὰ πρόσωπα αὐτῶν διεστραμμένα, καὶ τὰ νῶτα αὐτῶν ἐπὶ τὸ θυσιαστήριον. Καὶ εἶπε πρός με· 'Μὴ μικρὰ ταῦτα ἃ ὁ οἶκος 5 'Ισραὴλ ποιεῖ;' ".

'Ηναγκάσθημεν δὲ τῆς τοῦ προφήτου περικοπῆς μνημονεῦσαι διὰ τοὺς ἀφειδεστέρους "τῶν οἰομένων εἶναί τι, καὶ ἑαυτοὺς φρεναπατούντων", καὶ τὴν ἐκκλησιαστικὴν εἰρήνην συγχεόντων, διὰ τὸ νῶτα δοῦναι τῇ τοῦ Κυρίου τραπέζῃ, "οἷς 10 τὸ κρῖμα οὐκ ἀργεῖ, καὶ ἡ ἀπώλεια αὐτῶν οὐ νυστάζει"· "οἱ τὰ ἐπίγεια φρονοῦντες", περὶ ὧν 'Ιούδας ὁ ἀδελφὸς 'Ιακώβου φησίν· "Οὗτοί εἰσιν οἱ ἐν ταῖς ἀγάπαις ὑμῶν σπιλάδες, συνευωχούμενοι ἀφόβως, ἑαυτοὺς ποιμαίνοντες· νεφέλαι ἄνυδροι, ὑπὸ ἀνέμων φερόμεναι· καὶ κύματα ἄγρια θαλάσσης, 15 ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας· ἀστέρες πλανῆται, οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα τετήρηται". Ἡ μὲν γὰρ "νεφέλας ἀνύδρους" ἐκάλεσεν, τὴν πονηρὰν αὐτῶν ᾐνίξατο χάλαζαν, τὴν τῆς ἀμπέλου ἀντίδικον· ἣ δὲ "πλανήτας ἀστέρας", τὸ τῆς νηὸς ἐπίβουλον ὑπηνίξατο· ἥτις ναῦς καὶ ἄμπελός ἐστιν ἡ 20 ἐκκλησία. Τίνα δέ ἐστιν, ἃ τοῖς τοιούτοις ἕψεται ἐξ ἀνάγκης;

Ἄκουσον πάλιν τοῦ αὐτοῦ διηγουμένου προφήτου 'Ιεζεκιήλ· "Καὶ ἔδειξέ μοι, καὶ ἰδοὺ ἄνδρες ἓξ ἤρχοντο ἀπὸ τῆς ὁδοῦ τῆς πύλης τῆς ὑψηλῆς τῆς βλεπούσης πρὸς βορρᾶν, καὶ ἑκάστου πέλυξ ἐν τῇ χειρὶ αὐτοῦ· καὶ ἀνὴρ εἷς ἐν μέσῳ αὐτῶν, 25 ἐνδεδυκὼς ποδήρη, καὶ ζώνη σαπφείρου ἐπὶ τῆς ὀσφύος αὐτοῦ· καὶ εἰσῆλθον καὶ ἔστησαν ἐχόμενοι τοῦ θυσιαστηρίου τοῦ χαλκοῦ. Καὶ ἡ δόξα τοῦ Θεοῦ 'Ισραὴλ ἀνέβη ἀπὸ τῶν χερουβίμ, ἡ οὖσα ἐπ' αὐτῶν, εἰς τὸ αἴθριον τοῦ οἴκου. Καὶ ἐκάλεσεν τὸν ἄνδρα τὸν ἐνδεδυμένον τὸν ποδήρη, ὃς εἶχεν ἐπὶ 30 τῆς ὀσφύος αὐτοῦ τὴν ζώνην, καὶ εἶπεν Κύριος πρὸς αὐτόν· 'Δίελθε μέσην τὴν πόλιν τὴν 'Ιερουσαλήμ, καὶ δὸς τὸ σημεῖον ἐπὶ τὰ μέτωπα τῶν ἀνδρῶν τῶν καταστεναζόντων καὶ κατωδυνωμένων ἐπὶ πάσαις ταῖς ἀνομίαις ταῖς γινομέναις ἐν μέσῳ αὐτῶν'. Καὶ αὐτοῖς εἶπεν" -δηλαδὴ τοῖς ἓξ τοῖς ἔχουσι τοὺς

---

20. Θαμμούζ· θεός τῆς βλάστησης. 'Η λατρεία του ἦταν σουμερική καί εἰσήχθηκε στούς 'Ισραηλίτες μέ τίς ἐπαφές τους πρός τούς Συροφοίνικες καί 'Ασσυροβαβυλώνιους κατακτητές. Ἦταν τό ἴνδαλμα τῶν γυναικῶν.

21. 'Ιεζ. 8, 7-10· 12-14· 16-17.

22. Γαλ. 2, 6· 6, 3.

ἔκλαιγαν τόν Θαμμούζ»[20]· καί πάλι· «Μέ ὁδήγησε στό ἐσωτερικό τοῦ οἴκου τοῦ Κυρίου· καί νά ἐκεῖ ἦταν εἴκοσι τέσσερις πρεσβύτεροι καί τά πρόσωπά τους στραμμένα ἀλλοῦ, καί τά νῶτα τους πρός τό θυσιαστήριο. Καί εἶπε σέ μένα· 'Μήπως εἶναι μικρά αὐτά πού κάνει ὁ Ἰσραηλιτικός λαός;»[21].

Ἀναγκασθήκαμε ν' ἀναφέρουμε τήν περικοπή τοῦ προφήτη γιά τούς περισσότερο ἀδιάφορους ἀπό ἐκείνους «πού θεωροῦνται μεγάλοι καί ἐξαπατοῦν τόν ἑαυτό τους»[22], καί διαταράσσουν τήν εἰρήνη τῆς ἐκκλησίας, ἐπειδή στρέφουν τά νῶτα τους στήν ἁγία τράπεζα, «στούς ὁποίους ἡ καταδίκη δέν παραμένει ἀδρανής καί ἡ ἀπώλειά τους δέν εἶναι δυσκίνητη σάν τόν ἄνθρωπο πού νυστάζει»[23]. «Αὐτοί ἔχουν γήινα φρονήματα»[24], γιά τούς ὁποίους ὁ Ἰούδας, ὁ ἀδελφός τοῦ Ἰακώβου, λέγει· «Αὐτοί εἶναι μιάσματα στά κοινά σας δεῖπνα πού συνδέονται μέ τή θεία εὐχαριστία, συντρώγουν μαζί σας χωρίς φόβο, ποιμαίνουν τούς ἑαυτούς τους· εἶναι σύννεφα χωρίς νερό, πού σπρώχνονται μέ βία ἀπό τούς ἀνέμους· εἶναι κύματα ἄγρια τῆς θάλασσας, πού ὡς ἀφρό χύνουν τίς αἰσχρές πράξεις τους· εἶναι ἀστέρια πού πλανιοῦνται ἐδῶ καί ἐκεῖ, γιά τά ὁποῖα ἔχει φυλαχθεῖ τό αἰώνιο πυκνό σκοτάδι»[25]. Γιατί ὅπου τούς ὀνόμασε «σύννεφα χωρίς νερό», ὑπενόησε τήν πονηρή τους σκέψη, πού εἶναι σάν τό χαλάζι, τόν ἐχθρό τοῦ ἀμπελιοῦ· ἐνῶ ὅπου τούς ὀνόμασε «ἀστέρια πού περιπλανιοῦνται», ὑπενόησε αὐτά πού βλάπτουν τό πλοῖο. Αὐτό τό πλοῖο καί τό ἀμπέλι εἶναι ἡ ἐκκλησία. Καί τί θ' ἀκολουθήσει σάν τιμωρία σέ τέτοιους ἀνθρώπους;

Ἄκουσε πάλι τόν ἴδιο προφήτη Ἰεζεκιήλ πού ἀφηγεῖται· «Καί μοῦ ἔδειξε, καί νά ἕξι ἄνδρες ἔρχονταν ἀπό τό δρόμο, ὅπου εἶναι ἡ ὑψηλή πόρτα πού βλέπει πρός τό βόρειο μέρος, καί ὁ καθένας κρατοῦσε στό χέρι του τσεκούρι· καί ἀνάμεσά τους ἦταν ἕνας ἄνδρας, ντυμένος μέ χιτώνα, πού ἔφθανε μέχρι τά πόδι κάτω, καί μέ ζώνη στή μέση του ἀπό ζαφείρι. Καί μπῆκαν καί σταμάτησαν ἀφοῦ πλησίασαν τό χάλκινο θυσιαστήριο. Καί ἡ δόξα τοῦ Θεοῦ τοῦ Ἰσραήλ ἔφυγε ἀπό τά χερουβίμ, ἡ ὁποία ἦταν ἐπάνω ἀπ' αὐτά, καί ἦρθε στό κατώφλι τοῦ ναοῦ. Καί κάλεσε τόν ἄνδρα, πού ἦταν ντυμένος μέ τό χιτώνα καί εἶχε στή μέση του τή ζώνη, καί εἶπε ὁ Κύριος σ' αὐτόν· 'Πέρασε ἀπό τό μέσο τῆς πόλης Ἰερουσαλήμ, καί σημείωσε στά μέτωπα τῶν ἀνδρῶν πού στενάζουν καί λυποῦνται πολύ γιά ὅλες τίς παρανομίες, οἱ ὁποῖες γίνονται ἀνάμεσά τους'. Καί εἶπε σ' αὐτούς» (δηλαδή στούς ἕξι πού

---

23. Β΄ Πέτρ. 2, 3. 24. Φιλιπ. 3, 19. 25. Ἰούδα 12-13.

πέλυκας- "ἀκούοντός μου· 'Πορεύεσθε εἰς τὴν πόλιν ὀπίσω αὐτοῦ' " -δηλαδὴ τοῦ τὰ σημεῖα τιθέντος ἐπὶ τῶν μετώπων- " 'καὶ κόπτετε καὶ μὴ φείσησθε τοῖς ὀφθαλμοῖς ὑμῶν, καὶ μὴ ἐλεήσητε· πρεσβύτερον καὶ νεανίσκον καὶ παρθένον καὶ 5 νήπια καὶ γυναῖκας ἀποκτείνατε εἰς ἐξάλειψιν, ἐπὶ δὲ πάντας, ἐφ' οὓς ἐστι τὸ σημεῖον, μὴ ἐγγίσητε· καὶ ἀπὸ τῶν ἁγίων μου ἄρξασθε'. Καὶ ἤρξαντο ἀπὸ τῶν ἀνδρῶν τῶν πρεσβυτέρων οἳ ἦσαν ἐν τῷ οἴκῳ Κυρίου".

Εἰ δέ τις νομίζει περὶ τῶν κατὰ τὴν Ἰουδαίαν προφητεύε- 10 σθαι ταῦτα, οὗτος ἔοικε καὶ τὴν τοῦ Σωτῆρος ἐπιδημίαν ἠγνοηκέναι· οὐ γὰρ πρὸ τῆς αἰχμαλωσίας ἱεράτευσεν ὁ Ἰεζεκιὴλ. Παῖς γὰρ ἔτι νεαρὸς συναιχμαλωτισθεὶς κατὰ οἰκονομίαν Θεοῦ τῇ φυλῇ τοῦ Λευΐ, τῷ τριακοστῷ ἔτει τῆς ὁράσεως καταξιοῦται τῶν μελλόντων, ἱερατεύων ἐν τῇ αἰχμα- 15 λωσίᾳ, ὡς αὐτὸς ὑφηγεῖται· "Καὶ ἐγένετο ἐν τῷ τριακοστῷ ἔτει, ἐν τῷ τετάρτῳ μηνί, πέμπτῃ τοῦ μηνός· καὶ ἐγὼ ἤμην ἐν μέσῳ τῆς αἰχμαλωσίας ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ"· καὶ πάλιν μετ' ὀλίγα· " 'Εγένετο λόγος Κυρίου πρὸς Ἰεζεκιήλ, υἱὸν Βουζί, τὸν ἱερέα ἐν γῇ Χαλδαίων ἐπὶ τοῦ ποταμοῦ Χοβάρ". Εἰ δὲ ἐντεῦθεν 20 στενούμενός τις ἐρεῖ ἡμῖν· 'Προηγησαμένου τοῦ Σωτῆρος, ὃς καὶ τὸ σημεῖον δέδωκεν ἐπὶ τῶν μετώπων τοῦ σταυροῦ, ' ἐπηκολουθηκέναι ἀπιστηθέντος τοῦ Σωτῆρος, τὴν βασιλείαν Ῥωμαίων ἐπὶ Οὐεσπασιανοῦ συγκόψαντος τῷ τεσσαρακοστῷ ἔτει τὴν τὰ παράνομα ἐργασαμένην συναγωγήν'· ἀποδεχόμεθα 25 μὲν τὸν ταῦτα νοοῦντα, παρακαλοῦμεν δὲ αὐτόν, ὡς υἱὸν τῆς Καινῆς Διαθήκης, πείθεσθαι τῷ τῶν τοιούτων μύστῃ Παύλῳ τῷ λέγοντι περὶ πάντων τῶν τοιούτων βιβλίων, τό· "Ταῦτα δὲ τυπικῶς συνέβαινεν ἐκείνοις· ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντηκεν".

30 Ταῦτα δὲ λέγω, οὐχὶ δι' εὐχῆς ἔχων σιδηρᾶν ῥομφαίαν ἐλθεῖν ἐπὶ τοὺς ἐχθροὺς τοῦ Θεοῦ, ἄπαγε. Οὔτε γὰρ περὶ σιδηρᾶς ὁ προφήτης σημαίνει, ἀλλὰ περὶ ἑτέρας τινὸς κολαστικῆς δυνάμεως, περὶ ἧς ὁ αὐτὸς Ἰεζεκιὴλ λέγει· "Γῆ, ἐφ' ἣν ῥομφαίαν ἐπάγω ἐπ' αὐτήν" (τὸ δέ, «ἐπάγω», ἀντὶ τοῦ,

---

26. Ἰεζ. 9, 1-6. 27. Ἰεζ. 1, 1. 28. Ἰεζ. 1, 2.

29. Ἡ Ἱερουσαλὴμ κατακτήθηκε ἀπό τούς Ρωμαίους τό 70 μ.Χ., ὅταν αὐτοκράτορας ἦταν ὁ Βεσπασιανός (69-79).

κρατοῦσαν τά τσεκούρια) «ἐνῶ ἐγώ ἄκουα· 'Πηγαίνετε στήν πόλη πίσω ἀπ' αὐτόν'» (δηλαδή ἀπ' ἐκεῖνον πού ἔβαζε τά σημάδια στά μέτωπα τῶν ἀνθρώπων) «'καί κόβετε τά κεφάλια καί νά μή λυπηθοῦν τά μάτια σας καί νά μή φανεῖτε εὐσπλαχνικοί· γέροντες καί νέους καί παρθένους καί νήπια καί γυναῖκες νά σκοτώσετε γιά νά ἐξαλειφθοῦν, ἐπάνω σ' ὅλους ὅμως, στούς ὁποίους ὑπάρχει τό σημάδι, νά μήν πλησιάσετε τό χέρι σας· καί ν' ἀρχίσετε ἀπ' αὐτούς πού ὑπηρετοῦν τά ἅγια'. Καί ἔκαμαν ἀρχή ἀπό τούς πρεσβυτέρους πού ἦταν στό ναό τοῦ Κυρίου»[26].

'Εάν ὅμως κανείς νομίζει ὅτι αὐτά προφητεύονται γιά τούς 'Ιουδαίους, αὐτός φαίνεται πώς δέ γνωρίζει καί τόν ἐρχομό τοῦ Σωτήρα, ἐπειδή ὁ 'Ιεζεκιήλ δέν ἦταν ἱερέας πρίν ἀπό τήν αἰχμαλωσία. Γιατί, ἀφοῦ κατά τήν οἰκονομία τοῦ Θεοῦ αἰχμαλωτίσθηκε νεαρό παιδί μαζί μέ τή φυλή τοῦ Λευΐ, στό τριακοστό ἔτος κρίθηκε ἄξιος γιά νά δεῖ τά μελλοντικά, ἐνῶ ἦταν ἱερέας στήν αἰχμαλωσία, ὅπως ὁ ἴδιος ἀφηγεῖται· «Καί συνέβηκε στό τριακοστό ἔτος, στόν τέταρτο μήνα, στίς πέντε τοῦ μήνα· καί ἐγώ βρισκόμουν στήν αἰχμαλωσία στίς ὄχθες τοῦ ποταμοῦ Χοβάρ»[27]. Καί πάλι ὕστερα ἀπό λίγο· «Ἔγινε λόγος Κυρίου πρός τόν 'Ιεζεκιήλ, τόν υἱό τοῦ Βουζί, τόν ἱερέα, στή γῆ τῶν Χαλδαίων στίς ὄχθες τοῦ ποταμοῦ Χοβάρ»[28]. 'Εάν ὅμως ἀπό ἐδῶ θά μᾶς πεῖ κάποιος πού σκέπτεται πολύ στενά, «Προηγήθηκε ὁ Σωτήρας, ὁ ὁποῖος ἔδωσε καί τό σημεῖο τοῦ σταυροῦ ἐπάνω στά μέτωπά τους, ἀκολούθησε ἔπειτα, ὅταν δέν πίστεψαν στό Σωτήρα, ἡ βασιλεία τῶν Ρωμαίων τήν ἐποχή τοῦ Βεσπασιανοῦ, ὁ ὁποῖος κατέστρεψε τελείως στό τεσσαρακοστό ἔτος τή συναγωγή πού ἔπραξε τά παράνομα»[29], δεχόμαστε ἐκεῖνον πού τά σκέφτεται αὐτά, ἀλλά τόν παρακαλοῦμε, σάν υἱό τῆς Καινῆς Διαθήκης, νά πείθεται στόν Παῦλο, ὁ ὁποῖος γνωρίζει καλά αὐτά καί λέγει γιά ὅλα τά βιβλία αὐτά τό ἑξῆς· «Ὅλα ὅμως αὐτά συνέβαιναν σ' ἐκείνους σάν προφητικές προεικονίσεις, καί γράφηκαν γιά νουθετηθοῦμε ἐμεῖς, στούς ὁποίους κατέληξαν οἱ ἔσχατοι χρόνοι»[30].

Καί τά λέγω αὐτά, ὄχι ἐπειδή εὔχομαι νά ἔρθει σιδερένια ρομφαία ἐπάνω στούς ἐχθρούς τοῦ Θεοῦ, -μακριά ἀπ' ἐδῶ. Γιατί οὔτε ὁ προφήτης διακηρύσσει γιά σιδερένια ρομφαία, ἀλλά γιά κάποια ἄλλη δύναμη πού τιμωρεῖ, γιά τήν ὁποία ὁ ἴδιος ὁ 'Ιεζεκιήλ λέγει· «'Εάν σέ κάποια χώρα στείλω ρομφαία» (τό 'στείλω' ὅμως τό λέγει ἀντί γιά τό

30. Α΄ Κορ. 10, 11.

'συγχωρήσω'), "καὶ λάβῃ ὁ λαὸς τῆς γῆς ἄνδρα ἕνα, καὶ δῶσιν ἑαυτοῖς εἰς σκοπόν, καὶ ἴδῃ ὁ σκοπὸς τὴν ῥομφαίαν ἐρχομένην, καὶ σαλπίσῃ τῇ σάλπιγγι, καὶ σημάνῃ τῷ λαῷ, καὶ ἀκούσῃ ὁ ἀκούων καὶ μὴ φυλάξηται, ἐπελθοῦσα δὲ ἡ ῥομφαία
5 *καταλάβῃ τινά, τὸ αἷμα αὐτοῦ ἐξ αὐτοῦ ἐκζητήσω, ὅτι οὐκ ἤκουσεν τῆς φωνῆς τῆς σάλπιγγος"· καὶ πάλιν· "'Εὰν δὲ ὁ σκοπὸς ἴδῃ τὴν ῥομφαίαν ἐρχομένην καὶ μὴ σαλπίσῃ τῇ σάλπιγγι, καὶ τῷ λαῷ μὴ σημάνῃ, ἐπελθοῦσα δὲ ἡ ῥομφαία καταλάβῃ τινά, τὸ αἷμα αὐτοῦ ἐκ τῆς χειρὸς τοῦ σκοποῦ τῆς*
10 *σάλπιγγος ἐκζητήσω, ὅτι ἰδὼν τὴν ῥομφαίαν οὐκ ἐσάλπισεν". Τοῦτον τὸν κίνδυνον οὐχ ὑπνῶν τὸν τῆς ἀπιστίας ὕπνον, οὐδὲ ὀκνῶν τὸν τῆς φιληδονίας ὄκνον ὁ μακάριος 'Ιωάννης πρὸ ὀφθαλμῶν ἔχων, ὑψηλότερον σάλπιγγος ἐβόα, οὐκ ἄδηλος φθόγγον σημαίνων, ἀλλ' εὔδηλον γνῶσιν παρέχων τῆς διαβολι-*
15 *κῆς ῥομφαίας, παρεκάλει φεύγειν τοὺς πάντας. Καὶ ὅσοι μὲν τὸ συνειδὸς καθαρὸν καθάπερ σημεῖον ἐπὶ τοῦ τῆς ψυχῆς μετώπου ἔσχον, χάριτι Θεοῦ σὺν ὑμῖν τοῖς πιστοῖς 'Ρωμαίοις διεσώθησαν· ὅσοι δ' αὖ πάλιν μεμολυμμένον, τοὺς λαοὺς καὶ τοὺς ἱερεῖς εἰς τὴν κατ' ἀλλήλων φιλονεικίαν ἐξέκαυσαν, ἵνα*
20 *τοῖς κοινοῖς κακοῖς τὸ καθ' ἑαυτοὺς συσκιάσωσιν.*

Ο ΔΙΑΚ. Θαυμασίως μὲν εἴρηκας· ὡμολόγηται δὲ ὅτι ἀμήχανόν ἐστι πρᾶγμα, ἄνθρωπον ἄμεμπτον ἐν τῷ περιγείῳ βίῳ τούτῳ εὑρεθῆναι τέλειον· τῆς Γραφῆς λεγούσης πολλαχῶς· "Τίς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ τίς παῤῥησιάσε-
25 *ται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας;" Πλὴν ὅμως οὐκ ἔγνω χρήσασθαι τῷ καιρῷ ὁ μακάριος 'Ιωάννης· τοῖς γὰρ κεκρατημένοις οὐ δεῖ παρεγχειρεῖν.*

Ο ΕΠΙΣΚ. Ἔοικάς μοι, καλὲ Θεόδωρε, πανοῦργος ὑπάρχειν. Συμπάθειαν γάρ, ὡς ἔπρεπέν σοι, ἀπ' ἀρχῆς ἡμῖν
30 *προβαλλόμενος μετά τινος κατανύξεως, ἐκ τοῦ κατὰ μικρὸν εὑρίσκῃ φιλοσκώπτης ὑπάρχων. Οὔτε γὰρ οἱ νομιζόμενοι ἐχθροὶ οὕτω δεινῶς τὰ κατ' αὐτὸν διεμέμψαντο.*

Ο ΔΙΑΚ. Πρὸς τί ἠχθέσθης, φιλαλήθως ἀκούσας, πάτερ, ὅτι εἶπον "Οὐ προσέσχε τῷ καιρῷ ὁ μακάριος 'Ιωάννης"; τῆς
35 *Γραφῆς λεγούσης· "'Εν τόποις δυναστῶν μὴ ὑφίστασο"· καὶ*

---

31. 'Ιεζ. 33, 2-5. 32. 'Ιεζ. 33, 6. 33. Παροιμ. 20, 9.

'θά ἐπιτρέψω'), «καί ὁ λαός τῆς χώρας διαλέξει ἕναν ἄνδρα καί τόν διορίσουν σάν φρουρό τους, καί δεῖ ὁ φρουρός ὅτι ἡ ρομφαία ἔρχεται ἐναντίον τῆς χώρας καί σαλπίσει μέ τή σάλπιγγα καί προειδοποιήσει τό λαό, τότε ὅποιος ἀκούσει καί δέν προφυλαχθεῖ, ὅταν ἡ ρομφαία ἔρθει καί ἁρπάξει κάποιο, ἡ εὐθύνη τοῦ αἵματός του θά πέσει πάνω του, γιατί ἄκουσε τή φωνή τῆς σάλπιγγας καί δέν προφυλάχθηκε»[31]. Καί πάλι· «Ἐάν ὅμως ὁ φρουρός δεῖ ὅτι ἡ ρομφαία ἔρχεται καί δέ σαλπίσει μέ τή σάλπιγγα καί δέν προειδοποιήσει τό λαό, ὅταν ἔρθει ἡ ρομφαία καί ἁρπάξει κάποιο, πότε θά ζητήσω εὐθύνη γιά τό αἷμα του ἀπό τό φρουρό, γιατί, ὅταν εἶδε τή ρομφαία, δέ σάλπισε»[32]. Ἔχοντας μπροστά του αὐτόν τόν κίνδυνο ὁ μακάριος Ἰωάννης χωρίς νά κοιμᾶται τόν ὕπνο τῆς ἀπιστίας, οὔτε νά διστάζει ἀπό τό φόβο τῆς φιληδονίας, φώναξε δυνατότερα ἀπό σάλπιγγα, σημαίνοντας ὄχι ἄγνωστη φωνη, ἀλλά παρέχοντας ὁλοφάνερη γνώση τῆς διαβολικῆς ρομφαίας, παρακαλοῦσε νά φεύγουν ὅλοι. Καί ὅσοι βέβαια εἶχαν τή συνείδησή τους καθαρή σάν σημάδι ἐπάνω στό μέτωπο τῆς ψυχῆς, μέ τή χάρη τοῦ Θεοῦ διασώθηκαν μαζί μέ σᾶς τούς πιστούς Ρωμαίους, ἐνῶ ὅσοι πάλι τήν εἶχαν ἀκόμη μολυσμένη, παρακίνησαν τούς ἀνθρώπους καί τούς ἱερεῖς στή φιλονεικία μεταξύ τους, γιά νά καλύψουν μέ τά κοινά κακά τό δικό τους.

Ο ΔΙΑΚ.Θαυμάσια βέβαια μίλησες, ἀλλ' ἔχει ὁμολογηθεῖ ὅτι εἶναι ἀκατόρθωτο πράγμα, νά βρεθεῖ τέλειος ἄνθρωπος ἄμεμπτος στήν ἐπίγεια αὐτή ζωή, ἀφοῦ μέ πολλούς τρόπους λέγει ἡ ἁγία Γραφή· «Ποιός μπορεῖ νά καυχηθεῖ ὅτι ἔχει ἀναμάρτητη ψυχή; ἤ ποιός μπορεῖ νά λέγει μέ παρρησία ὅτι εἶναι καθαρός ἀπό ἁμαρτία;»[33]. Ἀλλ' ὅμως δέ γνώριζε νά χρησιμοποιεῖ τίς εὐκαιρίες ὁ μακάριος Ἰωάννης, γιατί δέν πρέπει νά προβάλλει σφαλερά ἐπιχειρήματα σ' αὐτούς πού εἶναι δέσμιοι τῆς ἁμαρτίας.

Ο ΕΠΙΣΚ. Μοῦ φαίνεσαι, ἀγαθέ Θεόδωρε, ὅτι εἶσαι πονηρός. Γιατί, ἐνῶ ἀπό τήν ἀρχή μᾶς πρόβαλλες συμπάθεια, ὅπως ταίριαζε σέ σένα, μέ κάποια κατάνυξη, σιγά-σιγά ἀποφαίνεσαι ὅτι εἶσαι χλευαστής. Γιατί οὔτε ἐκεῖνοι πού θεωροῦνται ἐχθροί του κατηγόρησαν τόσο σφοδρά τίς ἐνέργειές του.

Ο ΔΙΑΚ. Γιατί δυσανασχέτησες, ὅταν ἄκουσες μέ φιλαλήθεια, πάτερ, ὅτι εἶπα «Δέν πρόσεξε τίς εὐκαιρίες ὁ μακάριος Ἰωάννης»; καθόσον ἡ ἁγία Γραφή λέγει· «Νά μήν κάθεσαι στίς θέσεις τῶν

πάλιν· "Τὸν καιρὸν ἐξαγοραζόμενοι", μάλιστα ἐπὶ τῶν παραίνεσιν ἢ ὠφέλειαν μὴ δεχομένων.

Ο ΕΠΙΣΚ. Μακάριοί ἐστε, οὕτω τὰς Γραφὰς ἑρμηνεύοντες. Τὸ γάρ, "Ἐν τόποις δυναστῶν μὴ ὑφίστασο", παρὰ τῷ ἐκκλησιαστῇ, πρὸς τοὺς ἀναξίους καὶ ἀδυνάτους ἱερωσύνης εἴρηται, ἵνα μὴ ταύτην ἁρπάζωσι. "Δυνάστας" γὰρ τοὺς κατ᾽ ἀρετὴν διδασκάλους λέγει· πρῶτον τοὺς ἀποστόλους, οἵτινες ἦσαν "δυνάσται", τὸ τῆς "δυνάμεως" ἠμφιεσμένοι "πνεῦμα", ἔπειτα τοὺς μιμητὰς τούτων. Καὶ τό, "ἐξαγοράζειν δὲ τὸν καιρόν", τοιοῦτόν ἐστιν, οὐχ ἵνα ὑποκριθῶμεν, κλέπταις συντρέχοντες, καὶ μετὰ μοιχῶν τὴν μερίδα τιθέντες, ἀλλ᾽ ἵνα κατὰ τὸν καιρὸν τῆς ἁμαρτίας διὰ τῆς ἀρετῆς "ἀγοράσωμεν τὸν καιρόν", μὴ πωλήσαντες αὐτὸν τῇ ἁμαρτίᾳ. Ὁ δὲ κατὰ μικρὸν τούτῳ τῷ τρόπῳ "τὸν καιρὸν ἐξαγοράζων", ὅλον ἑαυτοῦ τὸ ζῆν ἐξηγόρασεν, παραχωρήσας τὰ τοῦ βίου ἡδέα, ἵνα τὰ ὑπὲρ βίον εὑρήσῃ. Ὥσπερ καὶ οἱ μάρτυρες πεποιήκασι, δόντες τὸ ζῆν τὸ αἱμάτινον, τὴν ἀφθαρσίαν ἐκληρονόμησαν, κυρίως αὐτοὶ "τὸν καιρὸν ἐξαγοράσαντες". Εἰ δὲ μὴ οὕτως ταῦτα νοεῖται, ἔσονται καὶ οἱ περὶ Μωϋσέα καὶ Ἠλίαν καὶ Μιχαίαν καὶ Δανιὴλ καὶ Ἰωάννην τὸν βαπτιστὴν καὶ Ἠσαΐαν καὶ Πέτρον καὶ Παῦλον, ἵνα μὴ πλείονας εἴπω, τὸν ἑαυτῶν καιρὸν ἀγνοήσαντες· ἐπειδὴ ὁ μὲν φυγῇ τὴν σωτηρίαν ἑαυτῷ πορίζεται, διὰ τὸν ἔλεγχον τὸν πρός τινα, ἐν ὄρεσιν ἐθνικοῦ πρόβατα νέμων, ὁ δὲ ὑπὸ κάρου τῇ λύπῃ πιεσθεὶς εἰς ὕπνον κατέπεσεν, οὔτε τοίχου ἢ πέτρας σκιὰν εὑρίσκων, ἀλλ᾽ ὑπὸ φυτὸν ἀρκεύθινον, ὃ καὶ αὐτὸ ἀμυδρῶς κατασκεπάζει· ὁ δὲ ἐπρίζετο· ὁ δὲ εἰς λάκκον λεόντων ἐχαλᾶτο ὑπὲρ εὐσεβείας· ὁ δὲ ἐν φυλακῇ (ἤγουν μυχῷ τινι) δέσμιος ἐφυλάσσετο, "ἄρτον θλίψεως" καὶ ὕδωρ στενὸν καταδικασθεὶς λαμβάνειν, ἵν᾽ ἐπὶ μακρὸν κατατηκόμενος χρόνον, βίᾳ τὸ ζῆν ἀποῤῥήξῃ διὰ τὴν πρὸς βασιλέα τινὰ παῤῥησίαν.

Τί δέ μοι λέξεις περὶ τοῦ ἀζύγου "ἐν γεννητοῖς γυναικῶν" Ἰωάννου; Ἆρα οὐκ ἔγνω τῷ καιρῷ χρήσασθαι, ἐπειδὴ διὰ τὸν ἀνεπισκίαστον ἔλεγχον τῆς Ἡρῴδου μοιχείας τὴν κεφαλὴν ἀπετμήθη, κηδόμενος τοῦ Ἡρῴδου ὡς ἰατρὸς νοσοῦντος τὸ

---

34. Παροιμ. 25, 6. 36. Β´ Τιμ. 1, 7.

35. Κολ. 4, 5. 37 Βλ. Ἐξ. 2, 11-22· 3, 1. 38. Βλ. Γ´ Βασ. 19, 2-5.

δυναστῶν»[34]· καί πάλι· «Νά ἐκμεταλλεύεστε τίς περιστάσεις»[35], ἰδιαίτερα σ' ἐκείνους πού δέ δέχονται παραίνεση ἤ ὠφέλεια.

Ο ΕΠΙΣΚ. Εἶστε μακάριοι, ὅταν ἑρμηνεύετε ἔτσι τίς Γραφές. Γιατί τό, «Στίς θέσεις τῶν δυναστῶν νά μήν κάθεσαι», στόν ἐκκλησιαστή, ἔχει εἰπωθεῖ πρός τούς ἀνάξιους καί ἀδύνατους γιά τήν ἱερωσύνη, γιά νά μήν τήν ἁρπάζουν αὐτή. Γιατί «δυνάστες» λέγει τούς ἐνάρετους διδασκάλους· πρῶτα, τούς ἀποστόλους, οἱ ὁποῖοι ἦταν «δυνάστες», ἀφοῦ εἶχαν «τό πνεῦμα τῆς δύναμης»[36], ἔπειτα τούς μιμητές τους. Καί τό, «Νά ἐξαγορέζετε ὅμως τόν καιρό», εἶναι παρόμοιο, ὄχι γιά νά ὑποκριθοῦμε, συμφωνώντας μέ τούς κλέφτες καί μπαίνοντας στήν ἴδια θέση μαζί μέ τούς μοιχούς, ἀλλά κατά τόν καιρό τῆς ἁμαρτίας μέ τήν ἀρετή «ν' ἀγοράσουμε τόν καιρό», χωρίς νά τόν πουλήσουμε αὐτόν στήν ἁμαρτία. Ἐκεῖνος πού σιγά-σιγά μέ τόν τρόπο αὐτόν «ἐξαγοράζει τόν καιρό», ἐξαγόρασε ὅλη τή ζωή του, παραμερίζοντας ὅλα τά εὐχάριστα τῆς ζωῆς, γιά νά βρεῖ τά ἀνώτερα ἀπό τή ζωή. Ὅπως ἀκριβῶς ἔχουν κάμει καί οἱ μάρτυρες, δίνοντας τή θνητή ζωή, κληρονόμησαν τήν ἀφθαρσία, κυρίως αὐτοί «ἐξαγοράζοντας τόν καιρό». Ἐάν ὅμως δέν ἐξηγοῦνται ἔτσι αὐτά, δέ θά γνώρισαν τό δικό τους καιρό καί αὐτοί πού ἦταν μαζί μέ τόν Μωυσῆ καί τόν Ἠλία καί τόν Μιχαία καί τόν Δανιήλ καί τόν βαπτιστή Ἰωάννη καί τόν Ἠσαΐα καί τόν Πέτρο καί τόν Παῦλο, γιά νά μήν ἀναφέρω περισσότερους. Ἐπειδή ὁ πρῶτος μέ φυγή κέρδισε τή σωτηρία του, γιατί ἔλεγξε κάποιον, βόσκοντας στά βουνά τά πρόβατα ἑνός εἰδωλολάτρη[37]. Ὁ δεύτερος, ἀφοῦ πίεσε τή λύπη του ὁ βαρύς ὕπνος, ἔπεσε καί κοιμήθηκε, βρίσκοντας σκιά οὔτε τοίχου ἤ πέτρας, ἀλλά κάτω ἀπό θάμνο, πού καί αὐτός ἀμυδρά τόν σκέπαζε[38]. Ὁ ἄλλος πριονιζόταν[39], ἐνῶ ὁ ἄλλος ριχνόταν σέ λάκκο λεονταριῶν γιά χάρη τῆς εὐσέβειας[40]. Ὁ ἄλλος φυλαγόταν δεμένος σέ φυλακή (δηλαδή σέ κάποια ἀποθήκη) καί καταδικάσθηκε νά παίρνει «τό ψωμί τῆς θλίψης»[41] καί λιγοστό νερό, ὥστε, λειώνοντας γιά πολύ καιρό, νά πεθάνει βίαια ἐξ αἰτίας τῆς παρρησίας του πρός τό βασιλιά[42].

Καί τί θά μοῦ πεῖς γιά τόν ἄγαμο ἀνάμεσα στούς ἀνθρώπους Ἰωάννη; Ἄραγε δέ γνώριζε νά χρησιμοποιεῖ τίς περιστάσεις, ἐπειδή ἀποκεφαλίσθηκε γιά τό φανερό ἔλεγχο τῆς μοιχείας τοῦ Ἡρώδη, φροντίζοντας ὡς ἰατρός τόν Ἡρώδη πού ἔπασχε ἀπό τό ἀνίατο

39. Ἀναφέρεται στόν Ἠσαΐα.

40. Βλ. Δαν. 6, 10-16.

41. Γ' Βασ. 22, 27.

42. Ἀναφέρεται στό Μιχαία.

ἀνίατον πάθος ἢ καίων ἢ τέμνων; Ὦ λόγῳ καὶ Ἰωάννης ἐλεῶν ἢ φιλῶν, ἤλεγχε τοὺς νοσοῦντας. Εἰ δὲ ὁ βαπτιστὴς τὸν καιρὸν οὐκ ἔγνω, πῶς τὸν τεχνίτην τῶν αἰώνων καὶ ποιητὴν ἐπέγνω, φήσας· "Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ 5 *κόσμου"; Πῶς δὲ οὐκ ἔγνω Παῦλος καὶ Πέτρος τὸν καιρόν, οἱ στῦλοι τῆς ἐκκλησίας, οἱ καὶ μετὰ θάνατον κλείοντες καὶ ἀνοίγοντες τοὺς τῆς μετανοίας καιροὺς τοῖς βουλομένοις καὶ κρούουσιν; Ἐπειδὴ μάλιστα ὁ μὲν ἐπὶ πόδας σταυροῦται, εἰς οὐρανὸν τὴν πορείαν σημαίνων, ὁ δὲ καρατομεῖται διὰ τὴν ἐν* 10 *Χριστῷ παῤῥησίαν, ἵνα τῆς ὄντων κεφαλῆς μὴ ἐκπέσῃ. Μὴ τοίνυν ἀποδέχου τοὺς μετ' ἐπισκήψεως τὴν τῶν ἁγίων διαβάλλοντας παῤῥησίαν. Ἐθνικῶν γὰρ καὶ οἰησισόφων ἡ συνήθεια αὕτη, φιλοζωούντων καὶ φιλοσκωπτούντων τὴν τῶν μαρτύρων ἀδειλίαν. Οὔτε γὰρ μάχαιραν ἀμβλεῖαν οὔτε παῤῥησίαν ἄπρα-* 15 *κτον εἶναι δεῖ. Καὶ ὥσπερ τοῦ μύρου ἀχώριστος ἡ εὐωδία, οὕτω τῆς παῤῥησίας ἡ εὔνοια.*

Καὶ εἰ μὲν ἰδιωτικῶς ἐπὶ οἰκετῶν ἢ φίλων ἢ ἰδίων οἱ ἔλεγχοι ἐγίνοντο, ἐφ' ὧν καὶ τὸ ἐρυθριᾶσαι φορτικόν, ἔγκλητος ἴσως ὁ παῤῥησιαζόμενος, οὔτε καιρὸν οὔτε τόπον γνωρίσας· εἰ δὲ 20 *καθάπερ ἐν μακέλλῳ τῇ ἐκκλησίᾳ καὶ οἱ ἔπαινοι γίνονται τῶν κατορθούντων καὶ οἱ ψόγοι τῶν ἀμελούντων, τί τραχυνόμεθα πρὸς τοὺς ἐλέγχους ἀνωνύμως καὶ ἐπωφελῶς ἡμῖν γινομένους; Σιτεύοντες τὰς αἰτίας οὐ πειθόμενοι τῷ εἰρηκότι· "Πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε, μηδὲν ἀνακρίνοντες". Εἰ δὲ μὴ* 25 *τοῦτο ἔσται, ἔσονται πάλιν οἱ ἅγιοι σκανδαλίσαντες μέν τινας πόλεις ἢ χώρας ἐπὶ τοῖς ἐλέγχοις, ἐκτραχηλίσαντες δὲ τοῖς ἐπαίνοις ἄλλας. Πρῶτος ὁ ἅγιος Ἰώβ, Φοινίκην τινὰ διαβάλλων χώραν, ὡς ἐπισπωμένην τὸν αὐτῷ προσπολεμοῦντα Σατανᾶν, καθὼς λέγει· "Μεριτεύονται δὲ αὐτὸν γένη Φοινίκων;"* 30 *Ἔπειτα Μωϋσῆς καὶ οἱ προφῆται τὴν Αἴγυπτον διαβάλλοντες, καὶ "κάμινον σιδηρᾶν" προσαγορεύοντες καὶ "σκότος", καὶ τὴν Παλαιστίνην ἐγκωμιάζοντες καὶ "γῆν ἐπαγγελίας" ἀποκαλοῦντες, εὑρισκομένην τὴν μὲν Αἴγυπτον τῷ σπουδαίῳ "γῆν*

---

43. Βλ. Ματθ. 14, 3-11. 44. Δηλαδή, ὁ Χρυσόστομος. 45. Ἰω. 1, 29.
46. Ἐννοεῖ τόν ἀπόστολο Πέτρο. 47. Ἐννοεῖ τόν ἀπόστολο Παῦλο.
48. Α´ Κορ. 10, 25. 49. Ἰώβ 40, 30. 50. Δευτ. 4, 20· Ἱερ. 11, 4.
51. Ἐξ. 20, 22· Ἰεζ. 32, 8. 52. Ἑβρ. 11, 9· Ἐξ. 12, 25· Ἀμώς 9, 6.

πάθος, ἤ καυτηριάζοντας ἤ ἐγχειρίζοντας;[43]. Μ' αὐτόν τό λόγο καί ὁ 'Ιωάννης[44] ἐλεώντας ἤ ἀγαπώντας ἔλεγχε τούς ἀσθενεῖς. 'Εάν ὅμως ὁ Βαπτιστής δέ γνώριζε νά χρησιμοποιεῖ τίς περιστάσεις, πῶς ἀνανώρισε τόν τεχνίτη τῶν αἰώνων καί δημιουργό, λέγοντας· «Νά, ὁ ἀμνός τοῦ Θεοῦ, ὁ ὁποῖος θά σηκώσει ἐπάνω του τήν ἁμαρτία τοῦ κόσμου»[45]; Καί πῶς δέ γνώρισαν τόν καιρό ὁ Παῦλος καί ὁ Πέτρος, οἱ στύλοι τῆς ἐκκλησίας, αὐτοί πού καί μετά τό θάνατό τους κλείνουν καί ἀνοίγουν τούς καιρούς τῆς μετάνοιας σ' ἐκείνους πού θέλουν καί χτυποῦν τήν πόρτα της; ἀφοῦ μάλιστα ὁ ἕνας σταυρώνεται μέ τά πόδια πρός τά πάνω, γιά νά δείχνει τήν πορεία στόν οὐρανό[46], ἐνῶ ὁ ἄλλος ἀποκεφαλίζεται ἐξ αἰτίας τῆς παρρησίας του γιά τό Χριστό, γιά νά μή χάσει τήν πραγματική κεφαλή τῆς 'Εκκλησίας[47]. Νά μή δέχεσαι λοιπόν ἐκείνους πού μέ ψεύτικες μαρτυρίες διαβάλλουν τήν παρρησία τῶν ἁγίων. Γιατί ἡ συνήθεια αὐτή εἶναι τῶν ἐθνικῶν καί αὐτῶν πού νομίζουν ὅτι εἶναι σοφοί, οἱ ὁποῖοι ἀγαποῦν τή ζωή καί χλευάζουν τήν ἀφοβία τῶν μαρτύρων. Οὔτε βέβαια πρέπει νά εἶναι μαχαίρι στομωμένο, οὔτε παρρησία ἀνώφελη. Καί ὅπως ἡ εὐωδιά εἶναι ἀχώριστη ἀπό τό μύρο, ἔτσι καί ἡ συμπάθεια ἀπό τήν παρρησία.

Καί ἐάν βέβαια οἱ ἔλεγχοι γίνονταν ἰδιωτικά ἐνώπιον ὑπηρετῶν ἤ φίλων ἤ συγγενῶν, στούς ὁποίους καί τό νά κοκκινίσουν εἶναι ἐνοχλητικό, ἴσως θά ἦταν κατηγορούμενος αὐτός πού μιλάει μέ παρρησία, ἀφοῦ δέ γνώρισε οὔτε καιρό οὔτε τόπο. 'Εάν ὅμως στήν ἐκκλησία, ὅπως ἀκριβῶς σέ κρεοπωλεῖο, γίνονται καί οἱ ἔπαινοι αὐτῶν πού κατορθώνουν τήν ἀρετή καί οἱ ψόγοι αὐτῶν πού τήν ἀμελοῦν, γιατί ὀργιζόμαστε γιά τούς ἐλέγχους ὅταν γίνονται ἀνώνυμα καί γιά ὠφέλειά μας; Μεγαλοποιοῦμε τίς αἰτίες, ἐπειδή δέν ὑπακοῦμε σ' αὐτόν πού εἶπε· «Κάθε τι πού πουλιέται στό κρεοπωλεῖο, τρώγετέ το, χωρίς νά τό ἐξετάζετε καθόλου»[48]. 'Εάν ὅμως δέ συμβεῖ αὐτό, θά σκανδαλίσουν πάλι οἱ ἅγιοι μερικές πόλεις ἤ χῶρες μέ τούς ἐλέγχους, ἐνῶ θά καταστρέψουν ἄλλες μέ τούς ἐπαίνους τους. Πρῶτα ὁ ἅγιος 'Ιώβ, διαβάλλοντας κάποια χώρα, τή Φοινίκη, ἐπειδή αὐτή προσκάλεσε τό Σατανᾶ πού πολεμοῦσε ἐναντίον του, καθώς λέγει· «Μοιράζονται αὐτόν οἱ φυλές τῶν Φοινίκων;»[49]. ῎Επειτα ὁ Μωυσῆς καί οἱ προφῆτες διαβάλλουν τήν Αἴγυπτο, ὀνομάζοντας αὐτή «καμίνι πού λειώνει τό σίδερο»[50] καί «σκοτάδι»[51], καί ἐγκωμιάζουν τήν Παλαιστίνη καί τήν ἀποκαλοῦν «γῆς τῆς ἐπαγγελίας»[52], ἄν καί ἡ Αἴγυπτος γιά τόν ἐργατικό ἦταν «γῆ τῆς ἐπαγγελίας», ἐνῶ γιά τό ράθυμο ἡ Παλαιστίνη

ἐπαγγελίας", τῷ δὲ ῥαθύμῳ τὴν Παλαιστίνην οὐ μόνον "κάμινον σιδηρᾶν", ἀλλὰ καὶ "σκότος ἐξώτερον" τῇ ἀπιστίᾳ· ὁπότε οὐ τὰ χωρία ψεκτὰ ἢ ἐπαινετά, ἀλλὰ τὰ ἐπιτηδεύματα.

Τί δέ μοι καὶ εἰς μῆκος ἐκτείνειν τὸν λόγον, καὶ μὴ ἀπὸ τῶν 5 *συντόμων ἄρχεσθαι; Ἀρά γε ὁ Παῦλος "Ψεύστας" Κρῆτας ἀποκαλῶν καὶ Γαλάτας "ἀνοήτους" καὶ Κορινθίους "πεφυσιωμένους" καὶ ἄλλους ἄλλα, τούτοις μόνοις συνέγνω τὰ πάθη, ὡς μόνοις τὸν ἔλεγχον ἐπαγαγών, ἢ καὶ τοῖς πᾶσιν; Ἢ ἀνάπαλιν "πιστοὺς" Ῥωμαίους ἀποκαλῶν καὶ "μύστας"* 10 *Ἐφεσίους, οἷς καὶ ὑψηλότερον ἐπιστέλλει, καὶ "φιλαδέλφους" Θεσσαλονικεῖς, μόνοις περιέγραψεν τοὺς ἐπαίνους; οὐ πάντως· ἀλλ' ὡς πνευματοφόρος τέθεικεν καὶ τοὺς ψόγους καὶ τοὺς ἐπαίνους, ἵνα ὁ μὲν ἄξιος τῶν ἐπαίνων ἐπιγνούς, τονωθῇ τῇ προθυμίᾳ, ὁ δὲ ἕτερος ἐντυχών, ὀδυνήθῃ τῇ* 15 *ὑπομνήσει, ἀποτριψάμενος τοῦ ψόγου τὸ αἴτιον. Οὔτε οὖν μόνοι Γαλάται ἀνόητοι, οὔτε Κρῆτες ψεῦσται, οὔτε Κορίνθιοι ὑπερήφανοι· πανταχοῦ γὰρ τὰ πάντα ὑπάρχει, τοῦ μίαν εἶναι καὶ τὴν ἁμαρτάνουσαν καὶ τὴν κατορθοῦσαν φύσιν, καὶ ἐκεῖνο καὶ τοῦτο ἐν τῷ αὐτῷ γιγνομένην οἰκείᾳ προαιρέσει. Τούτῳ* 20 *τοίνυν τῷ τρόπῳ ἐν τῇ ἐκκλησίᾳ ἐπαῤῥησιάζετο ὁ Ἰωάννης· μᾶλλον δὲ ἐκρεοκόπει τὴν ἀρετὴν τοῖς πεινῶσιν, ἐξοστεΐζων τὴν ἁμαρτίαν τοῖς φανεροῖς ἐλέγχοις, πειθόμενος τῷ εἰρηκότι· "Τὸν ἁμαρτάνοντα ἐνώπιον πάντων ἔλεγχε, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσι". Εἰ δέ τινες ἐπὶ πλεῖστον ὑπερηφανίαν ἢ* 25 *ἀφροσύνην νοσοῦντες βούλονται αὐτῶν καὶ τὰς ἡδονὰς ἐγκωμιάζεσθαι, "ταύτην τὴν συνήθειαν οἱ τοῦ Θεοῦ δοῦλοι οὐκ ἔχουσιν". Οἱ γὰρ ἀγανακτοῦντες ἐπὶ τῷ ψόγῳ τῆς πλεονεξίας καὶ τῆς πορνείας καὶ ἄλλης τινὸς μυσαρᾶς ἡδονῆς, οὐδὲν ἄλλο λέγουσι δυνάμει ἢ τὸ δεῖν ἀποδέχεσθαι ταῦτα δηλητήρια* 30 *ὄντα.*

ΚΕΦΑΛΑΙΟΝ ΙΘ΄

Ο ΔΙΑΚ. Χάρις πλείστη, πάτερ, τῇ ἐνδημίᾳ τῆς σῆς

---

53. Βλ. Τίτ. 1, 12· Γαλ. 3, 1 καί Α΄ Κορ. 5, 2.

54. Βλ. Ρωμ. 1, 8· Ἐφ. 1, 18 καί Α΄ Θεσ. 4, 9-10.

όχι μόνο «καμίνι πού λειώνει τό σίδερο», άλλά καί «σκοτάδι τό έξώτερο» άπό τήν άπιστία του, όπότε δέν πρέπει νά ψέγονται ή νά έπαινοῦνται οἱ χῶρες, άλλά τά ἔργα τῶν ἀνθρώπων.

Καί γιατί νά μακραίνω τό λόγο καί νά μήν ἀρχίζω ἀπό τά πλησιέστερα; Ἄραγε ὁ Παῦλος, ὅταν ἀποκαλεῖ «ψεῦτες» τούς Κρῆτες καί τούς Γαλάτες «ἀνόητους» καί τούς Κορίνθιους «φαντασμένους»[53] καί τούς ἄλλους διαφορετικά, συγχώρησε τά πάθη σ' αὐτούς μόνο, ἐπειδή αὐτούς μόνο ἔλεγξε, ἤ καί σ' ὅλους; ἤ ἀντίστροφα ὅταν όνομάζει «πιστούς» τούς Ρωμαίους καί «μύστες» τούς Ἐφεσίους, στούς ὁποίους γράφει καί ὑψηλά νοήματα, καί «φιλάδελφους» τούς Θεσσαλονικεῖς[54], καθόρισε μόνο γι' αὐτούς τούς ἐπαίνους; Ὄχι βέβαια, ἀλλ' ἐπειδή εἶχε τό ἅγιο Πνεῦμα ἔβαλε καί τούς ψόγους καί τούς ἐπαίνους, ὥστε ὁ ἕνας νά τονωθεῖ μέ τήν προθυμία, ἀφοῦ θεωρήθηκε ἄξιος γιά ἐπαίνους, ἐνῶ ὁ ἄλλος, ἀφοῦ κατηγορήθηκε, νά στενοχωρηθεῖ μέ τήν ὑπόμνηση, ἐξαφανίζοντας τήν αἰτία τοῦ ψόγου. Οὔτε λοιπόν εἶναι μόνο οἱ Γαλάτες ἀνόητοι οὔτε οἱ Κρῆτες ψεῦτες οὔτε οἱ Κορίνθιοι ὑπερήφανοι, γιατί παντοῦ ὑπάρχουν τά πάντα, ἀφοῦ μία εἶναι ἡ φύση ἡ ὁποία καί ἁμαρτάνει καί κατορθώνει τήν ἀρετή, καί γίνεται στόν ἴδιο μέ τή δική της προαίρεση καί ἀγαθό καί κακό. Μ' αὐτόν λοιπόν τόν τρόπο μιλοῦσε μέ παρρησία ὁ Ἰωάννης στήν ἐκκλησία, ἤ καλύτερα, τεμάχιζε τήν ἀρετή στούς φτωχούς, ἀφαιρώντας τά κόκκαλα ἀπό τήν ἁμαρτία μέ τούς φανερούς ἐλέγχους, ὑπακούοντας σ' ἐκεῖνον πού εἶπε· «Αὐτόν πού ἁμαρτάνει, νά τόν ἐλέγχεις μπροστά σ' ὅλους, γιά νά ἔχουν φόβο καί οἱ ἄλλοι»[55]. Ἐάν ὅμως μερικοί πού πάσχουν περισσότερο ἀπό ὑπερηφάνεια ἤ ἀνοησία θέλουν νά ἐπαινοῦν καί τίς ἡδονές τους, «τέτοια συνήθεια οἱ δοῦλοι τοῦ Θεοῦ δέν ἔχουν»[56]. Γιατί ὅσοι ἀγανακτοῦν γιά τόν ψόγο τῆς πλεονεξίας καί τῆς πορνείας καί κάθε ἄλλης ἄθλιας ἡδονῆς, τίποτε ἄλλο δέ λέγουν μέ δύναμη παρά τό ὅτι πρέπει νά τά δεχόμαστε αὐτά ἐνῶ εἶναι δηλητήρια.

ΚΕΦΑΛΑΙΟ ΙΘ΄

Ο ΔΙΑΚ. Ὀφείλουμε πάρα πολύ μεγάλη εὐγνωμοσύνη, πάτερ,

55. Α΄ Τιμ. 5, 20.

56. Α΄ Κορ. 11, 16· Α΄ Πέτρ. 2, 16.

φιλαδελφίας· γεγένηται γὰρ ἡμῖν ὀνησιφόρος καὶ μνημόσυνον τῆς ζωῆς.

Ἡσυχάσαντος δὲ μετὰ τοὺς πολλοὺς ἐπαίνους τοῦ Θεοδώρου, τῶν παρόντων τις ἔρρηξεν ῥῆμα, λέγων·

5 *Πῶς οὖν τοσούτοις προτερήμασι κεκοσμημένοις, ὑπερήφανος ἦν;*

Ο ΕΠΙΣΚ. Αὐτὸς παρὼν ἔγνως αὐτὸν ὑπερήφανον, ἢ ἄλλος σοι ἀφηγήσατο;

Ὁ δὲ ἀπεκρίδη·

10 *Οὐκ οἶδα τὸν ἄνδρα φησίν, ἀλλ' ἤκουσα παρά τινος βυρσοδέψου διηγουμένου, ὅτι σπανίως ἦν αὐτῷ συναγελάσαι δίχα τῆς ἐκκλησίας, στενοχωρουμένῳ τὸ συνδιάγειν ἐπὶ πολὺ τοῖς βουλομένοις. Τοῦτο δὲ δεῖγμα ὑπεροψίας καὶ τύφου, τὸ φεύγειν τὰς τῶν βουλομένων συνουσίας.*

15 *Ο ΕΠΙΣΚ. Καὶ τίνος ἦν ἄλλου ψέξαι τὴν Ἰωάννου φιλοσοφίαν ἢ βυρσοδέψου, τοῦ καὶ τὴν δυσωδίαν τοῦ ἰδίου ἐργαστηρίου σύντροφον οὖσαν ἀποδεχομένου; Εἰ δὲ δεῖγμα ὑπεροψίας τὸ φεύγειν τοὺς ὄχλους, ἔσται καὶ ὁ βαπτιστὴς Ἰωάννης ὑπερόπτης κατὰ τὸν λόγον τὸν σόν, ὑποχωρῶν εἰς τὰς ἐρήμους. Ἔπειτα δὲ καὶ ὁ Σωτήρ· ἀναγέγραπται γάρ, ὅτι "Ἰδὼν τοὺς ὄχλους ὁ Ἰησοῦς ἀνέβη εἰς τὸ ὄρος· καθίσαντος δὲ αὐτοῦ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ", καὶ οὐχ οἱ ὄχλοι· -καὶ πάλιν· "Ἰδὼν τοὺς ὄχλους ἀνεχώρησεν κατ' ἰδίαν". Ὃν μιμούμενος κατὰ δύναμιν ὁ καλὸς Ἰωάννης, καὶ αὐτὸς*
25 *ὑπεχώρει τοὺς ὄχλους, συνηδόμενος τοῖς κατὰ ἀλήθειαν μαθεῖν τι βουλομένοις.*

Ο ΔΙΑΚ. Καλῶς μὲν γὰρ ἀπὸ γραφικῶν παραδειγμάτων πείθεις· τί δὲ ἔχεις εἰπεῖν, ὅτι ὑβριστὴς ἦν, καὶ οὐ μόνον τοὺς πολλοὺς ὑπεχώρει, ἀλλὰ καὶ ἕνα καὶ δύο;

30 *Ο ΕΠΙΣΚ. Μάλιστα μὲν καὶ εἰ ἀνωφελὴς καὶ ἀγύρτης ὄχλος ἐστίν, οἷος ἦν ὁ εἰπὼν τῷ Ἰησοῦ· "Διδάσκαλε, ἀκολουθήσω σοι, ὅπου ἐὰν ἀπέρχῃ". Οὐ φυγὼν τὸν ὄχλον ὁ Σωτὴρ εἶπεν τό, "Αἱ ἀλώπεκες", καὶ τὰ ἑξῆς; Οὐκ ἔχεις δέ με πεῖσαι, ὅτι ποτὲ Ἰωάννης ἀφ' οὗ ἐβαπτίσθη, ἢ ὤμοσεν ἢ ὥρκισεν ἢ κατελάλη-*
35 *σεν ἢ ἐψεύσατο ἢ κατηράσατο ἢ εὐτραπέλων ἠνέσχετο.*

Ο ΔΙΑΚ. Οὔτε γὰρ ἐγὼ λέγω τούτων τι, ἀλλ' ὅτι ὕβριζεν.

---

1. Ματθ. 5, 1· 8, 18. 2. Ματθ. 8, 19. 3. Ματθ. 8, 20.

στήν παρουσία τῆς ἀγάπης σου, γιατί μᾶς ἔχει γίνει χρήσιμη καί ὑπόμνηση τῆς ζωῆς.

Ἀφοῦ ἡσύχασε ὁ Θεόδωρος ὕστερα ἀπό τούς πολλούς ἐπαίνους, κάποιος ἀπό τούς παρόντες φώναξε, λέγοντας·

Πῶς, λοιπόν, στολισμένος μέ τόσα προτερήματα, ἦταν ὑπερήφανος;

Ο ΕΠΙΣΚ. Αὐτοπροσώπως γνώρισες αὐτόν ὑπερήφανο, ἤ ἄλλος σοῦ τό ἀφηγήθηκε;

Καί ἐκεῖνος ἀπάντησε:

Δέ γνωρίζω τόν ἄνδρα, λέγει, ἀλλ' ἄκουσα κάποιο βυρσοδέψη νά διηγεῖται, ὅτι ἦταν σπάνιο σ' αὐτόν νά συναναστρέφεται ἀνθρώπους μακριά ἀπό τήν ἐκκλησία, ἐπειδή στενοχωριόταν μ' αὐτούς πού ἤθελαν νά παραμένει μαζί τους γιά πολύ. Αὐτό ὅμως εἶναι ἀπόδειξη ὑπεροψίας καί ἀλαζονείας, τό ν' ἀποφεύγει δηλαδή τίς συναναστροφές αὐτῶν πού τίς ἤθελαν.

Ο ΕΠΙΣΚ. Καί ποιός ἄλλος μποροῦσε νά ψέξει τόν τρόπο ζωῆς τοῦ Ἰωάννη παρά βυρσοδέψης, ὁ ὁποῖος δέχεται καί τή δυσοσμία τοῦ δικοῦ του ἐργαστηρίου πού εἶναι σύντροφός του; Ἐάν ὅμως εἶναι ἀπόδειξη ὑπεροψίας τό ν' ἀποφεύγει τά πλήθη, θά εἶναι σύμφωνα μέ τό λόγο σου καί ὁ βαπτιστής Ἰωάννης ὑπερόπτης, γιατί ἀναχωροῦσε στίς ἐρήμους. Στή συνέχεια καί ὁ Σωτήρας· γιατί ἔχει γραφεῖ, ὅτι «Ὅταν εἶδε τούς ὄχλους ὁ Ἰησοῦς, ἀνέβηκε στό ὄρος· καί ἀφοῦ κάθισε, ἦρθαν κοντά του οἱ μαθητές του», καί ὄχι οἱ ὄχλοι· καί πάλι· «Ὅταν εἶδε τούς ὄχλους, ἀναχώρησε μόνος του»[1]. Αὐτόν προσπαθοῦσε νά μιμηθεῖ ὁ καλός Ἰωάννης ὅσο μποροῦσε, καί αὐτός ἀποσυρόταν ἀπό τά πλήθη, ἐπειδή εὐχαριστιόταν μαζί μ' ἐκείνους πού ἤθελαν νά μάθουν κάτι τό ἀληθινό.

Ο ΔΙΑΚ. Βέβαια πείθεις καλά ἀπό τά παραδείγματα τῆς Γραφῆς. Τί ὅμως μπορεῖς νά πεῖς, γιά τό ὅτι ἦταν περιφρονητής, καί ὄχι μόνο ἀπέφευγε τούς πολλούς, ἀλλά καί ἕνα και δυο;

Ο ΕΠΙΣΚ. Βεβαιότατα ἰδίως ὅταν ὁ ὄχλος εἶναι ἄχρηστος καί ἀγύρτης, ὅπως ἦταν ἐκεῖνος πού εἶπε στόν Ἰησοῦ· «Διδάσκελε, θά σέ ἀκολουθήσω, σ' ὅποιο μέρος καί ἄν πηγαίνεις»[2]. Δέν εἶπε ὁ Σωτήρας γιά ν' ἀποφύγει τόν ὄχλο τό, «Οἱ ἀλεποῦδες»[3], καί τά ἑπόμενα; Δέν μπορεῖς ὅμως νά μέ πείσεις ὅτι κάποτε ὁ Ἰωάννης, ἀπό τότε πού βαπτίσθηκε, ἤ ὅτι ὁρκίσθηκε ἤ ἔκαμε κάποιον νά ὁρκσθεῖ ἤ συκοφάντησε ἤ εἶπε ψέματα ἤ καταράσθηκε ἤ ἀνέχθηκε τά ἀστεῖα.

Ο ΔΙΑΚ. Οὔτε ἐγώ βέβαια λέγω κάτι τέτοιο, ἀλλ' ὅτι φερόταν περιφρονητικά.

Ο ΕΠΙΣΚ. Ὦ βέλτιστε, καὶ ὁ τούτων μηδὲν ποιήσας, πῶς ὕβριζεν, ἀφειδῶν τῆς γλώσσης τῆς ἑαυτοῦ; Ἐν μικρῷ γὰρ καὶ μεγάλῳ ὁ μολυσμὸς ἴσος ἐστιν.

Ο ΔΙΑΚ. Τί οὖν ἐστιν, παρακαλῶ, ἃ λαλοῦσιν οἱ ἄνθρωποι· 5 καὶ πότε παύσονται τοῦ λαλεῖν;

Ο ΕΠΙΣΚ. Ἄκουσον τοίνυν περὶ πάντων, καὶ μηκέτι ἕπου ταῖς φλυαρίαις· οὐ γὰρ ἕξεις ἀπολογίαν οὐδέποτε. Οἱ ἄνθρωποι ὀρθῶς μὴ βιοῦντες, ὀρθὰς οὐκ ἔχουσι τὰς ὑπολήψεις, ἀεὶ εἰκοτολογοῦντες καὶ εἰς τοῦτο σχολάζοντες, μάλιστα νῦν 10 οὐδενὸς τολμῶντος ἄλλο τι λέγειν. Καὶ ἐπὶ τοῦ Σωτῆρος γὰρ Θεοῦ, καὶ ὑπὲρ ἄνθρωπον καὶ ὑπὲρ προφήτην αὐτοῦ καὶ βιοῦντος καὶ λαλοῦντος καὶ δρῶντος, ἀλλόκοτα ἐλάλουν, χοίρων δίκην ἢ μυιῶν τὰ περὶ αὐτοῦ συναθροίζοντες (τοῦτο γὰρ ἤθελον οἱ τότε καιροί). Οἱ μὲν γὰρ ἔλεγον· "Πλανᾷ τὸν 15 κόσμον"· οἱ δέ, "Ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια"· ἕτεροι, "Ἰδού, ἄνθρωπος φάγος καὶ οἰνοπότης"· ἄλλοι, "Σαμαρείτης ἐστί, καὶ δαιμόνιον ἔχει".

Καὶ τί με δεῖ λέγειν συναγαγόντα τοὺς ὕθλους; ὡς καὶ αὐτὸν τὸν Σωτῆρα εἰδότα τοῦτο λέγειν τοῖς ἀποστόλοις· "Τίνα 20 με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν Υἱὸν τοῦ ἀνθρώπου;" ᾧ προσαποκρίνονται οἱ μαθηταὶ τὰς εὐφημοτέρας περὶ αὐτοῦ ὑπολήψεις διηγούμενοι· "Οἱ μὲν Ἠλίαν, οἱ δὲ Ἰερεμίαν, ἄλλοι δὲ Ἰωάννην τὸν βαπτιστὴν φήσαντες"· ἡσυχάσαντες τῶν ἐπὶ πλεῖστον φαύλων τοὺς λόγους. Οἷς ἀντεπερωτᾷ διαχωρίζων 25 αὐτοὺς "τῶν ἀνθρώπων" (οὐκέτι γὰρ ἦσαν τὴν γνώμην "ἄνθρωποι", ἀλλ᾽ υἱοὶ Θεοῦ, "ἔδωκεν" γὰρ ἡμῖν ὁ λόγος "ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι")· "Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι;" ἀποκρίνονται οὐ πάντες, ἀλλὰ μόνος ὁ Πέτρος, ἑρμηνεύων τὴν πάντων γνώμην· "Σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ 30 ζῶντος". Ἧς ἀποκρίσεως ἀποδεχόμενος τὸ ὀρθὸν ὁ Σωτὴρ ἀπεφήνατο, εἰπών· "Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ" (τοῦτ᾽ ἔστι, τῇ ὁμολογίᾳ) "οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι Ἅδου οὐ κατισχύσουσιν αὐτῆς".

Τούτῳ τοίνυν τῷ χαρακτῆρι εὑρήσεις καὶ νῦν, οὐ μόνον ἐπὶ 35 Ἰωάννου, ἀλλὰ καὶ ἐπὶ πάντων τοὺς ψόγους καὶ τοὺς ἐπαίνους.

4. Ἰω. 7, 12. 6. Λουκᾶ 7, 34. 8. Ματθ. 16, 13. 10. Ἰω. 1, 12.
5. Λουκᾶ 11, 15. 7. Ἰω. 8, 48. 9. Ματθ. 16, 14. 11. Ματθ. 16, 15.

Ο ΕΠΙΣΚ. Φίλτατε, αὐτός πού δέν ἔκαμε τίποτε ἀπ' αὐτά, πῶς φερόταν περιφρονητικά, περιφρονώντας τή δική του γλώσσα; Γιατί σέ μικρό καί σέ μεγάλο τό μίασμα εἶναι τό ἴδιο.

Ο ΔΙΑΚ. Ποιά λοιπόν εἶναι, παρακαλῶ, αὐτά πού λέγουν οἱ ἄνθρωποι, καί πότε θά σταματήσουν νά τά λέγουν;

Ο ΕΠΙΣΚ. Ἄκουσε λοιπόν γιά ὅλα καί νά μήν ἀκολουθεῖς πιά τίς φλυαρίες, γιατί δέ θά ἔχεις δικαιολογία ποτέ. Οἱ ἄνθρωποι χωρίς νά ζοῦν ὅπως πρέπει, δέν ἔχουν ὀρθές ἀντιλήψεις, καί μιλοῦν πάντοτε μέ εἰκασίες καί καταγίνονται μ' αὐτό, μάλιστα τώρα πού δέν τολμᾶ κανείς νά πεῖ τίποτε ἄλλο. Γιατί καί στήν περίπτωση τοῦ Σωτήρα Θεοῦ, ἐνῶ αὐτός ζοῦσε καί μιλοῦσε καί ἐνεργοῦσε ἀνώτερα ἀπό ἄνθρωπο καί ἀπό προφήτη, ἔλεγαν παράδοξα πράγματα, κατά τή συνήθεια τῶν χοίρων ἤ τῶν μυγῶν συγκεντρώνοντας αὐτά πού τοῦ ἔλεγαν (γιατί αὐτό ἤθελαν οἱ τότε καιροί). Ἄλλοι λοιπόν ἔλεγαν· «Ἐξαπατᾶ τόν κόσμο»[4], ἐνῶ ἄλλοι, «Μέ τή βοήθεια τοῦ Βεελζεβούλ τοῦ ἀρχηγοῦ τῶν δαιμονίων βγάζει τά δαιμόνια»[5]· ἄλλοι ἔλεγαν, «Νά εἶναι ἄνθρωπος φαγάς καί οἰνοπότης»[6]· καί ἄλλοι, «Σαμαρείτης εἶναι, καί ἔχει δαιμόνιο»[7].

Καί γιατί πρέπει νά λέγω συγκεντρώνοντας τίς ἀνοησίες; ἀφοῦ καί ὁ ἴδιος ὁ Σωτήρας τό γνώριζε αὐτό καί ἔλεγε στούς ἀποστόλους· «Ποιός νομίζουν οἱ ἄνθρωποι, πώς εἶμαι ἐγώ, ὁ υἱός τοῦ ἀνθρώπου;»[8]. Σ' αὐτόν ἀπάντησαν οἱ μαθητές ἀναφέροντας τίς ἐπαινετικότερες γι' αὐτόν γνῶμες τῶν ἀνθρώπων, λέγοντας· «Ἄλλοι εἶπαν πώς εἶσαι ὁ Ἠλίας, ἄλλοι ὁ Ἱερεμίας καί ἄλλοι ὁ βαπτιστής Ἰωάννης»[9], παρασιωπώντας τῶν περισσότερο φαύλων τούς λόγους. Αὐτούς τούς ξαναρωτᾶ, ξεχωρίζοντάς τους ἀπό «τούς ἀνθρώπους» (γιατί δέν ἦταν πιά στή γνώμη «ἄνθρωποι», ἀλλά υἱοί Θεοῦ, γιατί ὁ Λόγος μᾶς «ἔδωσε τό δικαίωμα νά γίνουμε τέκνα Θεοῦ»[10])· «Ἐσεῖς ὅμως ποιός λέγετε πώς εἶμαι;»[11]. Δέν ἀπάντησαν ὅλοι, ἀλλά μόνο ὁ Πέτρος, ἑρμηνεύοντας τή γνώμη ὅλων· «Ἐσύ εἶσαι ὁ Χριστός, ὁ Υἱός τοῦ Θεοῦ πού ζεῖ παντοτινά»[12]. Δεχόμενος τήν ἀπάντηση αὐτή ὡς σωστή ὁ Σωτήρας ἀπάντησε λέγοντας· «Ἐσύ εἶσαι Πέτρος καί πάνω σ' αὐτή τήν πέτρα» (δηλαδή, στήν ὁμολογία) «θά οἰκοδομήσω τήν ἐκκλησία μου, καί οἱ πόρτες τοῦ Ἅδη δέ θά τήν κατανικήσουν»[13].

Μ' αὐτόν λοιπόν τό χαρακτήρα θά βρεῖς καί τώρα τούς ψόγους καί τούς ἐπαίνους, ὄχι μόνο στόν Ἰωάννη, ἀλλά καί σ' ὅλους. Καί

12. Ματθ. 16, 16. 13. Ματθ. 16, 18.

Τούτῳ τοίνυν τῷ χαρακτῆρι εὑρήσεις καὶ νῦν, οὐ μόνον ἐπὶ Ἰωάννου, ἀλλὰ καὶ ἐπὶ πάντων τοὺς ψόγους καὶ τοὺς ἐπαίνους. Καὶ ὥσπερ κατ' ἐκεῖνο καιροῦ κακῶς ἐλαλεῖτο τὰ περὶ τοῦ Χριστοῦ καὶ τῶν ἀποστόλων, βοώντων Ἐφεσίων· "Οὗτοί εἰσιν οἱ 5 *ἀναστατώσαντες τὴν οἰκουμένην", πέπαυται δὲ νῦν, δοξαζομένων αὐτῶν, οὕτως εὑρήσεις μετὰ τὴν γενεὰν ταύτην ὡς μάρτυρα τιμώμενον τὸν Ἰωάννην, καταλυθέντων τῶν ἀντικειμένων ταῖς περὶ αὐτοῦ εὐφημίαις· καὶ ὅσοι μὲν χοιρώδεις ἢ κυνώδεις φήσουσι τό, "Πλανᾷ τὸν κόσμον", καὶ τὰ ἑξῆς, ὅσοι δὲ μαθηταί,* 10 *γνησίως καὶ ἐπιστημόνως αὐτὸν ἐκζητοῦντες, τό, "Σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος". Εἰ δὲ ἐπὶ τοῦ Σωτῆρος Χριστοῦ ἐν τοσαύταις μυριάσιν ἀνδρῶν δώδεκα εὕρηνται ἐν ἀρχῇ οἱ τὸν Ἰησοῦν ἐπιστημόνως γνωρίσαντες, τῶν πολλῶν εἰσέτι καὶ νῦν φλυαρούντων, τί ἀκριβολογούμεθα περὶ Ἰωάν-* 15 *νου, ἀνθρώπου πρὸς τὸν σίελον τοῦ Χριστοῦ μὴ ὄντος; Τί δὲ λέγω, πρὸς τὸν σίελον; -πρὸς τὸ κράσπεδον· "πάντα" γὰρ "τὰ ἔθνη", κατὰ τὸν Ἡσαΐαν, "ὡς σταγὼν ἀπὸ κάδου, καὶ ὡς σίελος λογισθήσονται".*

Ὃν δὲ τρόπον εἶπας αὐτὸν ὑβρίζειν, τοιοῦτός ἐστιν. 20 *Πρῶτον μὲν γὰρ ἀμήχανον ἦν πρᾶγμα πρὸς τὸν τυχόντα χαριεντίζεσθαι αὐτόν, μήτι γε δὴ καὶ ὑβρίσαι· εἰ δέ πού τινας τῶν γνησίων αὐτοῦ μαθητῶν ἢ κληρικῶν ἢ ἐπισκόπων εἶδεν ἐπὶ ἀντοχῇ τινος ἢ κατορθώματι σωματικῆς ἀρετῆς μεγαλοφρονοῦντας, τὸ ἐναντίον πρὸς αὐτοὺς ἐπισκώπτων ἀπεκάλει, ὡς* 25 *τὸν ὑδροπότην μέθυσον, καὶ τὸν ἀκτήμονα πλεονέκτην, καὶ τὸν ἐλεήμονα κλέπτην λέγων (εἶδος γὰρ χαρίεν καὶ τοῦτο διδασκαλίας πρὸς τοὺς γνησίους, διὰ τῶν μὴ προσόντων κυροῦντος τὸ προσόν). Τὸ δὲ ἀληθές, ἐτίμα σώφρονα νέον ὑπὲρ ἀκόλαστον γέροντα καὶ γέροντα φιλομαθῆ ὑπὲρ νεώτε-* 30 *ρον ἀμαθῆ καὶ ἀκτήμονα ἰδιώτην ὑπὲρ πεπαιδευμένον φιλάργυρον καὶ κοσμικὸν ἐνάρετον ὑπὲρ μοναχὸν ἄπραγον. Ἃ ἴσως ὕβρεις λέγουσιν οἱ τὰς τιμὰς ἐπιζητοῦντες· καίπερ τῆς Γραφῆς καὶ τὰς ὕβρεις ποσῶς ἐχούσης, Ἰωάννου μὲν λέγοντος τοῖς*

14. Πράξ. 18, 6. Ὁ Παλλάδιος βάζει τά λόγια αὐτά στό στόμα τῶν Ἐφεσίων, ἐνῶ στήν πραγματικότητα τά εἶπαν Θεσσαλονικεῖς (Βλ. Πράξ. 18, 1-6).

15. Σύντομα τό ὄνομα τοῦ Χρυσοστόμου ἀποκαταστάθηκε στά δίπτυχα τῶν ἐκκλησιῶν τῆς Ἀντιόχειας, Κων/πόλεως καί Ἀλεξάνδρειας. Τό λείψανό του μεταφέρθηκε στήν Κων/πολη καί τοποθετήθηκε στό ναό τῶν ἁγίων

ὅπως ἐκεῖνο τόν καιρό κακῶς λέγονταν τά σχετικά μέ τό Χριστό καί τούς ἀποστόλους, ὅταν φώναζαν οἱ 'Εφέσιοι, «Αὐτοί εἶναι ἐκεῖνοι πού ἀναστάτωσαν τήν οἰκουμένη»[14], ἔχουν ὅμως σταματήσει τώρα, καθώς δοξάζονται αὐτοί, ἔτσι θά βρεῖς μετά τή γενεά αὐτή νά τιμοῦν ὡς μάρτυρα τόν 'Ιωάννη[15], ἀφοῦ πεθάνουν ἐκεῖνοι πού εἶναι ἀντίθετοι στούς ἐπαίνους γι' αὐτόν. Καί ὅσοι βέβαια εἶναι σάν τούς χοίρους ἤ τά σκυλιά θά ποῦν τό, «'Εξαπατᾶ τόν κόσμο» καί τά ἑπόμενα, ἐνῶ ὅσοι εἶναι μαθητές, ποθώντας αὐτόν ἀληθινά καί ὅπως πρέπει, τό, «'Εσύ εἶσαι ὁ Χριστός, ὁ Υἱός τοῦ Θεοῦ πού ζεῖ παντοτινά». 'Εάν ὅμως στήν περίπτωση τοῦ Σωτήρα τοῦ Χριστοῦ ἀνάμεσα σέ τόσες χιλιάδες ἄνδρες εἶχαν βρεθεῖ δώδεκα στήν ἀρχή πού γνώρισαν τόν 'Ιησοῦ ὅπως ἔπρεπε, ἐνῶ οἱ πολλοί, ἀκόμη καί τώρα φλυαροῦν, τί ἐξετάζουμε μέ λεπτομέρεια γιά τόν 'Ιωάννη, πού εἶναι ἄνθρωπος καί δέ συγκρίνεται μέ τόν σίελο τοῦ Χριστοῦ; Καί τί λέγω, μέ τόν σίελο; οὔτε μέ τό κατώτατο ἄκρο τοῦ φορέματός του· γιατί, κατά τόν 'Ησαΐα, «ὅλα τά ἔθνη θά λογαριασθοῦν σάν σταγόνα νεροῦ ἀπό τό βαρέλι, καί σάν σίαλος»[16].

'Ο τρόπος μέ τόν ὁποῖο εἶπες ὅτι αὐτός περιφρονοῦσε, εἶναι τέτοιος. Γιατί πρῶτα ἦταν ἀδύνατο πράγμα νά ἀστειευόταν αὐτός πρός ὁποιοδήποτε ἄνθρωπο, μή τυχόν καί θεωροῦνταν αὐτό σάν κάποια περιφρόνηση. 'Εάν ὅμως ἔβλεπε κάπου μερικούς ἀπό τούς γνήσιους μαθητές του ἤ κληρικούς ἤ ἐπισκόπους νά ὑπερηφανεύονται γι' ἀποχή ἀπό κάτι ἤ γιά κατόρθωμα σωματικῆς ἀρετῆς, περιπαίζοντας αὐτούς τούς ἀποκαλοῦσε μέ τό ἀντίθετο, ὅπως αὐτόν πού ἔπινε νερό τόν ἔλεγε μέθυσο, αὐτόν πού δέν εἶχε περιουσία πλεονέκτη, καί αὐτόν πού ἔδινε ἐλεημοσύνη κλέφτη (γιατί εἶναι καί αὐτό χαριτωμένο εἶδος διδασκαλίας πρός τούς γνήσιους μαθητές, ὅταν ὁ διδάσκαλος ἐπικυρώνει μ' ἐκεῖνα, πού δέν εἶναι προτερήματα, τό προτέρημα). 'Ενῶ ἡ ἀλήθεια εἶναι, πώς τιμοῦσε τόν ἐγκρατή νέο περισσότερο ἀπό τόν ἀκόλαστο γέρο, καί τόν φιλομαθή γέρο περισσότερο ἀπό τόν νεότερο ἀμαθή, καί τόν ἀμόρφωτο ἀκτήμονα περισσότερο ἀπό τό μορφωμένο φιλάργυρο, καί τόν ἐνάρετο λαϊκό περισσότερο ἀπό τόν ἀδρανή μοναχό. Αὐτά ἴσως λέγουν ὕβρεις ὅσοι ἐπιζητοῦν τίς τιμές, ἄν καί ἡ Γραφή περιέχει ἀρκετές ὕβρεις, ὅπως ὅταν ὁ 'Ιωάννης ἔλεγε σ' ἐκείνους πού ἔρχονταν νά γίνουν μαθητές

'Αποστόλων στίς 27 'Ιανουαρίου τοῦ 438. 'Η ἐκκλησία μας, ὅπως εἶναι γνωστό, ἑορτάζει τή μνήμη τοῦ 'Ιωάννη Χρυσοστόμου στίς 13 Νοεμβρίου, 27 'Ιανουαρίου καί στίς 30 τοῦ ἴδιου μήνα μαζί μέ τούς Μ. Βασίλειο καί Γρηγόριο τό Θεολόγο.

16. 'Ησ. 40, 15.

προσελθοῦσι μαθητευθῆναι· "Γεννήματα ἐχιδνῶν, τίς ὑμῖν ὑπέδειξεν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;"· Παύλου δὲ πάλιν λέγοντος ἐν ταῖς Πράξεσι τῷ ἀρχιερεῖ· "Τύπτειν σε μέλλει ὁ Θεός, τοῖχε κεκονιαμένε"· τοῦ δὲ Σωτῆρος πῆ μὲν
5 τοῖς Ἰουδαίοις, "Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ", πῆ δὲ πᾶσι τοῖς ἀποστόλοις, "Ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ", πῆ δὲ τὸν Πέτρον Σατανᾶν ὀνομάζων· "Ὕπαγε ὀπίσω μου, Σατανᾶ, ὅτι σκάνδαλόν μου εἶ"· οὐκ οὔσης οὐδεμιᾶς αἰτίας βαρείας, ἐφ' ἧς γεγόνασιν αἱ ὕβρεις.

10 Ὡς γοῦν σιγῇ τὴν φιλομάθειαν ἀσπασώμεθα, οὐ δυνάμενοι τοὺς πνευματικοὺς ἀνακρίνειν. Οὔτε γὰρ μισοῦντες ὑβρίζουσιν οὔτε φυσιούμενοι φιλερημοῦσιν, πάντα ἐξ ἀγάπης τὰ χρήσιμα ἀσκοῦντες. Τούτου τοίνυν ἕνεκα καὶ πάντες ὅσοι σπουδαῖοι ἡμῖν ἀνεγράφησαν ἐν τοῖς ἱεροῖς λόγοις, ἐκκλί-
15 νοντες καὶ ἐκτρεπόμενοι τὸν τῶν ἀπαιδεύτων ὅμιλον εὕρηνται, τοῦ μὴ τῷ χρόνῳ διὰ τῆς συνηθείας ἢ μειῶσαί τι τῆς ἀρετῆς ἢ σπάσαι τῆς ἀπ' αὐτῶν κακίας. Σάῤῥα πρώτη παρήνει τῷ ἀνδρὶ αὐτῆς Ἀβραὰμ τὸν τῆς θεραπαινίδος παῖδα, ἔτι κομιδῇ νέον ὄντα, ἐξορίζειν τῆς κοινῆς ἑστίας· συμπαίζειν γὰρ τῷ υἱῷ
20 αὐτῆς Ἰσαὰκ ἀπαξιοῖ, μή πως τῷ συνασμενισμῷ ὑποσυρῇ τοῖς αὐτοῦ ἐπιτηδεύμασί τε καὶ ἤθεσιν. Καὶ Ἰακὼβ δὲ αὐτὸς φυγῇ τὴν σωτηρίαν πορίζεται, τὴν εἰς Μεσοποταμίαν στειλάμενος ἀποδημίαν. Καὶ Λὼτ δὲ προτρέπεται ὑπὸ τῶν ἀγγέλων ἐξοικίζεσθαι τῶν δυσεβῶν Σοδομιτῶν· ἀλλὰ καὶ Μωϋσῆς, ὡς προεῖ-
25 πον, "μέγας γενόμενος καὶ ἀρνησάμενος λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ", τῆς ἀπὸ τοῦ τυράννου καὶ τῶν δορυφόρων αὐτοῦ προνοεῖται διαζεύξεως καὶ προτρέπεται τοὺς συμφρονοῦντας αὐτῷ συναπάραι καὶ τῆς ἐξόδου ἐπιμελεῖσθαι.

Καὶ οἱ προφῆται δὲ τὸν τῶν μοχθηρῶν ὄχλον περιϊστάμε-
30 νοι ἐν ἐρημίαις τὰ πολλὰ ἔζησαν, περὶ ὧν καὶ ὁ ἀπόστολός φησιν· "Ἐν ἐρημίαις καὶ ὄρεσι καὶ σπηλαίοις πλανώμενοι καὶ ταῖς ὀπαῖς τῆς γῆς", διὰ τὴν τῶν ἀνόμων ἐπιμιξίαν, καὶ ἄλλως ἐπιστάμενοι, ὅτι ἱκανὸν ἡ συνήθεια ἐξαπατῆσαι καὶ εἰς τὰ

17. Λουκᾶ 3, 7. 18. Πράξ. 23, 3. 19. Ματθ. 12, 39.

20. Λουκᾶ 24, 25. Ὁ Ἰησοῦς δέν ἀπευθύνεται σ' ὅλους τούς μαθητές, ἀλλά στούς δύο πού βάδιζαν πρός Ἐμμαούς (Βλ. Λουκᾶ 24, 13-35).

του· «Ἀπόγονοι τῶν φαρμακερῶν ὀχιῶν, ποιός σᾶς συμβούλεψε ν' ἀποφύγετε τήν ὀργή πού πρόκειται νά ἔρθει;»[17]· ὅπως ὅταν πάλι στίς Πράξεις ὁ Παῦλος ἔλεγε στόν ἀρχιερέα· «Θά σέ χτυπήσει ὁ Θεός, τοῖχε ἀσβεστωμένε»[18]· καί ὅταν ὁ Σωτήρας ἄλλοτε μέν ἔλεγε στούς Ἰουδαίους, «Γενεά πονηρή καί διεφθαρμένη ἐπιζητεῖ θαῦμα»[19], καί ἄλλοτε δέ σ' ὅλους τούς ἀποστόλους· «Ἀνόητοι καί βραδυκίνητοι στήν καρδιά»[20], καί ἄλλοτε ὀνομάζοντας σατανᾶ τόν Πέτρο· «Πήγαινε πίσω μου, σατανᾶ, γιατί μοῦ εἶσαι ἐμπόδιο»[21], ἐνῶ δέν ὑπῆρχε καμιά σοβαρή αἰτία, γιά τήν ὁποία λέχθηκαν οἱ ὕβρεις αὐτές.

Ἔτσι λοιπόν ἄς ἐπιδιώκουμε ἥσυχα τή φιλομάθεια, ἀφοῦ δέν μποροῦμε νά ἐλέγχουμε τούς πνευματικούς ἀνθρώπους. Γιατί δέ βρίζουν μέ μίσος οὔτε ἀγαποῦν τήν ἡσυχία τῆς ἐρήμου μέ ἀλαζονεία, ἀλλά κάνουν ὅλα τά χρήσιμα ἀπό ἀγάπη. Γι' αὐτό λοιπόν καί ὅλοι, ὅσοι σπουδαῖοι γιά μᾶς καταχωρίσθηκαν στά ἱερά βιβλία, εἶχαν ἀποφύγει καί ἀπομακρυνθεῖ ἀπό τόν ὅμιλο τῶν ἀπαιδεύτων, γιά νά μή μειώσουν κάποια ἀρετή τους ἤ ν' ἀποσπάσουν κάτι ἀπό τήν κακία αὐτῶν μέ τόν καιρό καί τή συνήθεια. Πρώτη ἡ Σάρρα συμβούλευε τόν ἄνδρα της Ἀβραάμ ν' ἀπομακρύνει ἀπό τό κοινό σπίτι τόν υἱό τῆς ὑπηρέτριας, ἐνῶ ἦταν ἀκόμη πολύ μικρός, γιατί δέν τόν θεωροῦσε ἄξιο νά παίζει μαζί μέ τόν υἱό της Ἰσαάκ, μήπως μέ τή συναναστροφή παρασυρθεῖ στίς συνήθειες καί στούς τρόπους του[22]. Καί ὁ ἴδιος ὁ Ἰακώβ μέ φυγή κερδίζει τή σωτηρία του, ὅταν τόν ἔστειλαν νά μείνει στή Μεσοποταμία[23]. Καί ὁ Λώτ προτρέπεται ἀπό τούς ἀγγέλους νά φύγει μακριά ἀπό τούς ἀσεβεῖς Σοδομίτες[24]. Ἀλλά καί ὁ Μωυσῆς, ὅπως εἶπα προηγουμένως, «ὅταν μεγάλωσε καί ἀρνήθηκε νά ὀνομάζεται υἱός τῆς θυγατέρας τοῦ Φαραώ»[25], φροντίζει τόν ἀποχωρισμό του ἀπό τόν τύραννο καί τούς σωματοφύλακές του καί τόν προτρέπει ὁ Θεός νά πάρει μαζί τους τούς ὁμόφρονές του καί νά φροντίσει γιά τήν ἔξοδο.

Καί οἱ προφῆτες, ἀφοῦ ὑπερνίκησαν τούς μοχθηρούς ἀνθρώπους, τίς περισσότερες φορές ἔζησαν στίς ἐρήμους, γιά τούς ὁποίους καί ὁ ἀπόστολος λέγει· «Περιπλανιόταν στίς ἐρήμους καί στά βουνά καί στίς σπηλιές καί στίς τρύπες τῆς γῆς»[26], γιά ν' ἀποφύγουν τήν ἐπικοινωνία μέ τούς ἄνομους, ἐπειδή ὁπωσδήποτε γνώριζαν, ὅτι ἡ

21. Ματθ. 16, 23.
22. Βλ. Γεν. 21, 9-10.
23. Βλ. Γεν. 27, 41-44· 28, 1.2.5.
24. Βλ. Γεν. 19, 1.12.13.15.
25. Ἑβρ. 11, 24.
26. Ἑβρ. 11, 38.

αὐτὰ καθέλκειν τοὺς συνημερεύοντας· οὐ μόνον, ἀλλ' ὅτι καὶ καθ' ἑαυτὴν ἡ ὁμιλία ἐπίψογός τε καὶ δηλητήριος, πρὸς δὲ καὶ αἰσχρά. Οὐ γὰρ φύσιν ἔχει τὸ μὴ ἡδόμενον ἐπί τινι ὑπομεῖναι, κἂν ἐπὶ βραχὺ τούτῳ συνδιατρίβειν· ἀεὶ γὰρ "τὸ ὅμοιον τῷ
5 *ὁμοίῳ φίλον", ὡς καὶ λέγεται· "Πᾶν ζῶον τὸ ὅμοιον ἀγαπᾷ", τὸ δὲ ἀνόμοιον ἐχθρὸν καὶ ἀλλότριον. Τίς γάρ ποτε πείσει τὴν σπερμολόγον περιστερὰν ἢ τρυγόνα ἰκτῖσιν ἢ κόραξι συννεμηθῆναι τοῖς κρεοφάγοις, ἢ τὸν ποηφάγον χῆνα καὶ γέρανον γυψὶν ὀστογλύφοις συναγελάσαι; "Τίς" γὰρ "κοινωνία φωτὶ*
10 *πρὸς σκότος", ἢ ἀρετῇ πρὸς κακίαν, κακοῖς δὲ πρὸς καλούς;*

Ο ΔΙΑΚ. Πῶς οὖν ὁ ἀπόστολος λέγει, ὅτι "Ἐγενόμην τοῖς πᾶσι τὰ πάντα, τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω· τοῖς ἀσθενέσιν ὡς ἀσθενής, ἵνα ἀσθενεῖς κερδήσω· τοῖς ἀνόμοις ὡς ἄνομος, ἵνα ἀνόμους κερδήσω";

15 *Ο ΕΠΙΣΚ. Αὕτη ἡ μαρτυρία, ὦ βέλτιστε, οὐ συντελεῖ πρὸς τὰ λεγόμενα· οὐ γὰρ εἶπεν ὁ Παῦλος· "Ἐγενόμην τοῖς ἀμελέσιν ἀμελής, ἢ τοῖς φλυάροις φλύαρος, ἢ τοῖς φιλαργύροις φιλάργυρος", ἢ ἕτερόν τι τῶν τοιούτων, ἀλλ' "Ἐγενόμην ὡς τὸ ἢ τό", οὐχὶ 'τὸ' (τὸ γὰρ "ὡς τὸ" οὐ ταὐτόν ἐστι τῷ 'τό'). "Τοιοῦτον" δέ*
20 *ἐστι τὸ λεγόμενον ἢ γινόμενον παρὰ τοῦ ἀποστόλου· οὗ ἡ συγκατάβασις κἂν μὴ μέγα κέρδος ἐνεποίει, ἀλλ' οὖν γε οὐ παρεῖχε βλάβην· "ἐγενόμην" γὰρ "Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω". Καίπερ ἐξ Ἰουδαίων ἦν, ἐμπερίτομος ὤν· πῶς οὖν λέγει, "ὡς Ἰουδαῖος" καὶ οὐχὶ "Ἰου-*
25 *δαῖος"; Συσσαββατίζων γὰρ καὶ συννηστεύων πολλάκις εὑρίσκετο, μὴ παραφθείρων τὰ δόγματα τοῦ Σωτῆρος, ἵνα τῇ συνηθείᾳ καὶ τῷ συμβαδισμῷ ἐφελκύσηται αὐτοὺς εἰς τελειοτέραν ἐπίγνωσιν· καθάπερ οἱ ἰατροὶ τοῖς νοσοῦσιν οὐκ ἀεὶ συνόντες, οὔτε τοῦ αὐτοῦ νοσήματος ἀπολαύοντες, οὔτε ταῖς*
30 *αὐταῖς ἐπιθυμίαις λυττῶντες.*

Πρέπουσα γὰρ αὕτη διδασκάλῳ διαγωγὴ τὸ μὴ ἐγχρονίζειν τοῖς ὄχλοις, ἀλλ' ἠρεμοῦντα καὶ ἐξερευνῶντα ζητεῖν τῶν πολυτρόπων ἠθῶν τὴν διάγνωσιν, ὥσπερ καὶ ἐπὶ τῶν ἐπιστη-

27. Ἀριστοτέλη, Ἠθικά Νικομάχεια 1165 B. Εἶναι γενικός νόμος τῆς φύσης. Πρβλ. τά γνωμικά καί παροιμίες· Ὅμοιος ὁμοίῳ ἀεί πελάζει, ὅμοιος στόν ὅμοιο καί ἡ κοπριά στά λάχανα κλπ. 28. Σοφ. Σειρ. 13, 15.

29. Β΄ Κορ. 6, 14. 30. Α΄ Κορ. 9, 22.20.21.

συνήθεια μπορεῖ νά ἐξαπατήσει καί νά παρασύρει αὐτούς πού ζοῦν μαζί στά ἴδια· ὄχι μόνο αὐτό, ἀλλ' ὅτι καί ἡ συναναστροφή ἀπό μόνη της εἶναι ἀξιοκατάκριτη καί φαρμακερή, ἀκόμη καί αἰσχρή. Γιατί ἐκεῖνο πού δέν εἶναι εὐχάριστο δέν εἶναι φυσικό νά τό ὑπομείνει κανείς, ἔστω καί ἄν μείνει μαζί του γιά λίγο· γιατί πάντοτε «τό ὅμοιο εἶναι ἀγαπητό στό ὅμοιο»[27], ὅπως καί λέγεται· «Κάθε ζῶο ἀγαπᾶ τό ὅμοιό του»[28], ἐνῶ τό ἀνόμοιο εἶναι ἐχθρικό καί ξένο. Γιατί ποιός θά πείσει ποτέ τό περιστέρι πού τρέφεται μέ σπόρους ἤ τό τρυγόνι νά βοσκήσει μαζί μέ τά γεράκια καί τά κοράκια πού εἶναι κρεοφάγα, ἤ τή χορτοφάγο χήνα καί τό γερανό νά ζήσουν μαζί μέ τούς γύπες πού γλείφουν τά κόκκαλα; Γιατί «ποιά ἐπικοινωνία ὑπάρχει ἀνάμεσα στό φῶς καί τό σκοτάδι[29], ἤ στήν ἀρετή καί τήν κακία, καί στούς κακούς καί τούς καλούς;

Ο ΔΙΑΚ. Πῶς λοιπόν ὁ ἀπόστολος λέγει, ὅτι «Ἔγινα σ' ὅλους τά πάντα, στούς Ἰουδαίους σάν Ἰουδαῖος, γιά νά κερδίσω τούς Ἰουδαίους· στούς ἀσθενεῖς στήν πίστη σάν ἀσθενής, γιά νά κερδίσω τούς ἀσθενεῖς· στούς ἄνομους σάν ἄνομος, γιά νά κερδίσω τούς ἀνόμους»[30];

Ο ΕΠΙΣΚ. Αὐτή ἡ μαρτυρία, φίλτατε, δέ συμφωνεῖ μέ τά λεγόμενα. Γιατί δέν εἶπε ὁ Παῦλος, «Ἔγινα στούς ἀμελεῖς ἀμελής, ἤ στούς φλύαρους φλύαρος, ἤ στούς φιλάργυρους φιλάργυρος», ἤ κάτι ἄλλο παρόμοιο, ἀλλ' «Ἔγινα σάν τό ἤ τό», ὄχι «τό» (γιατί τό «σάν τό» δέν εἶναι ὅμοιο μέ τό «το»). «Τέτοιο» λοιπόν εἶναι αὐτό πού λέγεται ἤ γίνεται ἀπό τόν ἀπόστολο, πού ἡ συγκατάβασή του καί ἄν ἀκόμη δέν προκαλοῦσε μεγάλο κέρδος ὁπωσδήποτε ὅμως δέν προξενοῦσε βλάβη· «ἔγινα» λοιπόν στούς Ἰουδαίους σάν Ἰουδαῖος, γιά νά κερδίσω τούς Ἰουδαίους». Ἄν καί ἦταν ἀπό Ἰουδαίους, καί εἶχε περιτμηθεῖ· πῶς λοιπόν λέγει, «σάν Ἰουδαῖος» καί ὄχι «Ἰουδαῖος»; Γιατί τηροῦσε τό Σάββατο καί νήστευε μαζί τους πολλές φορές[31], χωρίς ν' ἀλλοιώνει τά δόγματα τοῦ Σωτήρα, ὥστε μέ τή συνήθεια καί τή συναναστροφή νά τούς φέρει αὐτούς πρός τήν τελειότερη πίστη, ὅπως ἀκριβῶς οἱ ἰατροί δέν εἶναι πάντοτε μαζί μέ τούς ἄρρωστους, οὔτε κολλοῦν τήν ἴδια ἀρρώστια, οὔτε προσβάλλονται ἀπό τίς ἴδιες ἐπιθυμίες.

Αὐτή λοιπόν πρέπει νά εἶναι ἡ συμπεριφορά τοῦ διδασκάλου, δηλαδή τό νά μή μένει γιά πολύ μέ τούς ὄχλους, ἀλλά μέ ἠρεμία καί ἔρευνες νά προσπαθεῖ νά βρεῖ τή διάγνωση τῶν πολύτροπων ἠθῶν,

31. Βλ. Πράξ. 13, 1-3 και 17, 1-3.

μόνων ἰατρῶν. Ἐκεῖνοι γὰρ τὰ πολλὰ τοῖς βιβλίοις ἐνδιατρίβοντες καὶ τὰ αἴτια τῶν νοσημάτων προλέγουσι καὶ τὰς λύσεις παραδιδόασι, τοσοῦτον πλησιάζοντες τοῖς νοσοῦσιν, ὅσον τὸ πάθος εὑρεῖν καὶ τὸ φάρμακον παρασχεῖν, οὐ συμπαίζοντες 5 *οὐδὲ συναριστοῦντες αὐτοῖς. Οὐ γὰρ τοῦτο ἰατρικῆς ἐστιν ἀρετῆς τὸ ἐπάγγελμα, τὸ συνεσθίειν ἢ τὸ συμπαίζειν, ἀλλὰ τὸ εἰς ὑγείαν τὸ κάμνοντα ἐπανάγειν. Παῦσαι τοίνυν, παρακαλῶ, καὶ περὶ τῶν αὐτῶν μὴ βασάνιζε, τῆς ἀρετῆς οὐδέποτε νικωμένης τοῖς τῶν ἀθυροστόμων ψόγοις· ἀλλὰ μᾶλλον δέξαι* 10 *μου γνώμην καὶ τοῖς ὠσί σου θυρωρὸν προσκατάστησον, ἵνα μὴ ἅπαντα λόγον σημαίνωσιν καὶ ἔσω ταμείου εἰσδέχωνται τὸν νοῦν σου ταράσσοντα. Ἐμοὶ δὲ συγχώρησον τὰ λείποντα προσαναπληρῶσαι τοῦ διηγήματος· ἐπείγομαι γὰρ τὴν ὁδόν μου.*

15 *Καὶ ὁ Θεόδωρος εἶπεν·*

Ο ΔΙΑΚ. Ἐν τίσιν οἱ ἐπίσκοποι, οἱ μετὰ τῶν ἡμετέρων ἀποσταλέντες, Εὐλύσιος καὶ Παλλάδιος καὶ Κυριακὸς καὶ Δημήτριος; Ἀμυδρῶς γὰρ ἠκούσαμεν ὅτι ἐξωρίσθησαν.

Ο ΕΠΙΣΚ. Εἰ τὰ πρῶτά σοι παρ' ἡμῶν σαφῆ κατεφάνη τὰ 20 *περὶ τοῦ μακαρίου Ἰωάννου, οὐδὲν ὑποτυποῦντα ψεῦδος, καὶ εἰ μέμησαι τούτων, διηγήσομαι καὶ περὶ ὧν πυνθάνῃ.*

ΚΕΦΑΛΑΙΟΝ Κ΄

25

Ο ΔΙΑΚ. Οὕτω πεπληροφορημένος ἔχω, ὡς αὐτὸς παρὼν ἐν τοῖς τόποις. Ἱκανὸν ἔστω δέ σοι τεκμήριον τῆς ἐμῆς πεισμονῆς ἡ προσοχὴ τῶν λεχθέντων, ὧν ἔναυλον ἔχων τὴν μνήμην, ἴσως καὶ γραφῇ παραδώσω ἐν δέρματι ἀκμαίῳ, μέλανι ἐγχαράξας, 30 *εἰς μνήμην τῆς ἡμῶν γενεᾶς καὶ ὠφέλειαν τῶν ἐπισκοπῆς ὀρεγομένων, ἵνα γένωνται κατὰ τὸν ἅγιον Ἰωάννην, ἢ καθ' ὑμᾶς τοὺς ὑπὲρ ἀληθείας τὴν ὁδὸν τῶν μαρτύρων ἐζηλωκότας, ἢ παύσωνται τοῦ βάρους ὑπὲρ τὴν αὐτῶν ἡλικίαν βαστάζειν, τὸν λαϊκὸν καὶ ἀκίνδυνον ἀσπαζόμενοι βίον. Ἄμεινον γὰρ* 35 *παρ' ἐμπείροις κυβερνήταις τὸ ναῦλον δόντας, ἐπιβάτας*

ὅπως γίνεται καί στούς ἔμπειρους ἰατρούς. Γιατί αὐτοί ἀσχολούμενοι πολύ μέ τά βιβλία καί τίς αἰτίες τῶν ἀσθενειῶν προλέγουν καί τίς θεραπεῖες χορηγοῦν, πλησιάζοντας τόσο μόνο τούς ἀρρώστους, ὅσο νά βροῦν τήν ἀρρώστια καί νά δώσουν τό φάρμακο, χωρίς νά παίζουν οὔτε νά τρώγουν μαζί τους. Γιατί αὐτό δέν εἶναι τό ἐπάγγελμα τῆς ἰατρικῆς ἀρετῆς, τό νά συντρώγει ἤ τό νά συμπαίζει μέ τούς ἄρρωστους, ἀλλά τό νά ξαναφέρει στήν ὑγεία του τόν ἄρρωστο. Σταμάτησε λοιπόν, σέ παρακαλῶ, καί μή μέ βασανίζεις γιά τά ἴδια, ἀφοῦ ἡ ἀρετή δέ νικιέται ποτέ μέ τούς ψόγους τῶν ἀθυρόστομων, ἀλλά μᾶλλον δέξου τή γνώμη μου καί τοποθέτησε στά αὐτιά σου θυρωρό, γιά νά μήν ἀποτυπώνουν κάθε λόγο καί ἐπιτρέπουν τήν εἴσοδό του μέσα στήν καρδιά σου, ὥστε νά ταράζει τό νοῦ σου. Σέ μένα ὅμως νά ἐπιτρέψεις νά συμπληρώσω τά ὑπόλοιπα τῆς διήγησης, γιατί βιάζομαι πολύ.

Καί ὁ Θεόδωρος εἶπε·

Ο ΔΙΑΚ. Σέ ποιά κατάσταση βρίσκονται οἱ ἐπίσκοποι, οἱ ὁποῖοι στάλθηκαν μαζί μέ τούς δικούς μας, δηλαδή ὁ Εὐλύσιος καί ὁ Παλλάδιος καί ὁ Κυριακός καί ὁ Δημήτριος; γιατί ἀμυδρά ἀκούσαμε πώς ἐξορίσθηκαν.

Ο ΕΠΙΣΚ. Ἐφόσον τά πρῶτα σοῦ παρουσιάσαμε μέ σαφήνεια, τά σχετικά μέ τό μακάριο Ἰωάννη, χωρίς νά περιέχουν κανένα ψέμα, καί ἐφόσον τά θυμᾶσαι αὐτά, θά σοῦ διηγηθῶ καί αὐτά πού ζητᾶς νά μάθεις.

ΚΕΦΑΛΑΙΟ Κ΄

Ο ΔΙΑΚ. Εἶμαι τόσο πληροφορημένος, σάν νά ἤμουν ὁ ἴδιος παρών στούς τόπους. Ἄς εἶναι ὅμως γιά σένα ἀρκετή ἀπόδειξη τοῦ πείσματός μου ἡ προσοχή μου σ' αὐτά πού εἰπώθηκαν, τά ὁποῖα ἔχοντας ζωηρή τή μνήμη τους ἴσως καί θά τά γράψω σέ κατάλληλη περγαμηνή, ἀφοῦ τά χαράξω μέ μελάνη, σέ μνήμη τῆς γενιᾶς μας καί ὠφέλεια ἐκείνων πού ἐπιθυμοῦν τήν ἐπισκοπή, γιά νά γίνουν ὅπως ὁ ἅγιος Ἰωάννης, ἤ ὅπως ἐσεῖς πού ἔχετε ποθήσει μέ ζῆλο γιά χάρη τῆς ἀλήθειας τό δρόμο τῶν μαρτύρων, ἤ νά σταματήσουν νά βαστάζουν τό βάρος ἀνώτερο ἀπό τήν ἡλικία τους, δεχόμενοι τό λαϊκό καί ἀκίνδυνο βίο. Γιατί εἶναι καλύτερο, ἀφοῦ δώσουμε τά ναῦλα καί γίνουμε ἐπιβάτες, νά διασωθοῦμε ἀπό ἔμπειρους κυβερνῆτες, παρά, ἀφοῦ

γενομένους διασωθῆναι, ἢ κυβερνήτου τόπον ἀναλαβόντας, ὑποβρύχιον τὸ σκάφος τῷ φορτίῳ συναπολέσαι. Ἀφηγησάμενος οὖν τὰ κατὰ τὸν μακάριον Ἰωάννην, πῶς τε ἐξήσκησεν καὶ ὅπως διέπρεψεν ἐν ταῖς ἐκκλησίαις, τῇ τε Ἀντιοχέων καὶ
5 *τῇ Κωνσταντινουπολιτῶν, καὶ ὅπως ἤχθη καὶ ὅπως συνεσκευάσθη καὶ πάντα τὰ διὰ μέσου πικρά, ἃ παρὰ τῶν πλημμελῶν φιλοπόνως γεγεώργηται, εἰπών τε τὰ κατὰ τὸν Πορφύριον καὶ τὸν Ἐφέσου εὐνοῦχον, ἀπάγγειλον ἡμῖν τὰ λείποντα. Τίνες τε ἐν φυλακῇ ἐτελεύτησαν; Τίνες τε ἐξωρίσθη-*
10 *σαν τῶν Ἰωάννου κοινωνικῶν; Δίκαιον γὰρ τῶν τοιούτων μνείας ἐπιτελεῖν εἰς προθυμίαν τῶν ζώντων. Εἰ γὰρ ἐν τοῖς βιωτικοῖς τούτοις πράγμασι παῖδες οἱ ὑπὲρ τῶν δεσποτῶν συγκλειόμενοι ἢ τυπτόμενοι ἢ ξεόμενοι εὐνοίας καὶ ἐλευθερίας παρ' αὐτῶν ἀπολαύουσι, πόσῳ πλέον οἱ διὰ Χριστὸν*
15 *τιμωρούμενοι ἄξιοι καὶ τιμῆς ἐκκλησιαστικῆς καὶ εὐνοίας εἰσίν; Περὶ ὧν καὶ ὁ ἀπόστολος λέγει· "Τοῖς δεσμίοις ὡς συνδεδεμένοι, τοῖς κακουχουμένοις συγκακουχούμενοι, ὡς καὶ αὐτοὶ ἐν σώματι ὄντες". "Τίμιος" γὰρ "ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ".*
20 *Ο ΕΠΙΣΚ. Ἄριστα εἶπας· οὐκοῦν ἄκουσον. Οἱ μὲν ἐπίσκοποι, ὡς μὲν ἐν ἀρχαῖς ἡ φήμη περιέδραμεν, εἰς θάλασσαν ἐποντώθησαν, ὡς δὲ ὁ ἀληθὴς περιέχει λόγος, εἰς ἐξορίαν ὑπερόριον ἀπεστάλησαν ἐν ταῖς βαρβαρικαῖς ζώναις, ὑπὸ δημίων εἰσέτι καὶ νῦν φρουρούμενοι. Ἐλθὼν γάρ τις συνο-*
25 *δεύσας αὐτοῖς διάκονος ἀφηγήσατο, Κυριακὸν μὲν Ἐμέσης ἐνδότερον ὀγδοήκοντα σημείων εἰς Πάλμυραν, τὸ τῶν Περσῶν φρούριον, εἶναι· Εὐλύσιον δὲ Βόστρας τῆς Ἀράβων ἐσώτερον ὁδὸν τριῶν ἡμερῶν ὁμοίως εἰς φρούριον Μισφᾶς καλούμενον, πλησίον τῶν Σαρακηνῶν· Παλλάδιον δὲ Βλεμμύων ἢ Αἰθιόπων*
30 *ἐκ γειτόνων φρουρεῖσθαι εἰς Συήνην καλούμενον τὸ χωρίον· Δημήτριον ἔσω εἰς Ὄασιν, τὴν γείτονα τῶν Μαζίκων (εἰσὶ γὰρ καὶ ἄλλαι Ὀάσεις)· Σαραπίωνα δέ, μετὰ μυρίας ἀναποδείκτους συκοφαντίας, ὠμότητι δικαστῶν καθυβρίσαντες αἰκισμοῖς τὸ σῶμα μέχρις ἐκκοπῆς τῶν ὀδόντων, ὡς λόγος, εἰς τὴν*
35 *ἰδίαν πατρίδα περιώρισαν. Ἱλάριος, ἀνὴρ ἅγιος, γεγηρακώς, εἰς Πόντον τὴν ἐνδοτάτω ἐξαπεστάλη μετὰ πληγάς, οὐ δικα-*

1. Ἑβρ. 13,3. 2. Ψαλμ. 115, 6.

πάρουμε τή θέση τοῦ κυβερνήτη, νά βυθίσουμε κάτω ἀπό τά νερά τῆς θάλασσας τό πλοῖο μαζί μέ τό φορτίο. 'Αφοῦ ἀφηγήθηκες λοιπόν τά σχετικά μέ τό μακάριο 'Ιωάννη καί μέ ποιόν τρόπο ἄσκησε τήν ἀρετή, καί πῶς διακρίθηκε στίς ἐκκλησίες, καί τῆς 'Αντιόχειας καί τῆς Κωνσταντινουπόλεως, καί πῶς ἀνέβηκε στό θρόνο, καί πῶς ἐξορίσθηκε καί ὅλα τά ἐνδιάμεσα πικρά, τά ὁποῖα μέ κόπο καλλιέργησαν αὐτοί πού ἔσφαλαν, καί ἀφοῦ εἶπες τά σχετικά μέ τόν Πορφύριο καί τόν εὐνοῦχο τῆς 'Εφέσου, πληροφόρησέ μας τά ὑπόλοιπα. Ποιοί πέθαναν στή φυλακή; καί ποιοί ἐξορίσθηκαν ἀπ' αὐτούς πού ἐπικοινωνοῦσαν μέ τόν 'Ιωάννη; Γιατί εἶναι δίκαιο νά τούς ἀναφέρουμε αὐτούς γιά νά προθυμοποιοῦνται οἱ ζωντανοί. 'Εάν λοιπόν στά βιωτικά αὐτά πράγματα οἱ νεαροί δοῦλοι, πού γιά χάρη τῶν κυρίων τους φυλακίζονται ἤ χτυπιοῦνται ἤ ξεσχίζονται, κερδίζουν ἀπ' αὐτούς τήν εὔνοια καί τήν ἐλευθερία, πόσο περισσότερο ἐκεῖνοι πού τιμωροῦνται γιά τό Χριστό εἶναι ἄξιοι γιά τήν ἐκκλησιαστική τιμή καί εὔνοια; Γι' αὐτούς καί ὁ ἀπόστολος λέγει· «Μέ τούς φυλακισμένους σάν νά ἦταν μαζί τους δεμένοι, μ' ἐκείνους πού ταλαιπωροῦνταν, ταλαιπωροῦνταν μαζί τους, σάν νά ἦταν καί αὐτοί μέ τό σῶμα τους»[1]. Γιατί «ἐνώπιον τοῦ Κυρίου εἶναι γεμάτος τιμές ὁ θάνατος τῶν ἁγίων του»[2].

Ο ΕΠΙΣΚ. Ἄριστα τά εἶπες· λοιπόν ἄκουσε. Οἱ ἐπίσκοποι, ὅπως ἔτρεξε στίς ἀρχές ἡ φήμη, καταποντίσθηκαν στή θάλασσα, ὅπως ἀναφέρει ὅμως ὁ ἀληθινός λόγος, στάλθηκαν σ' ἐξορία ἔξω ἀπό τή χώρα σέ βαρβαρικές περιοχές, φρουρούμενοι ἀκόμη καί τώρα ἀπό τούς δήμιους. Γιατί ὅταν ἐπέστρεψε κάποιος διάκονος, πού τούς συνόδευσε, ἀφηγήθηκε, ὅτι ὁ Κυριακός εἶναι πιό μέσα ἀπό τήν Ἔμεσα ὀγδόντα μίλια στήν Παλμύρα, τό φρούριο τῶν Περσῶν. 'Ο Εὐλύσιος βρίσκεται πιό μέσα ἀπό τή Βόστρα τῆς 'Αραβίας σέ ἀπόσταση τριῶν ἡμερῶν δρόμο, τό ἴδιο σέ φρούριο πού ὀνομάζεται Μισφᾶς, κοντά στούς Σαρακηνούς. 'Ο Πάλλάδιος φρουρεῖται στή χώρα τῶν Βλεμμύων ἤ Αἰθιόπων ἀπό γείτονες στό μέρος πού ὀνομάζεται Συήνη. Τό Δημήτριο περιόρισαν μέσα στήν Ὄαση, τή γειτονική τῶν Μαζίκων (γιατί ὑπάρχουν καί ἄλλες 'Οάσεις), καί τό Σαραπίωνα, μετά ἀπό ἄπειρες ἀναπόδεικτες συκοφαντίες, μέ τή σκληρότητα τῶν δικαστῶν, ἀφοῦ τόν κακοποίησαν μέ βιαιοπραγίες στό σῶμα του μέχρι νά ξεριζώσουν τά δόντια του, ὅπως λέγει ὁ λόγος, τόν περιόρισαν στήν πατρίδα του. 'Ο 'Ιλάριος[3], ἄνδρας ἅγιος, γέρος,

3. 'Ο 'Ιλάριος, ἀναφέρεται ἀπό τό Χρυσόστομο στήν ἐπιστολή του 14.

στοῦ, ἀλλὰ τοῦ κλήρου, ὃς ὀκτωκαιδέκατον ἔτος ἔχει, μὴ γευσάμενος ἄρτου, ἀλλὰ ψιλῶν λαχάνων ἢ κολλύβων μεταλαμβάνων. Ἀντώνιος ἐν σπηλαίοις τῆς Παλαιστίνης ἑαυτὸν ἐξώρισεν.

Τιμόθεος ὁ Μαρωνείας καὶ Ἰωάννης ὁ τῆς Λυδίας λέγονται ἐν Μακεδονίᾳ. Ῥόδων ὁ τῆς Ἀσίας ἐπορεύθη ἐν Μυτιλήνῃ. Γρηγόριος ὁ τῆς Λυδίας λέγεται ἐν Φρυγίᾳ. Βρίσσων δὲ ὁ ἀδελφὸς Παλλαδίου, ἀποστὰς ἑκουσίως τῆς ἑαυτοῦ ἐκκλησίας, ἐν τῷ ἀγριδίῳ αὐτοῦ διάγει, ταῖς χερσὶν ἑαυτοῦ τὴν γῆν μεταλλεύων. Λαμπέτιος δέ, ὥς φασιν, ἐν χωρίῳ Λυδίας παρά τινος Ἐλευθέρου ἐπικουρούμενος, τοῖς ἀναγνώσματι προσέχει. Εὐγένιός ἐστιν ἐν τῇ πατρίδι. Ἐλπίδιος, ὁ μέγας Λαοδικείας τῆς Συρίας, ἅμα Πάππῳ τρία πληροῦνται ἔτη, τὴν κλίμακα τῆς οἰκίας οὐ κατῆλθον προσευχαῖς σχολάζοντες. Ἡρακλείδης ὁ Ἐφέσιος ἐν τῇ εἱρκτῇ τῆς Νικομηδείας ἐγκέκλεισται, τετραετὴς ἐστι χρόνος. Οἱ δὲ λοιποὶ τῶν κοινωνικῶν ἐπισκόπων, οἱ μὲν ἀνέλπιστα ἐνθυμηθέντες ἐκοινώνησαν Ἀττικῷ, εἰς ἑτέρας μετατεθέντες ἐκκλησίας τῆς Θρᾴκης, οἱ δὲ ἄδηλοί εἰσιν· Ἀνατόλιον δέ φασιν εἶναι ἐν Γαλλίαις. Τῶν δὲ πρεσβυτέρων οἱ μὲν εἰς Ἀραβίαν καὶ Παλαιστίνην περιωρίσθησαν. Τίγριος δὲ εἰς τὴν μέσην τῶν Ποταμῶν περιωρίσθη. Φίλιππος ἐτελεύτησεν φυγὼν ἐν Πόντῳ. Θεόφιλος διάγει ἐν Παφλαγονίᾳ. Ἰωάννης ὁ τοῦ Αἰθρίου μοναστήριον συνεκρότησεν ἐν Καισαρείᾳ. Στέφανον εἰς Ἀραβίαν ἐξορισθέντα τῶν δημίων ἀπέσπασαν οἱ Ἴσαυροι ἀπολύσαντες ἀνὰ τὸν Ταῦρον.

Σαλλούστιόν φασιν ἐν τῇ Κρήτῃ. Φίλιππον τὸν ἀσκητὴν καὶ πρεσβύτερον τῶν σχολῶν ἤκουσα ἀῤῥωστοῦντα ἐν Καμπανίᾳ. Σωφρόνιος ὁ διάκονος ἐν φυλακῇ ἐστι τῆς Θηβαΐδος. Παῦλος ὁ διάκονος, ὁ βοηθὸς τοῦ οἰκονόμου, λέγεται ἐν Ἀφρικῇ. Ἄλλος Παῦλος, ὁ τῆς Ἀναστασίας, ἐστὶν ἐν Ἱεροσολύμοις. Ἑλλάδιος ὁ πρεσβύτερος, ὁ τοῦ παλατίου, διάγει ἐν ἀγριδίῳ τῆς Βιθυνίας ἰδίῳ. Πλείους δὲ κρύπτονται ἐν

4. Εἶναι γνωστός μόνο ἀπό ἐδῶ.

5. Ὁ Τιμόθεος, καθώς καί ὅλοι σχεδόν οἱ ἐπίσκοποι, πρεσβύτεροι καί διάκονοι πού ἀναφέρονται στή συνέχεια εἶναι γνωστοί μόνο ἀπό τόν παρόντα διάλογο.

στάλθηκε στό ἐσωτερικό τοῦ Πόντου ὕστερα ἀπό χτυπήματα, ὄχι τοῦ δικαστῆ, ἀλλά τῶν κληρικῶν, ὁ ὁποῖος ἔχει δεκαοχτώ χρόνια χωρίς νά γευθεῖ ψωμί, ἀλλά τρώγει μόνο λάχανα ἤ κόλλυβα. Ὁ Ἀντώνιος[4] ἐξορίσθηκε μόνος του στίς σπηλιές τῆς Παλαιστίνης.

Ὁ Τιμόθεος[5] τῆς Μαρώνειας καί ὁ Ἰωάννης τῆς Λυδίας λέγουν ὅτι εἶναι στή Μακεδονία. Ὁ Ρόδων τῆς Ἀσίας πῆγε στή Μυτιλήνη. Ὁ Γρηγόριος τῆς Λυδίας λέγεται ὅτι εἶναι στή Φρυγία. Ἐνῶ ὁ Βρίσσων, ὁ ἀδελφός τοῦ Παλλαδίου, ἔφυγε μέ τή θέλησή του ἀπό τή δική του ἐκκλησία καί ζεῖ στό ἀγρόκτημά του, καλλιεργώντας τή γῆ μέ τά χέρια του. Ὁ Λαμπέτιος, ὅπως λέγουν, σέ χωριό τῆς Λυδίας βοηθούμενος ἀπό κάποιον Ἐλεύθερο, ἀφοσιώνεται στά ἀναγνώσματα. Ὁ Εὐγένιος εἶναι στήν πατρίδα του. Ὁ Ἐλπίδιος, ὁ μεγάλος ἐπίσκοπος τῆς Λαοδίκειας τῆς Συρίας, μαζί μέ τόν Πάππο συμπληρώνονται τρία χρόνια πού δέν κατέβηκαν τή σκάλα τοῦ σπιτιοῦ ἀσχολούμενοι μέ τίς προσευχές. Ὁ Ἡρακλείδης ὁ Ἐφέσιος εἶναι κλεισμένος στή φυλακή τῆς Νικομήδειας, καί εἶναι ὁ τέταρτος χρόνος. Καί οἱ ὑπόλοιποι ἀπό τούς ἐπισκόπους πού εἶχαν ἐπικοινωνία μέ τόν Ἰωάννη, ἄλλοι πού σκέφθηκαν ἀνέλπιστα πράγματα ἐπικοινώνησαν μέ τόν Ἀττικό καί μετατέθηκαν σ᾽ ἄλλες ἐκκλησίες τῆς Θράκης, ἐνῶ οἱ ἄλλοι εἶναι ἄγνωστοι· ὁ Ἀνατόλιος λέγουν ὅτι εἶναι στή Γαλλία. Ἀπό τούς πρεσβυτέρους ἄλλοι περιορίσθηκαν στήν Ἀραβία καί Παλαιστίνη. Ὁ Τίγριος ὅμως περιορίσθηκε στή Μεσοποταμία. Ὁ Φίλιππος ἔφυγε καί πέθανε στόν Πόντο. Ὁ Θεόφιλος[6] ζεῖ στήν Παφλαγονία. Ὁ Ἰωάννης, ὁ υἱός τοῦ Αἰθρίου, ἵδρυσε μοναστήρι στήν Καισάρεια. Τόν Στέφανο, πού ἐξορίσθηκε στήν Ἀραβία, τόν ἀπέσπασαν ἀπό τούς δήμιους οἱ Ἴσαυροι καί τόν ἄφησαν ἐλεύθερο στά μέρη τοῦ Ταύρου.

Ὁ Σαλλούστιος λέγουν ὅτι εἶναι στήν Κρήτη. Ὁ Φίλιππος[7], ὁ ἀσκητής καί πρεσβύτερος τῶν σχολῶν[8], ἄκουσα ὅτι εἶναι ἄρρωστος στήν Καμπανία. Ὁ διάκονος Σωφρόνιος εἶναι στή φυλακή τῆς Θηβαΐδας. Ὁ διάκονος Παῦλος, ὁ βοηθός τοῦ οἰκονόμου, λέγεται ὅτι εἶναι στήν Ἀφρική. Ἄλλος Παῦλος, τοῦ ναοῦ τῆς ἁγίας Ἀναστασίας, εἶναι στά Ἱεροσόλυμα. Ὁ Ἑλλάδιος[9], ὁ πρεσβύτερος τοῦ παλατιοῦ, ζεῖ σέ ἰδιωτικό μικρό κτῆμα τῆς Βιθυνίας. Οἱ περισσότεροι ὅμως

6. Ἀναφέρεται στίς ἐπιστολές τοῦ Χρυσοστόμου 115, 119, 210 καί 212.

7. Ὁ Σαλλούστιος μνημονεύεται στίς ἐπιστολές 203, 210, 212 καί 213, ἐνῶ ὁ Φίλιππος στή 213. 8. Σχολές· τάγματα τῆς αὐτοκρατορικῆς φρουρᾶς.

9. Ἀναφέρεται στήν ἐπιστολή 14.

Κωνσταντινουπόλει, ἄλλοι δ' ἀπῆλθον εἰς τὰς πατρίδας. Σιλβανὸς δὲ ὁ ἅγιος ἐπίσκοπος ἐν Τρῳάδι ἐστίν, ἁλιεύων καὶ ζῶν. Στέφανος ὁ ἀσκητής, ὁ τὰς Ῥωμαίων ἐπιστολὰς διακομίσας, ἐν Κωνσταντινουπόλει, τούτου αὐτοῦ ἕνεκεν τυπτηθείς, ἐπὶ μῆνας δέκα εἰς τὴν εἱρκτὴν ἐβλήθη. Προταθείσης δ' αὐτῷ κοινωνίας, ὡς οὐκ ἐπείσθη, ξεσθεὶς εἰσάγαν τάς τε πλευρὰς καὶ τὸ στῆθος (ὧν ἐγὼ αὐτόπτης ἐγενόμην), τῇ τοῦ Χριστοῦ ἐπιμελείᾳ διασωθεὶς ἴσως εἰς δευτέρους ἀγῶνας, μετὰ δέκα μῆνας τῆς θεραπείας ἐξωρίσθη εἰς τὸ Πηλούσιον. Προβιγκάλιός τις στρατιώτης τῶν περὶ τὸν βασιλέα σχολῶν, διαβληθεὶς ὡς φιλητὴς Ἰωάννου, μετὰ πληγὰς πολυτρόπους καὶ ξεσμὸν ἀφειδῆ ἐξωρίσθη εἰς Πέτρας.

Οἰκέτης δὲ Ἐλπιδίου τοῦ πρεσβυτέρου μισθωθείς, ὥς φασι, πεντήκοντα νομισμάτων, ἵνα τὸν ἅγιον Ἰωάννην δολοφονήσῃ, φωραθεὶς ἐπὶ τούτῳ τρεῖς ἔχων ῥομφαίας, ἔπαισεν τοὺς κατέχοντας αὐτὸν κατὰ μέρος ἑπτά· ὧν οἱ μὲν τέσσαρες παραυτίκα ἐτάφησαν, οἱ δὲ τρεῖς ἐπὶ ἱκανὸν χρόνον ἐπιμεληθέντες ἐσώθησαν, τοῦ φονέως ἀπολυθέντος. Εὐτρόπιος ὁ μακάριος, ἄφθορος ἀπὸ γυναικῶν, ψάλτης, τυπτηθεὶς καὶ ξεσθεὶς εἰσάγαν τὰς πλευρὰς σὺν τῷ μετώπῳ, ὡς καὶ τὰς ὀφρῦς κατασπασθῆναι, λαμπάδων αὐτῷ τελευταῖον ταῖς πλευραῖς ἀμφοτέρωθεν γυμνοῖς ὀστέοις προσπιληθεισῶν, ἐλαίῳ κομουσῶν, προσεκπνέει τῷ ξύλῳ, ταφεὶς μεσονυκτίῳ παρὰ τῶν τοῦτο δρασάντων ἱερατικῶν, συνεπιμαρτυρήσαντος τοῦ Θεοῦ τῷ θανάτῳ ὀπτασίᾳ ψαλλόντων διὰ τὸ σύμμορφον τοῦ σωτηρίου πάθους. Διηγήσατο δὲ ὁ ἀναλύσας διάκονος ἀπὸ τῶν ἐπισκόπων, ὅτι οἱ ἐπαρχικοὶ οἱ διάγοντες αὐτοὺς ἐπὶ τοσοῦτον ἔθλιψαν κατ' ἐντολάς τινων, ὡς εὔχεσθαι αὐτοὺς θάνατον ἐπελθεῖν καὶ τὸ ζῆν παραιτεῖσθαι. Τὰ μὲν γὰρ ἐν ἀργυρίοις ἀναλώματα, ἃ κατὰ τὴν ὁδὸν εἰλήφεισαν, ὑφ' ἓν ἀποσπάσαντες, εἰς ἀλλήλους διεμερίσθησαν, ξηροῖς δὲ τοῖς ὀνοζυγίοις ἐπιρρίπτοντες, τῶν δύο ἡμερῶν τὴν ὁδὸν μίαν ἐποίουν, βαθεῖαν ἑσπέραν εἰσάγοντες καὶ ὄρθρῳ σκοτεινῷ ἐξάγοντες, ὡς μηδὲ τὰς ἀθλίας τροφὰς κατέχειν τὸν στόμαχον. Ῥήμασί τε αἰσχροῖς καὶ ἀσέμνοις βάλλοντες οὐκ ἐφείδοντο.

Παλλαδίου δὲ καὶ τὸν παῖδα ἀφείλαντο βιασάμενοι αὐτὸν

κρύβονται στήν Κωνσταντινούπολη, ἐνῶ ἄλλοι ἔφυγαν στίς πατρίδες τους. Ὁ Σιλβανός, ὁ ἅγιος ἐπίσκοπος, εἶναι στήν Τροία καί ζεῖ ψαρεύοντας. Ὁ Στέφανος ὁ ἀσκητής, ὁ ὁποῖος μετέφερε τίς ἐπιστολές τῶν Ρωμαίων, καί γι' αὐτό ἀκριβῶς χτυπήθηκε, γιά δέκα μῆνες ρίχθηκε στή φυλακή στήν Κωνσταντινούπολη. Ὅταν τοῦ πρότειναν ἐπικοινωνία καί δέν ὑπάκουσε, ἀφοῦ τοῦ ἔσχισαν ὑπερβολικά καί τίς πλευρές καί τό στῆθος του (σ' αὐτά ἤμουν ἐγώ αὐτόπτης μάρτυρας) καί σώθηκε μέ τή φροντίδα τοῦ Χριστοῦ ἴσως γιά δεύτερους ἀγῶνες, ὕστερα ἀπό δέκα μῆνες ἀπό τή θεραπεία του ἐξορίσθηκε στό Πηλούσιο. Κάποιος Προβιγκάλιος, στρατιώτης ἀπό τά σώματα τοῦ βασιλικοῦ στρατοῦ, ἀφοῦ συκοφαντήθηκε σάν θαυμαστής τοῦ Ἰωάννη, ὕστερα ἀπό πολλά καί διάφορα χτυπήματα καί ἄφθονα σχισίματα ἐξορίσθηκε στίς Πέτρες.

Ἕνας ὑπηρέτης τοῦ πρεσβυτέρου Ἐλπιδίου πού πληρώθηκε, ὅπως λέγουν, πενήντα νομίσματα, γιά νά δολοφονήσει τόν ἅγιο Ἰωάννη, καί ἀποδείχθηκε ὅτι εἶχε τρία ξίφη γι' αὐτό, χτύπησε ξεχωριστά τούς ἑπτά πού τόν κρατοῦσαν αὐτόν. Ἀπ' αὐτούς οἱ τέσσερις θάφτηκαν ἀμέσως, ἀλλά οἱ τρεῖς σώθηκαν ἀφοῦ τούς φρόντισαν ἀρκετό καιρό, ἐνῶ ὁ δολοφόνος ἀφέθηκε ἐλεύθερος. Ὁ μακάριος Εὐτρόπιος, ἁγνός ἀπό γυναῖκες, ψάλτης, ἀφοῦ τόν χτύπησαν καί τοῦ ἔσχισαν ὑπερβολικά τίς πλευρές μαζί μέ τό μέτωπό του, ὥστε νά σχισθοῦν ἀκόμη καί τά φρύδια του, ἀφοῦ τελευταῖα καί στίς δύο πλευρές του μέ γυμνά κόκκαλα πλησίασαν λαμπάδες, πού ἔκαιγαν λάδι, ξεψυχάει ἐπάνω στό ξύλο, καί θάφτηκε τά μεσάνυχτα, ἀπό τούς κληρικούς πού τό ἔκαμαν αὐτό, ἐνῶ ὁ Θεός ἐπιβεβαίωσε τό θάνατό του μαζί μέ όπτασία ψαλτῶν ἐπειδή ὁ θάνατός του ἦταν παρόμοιος μέ τό σωτήριο πάθος. Διηγήθηκε ἀκόμη ὁ διάκονος, πού ἐλευθερώθηκε ἀπό τούς ἐπισκόπους, ὅτι οἱ στρατιῶτες τοῦ ἐπάρχου πού τούς μετέφεραν τόσο πολύ τούς στενοχώρησαν σύμφωνα μ' ἐντολές κάποιων, ὥστε εὔχονταν αὐτοί νά ἔρθει ὁ θάντος καί νά ἐγκαταλείψουν τή ζωή. Γιατί τά ἔξοδά τους σέ χρήματα, τά ὁποῖα εἶχαν πάρει γιά τό δρόμο, ἀφοῦ τά ἀπέσπασαν ἀμέσως, τά μοίρασαν μεταξύ τους, καί βάζοντας αὐτούς ἐπάνω στά ἐξαντλημένα ζῶα, ἔκαναν τό δρόμο τῶν δύο ἡμερῶν σέ μία, ὁδηγώντας αὐτούς μέσα σέ πόλεις ἀργά τή νύχτα καί ἀπομακρύνοντάς τους βαθιά χαράματα, ὥστε οὔτε τίς ἄθλιες τροφές νά κρατήσει τό στομάχι τους. Δέ σταμάτησαν νά τούς προκαλοῦν μέ λόγια αἰσχρά καί ἄσεμνα.

Ἀπό τόν Παλλάδιο στέρησαν καί τόν ὑπηρέτη, ἐξαναγκάζοντας

καὶ γραμματεῖον ἐκθέσθαι. Δημήτριον δὲ εἰς τοσοῦτον ἔθλιψεν εἷς τῶν διαγόντων, ὡς καὶ ζιβύνῃ βαθεῖαν ἑσπέραν ἐπελθεῖν, ὃς παρὰ πόδας εἰς τὸ σῶμα ἐβασανίσθη, ἐπωδύνως τὸ ζῆν ἀποῤῥήξας, ὡς τοὺς ἐπιδειάζοντας γνωρίζειν τὴν τῶν ὕβρεων 5 *ποινήν· προειπόντος αὐτῷ καὶ Παλλαδίου (ὡς ὁ ἐλθὼν διηγήσατο συστρατιώτης), ὅτι "Ἄλλην ὁδὸν οὐχ ὁδεύσεις, οἰκτρῶς τελευτήσας". Ἐκκλησίᾳ μὲν γὰρ τὸ σύνολον πλησιάζειν οὐκ εἴων, καταλύοντες ἢ ἐν πανδοχείοις, ἔνθα ἑταιρίδων πλῆθος, ἢ ἐν ταῖς συναγωγαῖς Σαμαρειτῶν ἢ Ἰουδαίων,* 10 *μάλιστα ἀπὸ Ταρσοῦ, καὶ ἐκεῖ ὡς στενοχωρουμένους αὐτούς, καὶ ἕτερόν τι ἐννοεῖν ὃ ἦν ἀπρονόητον· λέγει δὲ εἷς τῶν ἐπισκόπων· "Τί λυπούμεθα περὶ τῶν καταγωγίων; μὴ γὰρ ἐφ' ἡμῖν ἐστι τὸ ποῦ μεῖναι, ἵνα οἰκείᾳ αἱρέσει ἀσχημονοῦντες δίκας ὀφλήσωμεν; ἢ οὐκ οἴδατε, ὅτι ταῦτα πάντα καὶ γεγένηται* 15 *καὶ γενήσεται, τοῦ Θεοῦ διὰ πάντων δοξαζομένου; Πόσαι τούτων τῶν ἑταιρίδων λήθην Θεοῦ λαβοῦσαι ἢ τὴν ἀρχὴν μηδὲ γνοῦσαι, ἡμᾶς οὕτω θεασάμεναι, εἰς φόβον Θεοῦ καὶ ἔννοιαν ἦλθον, ἴσως ἐπὶ τὸ κρεῖττον τραπεῖσαι ἢ κἂν ἐπὶ τὸ χεῖρον μὴ καταῤῥεύσασαι; Οὐ μικρὸν δὲ ψυχῇ λογικῇ ὑπὸ πάθους* 20 *κακουμένῃ καὶ μικρὸν ἀναπνεῦσαι, ὅπερ ἐστὶν ἔναυσμα σωφροσύνης· ὡς ταῦτα ὑποστάντα εἰπεῖν τὸν ἱεροφάντην Παῦλον· 'Χριστοῦ εὐωδία ἐσμὲν ἐν τοῖς σῳζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις, διὰ τὸ θέατρον γεγενῆσθαι ἀγγέλοις τε καὶ ἀνθρώποις' ".*

25 *Εἰς τοσοῦτον δὲ ὠμότητος οἱ κατὰ τόπον ἤκμασαν ἐπίσκοποι τῶν κοινωνικῶν Θεοφίλου κατὰ τὴν ἀνατολὴν πᾶσαν (ὡς ἔλεγεν ὁ ἐλθὼν ἀσκητής), ὥς τινας αὐτῶν οὐχὶ μόνον μὴ ἐνδείξασθαι τὴν ὀφειλομένην σωφροσύνην ἀλλὰ καὶ μετὰ δώρων πείθειν τοὺς ἐπαρχικοὺς τάχιον ἐξελαύνειν τῶν* 30 *πόλεων. Εἰσὶ δὲ οἱ μάλιστα τοῦτο πεποιηκότες, ὁ Ταρσοῦ καὶ ὁ Ἀντιοχείας καὶ Εὐλόγιος ὁ Καισαρείας τῆς Παλαιστίνης, ὅ τε Ἀγκύρας πρὸ πάντων καὶ Ἀμμώνιος ὁ τοῦ Πηλουσίου, τοῦτο μὲν δόμασι, τοῦτο δὲ ἀπειλαῖς πλέον κατ' αὐτῶν τοὺς διάγοντας στρατιώτας ἐξαγριοῦντες, ἵνα μήτε τοὺς τῶν βουλο-* 35 *μένων λαϊκῶν ἐπιδέχεσθαι αὐτοὺς συγχωρῶσιν· καθὼς ἐν ταῖς καθολικαῖς γράφει Γαΐῳ ὁ μακάριος Ἰωάννης κατά τινος*

10. Β' Κορ. 1, 15· Α' Κορ. 4, 9.

11. Ἐπίσκοπος Ταρσοῦ ἦταν ὁ Φαλέριος, Ἀντιόχειας ὁ Πορφύριος καί Ἄγκυρας ὁ Λεόντιος.

αὐτόν νά ἐγκαταλείψει τό βιβλίο τῶν λογαριασμῶν. Τό Δημήτριο ὅμως τόν ἐνοχλοῦσε ἕνας ἀπ' αὐτούς, πού τούς μετέφεραν, τόσο πολύ, ὥστε τοῦ ἐπιτέθηκε μέ ἀκόντιο ἀργά τή νύχτα, ὁ ὁποῖος ἀμέσως βασανίσθηκε στό σῶμα καί πέθανε μέ πόνους, ὥστε αὐτοί, πού ἐπικαλέσθηκαν σάν μάρτυρες, ἀναγνωρίζουν τήν τιμωρία τῶν ὕβρεων, ἐνῶ ὁ Παλλάδιος τοῦ εἶχε πεῖ προηγουμένως (ὅπως διηγήθηκε ὁ συστρατιώτης πού ἦρθε), ὅτι «Δέ θά βαδίσεις ἄλλο δρόμο, ἀφοῦ βρεῖς οἰκτρό θάνατο». Δέν τούς ἄφηναν ὅλους νά πλησιάζουν σ' ἐκκλησία, καταλύοντας ἤ σέ πανδοχεῖα, ὅπου ὑπῆρχαν πολλές πόρνες, ἤ στίς συναγωγές τῶν Σαμαρειτῶν ἤ τῶν 'Ιουδαίων, ἰδιαίτερα ἀπό τήν Ταρσό, καί ἐκεῖ ἐπειδή ἦταν στενοχωρημένοι αὐτοί, σκέπτονται καί κάτι ἄλλο πού δέν εἶχαν προβλέψει. Λέγει λοιπόν ἕνας ἀπό τούς ἐπισκόπους· «Τί λυπόμαστε γιά τά καταλύματα; Μήπως λοιπόν εἶναι στό χέρι μας τό ποῦ νά μείνουμε, ὥστε ἀσχημονώντας μέ τή θέλησή μας νά καταδικασθοῦμε; Ἤ δέ γνωρίζετε, ὅτι ὅλα αὐτά καί ἔχουν γίνει καί θά γίνουν, ἀφοῦ ὁ Θεός δοξάζεται μέ ὅλα; Πόσες ἀπό τίς πόρνες αὐτές πού ξέχασαν τό Θεό ἤ δέν τόν γνώρισαν στήν ἀρχή, ὅταν μᾶς εἶδαν ἔτσι φοβήθηκαν καί γνώρισαν τό Θεό, οἱ ὁποῖες ἄλλαξαν στό καλύτερο ἤ τουλάχιστο δέν ἔπεσαν στό χειρότερο; Δέν εἶναι ὅμως μικρό πράγμα στή λογική ψυχή πού πάσχει ἀπό κάποιο πάθος ν' ἀναπνεύσει καί λίγο, πράγμα πού εἶναι ἡ ἀρχή τῆς ἐγκράτειας, ὥστε νά πεῖ ὁ ἱεροφάντης Παῦλος πού τά ἔπαθε αὐτά· 'Εἵμαστε Χριστοῦ εὐωδία ἀνάμεσα σ' ἐκείνους πού σώζονται καί σ' ἐκείνους πού καταδικάζονται, γιατί ἔχουμε γίνει θέαμα καί στούς ἀγγέλους καί στούς ἀνθρώπους'[10]».

Ἔφθασαν μάλιστα σέ τέτοιο σημεῖο σκληρότητας οἱ κατά τόπους ἐπίσκοποι, πού ἦταν ὀπαδοί τοῦ Θεοφίλου, σ' ὅλη τήν ἀνατολή (ὅπως ἔλεγε ὁ ἀσκητής πού ἦρθε), ὥστε μερικοί ὄχι μόνο δέν ἔδειξαν τή σωφροσύνη πού ἔπρεπε ἀλλά καί μέ δῶρα προσπαθοῦσαν νά πείθουν τούς στρατιῶτες νά φεύγουν γρηγορότερα ἀπό τίς πόλεις τους. Καί ἐκεῖνοι πού ἔκαμαν αὐτό πιό πολύ εἶναι ὁ ἐπίσκοπος Ταρσοῦ καί ὁ ἐπίσκοπος 'Αντιόχειας καί ὁ Εὐλόγιος τῆς Καισάρειας τῆς Παλαιστίνης καί ἰδιαίτερα ὁ ἐπίσκοπος Ἄγκυρας[11] καί ὁ 'Αμμώνιος Πηλουσίου, ἄλλοτε μέ δῶρα, ἄλλοτε μέ ἀπειλές ἐξαγριώνοντας περισσότερο ἐναντίον τους τούς στρατιῶτες πού τούς μετέφεραν, γιά νά μήν ἐπιτρέπουν νά τούς δέχονται αὐτούς οὔτε οἱ λαϊκοί πού ἤθελαν νά τούς φιλοξενήσουν· ὅπως στίς καθολικές ἐπιστολές ὁ μακάριος 'Ιωάννης γράφει στό Γάιο ἐναντίον κάποιου ἐπισκόπου, ἀφοῦ δέχεται

ἐπισκόπου, ἀποδεχόμενος τοῦ Γαΐου τὸ ξενοδόχον, παρακαλῶν αὐτὸν μὴ μιμεῖσθαι τοὺς πονηροὺς τῶν ἐπισκόπων.

Ἔχει δέ πως ἡ λέξις· "Γαΐῳ ἀγαπητῷ, ὃν ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ. Ἀγαπητέ, περὶ πάντων εὔχομαί σε εὐοδοῦσθαι καὶ 5 *ὑγιαίνειν, καθὼς εὐοδοῦταί σου ἡ ψυχή. Ἐχάρην γὰρ λίαν ἐρχομένων τινῶν καὶ διηγουμένων μοι, ὅτι ἐν ἀληθείᾳ περιπατεῖς καὶ ἐφ' οἷς ἀνέπαυσας τοὺς ἁγίους. Μείζονα ταύτης χαρὰν οὐκ ἔχω". Ἐπιφέρει δὲ μετὰ τοῦτο· "Ἔγραψα τῇ ἐκκλησίᾳ· ἀλλ' ὁφιλοπρωτεύων αὐτῶν Διοτρεφὴς οὐκ ἐπιδέχε-* 10 *ται ἡμᾶς, λόγοις πονηροῖς φλυαρῶν· καὶ μὴ ἀρκούμενος ἐπὶ τούτοις οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφούς, καὶ τοὺς βουλομένους κωλύει, καὶ ἐκ τῆς ἐκκλησίας ἐκβάλλει". Εἶθ' ὕστερον παραινεῖ λέγων· "Ἀγαπητέ, μὴ μιμοῦ τὸ κακόν· ὁ γὰρ ἀγαθοποιῶν ἐκ τοῦ Θεοῦ ἐστιν· ὁκακοποιῶν οὐχ ἑόρακεν τὸν* 15 *Θεόν". Ἐμνημονεύσαμεν δὲ τοῦ ῥητοῦ ὅλου τῆς παλαιᾶς πονηρίας, ἵνα τῶν νῦν Διοτρεφῶν παραστήσωμεν τὴν γνώμην.*

Ἐπῄνει δὲ καὶ ἐθαύμαζεν τῆς δευτέρας Καππαδοκίας τοὺς ἐπισκόπους, ὡς πολὺ συναλγήσαντας μετὰ δακρύων τοῖς ἐξορισθεῖσιν ἐπισκόποις, μάλιστα τὸν ἐπιεικέστατον Θεόδω- 20 *ρον τῶν Τυάνων καὶ Βοσπόριον Κολωνείας, τεσσαρακοστόγδοον ἔτος ἔχοντα ἐν τῇ ἐπισκοπῇ, καὶ Σαραπίωνα τὸν Ὀστρακίνης, τεσσαρακοστοπέμπτον ἔτος ἔχοντα ἐν τῇ τῆς ἐπισκοπῆς λειτουργίᾳ.*

Ἐνεὸς δὲ γενόμενος ἐπὶ πολὺ ὁ Θεόδωρος εἶπεν·

25 *Ο ΔΙΑΚ. Τί οὖν ἐροῦμεν πρὸς ταῦτα, πάτερ; Μὴ ἄρα "ἐσχάτη ὥρα ἐστίν", καὶ "ἡ ἀποστασία", κατὰ τὸν Παῦλον, διὰ τούτων λαμβάνει τὴν εἴσοδον, ἵνα λοιπὸν "ἀποκαλυφθῇ ὁ υἱὸς τῆς ἀπωλείας ὁ ἀντικείμενος"; Τὸ γὰρ τοὺς κακοὺς εὐημερεῖν καὶ διαπράττεσθαι ταῦτα καὶ χρονίζειν καὶ ἰσχύειν, καὶ τοὺς* 30 *καλοὺς θλίβεσθαι καὶ λεηλατεῖσθαι, εἰς φρίκην με ἄγει τοῦ πλησιάζειν ἐκεῖνον.*

Ο ΕΠΙΣΚ. Μάλιστα μὲν οὖν, συνετώτατε, ἐγγύς ἐστιν τὸ τέλος, κατὰ τὸν εἰπόντα· "Παιδία, ἐσχάτη ὥρα ἐστίν", καὶ κατὰ τό· "Ἐξῆλθεν δὲ ὁ οἰκοδεσπότης περὶ ὥραν ἑνδεκάτην 35 *μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα"· ἡ δὲ ἐσχάτη τῶν δώδεκα ἐστιν ἡ τελευταία· εἰ δὲ πρὸ τετρακοσίων ἐτῶν εἴρηται*

12. Γ' Ἰω. 1-4. Τό «καί ἐφ' οἷς ἀνέπαυσας τούς ἁγίους» εἶναι ἀπό τήν πρός Φιλήμονα ἐπιστολή τοῦ Παύλου (στ. 7).

τή φιλοξενία τοῦ Γαΐου, παρακαλώντας αὐτόν νά μή μιμεῖται τούς πονηρούς ἐπισκόπους.

Ἔχει λοιπόν ἔτσι ἡ γραφή του· «Πρός τό Γάιο τόν ἀγαπητό, πού ἐγώ ἀγαπῶ ἀληθινά. Ἀγαπητέ, εὔχομαι νά εὐτυχεῖς σ' ὅλα καί νά ὑγιαίνεις, καθώς πηγαίνει καλά ἡ ψυχή σου. Γιατί χάρηκα πάρα πολύ, ὅταν ἔρχονταν μερικοί καί μοῦ διηγοῦνταν, ὅτι βαδίζεις μέσα στήν ἀλήθεια καί γι' αὐτά μέ τά ὁποῖα ἀνακούφισες τούς ἀδελφούς. Μεγαλύτερη χαρά ἀπ' αὐτή δέν ἔχω»[12]. Καί προσθέτει ὕστερα ἀπ' αὐτό· «Ἔγραψα στήν Ἐκκλησία· ἀλλ' ὁ Διοτρεφής, πού ἐπιδιώκει νά ἔχει τά πρωτεῖα σ' αὐτούς, δέ μᾶς δέχεται, καί μᾶς κατηγορεῖ μέ λόγια κακά. Καί δέν ἀρκεῖται σ' αὐτά οὔτε αὐτός δέχεται τούς ἀδελφούς, ἀλλά καί ἐμποδίζει ἐκείνους πού θέλουν νά τούς φιλοξενήσουν καί τούς βγάζει ἔξω ἀπό τήν ἐκκλησία»[13]. Στή συνέχεια τόν συμβουλεύει λέγοντας· «Ἀγαπητέ, νά μή μιμεῖσαι τό κακό. Γιατί, ἐκεῖνος πού πράττει τό ἀγαθό κατάγεται ἀπό τό Θεό· ἐκεῖνος πού πράττει τό κακό δέν ἔχει δεῖ τό Θεό»[14]. Ἀναφέραμε ὅλα τά λόγια γιά τήν παλιά κακία, γιά νά παρουσιάσουμε τή διάθεση τῶν σημερινῶν Διοτρεφῶν. Ἐπαινοῦσε ὅμως καί θαύμαζε τούς ἐπισκόπους τῆς δεύτερης Καππαδοκίας, ἐπειδή πολύ συμπόνεσαν μέ δάκρυα γιά τούς ἐπισκόπους πού ἐξορίσθηκαν, ἰδιαίτερα τόν πραότατο Θεόδωρο τῶν Τυάνων καί τό Βοσπόριο Κολωνείας, πού εἶχε σαράντα ὀκτώ χρόνια στήν ἐπισκοπή, καί τό Σαραπίωνα Ὀστρακίνης, πού εἶχε σαράντα πέντε χρόνια στήν ὑπηρεσία τῆς ἐπισκοπῆς του.

Ἀφοῦ ἔμεινε γιά πολύ ἄφωνος ὁ Θεόδωρος εἶπε·

Ο ΔΙΑΚ. Τί λοιπόν θά ποῦμε γι' αὐτά, πάτερ; Μήπως λοιπόν «εἶναι ἡ ἔσχατη ὥρα»[15], καί «ἡ ἀποστασία»[16], κατά τόν Παῦλο, ἔρχεται μ' αὐτά, ὥστε στή συνέχεια «νά φανερωθεῖ ὁ υἱός τῆς ἀπώλειας, ὁ ἀντίπαλος[17]; Γιατί τό ὅτι εὐτυχοῦν οἱ κακοί καί γίνονται αὐτά καί διαρκοῦν πολύ καί ἐπικρατοῦν, καί τό ὅτι οἱ καλοί ἐνοχλοῦνται καί ληστεύονται, μέ ὁδηγεῖ στή φρίκη τοῦ ὅτι πλησιάζει αὐτός.

Ο ΕΠΙΣΚ. Βεβαιότατα λοιπόν, συνετότατε, πλησιάζει τό τέλος, σύμφωνα μ' ἐκεῖνον πού εἶπε· «Παιδιά μου, εἶναι ἡ ἔσχατη ὥρα», καί σύμφωνα μέ τό «Βγῆκε καί ὁ νοικοκύρης κατά τήν ἑνδέκατη ὥρα γιά νά μισθώσει ἐργάτες γιά τό ἀμπέλι του»[18]. Ἡ ἔσχατη ὅμως ὥρα ἀπό τίς δώδεκα εἶναι ἡ τελευταία, καί ἄν πρίν ἀπό τετρακόσια χρόνια ὁ

13. Γ' Ἰω. 9.10.
14. Γ' Ἰω. 11.
15. Α' Ἰω. 2, 18.
16. Β' Θεσ. 2, 3.
17. Β' Θεσ. 2, 3.4.
18. Ματθ. 20, 1.6.

παρὰ τοῦ ἀποστόλου ἐσχάτη, πολλῷ μᾶλλον νῦν διὰ πάντα. Ἔπειτα δὲ ἀπ' ἀρχῆς ἐστι ταῦτα κατὰ συγχώρησιν τοῦ Κυρίου εἰς γυμνάσιον τῶν ἁγίων, ἐξαιτοῦντος αὐτοὺς τοῦ διαβόλου, καθὼς λέγει ὁ σωτήριος λόγος· "Σίμων, Σίμων, ἐξητήσατο ὑμᾶς ὁ Σατανᾶς σινιάσαι ὡς τὸν σῖτον· ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου".

Καὶ οὐ πάντως περὶ νόμου Πέτρου δεδέηται Ἰησοῦς, ἀλλὰ περὶ πάντων τῶν τὴν Πέτρου πίστιν ἐχόντων, οὐδὲν ἕτερον αἰνισσομένου τοῦ κοσκίνου ἢ τὸν περίγειον κύκλον 10 *ἡδονῶν καὶ ὀδυνῶν πεπληρωμένον, δι' ὧν ὡς δι' ὀπῶν ἐκπίπτουσιν οἱ γεώδεις ἀπὸ τοῦ τροφίμου σίτου ἐπὶ τὸν Ἅδην, ὡς ἀπὸ τρυπημάτων διαχωριζόμενοι· τῶν μὲν διαῤῥεόντων ὡς δι' ὀπῆς τῆς γαστριμαργίας, "ὧν ὁ Θεὸς ἡ κοιλία", τῶν δὲ διὰ φιληδονίας, περὶ ὧν ὁ προφήτης λέγει· "Πνεύματι πορνείας* 15 *ἐπλανήθησαν" ("οὔτε" γὰρ "πόρνοι, οὔτε μοιχοί, οὔτε μαλακοί, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι")· τῶν δὲ διὰ φιλαργυρίας, ὅσοι τὴν τῆς εἰδωλολατρίας ὁμόζυγον ἐμνηστεύσαντο· τῶν δὲ δι' ὀργῆς καὶ θυμοῦ, ὅσοι τὸ θηριῶδες σκότος ἠγάπησαν, περὶ ὧν Ἰωάννης φησίν· "Ὁ μισῶν τὸν ἀδελφὸν* 20 *αὐτοῦ ἐν σκοτίᾳ ἐστὶν ἕως ἄρτι" ("Ὀργὴ" γάρ, φησὶν ὁ παροιμιαστής, "ἀπόλλυσι καὶ φρονίμους")· τῶν δὲ δι' ἀκηδίας καὶ λήθης, μὴ προσκαρτερούντων τῇ ἀγρυπνίᾳ τῆς μνήμης καὶ δεομένων τό, "Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας" (οὓς ταλανίζων ὁ λόγος φησίν· "Οὐαὶ ὑμῖν τοῖς* 25 *ἀπολελωκόσι τὴν ὑπομονήν· καὶ τί ποιήσετε ὅταν ἐπισκέψηται ὁ Κύριος;")·* ἄλλων δι' εὐδοξίας ἀλόγου, περὶ ὧν ὁ ᾠδικὸς *προανεφώνει· "Ὅτι διεσκόρπισεν ὁ Θεὸς ὀστᾶ ἀνθρωπαρέσκων"· ἑτέρων δι' ἀλαζονείας ἢ τύφου, ὅ ἐστιν ὑπεροψία, οὓς μέμφεται ὁ προφήτης ὡς λιποτάκτας· "Ὑπερήφανοι, παρηνόμουν* 30 *ἕως σφόδρα· ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα".*

Ἑκάστῃ δὲ τούτων τῶν κακιῶν παρέπονται πλείους· τῷ τύφῳ ὁ φθόνος, τῇ πλεονεξίᾳ τὸ μῖσος καὶ ἀνελευθερία καὶ ψεῦδος, τῷ θυμῷ ὀργὴ ἢ μῆνις, αἱ ὕβρεις, οἱ φόνοι, τῇ πορνείᾳ ἡ λήθη, ἡ ἀφοβία, ὁ ὄκνος, ἡ ἀζηλία, ἡ ἀνόητος ἀγρυπνία, τῇ 35 *κενοδοξίᾳ αἱ πολυπραγμονίαι, δωροδοκίαι, φαντασίαι, ὑπο-*

19. Λουκᾶ 22, 31-32. 21. Ὠσηέ 4, 12. 23. Α΄ Ἰω. 2, 9.
20. Φιλιπ. 3, 19. 22. Α΄ Κορ. 6, 10. 24. Παροιμ. 15, 1.
25. Ψαλμ. 118, 28.

ἀπόστολος τήν ἔχει πεῖ ἔσχατη, πολύ περισσότερο εἶναι τώρα τελευταία γιά τά πάντα. Ἔπειτα ἀπό τήν ἀρχή ὑπάρχουν αὐτά κατά παραχώρηση τοῦ Κυρίου γιά ἄσκηση τῶν ἁγίων, ἐπειδή ὁ διάβολος τούς ζητοῦσε αὐτούς, καθώς λέγει ὁ λόγος τοῦ Σωτήρα· «Σίμων, Σίμων, σᾶς ζήτησε ὁ σατανᾶς νά σᾶς κοσκινίσει ὅπως τό σιτάρι. Ἐγώ ὅμως προσευχήθηκα γιά σένα, γιά νά μή χάσεις τήν πίστη σου»[19].

Καί βέβαια ὁ Ἰησοῦς δέν προσεύχεται μόνο γιά τόν Πέτρο, ἀλλά γιά ὅλους πού ἔχουν τήν πίστη τοῦ Πέτρου, ἐνῶ τό κόσκινο δέν ὑπονοεῖ τίποτε ἄλλο παρά τόν κύκλο τῆς γῆς πού εἶναι γεμάτος ἀπό ἡδονές καί πόνους, μέσα ἀπό τά ὁποῖα σάν μέσα ἀπό τρύπες οἱ ἄνθρωποι, πού ἔχουν γήινα φρονήματα, πέφτουν ἀπό τό θρεπτικό σιτάρι στόν Ἅδη, σάν νά ξεχωρίζουν ἀπό τίς τρύπες. Ἄλλοι ξεγλιστροῦν μέσα ἀπό τήν τρύπα τῆς λαιμαργίας, «τῶν ὁποίων ὁ θεός εἶναι ἡ κοιλιά»[20]· ἄλλοι μέσα ἀπό τή φιληδονία, γιά τούς ὁποίους ὁ προφήτης λέγει· «Ἔζησαν μέσα στήν ἀπάτη τῆς πορνείας»[21] (γιατί «οὔτε οἱ πόρνοι, οὔτε οἱ μοιχοί, οὔτε οἱ κίναιδοι θά κληρονομήσουν τή βασιλεία τοῦ Θεοῦ»[22])· ἄλλοι μέσα ἀπό τή φιλαργυρία, ὅσοι ἀρραβωνιάσθηκαν τό ταίρι τῆς εἰδωλολατρίας· ἄλλοι μέσα ἀπό τήν ὀργή καί τό θυμό, ὅσοι ἀγάπησαν τό ἄγριο σκοτάδι, γιά τούς ὁποίους ὁ Ἰωάννης λέγει· «Ἐκεῖνος πού μισεῖ τόν ἀδελφό του βρίσκεται ἀκόμη καί τώρα μέσα στό σκοτάδι»[23] (γιατί «Ἡ ὀργή», λέγει ὁ παροιμιαστής, «καταστρέφει καί τούς φρόνιμους»[24])· ἄλλοι μέσα ἀπό τήν ἀμέλεια καί τή λήθη, οἱ ὁποῖοι δέν ἐπιμένουν στήν ἀγρυπνία τῆς μνήμης καί παρακαλοῦν τό, «Νύσταξε ἡ ψυχή μου ἀπό ἀμέλεια»[25] (πού ταλανίζει ὁ λόγος λέγοντας· «Ἀλλοίμονο σέ σᾶς, πού ἔχετε χάσει τήν ὑπομονή. Τί θά κάμετε, ὅταν θά σᾶς ἐπισκεφθεῖ ὁ Κύριος;»[26])· ἄλλοι μέσα ἀπό παράλογη ὑπόληψη, γιά τούς ὁποίους ὁ ψαλμωδός ἀπό πρίν φώναζε δυνατά· «Ὅτι ὁ Θεός διασκόρπισε τά κόκκαλα ἐκείνων πού θέλουν ν' ἀρέσουν στούς ἀνθρώπους»[27]· καί ἄλλοι μέσα ἀπό τήν ἀλαζονεία ἤ τήν ἔπαρση, πού εἶναι ὑπεροψία, τούς ὁποίους κατηγορεῖ ὁ προφήτης σάν λιποτάκτες· «Οἱ ὑπερήφανοι ἔκαναν πάρα πολλές παρανομίες· ἐγώ ὅμως ἀπό τό νόμο σου δέν ἀπομακρύνθηκα»[28].

Σέ κάθε μία ἀπό τίς κακίες αὐτές ἀκολουθοῦν περισσότερες· στήν ἔπαρση ὁ φθόνος, στήν πλεονεξία τό μίσος καί ἡ φιλαργυρία καί τό ψέμα, στό θυμό ἡ ὀργή ἤ ἀγανάκτηση, οἱ ὕβρεις, οἱ φόνοι, στήν πορνεία ἡ λήθη, ἡ ἀφοβία, ὁ δισταγμός, ἡ ἀπουσία ζήλου, ἡ ἀνώφελη ἀγρυπνία, στή ματαιοδοξία οἱ ἀσχολίες σέ ξένες ὑποθέσεις, οἱ

26. Σοφ. Σειρ. 2, 14. 27. Ψαλμ. 52, 6. 28. Ψαλμ. 118, 51.

κρίσεις, προσωποληψίαι, φενακισμοί, τῇ ὑπερηφανίᾳ αἱ ἀπόνοιαι, αἱ ἀσπλαγχνίαι, ἀνοσιουργίαι, ἐκστάσεις φρενῶν, καὶ ἄλλη ἄλλαι (ἵνα μὴ πλείους εἴπω, φορτίζων τὸν λόγον, εὐαποδείκτου ὄντος τοῦ εἰρημένου). Τούτων ἑκάστῃ τῶν
5 *κακιῶν ὁ Θεὸς ἀντίδικον ἔταξεν ἀρετήν· ὡς τῇ λαγνείᾳ τὴν σωφροσύνην, τῇ λαιμαργίᾳ τὴν ἐγκράτειαν, τῇ πλεονεξίᾳ τὴν δικαιοσύνην, τῇ ὀργῇ τὴν πραΰτητα, τῇ λύπῃ τὴν χαράν, τῇ λήθῃ τὴν μνήμην, τῇ ἀκηδίᾳ τὴν ὑπομονήν, τῇ ἀφροσύνῃ τὴν φρόνησιν, τῇ δειλίᾳ τὴν ἀνδρείαν, τῇ κενοδοξίᾳ τὴν ταπεινο-*
10 *φροσύνην, καὶ ἄλλῃ ἄλλην· πάσαις δὲ τὴν θείαν Γραφήν. Μόνῳ δὲ τῷ τύφῳ οὐκ ἔδωκεν ἀρετὴν ἀντικειμένην διὰ τὴν ὑπερβάλλουσαν κακίαν, ἑαυτὸν αὐτῇ φυλάξας, καθὼς εἴρηκεν· "Ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται". Ὡς ὁ αὐτὸς ἱκετεύει προφήτης, λέγων· "Ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς*
15 *ὑπερηφανίας αὐτῶν εἰς τέλος"· καὶ πάλιν, "Ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις".*

Καὶ ὥσπερ "ἀπὸ τοῦ καρποῦ τὸ δένδρον γνωρίζεται" (ὡς ὁ Κύριος εἶπεν· "Ἐκ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς"), οὕτως ἕκαστος τῶν ἀνθρώπων, εἴτε ὄντων ἁγίων εἴτε
20 *καὶ λεγομένων, οὕτω δὲ πάντοτε εἰσιν αἱ τῶν κακῶν ἄσειστοι εὐημερίαι, τοῦ Θεοῦ ἐπ' αὐτοῖς μακροθυμοῦντος. Τοῦτο γὰρ αὐτῷ πρέπει, ὡς τοὺς ἁγίους αὐτὸ τοῦτο ἐκ προσώπου τῶν θλιβομένων προαναφωνεῖν, εἰς ἡμῶν τῶν νῦν πασχόντων παράκλησιν. Πρῶτος ὁ τῆς ὑπομονῆς υἱὸς Ἰὼβ, τί φησι μετὰ*
25 *πολλά; "Τί γάρ; Μὴ ἐξ ἀνθρώπου ἡ ἔλεγξίς μου;" (τὸ ἄμεμπτον αἰνιττόμενος). Ἢ διὰ τί οὐ θυμωθήσομαι; Εἰσβλέψαντες εἰς ἐμὲ θαυμάσατε, χεῖρα θέντες ἐπὶ σιαγόνι. Ἐάν τε γὰρ μνησθῶ, ἐσπούδακα, ἔχουσι δέ μου τὰς σάρκας ὀδύναι. Διὰ τί ἀσεβεῖς ζῶσι, πεπαλαίωνται δὲ ἐν πλούτῳ; Ὁ σπόρος αὐτῶν κατά*
30 *ψυχήν, τὰ δὲ τέκνα αὐτῶν ἐν ὀφθαλμοῖς. Οἱ οἶκοι αὐτῶν εὐθηνοῦσιν, φόβος δὲ οὐδαμοῦ, μάστιξ Κυρίου οὐκ ἔστιν ἐπ' αὐτούς. Ἡ βοῦς αὐτῶν οὐκ ὠμοτόκησεν, διεσώθη δὲ ἀπὸ καύματος, ἐν γαστρὶ ἔχουσα οὐκ ἔσφαλεν. Μένουσι δὲ ὥσπερ πρόβατα αἰώνια, τὰ δὲ παιδία αὐτῶν προσπαίζουσιν· ἀναλα-*
35 *βόντα ψαλτήριον καὶ κιθάραν καὶ εὐφραίνοντα φωνῇ ψαλμοῦ.*

---

29. Παροιμ. 3, 34· Ἰακ. 4, 6 καί Α΄ Πέτρ. 5, 5. 30. Ψαλμ. 73, 3.

δωροδοκίες, οἱ φαντασίες, οἱ ὑποκρισίες, οἱ μεροληψίες, οἱ ἀπάτες, στήν ὑπερηφάνεια οἱ ἀλόγιστες ἐνέργειες, ἡ ἀσπλαχνία, οἱ ἀνοσιουργίες, ἡ παραφροσύνη, καί σ' ἄλλη ἄλλες (γιά νά μήν πῶ περισσότερες, φορτώνοντας τό λόγο, ἀφοῦ ἀποδεικνύεται εὔκολα αὐτό πού εἶπα). Σέ κάθε μία ἀπό τίς κακίες αὐτές ὁ Θεός ἔβαλε μία ἀντίστοιχη ἀρετή· ὅπως στή λαγνεία τή σωφροσύνη, στή λαιμαργία τήν ἐγκράτεια, στήν πλεονεξία τή δικαιοσύνη, στήν ὀργή τήν πραότητα, στή λύπη τή χαρά, στή λήθη τή μνήμη, στήν ἀμέλεια τήν ὑπομονή, στήν ἀφροσύνη τή φρόνηση, στή δειλία τήν ἀνδρεία, στή ματαιοδοξία τήν ταπεινοφροσύνη, καί σ' ἄλλην ἄλλη· σ' ὅλες ὅμως ἔβαλε τήν ἁγία Γραφή. Μόνο στήν ἔπαρση δέν ἔδωσε ἀντίστοιχη ἀρετή ἐξ αἰτίας τῆς ὑπερβολικῆς της κακίας, φυλάγοντας γι' αὐτήν τόν ἑαυτό του, καθώς ἔχει πεῖ· «Ὁ Θεός ἀντιτάσσεται στούς ὑπερήφανους»[29]. Ὅπως ἱκετεύει ὁ ἴδιος προφήτης, λέγοντας· «Σήκωσε τό χέρι σου καί βάλε τέλος στίς ὑπερηφάνιες αὐτῶν τῶν ἀνθρώπων»[30]· καί πάλι, «Δῶσε πίσω ἀνταπόδοση στούς ὑπερήφανους»[31].

Καί ὅπως «ἀπό τόν καρπό του διακρίνεται τό δένδρο»[32] (ὅπως ὁ Κύριος εἶπε· «Ἀπό τά ἔργα τους θά τούς μάθετε καλά»[33]), ἔτσι διακρίνεται καί κάθε ἄνθρωπος, εἴτε εἶναι ἅγιος εἴτε καί νομίζεται. Καί ἔτσι πάντοτε ὑπάρχει ἡ σταθερή εὐτυχία τῶν κακῶν, ἐπειδή ὁ Θεός εἶναι μακρόθυμος σ' αὐτούς. Γιατί τοῦτο ἁρμόζει σ' αὐτόν, ὥστε νά προαναγγέλλουν αὐτό ἀκριβῶς οἱ ἅγιοι σάν ἐκπρόσωποι ἐκείνων πού ὑποφέρουν, γιά παρηγοριά δική μας πού πάσχουμε τώρα. Πρῶτος ὁ υἱός τῆς ὑπομονῆς Ἰώβ, τί λέγει ὕστερα ἀπό πολλά; «Τί λοιπόν; μήπως ἀπό ἄνθρωπο εἶναι ὁ ἔλεγχός μου; (ὑπονοώντας τό ἄμεμπτο τοῦ Θεοῦ)· ἤ γιατί δέ θά ἀγανακτήσω; Ὅταν δεῖτε σέ μένα νά θαυμάσετε, ἀφοῦ κλείσετε μέ τό χέρι σας τό στόμα. Γιατί καί ἐγώ ἄν θυμηθῶ, ταράσσομαι, καί κυριεύουν τίς σάρκες μου πόνοι. Γιατί οἱ ἀσεβεῖς ζοῦν καί φθάνουν σέ βαθιά γηρατειά μέσα σέ πλοῦτο; Οἱ ἀπόγονοί τους εὐδοκιμοῦν ὅπως θέλει ἡ ψυχή τους καί τά παιδιά τους τά χαίρονται μέ τά μάτια τους. Τά σπίτια τους εὐτυχοῦν, φόβος δέν τούς ἔρχεται ἀπό πουθενά, ἡ μάστιγα τοῦ Κυρίου δέν ὑπάρχει σ' αὐτούς. Ἡ ἀγελάδα τους δέν ἀπέβαλε, ὅταν ἦταν ἔγκυος διασώθηκε καί δέν ἀρρώστησε, ἀλλά γέννησε κανονικά. Παραμένουν σάν πρόβατα αἰώνια, καί τά παιδιά τους παίζουν χαρούμενα, κρατώντας στά χέρια τους ψαλτήρι καί κιθάρα καί εὐχαριστιοῦνται μέ τή φωνή τοῦ τραγουδιοῦ. Πέρασαν ὁλόκληρη τή ζωή τους μέσα στά ἀγαθά,

31. Ψαλμ. 93, 2. 32. Ματθ. 12, 33. 33. Ματθ. 7, 16.

Συνετέλεσαν ἐν ἀγαθοῖς τὴν ζωὴν αὐτῶν, ἐν δὲ τῇ ἀναπαύσει τοῦ Ἅδου ἐκοιμήθησαν. Λέγει δὲ τῷ Κυρίῳ· "Ἀπόστα ἀπ' ἐμοῦ, τὰς ὁδούς σου εἰδέναι οὐ βούλομαι".

Τούτῳ συνῳδὰ ὁ ἀνεξίκακος, καὶ τῶν θείων ᾄστης 5 *κριμάτων, κατὰ τό, "Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε", Δαυείδ φησιν· "Ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραήλ, τοῖς εὐθέσι τῇ καρδίᾳ. Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες, παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου". Διὰ τί; "ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν". Καὶ ἐν ἑτέρῳ* 10 *πάλιν τὸν πλοῦτον αὐτῶν διαβάλλων, λέγει· "Οἱ βόες αὐτῶν παχεῖς· τὰ πρόβατα αὐτῶν πολυτόκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν· τὰ ταμεῖα αὐτῶν πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο· αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ". Ἀλλὰ καὶ τὴν κακὴν* 15 *αὐτῶν ὁμόνοιαν καὶ εἰρήνην θαυμάζων, ἐπιφέρει· "Οὐκ ἔστι κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν, οὐδὲ κατάπτωμα φραγμοῦ ἐν τοῖς οἴκοις αὐτῶν". Εἶτα τὴν τῶν πολλῶν διαβάλλων διεφθαρμένην δόξαν, φησίν· "Ἐμακάρισαν τὸν λαόν, ᾧ ταῦτά ἐστιν". Καὶ ἐπιφέρει· "Μακάριος ὁ λαὸς οὗ Κύριος ὁ Θεός Ἰακὼβ* 20 *βοηθὸς αὐτοῦ". Καὶ ἵνα μὴ μέχρι τούτου στήσας τὰς μαρτυρίας, ἐπικίνδυνον ἀποδείξω τῇ ἀτελείᾳ τὸν λόγον, ἄκουε πάλιν μετὰ στερνοκτυπίας τινὸς ἐπὶ τοῖς τοιούτοις τὸν Ἀμβακοὺμ ἀποδυσφοροῦντα καὶ λέγοντα· "Ἕως πότε, Κύριε, κεκράξομαι ἀδικούμενος, καὶ οὐ μὴ εἰσακούσῃς;" Ἰδίας γὰρ* 25 *ἀδικίας τὰς τοῦ πλησίον ὠνόμαζεν. Καὶ φιλάδελφος ὢν ἐπιφέρει· "Βοήσομαι πρὸς σέ, καὶ οὐ μὴ σώσῃς; Ἵνα τί μοι ἔδειξας κόπους καὶ πόνους ἐπιβλέπειν, ἐπὶ ταλαιπωρίαν καὶ ἀσέβειαν; Ἐξ ἐναντίας μου γέγονεν κρίσις, καὶ ὁ κριτὴς λαμβάνει· διὰ τοῦτο διεσκέδασται νόμος, καὶ οὐ διεξάγεται* 30 *εἰς τέλος κρῖμα, ὅτι ὁ ἀσεβὴς καταδυναστεύει τὸν δίκαιον".*

Τῷ αὐτῷ πνεύματι ὁ συμπαθέστατος τῶν ἁγίων Ἱερεμίας, ἐπαπορῶν ὑπὲρ ἄλλων, βοᾷ· "Δίκαιος εἶ, Κύριε, ὅτι ἀπολογήσομαι πρὸς σέ· πλὴν κρίματα λαλήσω πρὸς σέ, Κύριε. Τί ὁδὸς ἀσεβῶν εὐοδοῦται; Εὐθήνησαν πάντες οἱ ἀθετοῦντες ἀθετή- 35 *ματα; Ἐφύτευσας αὐτοὺς καὶ ἐῤῥιζώθησαν" (ἀντὶ τοῦ, 'ἀκω-*

34. Ἰώβ 21, 4-14.
35. Ψαλμ. 100, 1
36. Ψαλμ. 72, 1-3.
37. Ψαλμ. 14? 14.13 12.
38. Ψαλμ. 143, 14.
39. Ψαλμ. 143, 15.

χωρίς νά δοκιμάσουν τόν τρόμο τοῦ Ἅδη πέθαναν σάν νά κοιμήθηκαν. Καί λέγει στόν Κύριο ὁ ἀσεβής· 'Φύγε μακριά ἀπό μένα, δέ θέλω νά γνωρίζω τούς δρόμους σου'»[34].

Σύμφωνα μ' αὐτό ὁ ἀνεξίκακος καί ὑμνωδός τῶν ἀποφάσεων τοῦ Θεοῦ, κατά τό, «Τήν εὐσπλαχνία σου καί τή δικαιοσύνη σου θά ὑμνήσω, Κύριε»[35], Δαυίδ λέγει· «Πόσο ἀγαθός εἶναι ὁ Θεός στούς Ἰσραηλίτες, σ' αὐτούς πού ἔχουν καθαρή τήν καρδιά τους. Σέ μένα ὅμως σχεδόν κλονίσθηκαν τά πόδια μου, παρά λίγο νά γλιστρήσουν τά βήματά μου». Γιατί; «Ἐπειδή ἐξοργίσθηκα ἐναντίον τῶν ἀνόητων, καθώς εἶδα τήν εὐημερία τῶν ἀσεβῶν»[36]. Καί ἀλλοῦ πάλι, κατηγορώντας τόν πλοῦτο τους, λέγει· «Τά βόδια τους εἶναι παχιά, τά πρόβατά τους πολύτοκα, πού πολλαπλασιάζονται στά βοσκοτόπια τους· οἱ ἀποθῆκες τους εἶναι γεμάτες, πού ξεχειλίζουν ἀπό κάθε εἶδος· οἱ θυγατέρες τους εἶναι στολισμένες καί καλλωπισμένες σάν ὁμοιώματα κάποιου ναοῦ»[37]. Ἀλλά θαυμάζοντας τήν κακή τους ὁμόνοια καί εἰρήνη, προσθέτει· «Δέν ὑπάρχει κραυγή θρήνου στίς πλατεῖες τους, οὔτε ὁ τοῖχος τους εἶναι γκρεμισμένος»[38]. Ἔπειτα κατηγορώντας τή διεφθαρμένη γνώμη τῶν πολλῶν, λέγει· «Μακάρισαν τό λαό, ὁ ὁποῖος ἔχει τήν εὐτυχία αὐτή»[39]. Καί προσθέτει· «Μακάριος ὁ λαός πού βοηθός του εἶναι Κύριος ὁ Θεός τοῦ Ἰακώβ»[40]. Καί γιά νά μή σταματήσω μέχρι σ' αὐτόν τίς μαρτυρίες καί ἀποδείξω μέ τήν ἀτέλεια ἐπικίνδυνο τό λόγο, ἄκου πάλι τόν Ἀββακούμ πού δυσανασχετεῖ γι' αὐτά χτυπώντας τό στῆθος του καί λέγει· «Μέχρι πότε, Κύριε, θά φωνάζω ἐγώ πού ἀδικοῦμαι καί δέ θά μ' ἀκούσεις»[41], γιατί ὀνόμαζε δικές του τίς ἀδικίες τοῦ πλησίον του. Καί ἐπειδή ἀγαποῦσε τούς ἀδελφούς προσθέτει· «Θά φωνάξω δυνατά σέ σένα, καί δέ θά μέ σώσεις; Γιατί μοῦ παραχώρησες νά βλέπω κόπους καί μόχθους, δυστυχία καί ἀσέβεια; Μπροστά μου δικάζεται κάποιος καί ὁ δικαστής δωροδοκεῖται. Γι' αὐτό ἔχει ἀχρηστευθεῖ ὁ νόμος σου, καί, ἡ δίκη δέ γίνεται ὅπως πρέπει, γιατί ὁ ἀσεβής καταδυναστεύει τό δίκαιο»[42].

Μέ τό ἴδιο πνεῦμα ὁ συμπαθέστατος ἀπό τούς ἁγίους Ἱερεμίας, ἐπειδή ἀπορεῖ πάλι γι' ἄλλους, φωνάζει· «Δίκαιος εἶσαι. Κύριε, γι' αὐτό θ' ἀπολογηθῶ σέ σένα, ἀλλά θά σοῦ μιλήσω γιά δικαιοσύνη, Κύριε. Γιατί προχωρεῖ τό ἔργο τῶν ἀσεβῶν; Καλοπερνοῦν ὅλοι ἐκεῖνοι πού παραβίασαν τίς ἐντολές σου, τούς φύτεψες καί αὐτοί ἔβγαλαν ρίζες» (ἀντί γιά τό «ζοῦν χωρίς ἐμπόδια»), «καί ἔκαμαν καρπό» (ὄχι

40. Ψαλμ. 143, 5· 145, 5. 41. Ἀβ. 1, 2. 42. Ἀβ. 1, 2-4.

λύτως διάγουσι'), "καὶ ἐποίησαν καρπόν" (οὐ πάντως πνεύματος)· "ἐγγὺς εἶ τοῦ στόματος αὐτῶν, καὶ πόῤῥω ἀπὸ τῶν νεφρῶν αὐτῶν". Ἄντικρυς δὲ ἰσοδυναμοῦντα τούτοις ὁ σοφὸς Σοφονίας ὁ προφήτης, ὡς κακηγόρους τοὺς ἀνθρώπους
5 διαβάλλων, ὡς τὴν πρόνοιαν μεμφομένους καὶ τοὺς ἁγίους ταλανίζοντας, ἐκ προσώπου Κυρίου φησίν· "'Ἐβαρύνατε ἐπ' ἐμὲ τοὺς λόγους ὑμῶν', λέγει Κύριος, καὶ εἴπατε· ''Ἐν τίνι κατελαλήσαμεν κατὰ σοῦ;' εἴπατε, 'Μάταιος ὁ δουλεύων Θεῷ, καὶ τί πλέον ὅτι ἐφυλάξαμεν τὰ προστάγματα αὐτοῦ, καὶ διότι
10 ἐπορεύθημεν ἱκέται πρὸ προσώπου Κυρίου Παντοκράτορος; καὶ νῦν ἡμεῖς μακαρίζομεν ἀλλοτρίους καὶ ἀνοικοδομοῦνται πάντες ποιοῦντες ἀνομήματα, καὶ ἀντέστησαν Θεῷ, καὶ ἐσώθησαν'. Ταῦτα κατελάλησαν οἱ φοβούμενοι τὸν Κύριον, ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ".

15 Οἷς τὰ αὐτὰ ἐπιφέρει ὁ κήρυξ τῆς εὐσεβείας, Παῦλος· "Πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι". Εἶτα τὴν εὐτέλειαν τῶν ἁγίων σημαίνει, λέγων· "Δοκῶ γάρ, ὅτι ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους· ὅτι θέατρον ἐγενήθημεν
20 τῷ κόσμῳ καὶ ἀγγέλοις καὶ ἀνθρώποις. Μέχρι γὰρ τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν καὶ κολαφιζόμεθα καὶ ἀστατοῦμεν καὶ κοπιῶμεν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσίν" (τὰς σωματικὰς καταλέγων ταλαιπωρίας)· "λοιδορούμενοι εὐλογοῦμεν· διωκόμενοι ἀνεχόμεθα· βλασφημούμε-
25 νοι παρακαλοῦμεν· ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι"· τοῦ ἀγαθοῦ καὶ δικαίου Θεοῦ κατά τινὰς ἀποῤῥήτους λόγους, σταδίου δίκην, τὸν κόσμον ἐκτείνοντος καὶ αὐτεξουσίους ἡμᾶς ποιήσαντος, ἵνα οἰκίᾳ αἱρέσει τοῖς πράγμασιν ἐπιβάλλοντες δικαίας τὰς εὐθύ-
30 νας παράσχωμεν, καθὼς ὁ νόμος λέγει· "Τέθεικα πρὸ προσώπου σου τὴν ζωὴν καὶ τὸν θάνατον, ἔκλεξαι ὃ θέλεις". Διὰ τί δὲ τέθεικεν, οὐ τοῦ παρόντος καιροῦ τὸ λέγειν, πλὴν ὅτι τέθεικεν. Οὐ γὰρ σοφὸν ἦν τὸ ἀτρέπτους ἡμᾶς γενέσθαι, ἄθλων οὐ προκειμένων, καὶ γνώμης οὐ κατορθούσης, μόνῳ τῷ θείῳ καὶ
35 ἀϊδίῳ προσαρμόζοντος τοῦ ἀτρέπτου.

43. Ἱερ. 12, 1-2.

44. Τά λόγια πού ἀκολουθοῦν δέν εἶναι τοῦ Σοφονία, ἀλλά τοῦ προφήτη Μαλαχία.

βέβαια πνευματικό)· «εἶσαι μέσα στό στόμα τους, ἀλλά μακριά ἀπό τίς ἐπιθυμίες τους»[43]. Ἀντίθετα λέγει ὁ σοφός Σοφονίας[44] ὁ προφήτης, πού ἰσοδυναμοῦν ὅμως μ᾿ αὐτά, κατηγορώντας σάν συκοφάντες τούς ἀνθρώπους, ἐπειδή κατακρίνουν τήν πρόνοια τοῦ Θεοῦ καί ἐλεεινολογοῦν τούς ἁγίους, σάν ἀντιπρόσωπος τοῦ Κυρίου· «'Εἴπατε βαριά λόγια ἐναντίον μου', λέγει Κύριος, καί ἀπαντήσατε· 'Σέ τί μιλήσαμε ἐναντίον σου;' Εἴπατε, 'Εἶναι ἀνόητος ἐκεῖνος πού ὑπηρετεῖ τό Θεό, καί κάτι περισσότερο, γιατί φυλάξαμε τίς ἐντολές του καί γιατί ἤρθαμε σάν ἱκέτες ἐνώπιον Κυρίου τοῦ Παντοκράτορα; καί τώρα ἐμεῖς μακαρίζουμε τούς ξένους, καί ἀνορθώνονται ὅλοι αὐτοί πού κάνουν ἀδικήματα, καί ἀντιστάθηκαν στό Θεό καί ὅμως σώθηκαν'. Μ᾿ αὐτά κακολόγησαν αὐτοί πού φοβοῦνται τόν Κύριο, ὁ καθένας τόν πλησίον του»[45].

Σ᾿ αὐτά προσθέτει τά ἴδια ὁ κήρυκας τῆς εὐσέβειας, Παῦλος· «Κακοί ὅμως ἄνθρωποι καί ἀπατεῶνες θά προχωρήσουν στό χειρότερο, καί θά πλανοῦν τούς ἄλλους καί θά πλανιόνται καί αὐτοί οἱ ἴδιοι»[46]. Ἔπειτα φανερώνει τήν ἁπλότητα τῶν ἁγίων, λέγοντας· «Γιατί νομίζω, ὅτι ὁ Θεός ἐμᾶς τούς ἀποστόλους ἔδειξε σάν μελλοθάνατους· γιατί γίναμε θέαμα στόν κόσμο καί στούς ἀγγέλους καί στούς ἀνθρώπους. Μέχρι λοιπόν τήν ὥρα αὐτή καί πεινοῦμε καί διψοῦμε καί εἴμαστε γυμνοί καί δεχόμαστε χτυπήματα καί κακομεταχειρίσεις καί κινούμαστε διαρκῶς καί κοπιάζουμε ἐργαζόμενοι μέ τά ἴδια μας τά χέρια» (ἀναφέροντας τίς σωματικές ταλαιπωρίες)· «ἐνῶ μᾶς βρίζουν, ἐμεῖς τούς εὐλογοῦμε· ἐνῶ μᾶς καταδιώκουν, τούς ἀνεχόμαστε· ἐνῶ μᾶς βλασφημοῦν, ἀπαντοῦμε μέ παρακλήσεις· σάν καθάρματα τοῦ κόσμου γίναμε, σάν σκουπίδι ὅλων μέχρι τή στιγμή αὐτή»[47], ἀφοῦ ὁ ἀγαθός καί δίκαιος Θεός σύμφωνα μέ κάποιους ἀπόρρητους λόγους, σάν στάδιο ἔκαμε τόν κόσμο καί μᾶς δημιούργησε αὐτεξούσιους, ὥστε πέφτοντας μέ τή θέλησή μας στίς θλίψεις νά τιμωρηθοῦμε δίκαια, καθώς ὁ νόμος λέγει· «Ἔβαλα μπροστά σου τή ζωή καί τό θάνατο, διάλεξε αὐτό πού θέλεις»[48]. Γιατί ὅμως ἔβαλε, δέν εἶναι νά τό ποῦμε τώρα, ἀλλ᾿ ὅτι ἔβαλε. Γιατί δέν ἦταν σοφό τό νά γινόμαστε ἐμεῖς ἀμετάβλητοι, χωρίς νά ὑπάρχουν ἀγῶνες καί χωρίς νά τό κατορθώνει ἡ θέλησή μας, τή στιγμή πού τό ἀμετάβλητο ταιριάζει μόνο μέ τό θεῖο καί αἰώνιο.

---

45. Μαλαχ. 3, 13-16.
46. Β΄ Τιμ. 3, 13.
47. Α΄ Κορ. 4, 9.11-13.
48. Δευτ. 30, 15.19.

Ο ΔΙΑΚ. Εὖ γε καὶ φιλοσόφως ὑπήντησας, πάτερ, ὀμματώσας τὴν ψυχὴν τῶν παρόντων ἐν τούτοις ἀεὶ προσκοπτόντων διὰ Γραφῶν ἀπειρίαν· καὶ ὅτι γυμνάσιον ὑπέστη διὰ μακρῶν τῶν χρόνων ἡ ἐκκλησία, ἀναδείξασα τοὺς ἑαυτῆς στεφανίτας,
5 *ἄνδρας τε καὶ γυναῖκας, οὐ δωρεὰν ἐν τοῖς ὀπίσω χρόνοις Χριστοῦ σάρκας καταφαγόντας. Λυπεῖ δὲ ἡμᾶς ἡ ὑμῶν ἀκαταστασία καὶ ἡ τῶν ἐκκλησιῶν κατάλυσις.*

Ο ΕΠΙΣΚ. Θαυμάζω σου, ἀνδρῶν τιμιώτατε Θεόδωρε, τοῦ τὸ πολλοστὸν τὴν ὠφέλειαν ὁμολογοῦντος καὶ αὖθις τὰ
10 *ἐναντία λαλοῦντος. Μακαρίζων γὰρ ὡς στεφανίτας ταλανίζεις ὡς ἐκπεσόντας, ἐπειδὴ τῶν ἐκκλησιαστικῶν ἐστερήμεθα τόπων. Ὅμοιον δέ μοι πάσχεις τῶν τὰ Ὀλύμπια θεωρούντων ἀγροίκων· ἐκεῖνοι γὰρ κεχήνασι μὲν πρὸς τὰ βραβεῖα ἡδέως, δακρύουσι δὲ πρὸς τὰς πληγὰς τῶν ἀγωνιζομένων οἰκτρῶς.*
15 *Ἐμοὶ δὲ ἄμεινόν ἐστι φάραγγας καὶ νάπας καὶ πελάγη διώκειν μετὰ τῆς ἀληθείας, ἢ πολλὴν ἔχοντα δόξαν τῆς νῦν νομιζομένης εὐημερίας ὑποκεῖσθαι τῷ ψεύδει. Ἀλήθειαν μὲν γὰρ ἔχων, ἔξω τὰ πάντα· αὐτῆς γὰρ δοῦλα τὰ πάντα· ψεῦδος δὲ κεκτημένος, οὐδ᾽ ἐμαυτόν, ἐκείνης μὴ ὑπάρχων. Ἔχων δὲ τὴν*
20 *ἀλήθειαν, οὐχ ἁπλῶς αὐτὴν βούλομαι ἔχειν, ὡς δέσποιναν ἢ δούλην ἢ γείτονα, ἀλλ᾽ ὡς ἀδελφήν· ἂν δὲ ᾖ δυνατόν, καὶ ὡς ὁμόζυγον, τῆς ἡδονῆς αὐτῆς ἀπολαύων καὶ μετὰ ταῦτα κληρονομῶν, ὡς ἰδίαν γυναῖκα. Θυγάτηρ γάρ ἐστι τῆς ὄντως ἀληθείας, ἧς γαμβρὸς ὁ σπουδαῖος.*
25 *Ὁ γὰρ ταύτην ἔχων σφριγᾷ, ἀνηβᾷ, ἀγήρως ἐστὶ καὶ ἀμάραντος, θερμότερον πυρὸς ἔχων τὸν ζῆλον, ὀξύτερον ξίφους τὸν λόγον, κουφότερον ἀετοῦ τὸν βίον, ἀόκνως τρέχει, καθάπερ πρὸς οἰκουρὸν μητέρα, πρὸς τὴν τῶν Γραφῶν μελέτην· ἀνθεῖ διηνεκῶς τῇ ἀλυπίᾳ, οὐ κεκράτηται φόβῳ,*
30 *γαυριᾷ τῇ ἀδειλίᾳ, κορυβαντιᾷ τῷ ἐνθουσιασμῷ, οὐ μισεῖ οὐδένα, οἰκτείρει τοὺς κακῶς τῷ βίῳ χρωμένους, μακαρίζει τοὺς ἰδιοπραγοῦντας μετὰ τῆς αὐταρκείας, λυπεῖται τὴν τοῦ Πνεύματος λύπην ἐπὶ τῇ τῶν ἱερατικῶν ἀμελείᾳ, περὶ ὧν εἶπεν ὁ ἀπόστολος· "Καὶ μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ Ἅγιον, ἐν ᾧ*
35 *ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως". Λυπεῖ δὲ τὸ Πνεῦμα ὀδιδοὺς αὐτῷ νῶτα τῇ ἀμελείᾳ. Καὶ τί γὰρ τὸ ὅλον; Τελευτᾷ*

49. Ἐφ. 4, 30.

Ο ΔΙΑΚ. Πολύ καλά καί σοφά απάντησες, πάτερ, ανοίγοντας τά μάτια τῆς ψυχῆς τῶν παρόντων πού πάντοτε συναντοῦν ἐμπόδια σ' αὐτά, ἐπειδή δέ γνωρίζουν τίς Γραφές· καί ὅτι ἀγωνίσθηκε πολλά χρόνια ἡ ἐκκλησία, ἡ ὁποία ἀνέδειξε τούς δικούς της νικητές, καί ἄνδρες καί γυναῖκες, πού δέν ἔφαγαν χωρίς ἀμοιβή τό σῶμα τοῦ Χριστοῦ στά περασμένα χρόνια. Μᾶς στενοχωρεῖ ὅμως ἡ ἀκαταστασία σας καί ἡ διάλυση τῶν ἐκκλησιῶν.

Ο ΕΠΙΣΚ. Σέ θαυμάζω, τιμιότατε ἀπό τούς ἄνδρες Θεόδωρε, πού ὁμολογεῖς τή μεγάλη ὠφέλεια καί ἀμέσως λέγεις τά ἀντίθετα. Γιατί ἐνῶ μᾶς μακαρίζεις σάν νικητές, μᾶς ταλανίζεις σάν διωγμένους, ἐπειδή χάσαμε τίς ἐκκλησιαστικές μας θέσεις. Μοῦ φαίνεται πώς παθαίνεις τό ἴδιο μέ τούς ἄγριους πού βλέπουν τούς Ὀλυμπιακούς ἀγῶνες, γιατί αὐτοί ἐπιθυμοῦν μέ εὐχαρίστηση τά βραβεῖα, δακρύζουν ὅμως μέ λύπη γιά τά τραύματα τῶν ἀθλητῶν. Σέ μένα εἶναι καλύτερο νά ἐπιδιώκω μαζί μέ τήν ἀλήθεια τά φαράγγια, καί τίς κοιλάδες καί τά πελάγη, παρά ἔχοντας μεγάλη δόξα ἀπό τή θεωρούμενη σήμερα εὐτυχία νά ὑποκύπτω στό ψέμα. Γιατί ὅταν ἔχω τήν ἀλήθεια, θά ἔχω τά πάντα, ἀφοῦ τά πάντα εἶναι ὑπόδουλα σ' αὐτήν. Ὅταν ὅμως ἔχω τό ψέμα, οὔτε τόν ἑαυτό μου δέ θά ἔχω, ἀφοῦ δέ ζῶ γιά ἐκείνη. Ἔχοντας ὅμως τήν ἀλήθεια, δέ θέλω νά τήν ἔχω ἁπλά σάν οἰκοδέσποινα ἤ δούλη ἤ γειτόνισσα, ἀλλά σάν ἀδελφή, καί ἄν εἶναι δυνατό, καί σάν σύντροφο, ἀπολαμβάνοντας τήν ἡδονή της καί κληρονομώντας την ὕστερα, σάν δική μου γυναίκα. Γιατί εἶναι θυγατέρα τῆς πραγματικῆς ἀλήθειας, πού γαμβρός της εἶναι ὁ σπουδαῖος.

Γιατί ἐκεῖνος πού ἔχει σάν σφραγίδα τήν ἀλήθεια εἶναι γεμάτος σφρίγος, ξανανιώνει, εἶναι ἀγέραστος καί ἄφθαρτος, καί ἔχει ζῆλο θερμότερο ἀπό τή φωτιά, λόγο πιό κοφτερό ἀπό τό ξίφος, ζωή πιό εὐκίνητη ἀπό τόν ἀετό, τρέχει ἀκούραστα πρός τή μελέτη τῶν Γραφῶν, ὅπως ἀκριβῶς πρός τή μητέρα πού μένει στό σπίτι· εἶναι εὐτυχισμένος πάντοτε ἀπό τήν ἀπουσία λύπης, δέν τόν ἐξουσιάζει ὁ φόβος, ὑπερηφανεύεται μέ τήν ἀφοβία του, κυριεύεται ἀπό ἐνθουσιασμό, δέ μισεῖ κανένα, λυπᾶται ἐκείνους πού χρησιμοποιοῦν κακῶς τή ζωή τους, μακαρίζει ἐκείνους πού φροντίζουν τά δικά τους μέ αὐτάρκεια, νιώθει τή λύπη τοῦ ἁγίου Πνεύματος γιά τήν ἀμέλεια τῶν κληρικῶν, γιά τούς ὁποίους εἶπε ὁ ἀπόστολος· «Καί μή λυπεῖτε τό ἅγιο Πνεῦμα, μέ τό ὁποῖο σφραγισθήκατε γιά τήν ἡμέρα τῆς ἀπολυτρώσεως»[49]. Καί λυπεῖ τό Πνεῦμα ἐκεῖνος πού τό ἀποστρέφεται μέ τήν

μετὰ παῤῥησίας οὐδένα λυπήσας πλὴν τῶν δαιμόνων, καὶ ὅσοι γείτονες τούτων. Χρόνος αὐτῷ περιττεύει· οὐκ ἐκαπήλευσεν τὰς ἡμέρας ἐν κακουργίαις. Ἐδιπλασίασεν τὸ δεδομένον χρῆμα καὶ τόκους ἀγαθῶν ἔργων προέπεμψεν, ἐν ὀλίγῳ καιρῷ
5 *πληρώσας πολυχρόνια χρέη. Διαθήκην ὕλης οὐ γράφει, ζῶν καὶ φρονῶν αὐτὴν κατεπάλαισεν. Θάνατος ἔκρουσεν τὴν τοῦ σαρκίου θύραν; Πρὶν αὐτὸν ἰδεῖν ἔξωθεν ὄντα, βοᾷ, "Ἀπέλθωμεν ἐντεῦθεν", ἐπιψάλλων· "Οἴμοι ὅτι ἡ παροικία μου ἐμακρύνθη". Καὶ εἰ μὴ διὰ τὸν πέμψαντα Δεσπότην, αὐτῷ ἂν*
10 *περιέθηκε δίκας εἰσπράττων, ὅτι σχολαιότερον ἦλθεν. Ἀσμενίζει δὲ τελευταῖον ἀπαλλαγεὶς τοῦ πολυπαθοῦς σαρκίου, ὡς ξενιδίου σαθροῦ, ἀπειλοῦντος πτῶσιν· ὤρθωσεν τὸ οὖς πρὸς τὸν λέγοντα, "Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ", ἀκουσόμενος καὶ τὰ ἑξῆς.*

15 *Ἔστω δέ σοι τεκμήριον τῶν λεγομένων ἡ τῶν λόγων πυκνότης· "ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας λαλεῖ τὸ στόμα". Ὁ δὲ τῷ ψεύδει συζῶν, βίον ἔχει τεταραγμένον, ποτὲ μὲν χαίρων ἀμέτρως ἐπὶ αὐξήσει ἀργυρίου ἢ δοξαρίου μικροῦ, ἢ πορνιδίου φιλίᾳ, ἢ ἐχθρῶν αὐτοῦ δυσημερίᾳ· ποτὲ δὲ*
20 *λυπεῖται ἕως θανάτου, τὰς μεταβολὰς ὀνειροπολῶν καὶ τὰς ἀδηλίας, νύκτας ἔχει ἀΰπνους ἢ κακοΰπνους, ὑπονοεῖ ἐπιβουλὰς καὶ τῶν γνησίων, οὐ θαῤῥῶν οὐδὲ ἑαυτῷ, ἀπιστῶν τοῖς πᾶσιν ὡς ψεύσταις. Τοιοῦτος αὐτὸς ὑπάρχων, δειλός ἐστιν ὡς λαγωός, θρασὺς ὡς χοῖρος, ψεύστης ὡς χαμαιλέων, ἀπατεὼν*
25 *ὡς πέρδιξ, ἀνελεήμων ὡς λύκος, ἀνήμερος ὡς μῦς· ἐχθρὸς ἑαυτοῦ, ἀδιαλείπτως βάσκανος, ἐξ ἀνάγκης ἑαυτὸν τιμωρούμενος οὐκ αἰσθάνεται· κατ' ἄλλου γὰρ κακῶς λογιζόμενος, φθάνει πάσχων ὑφ' ἑαυτοῦ κακῶς. Θάνατος ἔνυξε; πάντα δίδωσιν, ἵνα μικρὸν παραμείνῃ, φιλοζωῶν·.τὸν δεδομένον*
30 *αὐτῷ χρόνον ἐκαπήλευσεν εἰκῆ· τὸ δηνάριον πρὸς οἷς οὐκ ἐδίπλωσεν, οὐδὲ σῶον ἐφύλαξεν.*

Τρέμει διηνεκῶς ὡς φύλλον, γηρᾶν οὐ βουλόμενος· ληροφρονῶν τὰ γερόντων ὑφίσταται, φοβεῖται τὸν θάνατον ὡς θεόν· θεὸς παρ' αὐτῷ ὁ φαινόμενος κόσμος. Καὶ τί γάρ;
35 *Ὠχριᾷ, φρικιᾷ, ἀγωνιᾷ· προλαμβάνων τὴν τοῦ Θεοῦ κρίσιν, ἑαυτὸν τιμωρεῖται, τοῦ συνειδότος ἀνηλεῶς βασανίζοντος καὶ*

---

50. Ψαλμ. 119, 5. 51. Ματθ. 25, 21. 52. Λουκᾶ 6, 45.

ἀμέλειά του. Καί (τί λοιπόν εἶναι τό πᾶν;) πεθαίνει μέ θάρρος, ἀφοῦ δέ λύπησε κανέναν ἐκτός ἀπό τούς δαίμονες, καί ὅσους εἶναι γείτονές τους. Ὁ χρόνος αὐτός εἶναι περιττός, δέν ἐκμεταλλεύτηκε τίς ἡμέρες γιά κακές πράξεις. Διπλασίασε τό χρῆμα πού πῆρε καί ἀπέστειλε τούς τόκους τῶν ἀγαθῶν ἔργων, πληρώνοντας σέ λίγο καιρό μακροχρόνια χρέη. Διαθήκη περιουσίας δέ γράφει, ἀφοῦ μέ τή ζωή καί τίς σκέψεις του τή νίκησε. Χτύπησε ὁ θάνατος τήν πόρτα τοῦ σώματος; Πρίν τόν δεῖ νά εἶναι ἀπ' ἔξω, φωνάζει, «Ἄς φύγουμε ἀπ' ἐδῶ», ψάλλοντας· «Ἀλλοίμονο, γιατί ἡ προσωρινή μου κατοικία μακραίνει»[50]· καί ἐάν δέν ἐπρόκειτο γιά τόν Κύριο πού τόν ἔστειλε, θά τιμωροῦσε τό θάνατο, γιατί ἦρθε ἀργότερα. Χαίρεται ὅμως τελευταῖα, ἐπειδή ἀπαλλάχθηκε ἀπό τό πολύπαθο σῶμα, σάν ἀπό κάποιο σάπιο ξένο σῶμα, πού πρόκειται νά πέσει· τέντωσε τό αὐτί του σ' αὐτόν πού ἔλεγε, «Εὖγε, δοῦλε ἀγαθέ καί πιστέ»[51], γιά ν' ἀκούσει καί τή συνέχεια.

Ἄς εἶναι γιά σένα ἀπόδειξη τῶν λεγόμενων τό περιεχόμενο τῶν λόγων, «γιατί ἀπό ἐκεῖνο πού περισσεύει στήν καρδιά λαλεῖ τό στόμα»[52]. Ἐκεῖνος ὅμως πού ζεῖ μαζί μέ τό ψέμα, ἔχει ταραγμένη ζωή, καί ἄλλοτε χαίρεται χωρίς μέτρο γιά τήν αὔξηση τῶν χρημάτων ἤ γι' ἀσήμαντο ἀξίωμα, ἤ γιά τή φιλία μιᾶς πόρνης, ἤ γιά τή δυστυχία τῶν ἐχθρῶν του, καί ἄλλοτε λυπεῖται ὑπερβολικά, ἐπειδή ὀνιερεύεται τίς μεταβολές καί τίς ἀστάθειες, περνᾶ τίς νύχτες χωρίς ὕπνο ἤ μέ κακό ὕπνο, ὑποψιάζεται σκευωρίες ἀκόμη καί τῶν πλησιέστερων συγγενῶν του, ἐπειδή δέν ἔχει ἐμπιστοσύνη οὔτε στόν ἑαυτό του, καί δέν πιστεύει σ' ὅλους σάν ψεῦτες. Ἀφοῦ εἶναι τέτοιος ὁ ἴδιος, εἶναι δειλός σάν λαγός, θρασύς σάν χοῖρος, ψεύτης σάν χαμαιλέοντας, ἀπατεώνας σάν πέρδικα, σκληρός σάν λύκος, ἀνήσυχος σάν ποντίκι. Εἶναι ἐχθρός τοῦ ἑαυτοῦ του, συνέχεια φθονερός, ὅταν τιμωρεῖ ἀναγκαστικά τόν ἑαυτό του δέν αἰσθάνεται, γιατί ὅταν σκέπτεται κακά ἐναντίον ἄλλου, καταλήγει νά πάσχει κακῶς ἀπό τόν ἑαυτό του. Τόν κέντησε ὁ θάνατος; τά πάντα δίνει, γιά νά παραμείνει λίγο, ἐπειδή ἀγαπᾶ τή ζωή. Τό χρόνο πού τοῦ δόθηκε τόν ἐκμεταλλεύτηκε στά χαμένα· τό δηνάριό του ὄχι μόνο δέν τό διπλασίασε, ἀλλ' οὔτε τό φύλαξε σῶο.

Τρέμει συνέχεια σάν φύλλο. ἐπειδή δέ θέλει νά γεράσει· ἐπειδή σκέφτεται ἀνόητα, παθαίνει ὅ,τι οἱ γέροι, φοβᾶται τό θάνατο σάν θεό· Θεός γι' αὐτόν εἶναι ὁ ὁρατός κόσμος. Καί τί λοιπόν συμβαίνει; Γίνεται ὠχρός, τρέμει, ἀγωνιᾶ· προλαβαίνοντας τήν κρίση τοῦ Θεοῦ, τιμωρεῖ τόν ἑαυτό του, ἀφοῦ ἡ συνείδησή του τόν βασανίζει χωρίς οἶκτο καί

καθ' ἓν τῶν πλημμελημάτων ὑπομιμνήσκοντος, δεινότερα πάσχων ἤπερ οἱ μαστιγούμενοι τὰ ἑαυτῶν σώματα ταῖς πληγαῖς. Ὑποδύνει τὰς κατὰ καιρὸν δυναστείας δουλοπρεπῶς, κολακεύει τὸν κόσμον αἰσχρῶς, ἀντὶ ἑνὸς κυρίου μυρίους ἔχει
5 *δεσπότας, ἵνα μὴ τῇ ἀληθείᾳ δουλεύσῃ. Ἐπίφοβος ἀσκεῖ εἶναι, φοβούμενος τοὺς πάντας. Ταῦτα μέν σοι παρ' ἡμῶν κατὰ δύναμιν εἰρήσθω. Καὶ εἴ τις ἀληθέστερον καὶ γλαφυρώτερον λέγων τὴν οὐδένειαν ἡμῶν διορθώσηται, καὶ τοῦτον ἡδέως ἀποδεξώμεθα ὡς διορθωτὴν καὶ φιλάδελφον καὶ τῷ*
10 *Σωτῆρι εὐχαριστήσωμεν διὰ πάντα. Πλὴν καὶ αὐτὸς ἀντίδος μοι τοῦ σκοποῦ τὴν γνῶσιν τῆς δυτικῆς συνόδου καὶ ἐπισφράγισαί μου τοὺς λόγους, εἴ γέ σοι συνήρεσαν, ὡς ἐπωφελῶς εἰρημένοι.*

Μετὰ δὲ τὸ παύσασθαι τὸν διηγησάμενον εἶπεν ὁ Θεόδω-
15 *ρος ταῦτα·*

Ο ΔΙΑΚ. Σοὶ μὲν τῷ διηγησαμένῳ ταῦτα "δῴη Κύριος ἔλεος εὑρεῖν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ", καὶ ὅτι τῶν τοιούτων ἀπέστης τῆς κοινωνίας καὶ ὅτι ἡμῖν σαφῶς διηγήσω· μνησθείη δὲ Κύριος πάσης θυσίας τῆς Ἰωάννου, ὅτι ἕως θανάτου οὐ προέδωκεν
20 *τὴν παῤῥησίαν. Ὁ δὲ σκοπὸς τῆς ἐκκλησίας Ῥωμαίων οὕτως ἐστίν, ἕως τέλους μὴ κοινωνῆσαι τοῖς ἀνατολικοῖς ἐπισκόποις, μάλιστα Θεοφίλῳ, ἕως ἂν δῷ Κύριος χώραν οἰκουμενικῆς συνόδου, ἰατρευούσης τὰ σεσηπότα μέλη τῶν ταῦτα ἐργασαμένων. Εἰ γὰρ καὶ κεκοίμηται ὁ μακάριος Ἰωάννης, ἀλλ'*
25 *ἐγρήγορεν ἡ ἀλήθεια, δι' ἣν ἡ ζήτησις ἔσται. Τοῖς δὲ ταῦτα διαπραξαμένοις ἐν τῇ ἐκκλησίᾳ ἡδέως ἂν συνέτυχον κατὰ πρόσωπον, εἰπών· "Ποῦ ἡ ἱερωσύνη; Ποῦ ἡ ὁσιότης; Ποῦ τὸ ἥμερον καὶ κοινὸν τῆς φύσεως; Ποῦ αἱ ἐντολαὶ τοῦ Σωτῆρος, τό, ''Ἐὰν προσφέρῃς τὸ δῶρόν σου, καὶ μνησθῇς ὅτι ἔχει τι*
30 *κατὰ σοῦ ὁ ἀδελφός σου, ἄπελθε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ οὕτω πρόσφερε τὸ δῶρόν σου'· ποῦ τό, ''Ἐάν τίς σε ῥαπίσῃ ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην';*

Ποῦ ἡ τῶν Γραφῶν μελέτη, τό, ''Ἰδοὺ τί καλὸν ἢ τί
35 *τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό'; Ποῦ τό, ''Ἀδελφοὶ ἐν ἀνάγκαις χρήσιμοι ἔστωσαν'; Διὰ τί δέ, ''Ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά', ἀντιστρέψαντες πεποιήκατε; 'ἀδελφὸς ὑπὸ ἀδελφοῦ' συκοφαντούμε-*

τοῦ θυμίζει ἕνα ἕνα τά ἁμαρτήματά του παθαίνοντας φοβερότερα καί ἀπ' αὐτούς ἀκόμη πού μαστιγώνουν τά σώματά τους. Δέχεται τίς κατά καιρό ἐξουσίες μέ δουλοπρέπεια, κολακεύει τόν κόσμο αἰσχρά, ἀντί γιά ἕναν κύριο ἔχει ἀμέτρητους δεσπότες, γιά νά μήν ὑπηρετήσει τήν ἀλήθεια. Προσπαθεῖ νά εἶναι φοβερός, ἐπειδή φοβᾶται ὅλους. Αὐτά μποροῦσα νά σοῦ πῶ. Καί ἐάν κάποιος διορθώσει τήν ἀναξιότητά μας μιλώντας μέ περισσότερη ἀλήθεια καί γλαφυρότητα, ἄς τόν δεχθοῦμε καί αὐτόν σάν διορθωτή καί φιλάδελφο καί ἄς εὐχαριστήσουμε τό Σωτήρα γιά ὅλα. 'Αλλά καί σύ ἀνταπόδωσέ μου νά γνωρίσω τό σκοπό τῆς δυτικῆς συνόδου καί ἐπικύρωσε τά λόγια μου, ἐάν βέβαια σοῦ ἄρεσαν καί σένα, σάν νά εἰπώθηκαν χρήσιμα.

'Αφοῦ σταμάτησε ὁ ἀφηγητής εἶπε ὁ Θεόδωρος τά ἑξῆς·

Ο ΔΙΑΚ. Σέ σένα πού ἀφηγήθηκε αὐτά «εἴθε νά δώσει ὁ Κύριος νά βρεῖς ἔλεος κατά τήν ἡμέρα ἐκείνη»[53], καί γιατί ἀπομακρύνθηκες ἀπό τήν ἐπικοινωνία τέτοιων ἀνθρώπων καί γιατί μᾶς τά ἀφηγήθηκες μέ σαφήνεια· καί εἴθε ὁ Κύριος νά θυμηθεῖ ὅλη τή θυσία τοῦ 'Ιωάννη, γιατί δέν ἐγκατέλειψε τό θάρρος του. 'Η ἀπόφαση τῆς ἐκκλησίας τῆς Ρώμης εἶναι ἡ ἑξῆς, δηλαδή νά μήν ἐπικοινωνήσει μέχρι τέλος μέ τούς ἐπισκόπους τῆς ἀνατολῆς ἰδιαίτερα μέ τό Θεόφιλο, ὥσπου νά ἐπιτρέψει ὁ Κύριος νά γίνει οἰκουμενική σύνοδος, πού θά θεραπεύσει τά σάπια μέλη ἐκείνων πού ἔπραξαν αὐτά. Γιατί ἄν καί ἔχει πεθάνει ὁ μακάριος 'Ιωάννης, ἔχει ζήσει ὅμως ἡ ἀλήθεια, γιά τήν ὁποία θά γίνει ἡ ἔρευνα. Καί σ' ἐκείνους πού ἔπραξαν αὐτά στήν ἐκκλησία θά τούς συναντοῦσα μέ εὐχαρίστηση κατά πρόσωπο λέγοντας· «Ποῦ εἶναι ἡ ἱερωσύνη; ποῦ εἶναι ἡ ἁγιότητα; ποῦ εἶναι ἡ πραότητα καί ἡ κοινωνικότητα τῆς φύσης; ποῦ εἶναι οἱ ἐντολές τοῦ Σωτήρα, τό ''Εάν προσφέρεις τό δῶρο σου, καί θυμηθεῖς ὅτι ὁ ἀδελφός σου ἔχει κάτι ἐναντίον σου, πήγαινε πρῶτα συμφιλιώσου μέ τόν ἀδελφό σου, καί ἔτσι πρόσφερε τό δῶρο σου'[54]; ποῦ τό, ''Εάν σέ χτυπήσει κάποιος στό δεξί σαγόνι σου, στρέψε σ' αὐτόν καί τό ἄλλο'[55];

«Ποῦ εἶναι ἡ μελέτη τῶν Γραφῶν, τό 'Νά ποιό εἶναι πιό καλό καί ὠφέλιμο, παρά τό νά κατοικοῦν τά ἀδέλφια στό ἴδιο σπίτι'[56]; ποῦ τό, 'Οἱ ἀδελφοί ἄς εἶναι χρήσιμοι στίς ἀνάγκες'[57]; καί γιατί ἀντιστρέψατε τό '"Οταν ἕνας ἀδελφός βοηθιέται ἀπ' ἄλλον ἀδελφό, εἶναι σάν μιά ὀχυρωμένη πόλη'[58]; "Οταν 'ἕνας ἀδελφός ἀπ' ἄλλον ἀδελφό' συκο-

53. Β΄ Τιμ. 1, 18.
54. Ματθ. 5, 23-24.
55. Ματθ. 5, 39.
56. Ψαλμ. 132, 1.
57. Παροιμ. 17, 17.
58. Παροιμ. 18, 19.

νος ἢ λαφυραγωγούμενος, 'ὡς πόλις' οἰκτρὰ καὶ ἀτείχιστος. Τί ποτε οὖν ὡς ἄμικτον τὸ χρῆμα διώκειν ἐπεχειρήσατε, τρὶς καὶ οὐχ ἅπαξ ἄθλιοι; Τίνι δὲ λόγῳ, ὡς πρὸς ἐχθρόν, φονᾶν κατ' αὐτοῦ οὐχ ὑπεστείλασθε; Πῶς δὲ καὶ ἐπῆλθεν ὑμῖν οὕτως κατ'
5 *ἀλλήλων ἐξαγριαίνεσθαι; Πόθεν δὲ καὶ τὴν τηλικαύτην μεταβολὴν ἐνεδείξασθε, ὡς ἀπὸ τοῦ τιθασσοῦ ἐπὶ τὸ ἀτίθασσον καὶ ἀνήμερον μεταβαλεῖν; Θαυμάζω, καὶ τῆς διαστροφῆς θαυμάζων ἐκπέπληγμαι, ὁρῶν λίαν διακεκινημένον τὸ πᾶν ἐπὶ τοῦτο. Ἵνα τί δὲ οὕτω πολλῷ τῷ θράσει ἐπαιρόμενοι 'τὴν τιθηνοκό-*
10 *μον καὶ κουροτρόφον' τοῦ Θεοῦ ἐκκλησίαν, οἷα πολύγονον μήτραν ὑβρίσατε διακείραντες; ὡς ἐφ' ὑμῖν πληροῦσθαι τὸ προφητικόν· ''Ανθ' ὧν ἐδίωξαν ἐν ῥομφαίᾳ τὸν ἀδελφὸν αὐτῶν, καὶ ἐλυμήναντο μήτραν ἐπὶ γῆς'. Ἡ μήτρα συνὼν ὁ θεῖος καὶ σωτήριος λόγος ὑμᾶς τε κἀκεῖνον ἔσπειρέν τε καὶ*
15 *ἐφύτευσεν ἐπὶ ἀμυθήτοις χρηστοῖς καὶ ὠφελίμοις πράγμασιν. Ἀντὶ γὰρ τοῦ συναντιλαμβάνεσθαι ὑμᾶς ἀλλήλους, εἰς ἃ καὶ προσῆκεν τί μαθόντες οὐδ' ἡσυχάζειν καὶ καθ' ἑαυτοὺς ἠρεμεῖν ἐκρίνατε κἂν τοῦ λοιποῦ; Εἰς τὴν χρείαν οὖν τῆς συναντιλήψεως κτισθέντες, τί ἐρραδιουργήσατε τὴν χάριν, οὐ*
20 *μόνον μὴ ἐπικουφίζοντες τοὺς πόνους, ἀλλὰ καὶ προσαπωθούμενοι καὶ τῆς οἰκείας συγγενείας ἀποσχίζοντες· τοῦ προφήτου πρὸς ὑμᾶς βοῶντος· 'Οὐχὶ Πατὴρ εἷς πάντων ἡμῶν; Οὐχὶ Θεὸς εἷς ἔκτισεν ἡμᾶς;'*

Ἀλλ' ἐρεῖτέ μοι· 'Ἥμαρτεν εἰς τὸν νόμον'. Ποῖον; ὃν ὑμεῖς
25 *κατεπατήσατε τῇ πονηρίᾳ διασκεδάσαντες; Ποῦ οὖν ὁ τῆς φύσεως νόμος, τὸ μετὰ χρησότητος διορθώσασθαι; Τί δαὶ καὶ νόμῳ πολεμίων καταχρώμενοι, διώκετε ἐν οἷς βουλεύεσθε, καὶ πράσσετε ἐναντίοις οὖσιν καὶ ἔχθρας ἀξίοις; Πόσῳ δὲ ἦν ἄμεινον συνοικοῦντας καὶ ἐν ταὐτῷ διαιτωμένους, τῶν κοινῶν*
30 *καὶ ἀγαθῶν βουλευμάτων ἀλλήλοις μεταδιδόναι, εἰς χάριν καὶ ἀρέσκειαν τοῦ ὑμετέρου Πατρός; Τέκνων γὰρ ἀρετὴ καὶ συμφωνία χαρίτων, καὶ σφόδρα εὐμενὴς τοῖς τοκεῦσι, μηδενὸς ἄλλου χρήζουσιν ἀπὸ τῶν ἰδίων ἐγγόνων ἢ τούτου. Εὖ ἴστε δὲ καὶ τοῦτο, ὅτι φιλίας καὶ εὐνοίας σύνδεσμος οὐδὲν ἕτερόν*

---

59. Ἀμώς 1, 11. 60. Μαλαχ. 2, 10.

φαντιέται καί ληστεύεται, εἶναι 'σάν πόλη' ἀξιοθρήνητη καί ἀτείχιστη. Γιατί λοιπόν κάποτε προσπαθήσατε νά ἐπιδιώξετε τό χρῆμα πού εἶναι ἀσυμβίβαστο μέ σᾶς, τρισάθλιοι καί ὄχι ἁπλά ἄθλιοι; Καί γιά ποιό λόγο, σάν νά ἦταν ἐχθρός ὁ 'Ιωάννης, δέν παραιτηθήκατε ἀπό τό νά θέλετε νά τόν σκοτώσετε; Καί πῶς σᾶς ἦρθε ἔτσι νά ἐξαγριώνεστε μεταξύ σας; Πῶς δεχθήκατε τόσο μεγάλη ἀλλαγή, ὥστε ἀπό ἥμεροι νά γίνετε ἀνήμεροι καί ἐξαγριωμένοι; 'Απορῶ, καί ἀπορώντας γιά τή διαστροφή σας μένω κατάπληκτος, γιατί βλέπω πώς ἔχουν ἀναστατωθεῖ πάρα πολύ τά πάντα γι' αὐτό. Γιατί ὑπερηφανεύεστε μέ τόσο μεγάλη ἀναίδεια καί βρίζετε «τή μητέρα καί τροφό» ἐκκλησία τοῦ Θεοῦ, ἀποκόβοντας ἀπ' αὐτήν μία πάρα πολύ καρπερή μήτρα, ὥστε νά πραγματοποιηθεῖ σέ σᾶς τό προφητικό, «Στή θέση αὐτῶν καταδίωξαν μέ ξίφος τόν ἀδελφό τους καί κατέστρεψαν τή μήτρα πάνω στή γῆ»[59]. Καθώς βρίσκεται μαζί μέ τή μήτρα αὐτή, ὁ θεῖος καί σωτήριος λόγος καί σᾶς καί ἐκεῖνον ἔσπειρε καί φύτεψε γι' ἀμέτρητα χρήσιμα καί ὠφέλιμα πράγματα. 'Αντί λοιπόν νά βοηθιέστε μεταξύ σας σ' ἐκεῖνα πού ἔπρεπε, γιατί δέν προτιμήσατε νά ἡσυχάζετε καί νά ἠρεμεῖτε μεταξύ σας τουλάχιστο στό μέλλον; 'Αφοῦ λοιπόν δημιουργηθήκατε γιά τήν ἀνάγκη τῆς μεταξύ σας βοήθειας, γιατί ἐκμεταλλεύεστε τή χάρη, καί ὄχι μόνο δέν ἀνακουφίζετε τά βάσανα, ἀλλά καί ἀπομακρύνεστε καί ἀποχωρίζεστε ἀπό τή δική σας συγγένεια, ὅταν ὁ προφήτης φωνάζει σέ σᾶς, «Δέν εἶναι ἕνας ὁ Πατέρας ὅλων μας; δέ μᾶς δημιούργησε ἕνας Θεός;»[60].

«'Αλλά θά μοῦ πεῖτε· ''Αμάρτησε στό νόμο'. Ποιό νόμο; Αὐτόν πού ἐσεῖς καταπατήσατε, ἀφοῦ τόν διαλύσατε μέ τήν πονηριά σας; Ποῦ λοιπόν εἶναι ὁ φυσικός νόμος, τό νά διορθώνεστε μέ καλή διάθεση; Τί λοιπόν, χρησιμοποιώντας καί νόμο τῶν ἐχθρῶν, ἐπιδιώκετε μ' αὐτά πού σκέφτεστε καί κάνετε πράγματα πού εἶναι ἀντίθετα καί ἀξίζουν στήν ἔχθρα; Πόσο καλύτερο ὅμως θά ἦταν, ἐάν μένατε μαζί καί τρώγατε στό ἴδιο μέρος, νά ἀνακοινώνατε μεταξύ σας τίς κοινές καί ἀγαθές σκέψεις, γιά εὐχαρίστηση καί ἱκανοποίηση τοῦ Πατέρα σας; Γιατί οἱ γονεῖς δέ χρειάζονται ἀπό τά παιδιά τους τίποτε ἄλλο παρά μόνο αὐτό, δηλαδή τήν ἀρετή τῶν παιδιῶν τους, τή συμφωνία στίς χαρές μεταξύ τους καί τό μεγάλο σεβασμό γι' αὐτούς. Νά γνωρίζετε καλά καί αὐτό, ὅτι δέν ὑπάρχει τίποτε ἄλλο ἀπό τό σύνδεσμο τῆς φιλίας καί τῆς συμπάθειας, παρά τό νά φροντίζουμε καί

ἐστιν ἢ τὸ σπουδάζειν καὶ πάντα πράττειν ἀρεσκόντων τῷ Πατρὶ καὶ τῷ τῆς γενέσεως καὶ διατροφῆς καὶ διαμονῆς αἰτίῳ· οὗ ὑπερφρονήσαντες ὡς λήρου, πολέμους ἐν τῇ ἐκκλησίᾳ ἐξήψατε, κατὰ τὸν εἰπόντα προφήτην· 'Μανίαν ἐν οἴκῳ Κυρίου 5 *κατέπηξαν' ἀντὶ τοῦ παρορμᾶν καὶ προτρέπειν ἀλλήλους· ἔπειτα παρὰ νοῦν καὶ γνώμην τὴν τοῦ Πατρὸς πολέμους ἀσυμβάτους ἐργαζόμενοι ἐν ἀλλήλοις. Προστίθημι δέ, ὅτι καὶ τὸν Θεὸν καὶ πάντας τοὺς προσχωροῦντας αὐτῷ, τοῦ μὲν υἱούς, ὑμῶν δὲ ἀδελφούς, σφόδρα ἐξίστησι καὶ κινεῖ, καὶ* 10 *σιωπᾶν οὐκ ἐπιτρέπει (οὐδὲ γὰρ ὀλίγωρος οὐδὲ τῆς τῶν τέκνων ὠφελείας ἄφροντίς ἐστιν).*

'Αχθόμενος τοιγαροῦν ἐπί τε τῇ ὑμετέρᾳ φρενοβλαβείᾳ καὶ ἐπὶ τῇ τῶν ἀδικουμένων καταδυναστείᾳ, διὸ καὶ παρελθεῖν ὑμᾶς ἀτιμωρήτους οὐ κρίνει δίκαιον (καθὼς ἐνήρξατο)· οὔτε 15 *γὰρ αὐτῷ εὐπρεπὲς οὔτε ὑμῖν ἀσφαλές· τό τε πάθος ὑμῶν οὐ φορητόν, ἐπιμελείας τε οὐ τῆς τυχούσης, διά τε πληγῶν καὶ τῶν ἀπὸ παιδείας μωλώπων οὐκ ἀριθμητῶν χείρους ὑμᾶς ὁρᾷ. Πολὺ γὰρ τὸ ἀναίσθητον καὶ ἀκαμπέστατον ὑμῖν ἐπιπολάζει, ἀδελφούς, γνησίους, καὶ ὁμοδιαίτους, πρὸς δὲ καὶ ὁμοσπόν-* 20 *δους, ὁμοτραπέζους τε καὶ ὁμολέκτους, μιᾶς καὶ τῆς αὐτῆς συγγενείας τετυχηκότας, οὕτως εἰς μῖσος ἔχθιστον περιετρέψατε, ὡς καὶ τῶν ἰδίων ὅρων καὶ τῆς κοινῆς ἑστίας ἀποδιαπέμπεσθαι καὶ πόῤῥω ἀπελαύνειν, ἀπόλεις καὶ ἀοίκους, πρὸς δὲ καὶ φυγάδας, ὅσον ἐφ' ὑμῖν ἧκον μέρος, κατασκευάσαν-* 25 *τες, καὶ ταῦτα οὐ πρὸς ποσόν τινα χρόνον τὴν φυγάδα ὁρίσαντες, ἀλλ' ὅσον ἐδυνήθητε καὶ ἐπ' ἄπειρον, διὰ τὸ ὠμόθυμον καὶ τὸ λίαν παρακεκινημένον ὑμῶν. Ὃ ἐπ' αὐτοῖς καὶ τῷ μακαρίῳ 'Ιωάννῃ κέκτησθε, ἔγκοτον τὸ ἔχθος ἀναζωπυροῦντες καὶ ὥσπερ ἠκονημένον ξίφος, μέχρι τῆς δεῦρο κατ'* 30 *αὐτοῦ χαλῶντες τὴν γλῶτταν, τὴν μῆνιν ἀσπάζεσθε ἀντὶ διδασκαλίας ἐπωφελοῦς, τὴν κατηγορίαν ἐπὶ τῆς ἐκκλησίας εἰς μολυσμὸν τῶν ἀκουόντων ἐκχέοντες· καὶ ταῦτα μὲν ἐκείνοις, οἷς 'ὁ Κύριος' ἐν ἐλέει καὶ φιλανθρωπίᾳ 'ἀποδώσει κατὰ τὰ ἔργα' ".*

35 *Σοὶ δὲ ποίων λόγων "ἀμάραντον στέφανον" πλέξας οἴσω,*

---

61. 'Ωσηέ 9, 8. 62. Β΄ Τιμ. 4, 14. 63. Α΄ Πέτρ. 5, 4.

νά κάνουμε τά πάντα μέ τρόπο πού ν' ἀρέσει στόν Πατέρα μας, ὁ ὁποῖος εἶναι αἴτιος καί γιά τή γέννησή μας καί τή διατροφή καί τήν παραμονή μας στή ζωή. Αὐτό τό περιφρονήσατε σάν ἀνοησία καί ἀνάψατε πολέμους στήν ἐκκλησία, σύμφωνα μέ τόν προφήτη πού εἶπε· '"Εμπηξαν μεγάλη ὀργή στό σπίτι τοῦ Κυρίου'[61], ἀντί νά παρακινοῦν καί νά προτρέπουν ὁ ἕνας τόν ἄλλο. Ἔπειτα ἀντίθετα ἀπό τή σκέψη καί τή διάθεση τοῦ Πατέρα κάνετε μεταξύ σας πολέμους ἀδιάλλακτους. Προσθέτω ἀκόμη, ὅτι καί τό Θεό καί ὅλους πού προσχωροῦν σ' αὐτόν, τούς υἱούς του καί ἀδελφούς σας, πάρα πολύ ἐρεθίζει καί παρακινεῖ, καί δέν τούς ἀφήνει νά σιωποῦν, γιατί δέν εἶναι οὔτε ἀμελής οὔτε ἀδιάφορος κανείς γιά τήν ὠφέλεια τῶν παιδιῶν του.

«''Επειδή δυσανασχετεῖ λοιπόν γιά τή δική σας παραφροσύνη καί τήν καταπίεση αὐτῶν πού ἀδικοῦνται, γι' αὐτό καί δέ θεωρεῖ δίκαιο νά ξεφύγετε ἀτιμώρητοι (καθώς ἄρχισε), γιατί οὔτε γι' αὐτόν εἶναι σεμνό οὔτε γιά σᾶς ἀσφάλεια, καί τό πάθος σας δέν εἶναι ὑποφερτό, ἀφοῦ καί φροντίδα χρειάζεται ὄχι τή συνηθισμένη, γιατί σᾶς βλέπει χειρότερους καί ἀπό τίς πληγές καί ἀπό τά ἀναρίθμητα χτυπήματα πού ἔχουν σκοπό τή νουθεσία. Γιατί ὑπάρχει σέ σᾶς μεγάλη ἀναισθησία καί σκληρότητα, ἀφοῦ ἀδελφούς, γνήσιους καί ὁμοδίαιτους, ἀκόμη καί ὁμόσπονδους καί ὁμοτράπεζους καί συζητητές σας, πού εἶναι ἀπό τή μία καί τήν ἴδια οἰκογένεια, στρέψατε ἐναντίον τους τέτοιο ἐχθρικότατο μίσος, ὥστε καί ἀπό τήν πατρίδα τους καί τό κοινό θυσιαστήριο τούς διώχνετε καί τούς ἀπομακρύνετε μακριά, κάνοντας αὐτούς χωρίς πόλεις καί χωρίς σπίτια, ἀκόμη καί ἐξόριστους, ὅσο ἦταν στό χέρι σας, καί μάλιστα χωρίς νά ὁρίσετε τό χρόνο τῆς ἐξορίας, ἀλλ' ὅσο μπορέσατε καί γιά πάντα, ἐξ αἰτίας τῆς ἀσπλαχνίας καί τοῦ ὑπερβολικοῦ πάθους σας. Τοῦτο ἔχετε ἐναντίον αὐτῶν καί τοῦ μακαρίου 'Ιωάννη, ἀνανεώνοντας τό γεμάτο ὀργή μίσος καί, σάν ἀκονισμένο ξίφος, ἀφήνοντας ἐλεύθερη τή γλώσσα σας ἐναντίον του μέχρι σήμερα, ἐπιδιώκετε τήν ὀργή ἀντί γιά τή χρήσιμη διδασκαλία, ἐκστομίζοντας τήν κατηγορία στήν ἐκκλησία γιά μολυσμό τῶν ἐκκλησιαζόμενων, καί αὐτά βέβαια σ' ἐκείνους, στούς ὁποίους 'ὁ Κύριος' μέ τό ἔλεος καί τή φιλανθρωπία του «θ' ἀποδώσει σύμφωνα μέ τά ἔργα τους'[62]».

Σέ σένα ὅμως μέ ποιά λόγια νά πλέξω «ἄφθαρτο στεφάνι»[63] καί νά

μακάριε Ἰωάννη, μετὰ ἔξοδον τοῦ σταδίου οὐ φοβούμενος τὸ ἐγκωμιάσαι; (ἀπεδύσω γὰρ τὴν τρικυμίαν)· ἢ τῶν Μωσαϊκῶν ἐκείνων νόμων οὓς δέδωκεν εὐλογήσας τὸν πρακτικὸν Ἰωσὴφ καὶ τὸν θεωρητικὸν Λευῒ τὸν ἱερέα (ἐν σοὶ γὰρ ὁρῶ ἀμφοτέ-
5 *ρους); "Ἐπ' εὐλογίας Κυρίου ἡ γῆ σου, καὶ ἀπὸ ὁρῶν οὐρανοῦ καὶ δρόσου, καὶ ἀβύσσων πηγῶν κάτωθεν, καὶ καθ' ὥραν γεννημάτων ἡλίου τροπῶν, καὶ ἀπὸ συνόδων μηνῶν, ἀπὸ κορυφῆς ὀρέων ἀρχῆς, καὶ ἀπὸ κορυφῆς ἀενάων βουνῶν, ἔσονται ἐπὶ κορυφῆς Ἰωσήφ" (εἴ τις Ἰωσήφ), "καὶ ἐπὶ*
10 *κορυφῆς ὧν ἡγήσατο ἀδελφῶν, δοξασθεὶς ἐν ἀδελφοῖς. Πρωτότοκος ταύρου τὸ κάλλος αὐτοῦ, κέρατα μονοκέρωτος τὰ κέρατα αὐτοῦ· ἐν αὐτοῖς ἔθνη κερατιεῖ ἅμα ἕως ἐπ' ἄκρου τῆς γῆς. Καὶ τῷ Λευῒ εἶπεν" (καὶ εἴ τις αὐτὸν ἐμιμήσατο)· " 'Δότε Λευῒ δήλους αὐτοῦ, καὶ ἀλήθειαν αὐτοῦ τῷ ἀνδρὶ τῷ ὁσίῳ, ὃν*
15 *ἐπείρασαν αὐτὸν ἐν Πείρᾳ, ἐλοιδόρησαν αὐτὸν ἐπὶ ὕδατος Ἀντιλογίας. Ὁ λέγων τῷ πατρὶ καὶ τῇ μητρί, 'Οὐχ ἑόρακά σε', καὶ τοὺς ἀδελφοὺς αὐτοῦ οὐκ ἐπέγνω· ἐφύλαξεν τὰ λόγιά σου, καὶ τὴν διαθήκην σου διετήρησεν. Ἐδήλωσεν τὰ δικαιώματά σου τῷ Ἰακώβ, καὶ τὸν νόμον σου τῷ Ἰσραήλ· ἐπιθήσει*
20 *θυμίαμα διὰ παντὸς ἐν ἑορτῇ σου ἐπὶ τῷ θυσιαστηρίῳ σου. Εὐλόγησον, Κύριε, τὴν ἰσχὺν αὐτοῦ, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ δέξαι· πάταξον ὀφρὺν ἐχθρῶν ἐπανεστηκότων αὐτῷ, καὶ οἱ μισοῦντες αὐτὸν μὴ ἀναστήτωσαν' ". Ἐγὼ δὲ προσπλέξας εἴποιμι· "Οἱ φιλοῦντες αὐτόν, Ἰησοῦ Χριστέ, μὴ καται-*
25 *σχυνθήτωσαν· σὸν γὰρ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν".*

Ο ΕΠΙΣΚ. *Καὶ αὕτη τῆς σῆς συνέσεως ἡ ἄσκησις, θηρευτὰ νοημάτων Θεόδωρε, ἐκφέρειν "ἐκ τοῦ" τῆς διανοίας σου "θησαυροῦ", κατὰ τὸν εἰπόντα Σωτῆρα, "καινὰ καὶ παλαιά". "Παλαιὰ" μέν, τῆς ἀνθρωπίνης σοφίας παιδεύματα, "καινὰ"*
30 *δέ, τὰ τοῦ Ἁγίου Πνεύματος λόγια. Ἐξ ὧν θησαυρῶν ὁποτέρῳ μέρει τὸ πρόσφορον δέδωκας, τῆς μὲν σῆς φρονήσεως φρά-*

---

64. Δευτ. 33, 13-17· 8-11.

65. Ματθ. 13, 52.

σοῦ τό προσφέρω, μακάριε 'Ιωάννη, ἀφοῦ δέ φοβᾶμαι νά σέ ἐγκωμιάσω μετά τήν ἔξοδό σου ἀπό τό στάδιο (γιατί ἀπομάκρυνες τήν τρικυμία); 'Αλήθεια μέ τούς νόμους ἐκείνους τοῦ Μωυσῆ τούς ὁποίους ἔδωσε, ὅταν εὐλόγησε τόν πρακτικό 'Ιωσήφ καί τό θεωρητικό Λευΐ τόν ἱερέα (γιατί σέ σένα βλέπω καί τούς δύο); «'Η χώρα σου εἶναι εὐλογημένη ἀπό τόν Κύριο καί ἀπό τίς βροχές τοῦ οὐρανοῦ καί ἀπό τή δροσιά του, καί ἀπό τά νερά τῶν πηγῶν τῆς γῆς, ἀπό τούς καρπούς κάθε ἐποχῆς πού κανονίζεται μέ τίς θέσεις τοῦ ἥλιου, καί ἀπό τή διαδοχή τῶν μηνῶν, καί ἀπό τούς καρπούς τῶν κορυφῶν τῶν ἀρχαίων βουνῶν, καί ἀπό τούς καρπούς τῶν κορυφῶν αἰώνιων λόφων, θά εἶναι ἐπάνω στό κεφάλι τοῦ 'Ιωσήφ» (ὅποιος εἶναι σάν τόν 'Ιωσήφ), «καί στό κεφάλι ἐκείνων πού θεώρησε ἀδέλφια του, ἀφοῦ δοξάσθηκε ἀνάμεσα στά ἀδέλφια του. 'Η ὀμορφιά του εἶναι σάν τόν πρωτότοκο ταῦρο καί ἡ δύναμή του σάν τή δύναμη τοῦ ζώου πού ἔχει ἕνα κέρατο. Μέ τή δύναμη αὐτή θά καταβάλει τά ἔθνη σ' ὅλα τά ἄκρα τῆς γῆς. Καί στό Λευΐ εἶπε» (καί σ' ὅποιον τόν μιμήθηκε)· «'Δῶστε στό Λευΐ τά διάσημά του καί τήν ἀλήθεια στόν ἅγιο αὐτόν ἄνδρα, πού ἔθεσαν σέ πειρασμό στήν τοποθεσία Πειρασμός, καί τόν κατηγόρησαν στήν τοποθεσία νερό τῆς 'Αντιλογίας. Αὐτός εἶπε στόν πατέρα καί τή μητέρα του, 'Δέ σέ ἔχω ξαναδεῖ', καί τούς ἀδελφούς του δέν ἀναγνώρισε· φύλαξε τά λόγια σου καί διατήρησε τή διαθήκη σου. Ἔκαμε γνωστές τίς ἐντολές σου στούς ἀπογόνους τοῦ 'Ιακώβ, καί τό νόμο σου στούς 'Ισραηλίτες. Θά τοποθετήσει θυμίαμα πάντοτε στήν ἑορτή σου ἐπάνω στό θυσιαστήριό σου. Εὐλόγησε, Κύριε, τή δύναμή του, καί δέξου τίς θυσίες πού προσφέρουν τά χέρια τους· σύντριψε τήν ὑπερηφάνεια τῶν ἐχθρῶν του, πού ἐπαναστάτησαν ἐναντίον του καί ἐκεῖνοι πού τόν μισοῦν ἄς μή σηκωθοῦν ἐπάνω στή γῆ'»[64]. 'Εγώ ὅμως ἀφοῦ τό πλέξω πιό πολύ θά πῶ μαζί μ' αὐτά· «'Εκεῖνοι πού τόν ἀγαποῦν, 'Ιησοῦ Χριστέ, ἄς μήν ντροπιασθοῦν, γιατί δική σου εἶναι ἡ δύναμη στούς αἰῶνες. 'Αμήν».

Ο ΕΠΙΣΚ. Καί αὐτή ἡ ἄσκηση εἶναι δεῖγμα τῆς δικῆς σου σύνεσης, κυνηγέ νοημάτων Θεόδωρε, νά βγάζεις δηλαδή «ἀπό τό θησαυροφυλάκιο» τῆς διάνοιάς σου (σύμφωνα μέ τό Σωτήρα πού τό εἶπε) «καινούρια καί παλαιά»[65]· «παλαιά» εἶναι οἱ γνώσεις τῆς ἀνθρώπινης σοφίας, ἐνῶ «καινούρια» τά λόγια τοῦ ἁγίου Πνεύματος. 'Από τούς θησαυρούς αὐτούς ἔδωσες στό καθένα ἀπό τά δύο μέρη τό

σας τοῖς πλημμελήσασιν ἃ ἥρμοζεν, τῆς δὲ Μωσαϊκῆς εὐλογίας πλέξας Ἰωάννῃ τὸν ὀφειλόμενον στέφανον. Ὅς ἀπαθῶς ἱερατεύσας, ἀληθῶς οὐκ ἔγνω πατέρα ἢ μητέρα ἢ γένος αἱμάτινον δικαιοσύνης ὑπερβολῇ, ἀλλ' ἢ τοὺς ἐραστὰς καὶ 5 *ἐργάτας τοῦ λόγου. Οἱ δὲ καθ' ἡμᾶς δοκοῦντες ἐπίσκοποι τὸ μὲν πήλινον γένος πορισμοῖς καὶ στρατείαις καὶ ἀξιώμασιν ἐγκαθώρμησαν, παραβάντες τὸν εἰπόντα νόμον, "Οὐ δώσουσιν οἱ ἱερεῖς τοὺς υἱοὺς αὐτῶν εἰς ἄρχοντας καὶ παρατρέχοντας τῷ βασιλεῖ", τὰ δὲ τοῦ Πνεύματος συσκευαῖς καὶ* 10 *δυσημερίαις καὶ φρουραῖς καὶ περιορισμοῖς ἐνδαπανῶντες, ἄκρατον πιόντες τὴν ἄγνοιαν, ἐκ τούτων νομίζοντες ἀτιμάζειν τοὺς φίλους τῆς ἀρετῆς, περὶ ὧν προεῖπεν ὁ Σωτήρ· "Ἐλεύσονται ἡμέραι, ἐν αἷς δόξουσιν οἱ ἀποκτέννοντες ὑμᾶς λατρείαν προσφέρειν τῷ Θεῷ".*

15 *Καὶ οὐ δήπου περὶ Ἑλλήνων εἶπεν, ἐπεὶ ἂν εἰρήκει, "τοῖς θεοῖς", οἳ πλείονας παρὰ τὸν ἕνα σημαίνουσιν. Ἐξ ὧν δὲ τὸν ἕνα καὶ μόνον ὠνόμασεν, ἐδήλωσεν τοὺς νῦν ἡμᾶς προσχήματι τῆς ἐκκλησίας λεηλατοῦντας. Τὰς γὰρ ἰδίας κακοτροπίας καὶ φθόνους ἐπικρυψάμενοι, ὑπὲρ ταύτης φροντίζειν κατασχηματίζονται λόγῳ, ἣν ἐλυμήναντο ἔργοις.* 20 *Ἀλλὰ κἂν οὕτω σοφίσωνται, ἡ ἔκβασις τῶν γεγενημένων αὐτοὺς διελέγξει ὑπουργήσαντας τῷ καυχησαμένῳ· "Οὐ μὴ σαλευθῶ ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ". Οὐκέτι γὰρ ἐφευρίσκων εἶδος αἱρέσεως καινοτέρας ὁ ἐφευρετὴς τῆς ἀνομίας καὶ γεωργὸς τῆς κακίστης ἐπιθυμίας ὄφις ἐξοίστρησεν τοὺς προεστῶτας τῆς ἐκκλησίας εἰς ἀλληλοκτονίαν, φιλοκαθεδρίας καὶ πρωτοκαθεδρίας* 25 *πάθει, δι' ὧν εἰργάσαντο τὸ σχίσμα. Εἰ γὰρ ἦν Πνεύματος Θεοῦ συμφωνία ἐν τοῖς ἐπισκόποις καὶ ὡς αἴτιος πλημμελείας, ἢ ἀνάξιος ἱερωσύνης ἤ, ὡς ὁ Θεόφιλος λέγει, ὑπερηφανίας,* 30 *ὤφειλεν εἰρχθῆναι ὁ Ἰωάννης, ἐδύνατο ἡ παντοδύναμος Θεοῦ σοφία ἐνδέσμως αὐτὸν κωλῦσαι τῆς ἱερατείας ἢ ἐφευρεῖν τρόπον, δι' οὗ ἀταράχως καὶ ἀκλαυστὶ ἐξεβάλλετο οὗτος ἢ θανάτῳ ἢ παραλύσει ἢ ἀφωνίᾳ, ὡς οἴδαμέν τινας τῶν ἀντιπεσόντων αὐτῷ πεπονθότας καί τινας μέλλοντας πάσχειν.*

---

66. Λευϊτ. 18, 21. 67. Ἰω. 16, 2. 68. Ψαλμ. 9, 27.

κατάλληλο, ἀπό τή δική σου σύνεση λέγοντας σ' αὐτούς πού ἔσφαλαν ὅσα ἔπρεπε, ἐνῶ ἀπό τήν εὐλογία τοῦ Μωυσῆ πλέκοντας στόν 'Ιωάννη τόν ὀφειλόμενο ἔπαινο. Αὐτός ἱερατεύοντας χωρίς πάθη, πραγματικά δέν ξεχώρισε ἀπό ὑπερβολική δικαιοσύνη πατέρα ἤ μητέρα ἤ συγγένεια αἵματος, παρά μόνο τούς ἐραστές καί ἐργάτες τοῦ λόγου. 'Εκεῖνοι ὅμως πού τούς θεωροῦμε ἐπισκόπους ἀγκυροβόλησαν στήν ἀνθρώπινη συγγένεια μέ χρηματισμούς καί στρατιωτική ὑπηρεσία. Καί ἀξιώματα, ἀφοῦ παρέβηκαν τό νόμο πού λέγει· «Δέν ἐπιτρέπεται νά δώσουν οἱ ἱερεῖς τά παιδιά τους στούς ἄρχοντες καί σ' αὐτούς πού ἀκολουθοῦν τό βασιλιά»[66], ἐνῶ τά λόγια τοῦ ἁγίου Πνεύματος σπαταλοῦν σέ μηχανορραφίες καί δυστυχίες καί φυλακίσεις καί περιορισμούς, καταντοῦν νά ἔχουν καθαρή ἄγνοια, ἐπειδή ἀπ' αὐτά νομίζουν ὅτι ἀτιμάζουν τούς φίλους τῆς ἀρετῆς, γιά τούς ὁποίους προεῖπε ὁ Σωτήρας· «Θ' ἔρθουν ἡμέρες, κατά τίς ὁποῖες ἐκεῖνοι πού σᾶς φονεύουν θά νομίσουν, ὅτι προσφέρουν λατρεία στό Θεό»[67].

Καί δέν τό εἶπε βέβαια γιά τούς Ἕλληνες, γιατί θά ἔλεγε 'στούς θεούς', πού σημαίνουν περισσότερους θεούς παρά τόν ἕνα. 'Αφοῦ ὅμως ὀνόμασε τόν ἕνα καί μοναδικό, ἔδειξε ἐκείνους πού μᾶς ληστεύουν τώρα μέ τό πρόσχημα τῆς ἐκκλησίας. Γιατί, ἀφοῦ ἀπέκρυψαν τίς μοχθηρίες καί τούς φθόνους τους, προσποιοῦνται μέ τά λόγια ὅτι φροντίζουν γιά τήν ἐκκλησία, πού τήν ἔβλαψαν μέ τά ἔργα τους. 'Αλλ' ἐάν καί ἔτσι ἀκόμη θά σοφισθοῦν, θά τούς ἐλέγξει τό ἀποτέλεσμα τῶν πράξεών τους, ἀφοῦ ὑπηρέτησαν ἐκεῖνον πού καυχήθηκε· «Δέν πρόκειται νά κινηθῶ ἀπό γενεά σέ γενεά χωρίς κακό»[68]. 'Επειδή λοιπόν δέν μποροῦσε νά ἐπινοήσει πιό καινούρια αἵρεση ὁ ἐφευρέτης τῆς ἀνομίας καί καλλιεργητής τῆς κακίστης ἐπιθυμίας διάβολος ξεσήκωσε τούς προεστούς τῆς ἐκκλησίας σέ ἀλληλοσκοτωμό, μέ τό πάθος τῆς φιλοκαθεδρίας καί τῆς πρωτοκαθεδρίας, μέ τά ὁποῖα ἔκαμαν τό σχίσμα. Γιατί ἄν ὑπῆρχε στούς ἐπισκόπους ἡ συμφωνία τοῦ Πνεύματος τοῦ Θεοῦ, ἔπρεπε ὁ 'Ιωάννης νά εἶχε φυλακισθεῖ καί σάν αἴτιος παραπτώματος, ἤ ἀνάξιος ἱερωσύνης ἤ (ὅπως ὁ Θεόφιλος λέγει) ὑπερηφάνειας, μποροῦσε ἡ παντοδύναμη σοφία τοῦ Θεοῦ νά τόν ἐμποδίσει νόμιμα ἀπό τήν ἱερωσύνη ἤ νά ἐπινοήσει τρόπο, μέ τόν ὁποῖο θ' ἀπομακρυνόταν αὐτός ἤρεμα καί χωρίς κλάματα ἤ μέ θάνατο ἤ μέ παράλυση ἤ μέ στέρηση τῆς φωνῆς του, ὅπως γνωρίζουμε νά ἔχουν πάθει μερικοί ἀπό τούς ἐχθρούς του καί πρόκειται νά πάθουν ἄλλοι.

Ἐξ ὧν δὲ τοσαῦτα παρηκολούθησεν ἀνάξια τοῦ Σωτῆρος ἔργα, καὶ αὐτὸς οὐ καθῃρέθη, ἀλλ' ἐξωρίσθη, εὔδηλον τοῦ διαβόλου εἶναι τὸ δρᾶμα, οὗ κατελύετο τῇ διδασκαλίᾳ ἡ βασιλεία. Οἶδα ἐγὼ τὸν Ἰωάννην ἓξ καθελόντα ἀξίως, ὡς
5 *ὠνητὰς τῆς ἱερατικῆς ἀξίας, περὶ ὧν ἀνωτέρω εἶπον. Τίς ἐδάκρυσεν; Τίνος δὲ ῥῖνες ἔσταξαν αἷμα; Ποία ἀράχνη ἐσχίσθη; Τί δὲ τῆς οἰκίας αὐτοῦ ἐξῆλθεν; Τίς δὲ ὀβολὸν ἐζημιώθη; Ποῖος δὲ τῆς Ἀσίας ἀγύρτης ἢ δημιουργὸς ἢ γηπόνος ἢ σκυτοτόμος ἢ δημότης οὐκ ἠσμένισεν τὸ γεγενημέ-*
10 *νον ἐπὶ ἐκδικίᾳ τῶν ἱερῶν νόμων, ἐπευφημῶν, "Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε; Πάντα ἐν σοφίᾳ ἐποίησας"; (ὅπου γὰρ Θεὸς ἐργάζεται, πάντα γίνεται ἐν σοφίᾳ· ὅπου δὲ ὁμισόκαλος δαίμων, ὁμοίως ἅπαντα ἐν ἀσοφίᾳ. Παρακολουθεῖ δὲ τῇ ἀσοφίᾳ ἀλλόκοτα πράγματα· φθόνοι, φόνοι, ἔρις, ζῆλος,*
15 *θυμοί, ἐριθεῖαι, διχοστασίαι, κτύποι, κλωσμὸς ἀπαιδεύτων, ἐξουσιῶν ζέσις, ἴκρια, ξεσμοί, λαμπάδες, κρουνοὶ αἱμάτων, ἀφόρητοι ζημίαι, δημεύσεις, λύσεις δεσμῶν θείων, καταφρονήσεις νόμων, ἀθετήσεις σωφροσύνης, οἰκουμένης σχίσμα, παραφυλακαὶ γῆς καὶ θαλάσσης, ναυτικαί, ἱππικαί, πεζικαὶ*
20 *μηχαναὶ εἰς ἐμποδισμὸν τῶν διὰ τὴν ἀλήθειαν ἐκδημούντων).*

Πῶς τοίνυν τολμῶσι λέγειν· "Θεοῦ οἰκονομίᾳ ἐκβέβληται ὁ Ἰωάννης"; Εἰπάτωσαν δέ μοι οἱ ἐξηχοῦντες ταῦτα· "Ἠπόρει ἡ παντοδύναμος τοῦ Θεοῦ σοφία, ὡς προέφην, ἀοράτῳ δυνάμει παῦσαι τὸν Ἰωάννην ἀνάξιον ὄντα ἢ πεῖσαι τοὺς
25 *ἀμφισβητοῦντας αὐτοῦ δίχα πολλῆς ἀνάγκης ἀρχόντων ἀπαθῶς φέρειν τὸ πρᾶγμα; Εἰ γὰρ ὁ αὐτὸς Θεός ἐστιν ὁ τῷ Μωϋσεῖ συνεργήσας εἰς ἐλευθερίαν τοῦ Ἰσραὴλ καὶ ὑπακοήν, τοῦ Φαραὼ ἀναφανδὸν βοῶντος, 'Οὐκ οἶδα τὸν Θεόν, καὶ τὸν Ἰσραὴλ οὐκ ἐξαποστελῶ', πῶς τοίνυν βοηθείας δεδέηται ἐπί*
30 *Ἰωάννου τῆς τῶν ἐπιγείων ἀρχόντων, ὡς γηράσας ἢ ὡς ἀτονήσας ἢ ὡς ἀπορήσας; Εἶτα ὁ τὰς μοιχείας τινῶν καὶ τὰς παιδεραστίας ἑτέρων καὶ γοητείας ἄλλων δημοσιεύσας, ἠπόρησεν ἔτι διελέγξαι τὸν Ἰωάννην; Ἢ ἀνάπαλιν, ὁ τοῦδε τὴν γλῶσσαν συνάγχῃ ὀγκώσας μετ' ἐξομολογήσεως ἐγγράφου καὶ*
35 *τὸν ἄλλον κλιμακτῆρι περιπεσεῖν συγχωρήσας θανατηφόρῳ ἢ*

69. Ψαλμ. 103, 24.

70. Ἐξ. 5, 2.

'Αφοῦ ὅμως ἀκολούθησαν τόσο πολλά ἔργα ἀνάξια τοῦ Σωτήρα (καί αὐτός δέν καθαιρέθηκε, ἀλλ' ἐξορίσθηκε) εἶναι ὁλοφάνερο πώς ἡ σκηνοθεσία εἶναι τοῦ διαβόλου, πού μέ τή διδασκαλία τοῦ 'Ιωάννη διαλυόταν ἡ βασιλεία του. Ξέρω ἐγώ ὅτι ὁ 'Ιωάννης καθαίρεσε δίκαια ἕξι ἐπισκόπους, σάν ἀγοραστές τοῦ ἱερατικοῦ ἀξιώματος, γιά τούς ὁποίους εἶπα προηγουμένως. Ποιός δάκρυσε; τίνος οἱ μύτες ἔσταξαν αἷμα; ποιά ἀράχνη σχίσθηκε; καί ποιός βγῆκε ἔξω ἀπό τό σπίτι του; καί ποιός πλήρωσε ἕναν ὀβολό; Ποιός ἀγύρτης τῆς 'Ασίας ἤ τεχνίτης ἤ γεωργός ἤ σκυτοτόμος ἤ πολίτης δέ χάρηκε αὐτό πού ἔγινε μέ παράβαση τῶν ἱερῶν νόμων, ἐπευφημώντας, «Πόσο μεγάλα εἶναι τά ἔργα σου, Κύριε! ὅλα τά ἔκανες μέ σοφία»[69]; (γιατί ὅπου ἐργάζεται ὁ Θεός, ὅλα γίνονται μέ σοφία, ἐνῶ ὅπου ἐργάζεται ὁ δαίμονας πού μισεῖ τό καλό, ὅμοια γίνονται ὅλα χωρίς σοφία. Καί ἀκολουθοῦν στήν ἔλλειψη σοφίας ἀλλόκοτα πράγματα· φθόνοι, φόνοι, φιλονικία, ζῆλος, θυμοί, φατρίες, διαφωνίες, θόρυβοι, φωνές ἀπαίδευτων, ἐπιθυμία ἐξουσιῶν, ἰκριώματα, γδαρσίματα τοῦ σώματος, λαμπάδες, ποταμοί αἱμάτων, ἀνυπόφορες τιμωρίες, δημεύσεις περιουσιῶν, καταλύσεις θείων θεσμῶν, περιφρονήσεις νόμων, παραβιάσεις τῆς ἐγκράτειας, σχίσμα τῆς οἰκουμένης, φρουρές στή γῆ καί στή θάλασσα, ναυτικές, ἱππικές, πεζικές ἐπινοήσεις γιά νά ἐμποδίσουν αὐτούς πού πεθαίνουν γιά τήν ἀλήθεια).

Πῶς λοιπόν τολμοῦν νά λέγουν, «Μέ τήν οἰκονομία τοῦ Θεοῦ ἔχει ἐξορισθεῖ ὁ 'Ιωάννης»; Ἄς μοῦ ποῦν ὅμως ὅσοι φωνάζουν αὐτά· «Δέν μποροῦσε ἡ παντοδύναμη σοφία τοῦ Θεοῦ (ὅπως εἶπα προηγουμένως) μέ ἀόρατη δύναμη νά σταματήσει τόν 'Ιωάννη, ἐάν ἦταν ἀνάξιος, ἤ νά πείσει ὅσους διαφωνοῦσαν μαζί του χωρίς πολύ ἐξαναγκασμό τῶν ἀρχόντων νά ὑποφέρουν χωρίς πάθος τό πράγμα αὐτό; 'Εάν πράγματι εἶναι ὁ ἴδιος ὁ Θεός πού βοήθησε τό Μωυσῆ στήν ἀπελευθέρωση καί ὑπακοή τοῦ 'Ισραήλ, ὅταν ὁ Φαραώ ὁλοφάνερα φώναζε δυνατά, 'Δέ γνωρίζω τό Θεό καί δέ θ' ἀφήσω ἐλεύθερο τό 'Ισραήλ'[70], πῶς λοιπόν στήν περίπτωση τοῦ 'Ιωάννη ἔχει ἀνάγκη ἀπό τή βοήθεια τῶν ἐπίγειων ἀρχόντων, σάν νά γέρασε ἤ σάν νά μήν ἔχει δυνάμεις ἤ σάν νά μήν μπορεῖ; Ἔπειτα ἐκεῖνος πού φανέρωσε τίς μοιχεῖες μερικῶν καί τίς παιδεραστίες ἄλλων καί τίς μαγεῖες ἄλλων, δέν ἔχει τόν τρόπο πιά νά ἐλέγξει τόν 'Ιωάννη; Ἤ ἀντίθετα, ἐκεῖνος πού μέ συνάχι ἐξόγκωσε τή γλώσσα τοῦ ἑνός καί ἔκαμε γραπτή ἐξομολόγηση καί ἄφησε τόν

ταριχεύσας τόνδε μετὰ γενέσεως σκωλήκων ἄφωνον· ἐπὶ κλίνης ἐνιαυτὸν παρ' ὀλίγον ὅλον ἢ ὁ τὰς ἀπηρημένας ἐκδειματώσεις ἐπαγαγὼν ἑτέρῳ μετὰ τῆς συντρόφου ποδάγρας ἢ ὁ τὰ σκέλη πρήσας οὗ ἐβουλήθη ἢ ὁ τόνδε δυσώδει
5 *θανάτῳ ἀναρπάσας θᾶττον, ὃν ἴσασι πάντες, ἠτόνησεν ἐπὶ Ἰωάννου, ὥς φατε, ἱεροσύλου ὄντος, ἕν τι τούτων ἐνεργῆσαι, ἀλλ' ἐδεήθη τοῦ·καὶ τοῦ, ἵνα ἀτιμάσας ἐξώσῃ τὸν Ἰωάννην, πλέον αὐτὸν ἐκ τούτου δοξάσας;"*

Ἀπατῶνται τοίνυν μὴ τὴν ἐντολὴν τοῦ λόγου εἰδότες.
10 *Ἱερόσυλος γὰρ κυρίως οὐχ ὁ χρυσὸν ἢ ἄργυρον ἢ τὰ σηρῶν νήματα, σητῶν βρώματα, πτωχοῖς διανείμας, ἀλλ' ὁ ἀργυρίῳ καὶ κολακείᾳ καὶ τραπέζῃ ἀπεμπολῶν τὰ δόγματα καὶ τοὺς θεσμοὺς τοῦ Σωτῆρος· ἔπειτα ὀλυμαινόμενος ἱερὸν ἄνδρα, βίῳ καὶ λόγῳ κεκοσμημένον, δι' οὗ ὁ Σωτήρ, ὡς διὰ κρατῆρος*
15 *ἢ κειμηλίου, ἐλογοπότει τοῖς ἐρασταῖς τοῦ λόγου τὰ πρόσφορα τῆς σωτηρίας. Λεγέσθωσαν τοίνυν ἱερόσυλοι οὗτοι, οἱ συλαγωγήσαντες τὴν ἀποστολικὴν ἐκκλησίαν, τοιούτων στερήσαντες διδασκάλων καὶ πωλοῦντες ἀργυρίῳ τὰς χειροτονίας, οὓς ἤδη μετελεύσεται ἡ θεία δίκη εἰς ἐπανόρθωσιν τῆς αὐτῶν*
20 *κακοπραγίας. Εἰ γὰρ οἱ τὸν Μωϋσέως παραχαράξαντες νόμον διὰ τῆς ἄγαν ἀπροσεξίας φραγελλίῳ ἐκβέβληνται τοῦ νεὼ ὑπὸ τοῦ Σωτῆρος, καὶ τοῦτο σχοινίου, ὡς ἔνδον τὰς περιστερὰς πωλοῦντες, τί πείσονται ἄρα οἱ καπηλεύοντες τῆς Νέας Διαθήκης τὴν ἱερατείαν, ἢ τὸ "ῥάβδῳ σιδηρᾷ" συντριβῆναι*
25 *ὑπὸ τοῦ ἀρχιποίμενος, καθὼς ὁ ἀπόστολος λέγει· "Ἀθετήσας τις νόμον Μωϋσέως χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει», πόσῳ, δοκεῖτε, χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος ἐν ᾧ ἡγιάσθη, καὶ τὸ πνεῦμα τῆς*
30 *χάριτος ἐνυβρίσας; Οἴδαμεν γὰρ τὸν εἰπόντα· "Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος". "Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος".*

---

71. Ὁ Παλλάδιος ἴσως ἀναφέρεται στό Ἐξ. 19, 30 καί 26, 2.

72. Βλ. Ἰω. 2, 13-16.

73. Ἀποκ. 19, 15.

74. Ἑβρ. 10, 28-31.

ἄλλο νά πέσει σέ θανατηφόρο σκαλοπάτι ἤ διατήρησε αὐτόν μαζί μέ τή δημιουργία σκουληκιῶν ἄφωνο στό κρεβάτι του σχεδόν ἕναν ὁλόκληρο χρόνο ἤ ἐκεῖνος πού προκάλεσε στόν ἄλλο τρομακτικές κραυγές μαζί μέ τήν ποδάγρα πού τίς συνοδεύει ἤ ἐκεῖνος πού ἔπρηξε τά πόδια αὐτοῦ πού θέλησε ἤ ἐκεῖνος πού ἄρπαξε γρηγορότερα αὐτόν μέ βρωμερό θάνατο, πού γνωρίζουν ὅλοι, ἔχασε τή δύναμή του στήν περίπτωση τοῦ 'Ιωάννη (ὅπως λέγετε), ἄν καί ἦταν ἱερόσυλος, νά πράξει κάτι ἀπ' αὐτά, ἀλλά χρειάσθηκε αὐτόν καί αὐτόν γιά νά ἐξορίσει τόν 'Ιωάννη ἀφοῦ τόν ἀτίμασε, δοξάζοντάς τον περισσότερο ἀπ' αὐτό;».

'Απατῶνται λοιπόν, ἐπειδή δέ γνωρίζουν τήν ἐντολή τοῦ λόγου. Γιατί ἱερόσυλος κυρίως δέν εἶναι ἐκεῖνος πού μοίρασε στούς φτωχωούς χρυσάφι ἤ ἀσήμι ἤ τά μεταξωτά νήματα, τίς τροφές τῶν σκόρων, ἀλλ' ἐκεῖνος πού μέ χρήματα καί κολακεῖες καί τραπέζια πουλεῖ τίς διδασκαλίες καί τούς θεσμούς τοῦ Σωτήρα· ἔπειτα ἐκεῖνος πού κακοποιεῖ ἱερό ἄνδρα, στολισμένο μ' ἐνάρετη ζωή καί λόγο, μέ τόν ὁποῖο ὁ Σωτήρας, σάν μέ κρατήρα ἤ κύπελλο, πότιζε σ' ἐκείνους πού ἀγαποῦσαν τό κήρυγμα τά χρήσιμα γιά τή σωτηρία τους. Ἄς λέγονται λοιπόν ἱερόσυλοι αὐτοί, οἱ ὁποῖοι λεηλάτησαν τήν ἀποστολική ἐκκλησία, ἀφοῦ τῆς στέρησαν τέτοιους διδασκάλους καί πουλοῦν μέ χρήματα τίς χειροτονίες, τούς ὁποίους τώρα θά τιμωρήσει ἡ θεία δίκη γιά ἐπανόρθωση τῆς κακῆς τους πράξης. 'Εάν λοιπόν ἐκεῖνοι, πού παραποίησαν τό Μωσαϊκό νόμο[71] μέ τήν ὑπερβολική τους ἀπερισκεψία, διώχθηκαν ἀπό τό Σωτήρα, μέσα ἀπό τό ναό μέ μαστίγιο, πού ἦταν ἀπό σχοινί, ἐπειδή πουλοῦσαν μέσα στό ναό τά περιστέρια[72], τί θά πάθουν ἐπομένως ἐκεῖνοι πού ἐκμεταλλεύονται τήν ἱερωσύνη τῆς Νέας Διαθήκης, παρά νά συντριβοῦν «μέ σιδερένιο ραβδί»[73] ἀπό τόν ἀρχιποιμένα; καθώς ὁ ἀπόστολος λέγει· «Ὅταν κανείς παραβεῖ τό Μωσαϊκό νόμο μπροστά σέ δύο ἤ τρεῖς μάρτυρες, αὐτός θανατώνεται χωρίς ἐπιείκεια. Μέ πόσο χειρότερη τιμωρία, νομίζετε, θά τιμωρηθεῖ ἐκεῖνος πού περιφρόνησε τόν Υἱό τοῦ Θεοῦ καί θεώρησε σάν συνηθισμένο τό αἷμα τῆς Νέας Διαθήκης, μέ τό ὁποῖο καί ὁ ἴδιος ἁγιάσθηκε, καί πρόσβαλε τό Πνεῦμα τῆς χάρης; Γιατί γνωρίζουμε αὐτόν πού εἶπε· 'Δικό μου δικαίωμα εἶναι ἡ ἐκδίκηση, ἐγώ θά κάμω τήν ἀνταπόδοση', λέγει Κύριος'. Καί εἶναι φοβερό νά πέσει κανείς στά χέρια τοῦ Θεοῦ πού ζεῖ πάντοτε»[74].

Ὁ δὲ τὸν ὅσιον τοῦτον καὶ ἅγιον ποιμένα καὶ τῆς δικαιοσύνης φωστῆρα δοξάσας Θεός, δῴη ἡμῖν μέρος καὶ κλῆρον εὑρεῖν σὺν αὐτῷ ἐν τῇ φοβερᾷ αὐτοῦ τῆς δικαιοκρισίας ἡμέρᾳ· ᾧ πρέπει δόξα, τιμή, μεγαλωσύνη, καὶ μεγαλο- 5 *πρέπεια τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

ΔΙΑΛΟΓΟΣ ΙΣΤΟΡΙΚΟΣ
ΠΑΛΛΑΔΙΟΥ, ΕΠΙΣΚΟΠΟΥ ΕΛΕΝΟΥΠΟΛΕΩΣ,
ΠΡΟΣ ΘΕΟΔΩΡΟΝ, ΔΙΑΚΟΝΟΝ ΡΩΜΗΣ,
ΠΕΡΙ ΒΙΟΥ ΚΑΙ ΠΟΛΙΤΕΙΑΣ
ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΚΑΙ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
ΓΕΝΟΜΕΝΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ,
ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ,
ΤΕΤΕΛΕΣΤΑΙ.

῾Ο Θεός ὅμως πού δόξασε τόν ὅσιο αὐτόν καί ἅγιο ποιμένα καί διδάσκαλο τῆς δικαιοσύνης, εἴθε νά δώσει σέ μᾶς νά βροῦμε μέρος καί κλῆρο μαζί μ᾽ αὐτόν κατά τή φοβερή ἡμέρα τῆς δίκαιας κρίσης του. Στό Θεό ἀνήκει ἡ δόξα, ἡ τιμή ἡ μεγαλωσύνη καί ἡ μεγαλοπρέπεια στόν Πατέρα καί τόν Υἱό καί τό ῞Αγιο Πνεῦμα, τώρα καί πάντοτε, καί στούς αἰῶνες τῶν αἰώνων. ᾿Αμήν.

Ο ΙΣΤΟΡΙΚΟΣ ΔΙΑΛΟΓΟΣ
ΤΟΥ ΠΑΛΛΑΔΙΟΥ, ΕΠΙΣΚΟΠΟΥ ΕΛΕΝΟΥΠΟΛΕΩΣ
ΠΡΟΣ ΘΕΟΔΩΡΟ, ΔΙΑΚΟΝΟ ΡΩΜΗΣ
ΠΕΡΙ ΒΙΟΥ ΚΑΙ ΠΟΛΙΤΕΙΑΣ
ΤΟΥ ΑΓΙΟΥ ΠΑΤΕΡΑ ΜΑΣ
ΚΑΙ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ
ΙΩΑΝΝΗ ΧΡΥΣΟΣΤΟΜΟΥ
ΕΧΕΙ ΤΕΛΕΙΩΣΕΙ

ΠΕΡΙ

ΤΗΣ ΑΣΑΦΕΙΑΣ ΤΩΝ ΠΡΟΦΗΤΕΙΩΝ

ΑΠΟΔΕΙΞΙΣ ΤΟΥ ΧΡΗΣΙΜΩΣ ΤΑΣ ΠΕΡΙ ΧΡΙΣΤΟΥ ΚΑΙ ΕΘΝΩΝ ΚΑΙ ΤΗΣ ΕΚΠΤΩΣΕΩΣ ΙΟΥΔΑΙΩΝ ΠΡΟΦΗΤΕΙΑΣ ΑΣΑΦΕΙΣ ΕΙΝΑΙ

ΟΜΙΛΙΑ Α

1. Προφητικὴν σήμερον ὑμῖν παραθεῖναι βούλομαι τράπεζαν καὶ πρὸς τὸ πέλαγος τῆς Ἡσαΐου σοφίας ἐπαφεῖναι τὸν λόγον παρασκευάζομαι. Ἀλλὰ τί πάθω; Ὀκνῶ καὶ δέδοικα, μή ποτε τὸν λιμένα ἐξελθόντες, καὶ πρὸς τὸ βάθος καταντή-
5 σαντες τῶν προφητικῶν νοημάτων, ἰλιγγιάσωμεν, ὅπερ πάσχουσιν οἱ τῶν πλωτήρων ἀήθεις. Καὶ γὰρ ἐκεῖνοι, ἐπειδὰν τὴν γῆν ἀφέντες ἐξ ἑκατέρου μέρους τῆς νηὸς πέλαγος ἴδωσι, καὶ οὐδὲν ἕτερον, ἀλλ' ἢ θάλατταν καὶ οὐρανόν, σκοτοδίνῳ κατέχονται, καὶ περιφέρεσθαι τὸ πλοῖον αὐτοῖς κύκλῳ νομί-
10 ζουσι μετὰ τῆς θαλάττης. Ἀλλ' οὐ παρὰ τὴν φύσιν τῆς θαλάττης, ἀλλὰ παρὰ τὴν ἀπειρίαν τῶν πλεόντων οἱ ἴλιγγοι γίνονται· ἕτεροι γοῦν τῶν ναυτῶν γυμνοῖς τοῖς σώμασι κυβιστῶσι κατὰ τῶν κυμάτων, καὶ οὐδὲν πάσχουσι τοιοῦτον, ἀλλὰ πρὸς τὸ βάθος καταβάντες αὐτὸ, τῶν ἐν ἐδάφει
15 διαιτωμένων ἀσφαλέστερον διατρίβουσι, καὶ τῷ στόματι, καὶ τοῖς ὀφθαλμοῖς, καὶ παντί τῷ σώματι δεχόμενοι τὴν ἅλμην, οὐ δυσχεραίνουσι.

Τοσοῦτόν ἐστι μελέτη καλόν, τοιοῦτόν ἐστιν ἀπειρία κακόν· οὕτως αὕτη καὶ τῶν φοβερῶν καταφρονεῖν πείθει,
20 ἐκείνη δὲ καὶ τὰ ἀσφαλῆ ὑποπτεύειν καὶ δεδοικέναι παρασκευάζει. Οἱ μὲν γὰρ ἐφ' ὑψηλῶν τῶν ἰκρίων καθήμενοι τῆς νηός, καὶ πρὸς τὴν θέαν ἰλιγγιῶσιν, οἱ δὲ οὐδὲ ἐν μέσοις θορυβοῦνται τοῖς κύμασι. Τοῦτο καὶ ἐπὶ τῆς διανοίας γίνεται τῆς ἡμετέρας· καὶ γὰρ καὶ ταύτην πολλάκις καταλαμβάνει

ΑΠΟΔΕΙΞΗ ΟΤΙ ΣΚΟΠΙΜΑ ΕΙΝΑΙ ΑΣΑΦΕΙΣ ΟΙ ΠΡΟΦΗΤΕΙΕΣ ΠΟΥ ΑΝΑΦΕΡΟΝΤΑΙ ΣΤΟ ΧΡΙΣΤΟ ΚΑΙ ΤΑ ΕΘΝΗ ΚΑΙ ΤΗΝ ΕΚΠΤΩΣΗ ΤΩΝ ΙΟΥΔΑΙΩΝ

ΟΜΙΛΙΑ Α΄

1. Θέλω νά σᾶς παραθέσω σήμερα προφητικό τραπέζι καί ἑτοιμάζομαι ν' ἀφήσω τό λόγο στό πέλαγος τῆς σοφίας τοῦ 'Ησαΐα. 'Αλλά τί νά κάνω; Διστάζω καί φοβᾶμαι, μήπως κάποτε, ὅταν βγοῦμε ἀπό τό λιμάνι καί φθάσουμε στό βάθος τῶν προφητικῶν νοημάτων, μᾶς πιάσει ὁ ἴλιγγος, πράγμα πού παθαίνουν οἱ ἀσυνήθιστοι στά ταξίδια μέ πλοῖο. Γιατί καί αὐτοί, ὅταν ἀφήσουν τήν ξηρά καί ἀπό κάθε πλευρά τοῦ πλοίου δοῦν θάλασσα, καί τίποτε ἄλλο, τούς πιάνει ὁ ἴλιγγος καί νομίζουν πώς τό πλοῖο γυρίζει γύρω ἀπ' αὐτούς μαζί μέ τή θάλασσα. Ὅμως οἱ ἴλιγγοι δέ γίνονται ἀπό τή φύση τῆς θάλασσας, ἀλλά ἀπό τήν ἔλλειψη πείρας αὐτῶν πού ταξιδεύουν. Βέβαια, ἄλλοι ναῦτες μέ γυμνά τά σώματά τους ἐκτελοῦν ἀκροβατικά γυμνάσματα μέσα στά κύματα, καί δέν παθαίνουν τίποτε τέτοιο, ἀλλά κατεβαίνουν σέ μεγάλο βάθος καί ζοῦν μέ μεγαλύτερη ἀσφάλεια ἀπ' αὐτούς πού μένουν στήν ξηρά, καί μολονότι δέχονται τήν ἁρμύρα μέ τό στόμα καί μέ τά μάτια καί μ' ὅλο τό σῶμα τους, δέ δυσανασχετοῦν καθόλου.

Τόσο μεγάλο καλό εἶναι ἡ ἄσκηση καί τόσο κακό ἡ ἔλλειψη πείρας. Ἔτσι ἡ ἄσκηση σέ πείθει νά περιφρονεῖς καί τά φοβερά πράγματα, ἐνῶ ἡ ἔλλειψη πείρας σέ κάνει νά ὑποπτεύεσαι καί νά φοβᾶσαι καί τά πιό ἀκίνδυνα. Γιατί οἱ ἄπειροι, καί ἄν ἀκόμη κάθονται στά ψηλά καθίσματα τοῦ καταστρώματος τοῦ πλοίου, παθαίνουν ἴλιγγο καί μόνο ὅταν κυττάξουν τή θάλασσα, ἐνῶ οἱ ἔμπειροι δέν τά χάνουν οὔτε καί ὅταν βρεθοῦν ἀνάμεσα στά κύματα. Αὐτό γίνεται καί στή δική μας ψυχή. Γιατί καί αὐτήν πολλές φορές τήν κυριεύουν τά

κύματα παθῶν τῶν θαλαττίων ἀγριώτερα, οἷον ζάλη θυμοῦ κάτωθεν στρέφουσα τὴν καρδίαν, πνεύματα ἐπιθυμίας πονηρᾶς πολλὴν ἐμποιοῦντα τῇ διανοίᾳ τὴν σύγχυσιν. Ἀλλ' ὁ μὲν ἄπειρος καὶ ἀμελέτητος, ἀρχομένου τοῦ χειμῶνος τῆς ὀργῆς,
5 *εὐθέως θορυβεῖται, ταράττεται, κλονεῖται, περιορᾷ γινομένην ὑποβρύχιον τὴν ψυχὴν ὑπὸ τῶν παθῶν, καὶ ναυάγιον ὑπομένουσαν, ὁ δὲ ἔμπειρος καὶ μεμελετηκὼς τὰ τοιαῦτα φέρειν γενναίως, καθάπερ κυβερνήτην ἐπὶ τῶν οἰάκων, οὕτω τὸν λογισμὸν ἐπάνω τῶν παθῶν καθίσας, οὐ πρότερον ἀφίσταται*
10 *πάντα ποιῶν, ἕως ἂν κατευθύνῃ τὸ σκάφος πρὸς τὸν εὔδιον τῆς φιλοσοφίας λιμένα.*

Ὅπερ οὖν ἐπὶ τῆς θαλάττης γίνεται, καὶ ἐπὶ τῆς διανοίας συμβαίνει, τοῦτο καὶ ἐν τῇ ἐξηγήσει τῶν Γραφῶν συμπίπτει· ἀνάγκη θορυβεῖσθαι, ταράττεσθαι, ἐπειδὰν ἐξέλθωμεν εἰς τὸ
15 *πέλαγος, οὐκ ἐπειδὴ τὸ πέλαγος φοβερόν, ἀλλ' ἐπειδὴ ἡμεῖς οἱ πλέοντες ἄπειροι. Ὅτι γάρ ἐστιν, εὔκολον φύσει λόγον ὄντα, δύσκολον γενέσθαι παρὰ τὴν ἀπειρίαν τῶν ἀκουόντων, Παῦλον ὑμῖν παραστήσομαι μάρτυρα. Εἰπὼν γὰρ ὅτι Χριστὸς ἐγένετο ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ, καὶ ζητῶν τίς*
20 *ἐστιν ὁ Μελχισεδέκ, ἐπήγαγε· "Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος". Τί λέγεις, ὦ μακάριε Παῦλε; Δυσερμήνευτος σοὶ τῷ πνευματικὴν ἔχοντι σοφίαν, τῷ τὰ ἀπόῤῥητα ῥήματα ἀκούσαντι, τῷ πρὸς τρίτον ἁρπαγέντι οὐρανόν; Εἰ σοὶ δυσερμήνευτος, τίνι καταληπτός; Ἐμοί, φησί, δυσερμήνευτος, οὐ*
25 *παρὰ τὴν οἰκείαν δυσκολίαν, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τῶν ἀκουόντων. Εἰπὼν γάρ, "Δυσερμήνευτος", ἐπήγαγεν· "Ἐπειδὴ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς". Ὁρᾷς ὅτι οὐχ ἡ φύσις τοῦ λόγου, ἀλλ' ἡ ἀπειρία τῶν ἀκουόντων δύσκολον τὸν οὐ δύσκολον ἐποίησεν;*

30 *Οὐ μόνον δὲ δύσκολον, ἀλλὰ καὶ πολὺν ποιεῖ τὸν βραχὺν ἡ αὐτὴ αἰτία· διόπερ οὐχὶ δυσερμήνευτον ἔφησεν εἶναι μόνον, ἀλλὰ καὶ πολύν, καὶ τοῦ μήκους, καὶ τῆς δυσκολίας ἀναθεὶς τὴν αἰτίαν τῇ νωθρότητι τῆς ἀκοῆς. Καθάπερ γὰρ ἐπὶ τῶν ἀῤῥωστούντων οὐκ ἀναγκαῖον σύντομον καὶ ἐσχεδιασμένην*
35 *παραθεῖναι τράπεζαν, ἀλλὰ δεῖ παρασκευάσαι τὰ σιτία διάφορα, ἵνα ἂν τοῦτο ὁ κάμνων μὴ βοληθῇ μεταλαβεῖν, τὸ*

---

1. Ἑβρ. 5, 11. 2. Βλ. Β΄ Κορ. 12, 1-10.

κύματα τῶν παθῶν, πού εἶναι πιό ἄγρια ἀπό τά θαλασσινά, ὅπως ἡ ζάλη τῆς ὀργῆς πού κάνει ἄνω κάτω τήν καρδιά, οἱ ἄνεμοι τῆς πονηρῆς ἐπιθυμίας πού προκαλοῦν μεγάλη σύγχυση στό νοῦ. Ἀλλ᾿ ὁ ἄπειρος καί ἐκεῖνος πού δέν εἶναι ἐξασκημένος ὅταν ἀρχίζει ἡ τρικυμία τῆς ὀργῆς, ἀμέσως τά χάνει, ταράζεται, συγκλονίζεται, ἀνέχεται νά καταποντίζεται ἡ ψυχή του ἀπό τά πάθη καί νά ὑπομένει τό βύθισμά της, ἐνῶ ὁ ἔμπειρος καί ἐξασκημένος ὑπομένει τά παρόμοια μέ γενναιότητα, καί ἀφοῦ βάλει τή σκέψη του ἐπάνω στά πάθη, ὅπως εἶναι ὁ κυβερνήτης ἐπάνω στό τιμόνι, δέ σταματᾶ νά κάνει τά πάντα, προτοῦ νά ὁδηγήσει τό σκάφος στό ἥσυχο λιμάνι τῆς πίστης.

Αὐτό λοιπόν πού γίνεται στή θάλασσα καί στήν ψυχή μας, τό ἴδιο ἀκριβῶς συμβαίνει καί στήν ἑρμηνεία τῶν Γραφῶν. Ἀναγκαστικά τά χάνουμε, ταραζόμαστε, ὅταν βγοῦμε στό πέλαγος, ὄχι γιατί τό πέλαγος εἶναι φοβερό, ἀλλά γιατί ἐμεῖς πού ταξιδεύουμε εἴμαστε ἄπειροι. Ὅτι λοιπόν εἶναι δυνατό, ἐνῶ ἀπό τή φύση του ὁ λόγος εἶναι εὔκολος, νά γίνει δύσκολος ἀπό τήν ἀπειρία τῶν ἀκροατῶν, θά σᾶς παρουσιάσω μάρτυρα τόν Παῦλο. Γιατί, ἀφοῦ εἶπε ὅτι ὁ Χριστός ἔγινε ἀρχιερέας σύμφωνα μέ τήν τάξη Μελχισεδέκ καί προσπαθοῦσε νά ἐξηγήσει ποιός εἶναι ὁ Μελχισεδέκ, πρόσθεσε· «Γι᾿ αὐτόν μποροῦμε νά ποῦμε πολλά, πού δύσκολα ἑρμηνεύονται»[1]. Τί λές, μακάριε Παῦλε; Εἶναι δύσκολα νά ἑρμηνευθοῦν ἀπό σένα πού ἔχεις πνευματική σοφία, πού ἄκουσες τά ἀπόρρητα λόγια, πού ἀνέβηκες στόν τρίτο οὐρανό[2]; Ἐάν σέ σένα εἶναι δυσκολοκατανόητος, σέ ποιόν εἶναι κατανοητός; Ἀπό μένα, λέγει, εἶναι δύσκολο νά ἑρμηνευθεῖ, ὄχι ἀπό δική του δυσκολία, ἀλλά ἀπό τήν ἀδυναμία τῶν ἀκροατῶν. Γιατί, ἀφοῦ εἶπε, «Εἶναι δύσκολο νά ἑρμηνευθοῦν», πρόσθεσε· «Γιατί ἔχετε γίνει βραδυκίνητοι στό νά ἀκοῦτε μέ τά αὐτιά τῆς ψυχῆς σας». Βλέπεις ὅτι ὄχι ἡ φύση τοῦ λόγου, ἀλλ᾿ ἡ ἀπειρία τῶν ἀκροατῶν ἔκαμε δύσκολο τό λόγο πού ὅμως δέν ἦταν δύσκολος;

Καί ὄχι μόνο δύσκολο, ἀλλά καί μακραίνει τό μικρό λόγο ἡ ἴδια αἰτία. Γι᾿ αὐτό ἀκριβῶς δέν εἶπε μόνο ὅτι δύσκολα ἑρμηνεύονται, ἀλλά καί ὅτι θά πεῖ *πολλά*, δικαιολογώντας καί τά πολλά λόγια καί τή δυσκολία τους ἀπό τήν ἀδιαφορία τῶν ἀκροατῶν. Γιατί, ὅπως ἀκριβῶς στούς ἄρρωστους δέν εἶναι ἀπαραίτητο νά τούς παραθέσουμε τραπέζι μέ λίγα καί ἀκατάλληλα φαγητά, ἀλλά πρέπει νά τούς ἑτοιμάσουμε διαφορετικά φαγητά, ὥστε, ἄν κάποιο δέ θελήσει νά τό φάγει ὁ ἄρρωστος, νά πάρει τό ἄλλο, καί ἄν καί αὐτό δέν τό ἀγγίξει, νά φάγει

ἕτερον λάβῃ· κἂν ἐκεῖνο μὴ προσίηται, τὸ ἄλλο δέξηται· κἂν τοῦτο διακρούσηται, ἐπιλάβηται θατέρου, καὶ τῇ ποικιλίᾳ τῶν βρωμάτων τὴν δυσκολίαν νικήσωμεν, καὶ τῷ πολυτρόπῳ τῆς τραπέζης τὸ δυσάρεστον τῆς γνώμης θεραπεύσωμεν, οὕτω πολλάκις καὶ ἐπὶ τῆς πνευματικῆς ἑστιάσεως χρὴ ποιεῖν. Ὅταν ἀσθενεῖς ὦμεν, πολὺν παρασκευάσασθαι χρὴ τὸν λόγον καὶ ποικίλον, παραβολὰς καὶ παραδείγματα ἔχοντα, κατασκευάς, καὶ περιόδους, καὶ ἕτερα πολλὰ τοιαῦτα, ἵνα ἐκ πάντων ῥᾳδία γένηται ἡμῖν τῶν συμφερόντων ἡ αἵρεσις. Πλὴν ἀλλ' εἰ καὶ πολὺς ὁλόγος καὶ δυσερμήνευτος, οὐκ ἀπεστέρησεν αὐτοὺς τῆς διδασκαλίας τοῦ Μελχισεδέκ· τῷ μὲν γὰρ εἰπεῖν, "Πολὺς καὶ δυσερμήνευτος", ἀναστήσας αὐτῶν τὴν σπουδήν, ἵνα προθυμότεροι γένωνται περὶ τὴν ἀκρόασιν, τῷ δὲ παρασχεῖν τὴν τράπεζαν, χαρισάμενος αὐτῶν τῇ ἐπιθυμίᾳ.

2. Τοῦτο δὲ καὶ ἡμεῖς ποιήσωμεν· εἰ καὶ ἄπειρον τὸ πέλαγος τῶν προφητῶν, καὶ πολλὰ ἐκεῖ τὰ βάθη, κατατολμήσωμεν τῆς θαλάττης κατὰ τὴν ἡμετέραν δύναμιν· μᾶλλον δὲ μὴ κατὰ τὴν ἡμετέραν δύναμιν, ἀλλὰ κατὰ τὴν ἄνωθεν δεδομένην ἡμῖν χάριν, οὐ διὰ τὴν ἡμετέραν παῤῥησίαν, ἀλλὰ διὰ τὴν ὑμετέραν ὠφέλειαν κατατολμήσωμεν τῆς θαλάττης, κἂν τούτῳ Παῦλον μιμούμενοι. Ὅτι γὰρ οὐκ ἀπεστέρησεν αὐτοὺς τοῦ λόγου τοῦ κατὰ τὸν Μελχισεδέκ, ἄκουσον τῶν ἑξῆς. Εἰπὼν γοῦν, "Περὶ οὗ πολὺς ὁ λόγος καὶ δυσερμήνευτος", ἐπήγαγεν· "Οὗτος γὰρ ὁ Μελχισεδέκ, βασιλεὺς δικαιοσύνης· ἔπειτα δὲ καὶ βασιλεὺς Σαλήμ, ὅ ἐστι βασιλεὺς εἰρήνης, ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων· ἀφωμοιωμένος δὲ τῷ Υἱῷ τοῦ Θεοῦ μένει ἱερεὺς εἰς τὸ διηνεκές". Ἆρα οὐκ ἐτάραξεν ὑμῶν τὰς ἀκοὰς περὶ ἀνθρώπου διαλεγόμενος ὁ Παῦλος καὶ λέγων, "Ἀπάτωρ, ἀμήτωρ";

Καὶ τί λέγω, περὶ ἀνθρώπου; Εἰ γὰρ περὶ τοῦ Χριστοῦ λέγοιτο τοῦτο, οὐκ ἂν πολλὴν καὶ οὕτως ἡμῖν παρέχοι ζήτησιν; Εἰ γὰρ ἀπάτωρ, πῶς Υἱός; εἰ ἀπάτωρ, πῶς Μονογενής; Ὁ γὰρ υἱὸς ὀφείλει πατέρα ἔχειν, ἐπεὶ οὐκ ἂν εἴη υἱός. Ἀλλὰ καὶ ἀπάτωρ ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ ἀμήτωρ. Πῶς; Ἀπάτωρ τὴν κάτω γέννησιν, ἀμήτωρ τὴν ἄνω· οὔτε γὰρ ἐπὶ γῆς ἔσχε πατέρα, οὔτε ἐν οὐρανῷ μητέρα. "Ἀγενεαλόγητος". Ἀκουέτωσαν οἱ τὴν οὐσίαν αὐτοῦ πολυπραγμονοῦντες· καίτοι τινὲς νομίζου-

3. Ἑβρ. 7, 1.2.3.

τό ἄλλο, καί ἄν καί αὐτό δέν τό πλησιάσει, νά πιάσει τό ἄλλο, γιά νά νικήσουμε τή δυσκολία μέ τήν ποικιλία τῶν φαγητῶν καί νά ἱκανοποιήσουμε τή δυσκολία στίς προτιμήσεις μέ τό πλούσιο τραπέζι, ἔτσι πρέπει νά κάνουμε πολλές φορές καί στό πνευματικό συμπόσιο. Ὅταν εἴμαστε ἀδύναμοι, πρέπει νά ἑτοιμάσουμε λόγο μεγάλο καί πολύμορφο, πού νά ἔχει παραβολές καί παραδείγματα, ἐπινοήσεις καί νοήματα, καί πολλά ἄλλα παρόμοια, γιά νά διαλέξουμε εὔκολα αὐτά πού μᾶς συμφέρουν. Ἀλλ᾽ ὅμως ἄν καί ὁ λόγος ἦταν μεγάλος καί δύσκολα ἑρμηνεύεται, δέν τούς στέρησε τή διδασκαλία γιά τό Μελχιδεδέκ. Γιατί μέ τό νά πεῖ, «Μεγάλος καί δύσκολα ἑρμηνευόμενος», τούς προκάλεσε τό ἐνδιαφέρον τους, γιά νά γίνουν πιό πρόθυμοι στήν ἀκρόαση τοῦ λόγου, ἐνῶ μέ τό νά παραθέσει τό τραπέζι, παραδόθηκε στήν ἐπιθυμία τους.

2. Αὐτό λοιπόν ἄς κάνουμε καί ἐμεῖς. Ἄν καί εἶναι ἄπειρο τό πέλαγος τῶν προφητῶν, καί ὑπάρχουν ἐκεῖ πολλά βάθη, ἄς τολμήσουμε νά πλησιάσουμε τή θάλασσα σύμφωνα μέ τή δική μας δύναμη, ἤ καλύτερα, ὄχι σύμφωνα μέ τή δική μας δύναμη, ἀλλά σύμφωνα μέ τή χάρη πού μᾶς δίνει ὁ Θεός, ἄς τολμήσουμε λοιπόν νά πλησιάσουμε τή θάλασσα, ὄχι γιά τό δικό μας θάρρος, ἀλλά γιά τή δική σας ὠφέλεια, καί νά μιμηθοῦμε τουλάχιστο σ᾽ αὐτό τόν Παῦλο. Ὅτι λοιπόν δέν τούς στέρησε τή διδασκαλία τή σχετική μέ τό Μελχισεδέκ, ἄκουσε καί τά ἑπόμενα. Ἀφοῦ εἶπε, «Γιά τόν ὁποῖο ἔχουμε νά ποῦμε πολλά, πού δύσκολα ἑρμηνεύονται», πρόσθεσε· «Γιατί αὐτός ὁ Μελχισεδέκ, εἶναι βασιλιάς τῆς δικαιοσύνης· καί ἔπειτα βασιλιάς Σαλήμ, πού σημαίνει βασιλιάς τῆς εἰρήνης, χωρίς πατέρα, χωρίς μητέρα, χωρίς γενεαλογία, σάν νά μήν ἔχει οὔτε ἀρχή οὔτε τέλος ζωῆς, ἀλλ᾽ ὅμοιος μέ τόν Υἱό τοῦ Θεοῦ μένει παντοτινά ἱερέας»[3]. Ἄραγε δέν τάραξε τά αὐτιά σας μιλώντας ὁ Παῦλος γιά ἄνθρωπο καί λέγοντας, «χωρίς πατέρα, χωρίς μητέρα»;

Γιατί λέγω, ὅταν μιλάει γιά ἄνθρωπο; Ἐάν γιά τό Χριστό λεγόταν αὐτό, δέ θά μᾶς ὁδηγοῦσε καί ἔτσι σέ μεγάλη ἔρευνα; Γιατί, ἐάν εἶναι χωρίς πατέρα, πῶς εἶναι Υἱός; ἐάν εἶναι χωρίς πατέρα, πῶς εἶναι Μονογενής; Γιατί ὁ υἱός πρέπει νά ἔχει πατέρα, ἐπειδή ἀλλιῶς δέ θά ἦταν υἱός. Ἀλλ᾽ ὁ Υἱός τοῦ Θεοῦ εἶναι καί χωρίς πατέρα, καί χωρίς μητέρα. Πῶς; Χωρίς πατέρα γεννήθηκε στή γῆ, χωρίς μητέρα στόν οὐρανό, γιατί δέν εἶχε οὔτε πατέρα ἐπάνω στή γῆ, οὔτε μητέρα ἐπάνω στόν οὐρανό. «Χωρίς γενεαλογία». Ἄς ἀκοῦν αὐτοί πού ἐρευνοῦν νά βροῦν τήν πραγματική του φύση, ἄν καί μερικοί νομίζουν, ὅτι αὐτό τό

σιν, ὅτι τὸ "Ἀγενεαλόγητος" τοῦτο περὶ τῆς ἄνω γεννήσεως εἴρηται. Οἱ μὲν γὰρ αἱρετικοὶ οὐδὲ τοῦτο βούλονται· καὶ γὰρ καὶ ἐκείνην πολυπραγμονοῦσι καὶ περιεργάζονται· οἱ δὲ ἐπιεικέστεροι τούτων ἐκείνῃ μὲν παραχωροῦσιν, οὐκέτι δὲ καὶ περὶ ταύτης τῆς κάτω νομίζουσιν εἰρῆσθαι τό, "Ἀγενεαλόγητος". Δείξωμεν οὖν ὅτι περὶ ἑκατέρας γεννήσεως τοῦτο ὁ Παῦλος εἶπε, καὶ περὶ τῆς ἄνω, καὶ περὶ τῆς κάτω· καὶ γὰρ καὶ ἐκείνη φρικτή, καὶ αὕτη μυστικωτάτη. Διὰ τοῦτο καὶ Ἠσαΐας φησί, "Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται;". Ἀλλὰ περὶ ἐκείνης, φησίν, εἶπε τῆς ἄνω.

Τί οὖν ἐροῦμεν Παύλῳ, ἀμφοτέρας εἰπόντι τὰς γεννήσεις, καὶ τότε ἐπαγαγόντι τό, "Ἀγενεαλόγητος"; Πρότερον γὰρ εἰπών, "Ἀπάτωρ, ἀμήτωρ", τότε ἐπήγαγε τό, "Ἀγενεαλόγητος", ἵνα μὴ μόνον κατ' ἐκείνην τὴν γέννησιν, καθ' ἣν ἀμήτωρ ἐστίν, ἀλλὰ καὶ κατὰ ταύτην, καθ' ἣν ἀπάτωρ ἦν, τὴν κάτω λέγω, ἀγενεαλόγητον εἶναι πιστεύσῃς. Διὰ τοῦτο ἀμφοτέρας θείς, τότε εἶπε τό, "Ἀγενεαλόγητος"· καὶ γὰρ καὶ αὕτη ἡ κάτω ἀκατάληπτος, ἵνα πρὸς ἐκείνην μηδὲ παρακύψαι τολμήσωμεν. Εἰ γὰρ τὰ προπύλαια τοῦ ναοῦ οὕτω φοβερὰ καὶ ἀπρόσιτα, πῶς εἰς τὰ ἄδυτά τις εἰσελθεῖν ἐπιχειρήσει; Ὅτι μὲν γὰρ ἐγεννήθη ἐκ τοῦ Πατρός, οἶδα, τὸ δὲ πῶς, οὐκ οἶδα. Ὅτι ἐτέχθη ἐκ τῆς παρθένου, ἐπίσταμαι, τὸν δὲ τρόπον οὐδὲ ἐνταῦθα καταλαμβάνω. Ἑκατέρας γὰρ φύσεως ἡ γέννησις ὁμολογεῖται, καὶ ἑκατέρας ὁ τρόπος σεσίγηται. Καὶ ὥσπερ ἐνταῦθα ἐπὶ τῆς παρθένου, οὐκ εἰδὼς ἐγὼ πῶς ἐκ παρθένου ἐγεννήθη, ὁμολογῶ ὅτι ἐγεννήθη, καὶ οὐκ ἀναιρῶ τὸ πρᾶγμα διὰ τὴν ἄγνοιαν τοῦ τρόπου, οὕτω καὶ σὺ ποίησον ἐπὶ τοῦ Πατρός· εἰ καὶ οὐκ οἶδας πῶς ἐγεννήθη, τό, "Ἐγεννήθη", ὁμολόγησον.

Κἂν λέγῃ σοι ὁ αἱρετικός, Πῶς ἐγεννήθη ἐκ τοῦ Πατρὸς ὁ Υἱός; κατάσπασον αὐτοῦ τὸ φρόνημα εἰς τὴν γῆν, καὶ εἰπὲ πρὸς αὐτόν· Κατάβηθι ἐκ τῶν οὐρανῶν, καὶ δεῖξον πῶς ἐγεννήθη ἐκ τῆς παρθένου, καὶ τότε ἐκεῖνα ἐρώτα. Κάτασχε αὐτόν, καὶ περίστηθι, καὶ μὴ ἀφῇς ἀποπηδῆσαι, μηδὲ ἀναχωρῆσαι εἰς

---

4. Ἠσ. 53,8.

«Χωρίς γενεαλογία» ἔχει εἰπωθεῖ γιά τή γέννησή του ἐπάνω στόν οὐρανό. Οἱ αἱρετικοί βέβαια οὔτε αὐτό θέλουν, γιατί καί αὐτοί ἀσχολοῦνται καί καταγίνονται πολύ μέ τή γέννηση αὐτή, ἐνῶ αὐτοί πού εἶναι λιγότερο αὐστηροί τήν παραδέχονται αὐτή τή γέννηση, ἀλλά δέν πιστεύουν πιά πώς εἶπε τό «Χωρίς γενεαλογία» καί γιά τή γέννησή του κάτω στή γῆ. Ἄς δείξουμε λοιπόν ὅτι ὁ Παῦλος τό εἶπε αὐτό καί γιά τίς δύο γεννήσεις, καί γιά τή γέννησή του ἐπάνω στόν οὐρανό, καί γιά τή γέννησή του κάτω στή γῆ. Γιατί καί ἡ πρώτη προκαλεῖ δέος καί ἡ δεύτερη εἶναι πολύ μεγάλο μυστήριο. Γι᾽ αὐτό καί ὁ Ἠσαΐας λέγει· «Γιά τή γενεά του ποιός θά μπορέσει νά μιλήσει;»[4]. Ἀλλά, θά μᾶς πεῖ κάποιος, ἐννοοῦσε τή γέννησή του στόν οὐρανό.

Τί λοιπόν θά ποῦμε στόν Παῦλο, ὁ ὁποῖος πρῶτα μίλησε καί γιά τίς δύο γεννήσεις καί ὕστερα πρόσθεσε τό «Χωρίς γενεαλογία»; Γιατί, ἀφοῦ εἶπε πρῶτα, «Εἶναι χωρίς πατέρα καί χωρίς μητέρα», τότε πρόσθεσε τό, «Χωρίς γενεαλογία», γιά νά μήν πιστέψεις ὅτι εἶναι χωρίς γενεαλογία μόνο στή γέννησή του ἐπάνω στόν οὐρανό, στήν ὁποία δέν ἔχει μητέρα, ἀλλά καί στή γέννησή του κάτω στή γῆ, στήν ὁποία δέν εἶχε πατέρα. Γι᾽ αὐτό, ἀφοῦ ἀνέφερε καί τίς δύο γεννήσεις, τότε εἶπε τό «Χωρίς γενεαλογία», γιατί καί ἡ κάτω γέννησή του εἶναι ἀσύλληπτη μέ τό νοῦ, γιά νά μήν τολμήσουμε οὔτε νά κυττάξουμε τήν ἐπάνω γέννηση. Ἐάν λοιπόν τά προπύλαια τοῦ ναοῦ εἶναι τόσο φοβερά καί ἀπρόσιτα, πῶς θά ἐπιχειρήσει κανείς νά μπεῖ μέσα στά ἄδυτά του; Ὅτι βέβαια γεννήθηκε ἀπό τόν Πατέρα, τό γνωρίζω· τό πῶς ὅμως, δέν τό γνωρίζω. Ὅτι γεννήθηκε ἀπό τήν Παρθένο, τό ξέρω καλά· τόν τρόπο ὅμως οὔτε ἐδῶ τόν καταλαβαίνω. Γιατί ἡ γέννηση καί τῆς μιᾶς καί τῆς ἄλλης φύσης θεωρεῖται σάν δεδομένο, ἀλλά τηρεῖται σιγή γιά τό πῶς ἔγιναν. Καί ὅπως ἐδῶ στήν περίπτωση τῆς Παρθένου, ἄν καί δέν ξέρω πῶς γεννήθηκε ἀπό τήν παρθένο, ὁμολογῶ ὅτι γεννήθηκε, καί δέν ἀμφιβάλλω γιά τό γεγονός ἐπειδή δέ γνωρίζω τόν τρόπο, ἔτσι καί ἐσύ νά κάνεις στήν περίπτωση τοῦ Πατέρα. Ἄν καί δέ γνωρίζεις πῶς γεννήθηκε, ὁμολόγησε τό «Γεννήθηκε».

Καί ἄν σοῦ λέγει ὁ αἱρετικός, «Πῶς γεννήθηκε ἀπό τόν Πατέρα ὁ Υἱός;», στρέψε τή σκέψη του στή γῆ καί πές σ᾽ αὐτόν· «Κατέβα ἀπό τούς οὐρανούς καί δεῖξε μου πῶς γεννήθηκε ἀπό τήν Παρθένο, καί ἔπειτα νά ἐρωτήσεις γι᾽ αὐτά». Κράτησέ τον καί φέρε τον σέ δύσκολη θέση καί μήν τόν ἀφήσεις νά σοῦ ξεφύγει, οὔτε νά καταφύγει στό

τὸν λαβύρινθον τῶν λογισμῶν· ἀλλὰ κάτασχε, καὶ ἀπόπνιξον, μὴ τῇ χειρί, ἀλλὰ τῷ ῥήματι· μὴ δῷς αὐτῷ διαστολὰς καὶ διαφυγάς, ἃς βούλεται. Ἐκεῖθεν θόρυβον ἐμποιοῦσι τοῖς διαλεγομένοις, ἐπειδὴ ἡμεῖς αὐτοῖς ἀκολουθοῦμεν, καὶ οὐκ 5 ἄγομεν ὑπὸ τοὺς νόμους τῶν θείων Γραφῶν. Περίθες τοίνυν αὐτῷ τειχίον πάντοθεν, τὰς ἀπὸ τῶν Γραφῶν μαρτυρίας, καὶ οὐδὲ χᾶναι δυνήσεται. Εἰπὲ πρὸς αὐτόν, Πῶς ἐγεννήθη ἐκ τῆς παρθένου; οὐκ ἀφίσταμαι οὐδὲ ἀναχωρῶ. Ἀλλ' οὐκ ἂν ἔχοι τὸν τρόπον εἰπεῖν, κἂν μυρία φιλονεικῇ. Ὅταν γὰρ ὁ Θεὸς 10 ἀποκλείσῃ, τίς ἀνοίξει λοιπόν; Πίστει παραδεκτὰ τὰ τοιαῦτα μόνῃ. Εἰ δὲ οὐκ ἀνέχῃ, ἀλλὰ λογισμοὺς ἐπιζητεῖς, ἐρῶ πρὸς σέ, ὃ πρὸς τὸν Νικόδημον ὁ Χριστός· "Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, πῶς, ἐὰν τὰ ἐπουράνια εἴπω, πιστεύσετε;".

Περὶ τῆς ἐκ παρθένου γεννήσεως εἶπον, καὶ οὐκ οἶδας, 15 οὐδὲ χᾶναι τολμᾷς, καὶ τὸν οὐρανὸν περιεργάζῃ; Εἶδε μὲν οὖν τὸν οὐρανόν, καὶ μὴ τὸν Δεσπότην τῶν οὐρανῶν ἐπολυπραγμόνεις. "Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε". Οὐκ εἶπεν, 'οὐ πείθεσθε', ἀλλ' "Οὐ πιστεύετε", δεικνὺς ἡμῖν, ὅτι καὶ τὰ ἐπίγεια πίστεως δεῖται. Εἰ δὲ τὰ ἐπίγεια πίστεως δεῖται, πολλῷ 20 μᾶλλον τὰ οὐράνια. Καίτοι τότε τῷ Νικοδήμῳ περὶ τόκου διελέγετο πολὺ ἐλάττονος· περὶ τοῦ βαπτίσματος γὰρ ὁ λόγος ἦν, καὶ τῆς ἀναγεννήσεως τῆς πνευματικῆς· ἀλλ' ἔλεγεν, ὅτι καὶ ταῦτα πίστει ἐστὶ καταληπτά. Ἐπίγεια δὲ αὐτὰ ἐκάλεσεν, οὐκ ἐπειδὴ ἐπίγειά ἐστιν, ἀλλ' ἐπειδὴ ἐν τῇ γῇ τελεῖται, καὶ τῇ 25 συγκρίσει τῆς ἄνω γεννήσεως τῆς ἀποῤῥήτου καὶ πάντα ὑπερβαινούσης νοῦν, ἐπίγεια ταῦτά ἐστιν. Εἰ τοίνυν, πῶς ἀναγεννῶμαι ἐκ τῶν ὑδάτων, οὐ δυνατὸν εἰδέναι, ἀλλὰ πίστει μόνῃ παραδέχεσθαι δεῖ τὸ γινόμενον, καὶ τὸν τρόπον μὴ περιεργάζεσθαι, πόσης ἂν εἴη μανίας, ἐπὶ τῆς ἄνω γεννήσεως τοῦ 30 μονογενοῦς Υἱοῦ λογισμοὺς ἀνθρωπίνους κινεῖν, καὶ τρόπου γεννήσεως εὐθύνας ἀπαιτεῖν;

3. Πῶς μὲν οὖν ἀπάτωρ καὶ ἀμήτωρ ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ἱκανῶς ἀποδέδεικται, καὶ πῶς ἀγενεαλόγητος ἑκατέραν τὴν γέννησιν· λοιπὸν δὲ πρὸς τὸ ἐπεῖγον ἀπαγά-35 γωμεν, τὸν λόγον τὸν περὶ τοῦ Μελχισεδὲκ εἰς ἑτέραν ἡμέραν

---

5. Ἰω. 3, 12.

λαβύρινθο τῶν συλλογισμῶν, ἀλλά κράτησέ τον καί σφίξε τον ἀποπνικτικά, ὄχι μέ τό χέρι, ἀλλά μέ τό λόγο· μή τοῦ προσφέρεις παρανοήσεις καί διαφυγές, τίς ὁποῖες ἐπιθυμεῖ. Γι' αὐτό προκαλοῦν σύγχυση σ' αὐτούς μέ τούς ὁποίους συζητοῦν, ἐπειδή ἐμεῖς τούς ἀκολουθοῦμε καί δέν τούς φέρουμε κάτω ἀπό τούς νόμους τῶν θείων Γραφῶν. Τοποθέτησε λοιπόν γύρω του ἀπό παντοῦ τεῖχος, τίς μαρτυρίες δηλαδή ἀπό τίς Γραφές, καί δέ θά μπορέσει οὔτε τό στόμα του ν' ἀνοίξει. Πές σ' αὐτόν, 'Πῶς γεννήθηκε ἀπό τήν Παρθένο; Δέν παραιτοῦμαι ἀπ' αὐτό οὔτε ὑποχωρῶ'. 'Αλλά δέ θά μπορέσει ν' ἀπαντήσει, καί ἄν ἀκόμη φιλονικεῖ γιά πολλά ζητήματα. Γιατί ὅταν ὁ Θεός κλείσει τό δρόμο, ποιός θά τόν ἀνοίξει στή συνέχεια; Μέ πίστη μόνο παραδεχόμαστε τά παρόμοια. 'Εάν ὅμως δέν ὑποφέρεις αὐτό, ἀλλά ζητᾶς συλλογισμούς, θά σοῦ πῶ αὐτό, πού εἶπε ὁ Χριστός στό Νικόδημο· «'Εάν σᾶς εἶπα γιά ἐπίγεια πράγματα καί δέν τά πιστεύετε, πῶς θά πιστέψετε, ἐάν σᾶς πῶ γιά τά ἐπουράνι;»[5]

Γιά τή γέννηση ἀπό τήν Παρθένο εἶπα, καί δέ γνωρίζεις, οὔτε τολμᾶς ν' ἀνοίξεις τό στόμα σου, καί ἐξετάζεις τόν οὐρανό; Εἴθε βέβαια νά καταγινόσουν μέ τόν οὐρανό καί ὄχι μέ τόν Κύριο τῶν οὐρανῶν. «'Εάν σᾶς εἶπα γιά τά ἐπίγεια πράγματα καί δέν τά πιστεύετε». Δέν εἶπε, δέν πείθεστε, ἀλλά, «Δέν πιστεύετε», δείχνοντας σέ μᾶς, ὅτι καί τά ἐπίγεια ἔχουν ἀνάγκη ἀπό πίστη. 'Εάν ὅμως τά ἐπίγεια ἔχουν ἀνάγκη ἀπό πίστη, πολύ περισσότερο ἔχουν τά οὐράνια. Ἄν καί μέ τό Νικόδημο τότε συζητοῦσε γιά γέννηση πολύ μικρότερης σημασίας, γιατί ὁ λόγος ἦταν γιά τό βάπτισμα καί τήν πνευματική ἀναγέννηση, ἀλλ' ἔλεγε ὅτι καί αὐτά μποροῦμε νά τά καταλάβουμε μέ τήν πίστη. Καί τά ὀνόμασε αὐτά ἐπίγεια, ὄχι γιατί πραγματικά εἶναι ἐπίγεια, ἀλλ' ἐπειδή γίνονται στή γῆ, καί σέ σύγκριση μέ τήν ἐπάνω γέννηση, πού εἶναι ἀπόρρητη καί ξεπερνᾶ κάθε νοῦ, εἶναι ἐπίγεια αὐτά. 'Αφοῦ λοιπόν δέν εἶναι δυνατό νά γνωρίζω, πῶς ἀναγεννιέμαι ἀπό τά νερά, ἀλλά μέ πίστη μόνο πρέπει νά παραδέχομαι τό γεγονός, καί νά μήν πολυεξετάζω πῶς ἔγινε, πόσο μεγάλη τρέλλα θά ἦταν νά χρησιμοποιεῖ κανείς ἀνθρώπινους συλλογισμούς γιά τήν ἐπάνω γέννηση τοῦ Μονογενοῦς Υἱοῦ καί νά ζητᾶ ἐξηγήσεις γιά τόν τρόπο τῆς γέννησής του;

3. Πῶς λοιπόν εἶναι χωρίς πατέρα καί χωρίς μητέρα ὁ Μονογενής Υἱός τοῦ Θεοῦ ἔχει ἀποδειχθεῖ ἱκανοποιητικά, καί ἀκόμη πῶς εἶναι χωρίς γενεαλογία σέ κάθε μία γέννηση. Ἄς ἔλθουμε στή συνέχεια στό ἐπεῖγον θέμα, ἀναβάλλοντας γι' ἄλλη ἡμέρα τό λόγο σχετικά μέ τό

ἀναβαλλόμενοι, καὶ διαναστήσωμεν τὴν ἀκοήν, προφητικῶν μέλλοντες ἀκούειν αἰνιγμάτων. Αἰνίγμασι γὰρ ἔοικε τὰ προφητικά, καὶ πολλὴ δυσκολία ἐν τῇ παλαιᾷ Διαθήκῃ, καὶ δυσεπίληπτα τὰ βιβλία· ἡ δὲ Καινὴ σαφεστέρα καὶ εὐκολωτέρα. Καὶ 5 τίνος ἕνεκεν, φησί, ταῦτα οὕτω διατετύπωται, καίτοι ἡ Καινὴ περὶ μειζόνων διαλέγεται πραγμάτων, περὶ βασιλείας οὐρανῶν, καὶ σωμάτων ἀναστάσεως, καὶ τῶν ἀποῤῥήτων ἀγαθῶν, ἃ καὶ ἀνθρώπινον ὑπερβαίνει νοῦν; Τίς οὖν ἡ αἰτία τοῦ τὰς προφητείας ἀσαφεῖς εἶναι; Πολλὰ προλέγουσιν 10 Ἰουδαίοις αὗται κακά· καὶ ὅτι ἐκβληθήσονται μὲν ἐκεῖνοι, ἡμεῖς δὲ εἰσδεχθησόμεδα· καὶ ὅτι καταλυθήσεται μὲν ὁ ναός, καὶ οὐκέτι λοιπὸν ἀναστήσεται, πεσεῖται δὲ τὰ Ἱεροσόλυμα, καὶ πᾶσιν ἔσται βατά· Ἰουδαῖοί τε πλανῆται γενόμενοι, πανταχοῦ τῆς οἰκουμένης διασπαρήσονται, καὶ τῆς πόλεως 15 ἐκπεσόντες, οὐδὲ τὴν πολιτείαν ἕξουσι λοιπὸν τὴν ἀρχαίαν, ἀλλὰ πάντα αὐτῶν ἀφαιρεθήσεται τὰ πρότερα, καὶ προφητεῖαι, καὶ θυσίαι, καὶ ἱερωσύνη, καὶ βασιλεία.

Οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ ἄλλα πολλὰ τοιαῦτα προέλεγον οἱ προφῆται, μυρίας τραγῳδίας τοῖς οἰκείοις ἐγκαταμι-20 γνύντες βιβλίοις. Ἵν᾽ οὖν οἱ Ἰουδαῖοι μὴ σαφῶς ἀκούσαντες παρὰ τὴν ἀρχήν, διαχειρίσωνται τοὺς λέγοντας ταῦτα, τῇ δυσκολίᾳ τῆς ἑρμηνείας ἀπέκρυψαν τὰς προῤῥήσεις, καὶ πολλὴν ἀσάφειαν κατέχεαν τῶν πραγμάτων, τῇ ἀσαφείᾳ τῶν λεγομένων τοῖς λέγουσι παρασκευάζοντες ἀσφάλειαν. Καὶ 25 πόθεν δῆλον τοῦτο; Δεῖ γὰρ καὶ εὐθύνας ἡμᾶς ἀπαιτεῖσθαι, εἰ καὶ ἐν φίλοις λέγομεν· καὶ γὰρ πολλοὶ ἴσως καὶ τῶν οὐ φίλων πάρεισι. Μανθανέτωσαν τοίνυν ταῦτα κἀκεῖνοι, ἵνα καὶ αὐτοὶ φίλοι γένωνται. Εἶπον, ὅτι εἰ ἤκουσαν οἱ Ἰουδαῖοι τὰ μέλλοντα αὐτοὺς καταλήψεσθαι κακά, καὶ ὅτι τὰ Ἱεροσόλυμα ἁλώσεται 30 διὰ τὸν Χριστὸν τὴν ἅλωσιν ταύτην τὴν ἀθάνατον, καὶ οὐκ ἔχουσαν μεταβολήν, εἰ ἤκουσαν φανερῶς παρὰ τῶν προφητῶν ταῦτα, εὐθέως ἂν τοὺς ταῦτα λέγοντας ἀπέκτειναν.

Πόθεν οὖν τοῦτο δῆλον; Πρῶτον μὲν ἀπὸ τῶν τρόπων αὐτῶν· μανικοὶ γὰρ καὶ θηριώδεις ἦσαν. Δῆμός ἐστιν αἱμάτων 35 ἀεὶ διψῶν προφητικῶν, αἱ χεῖρες αὐτῶν ἐμελέτησαν ταῖς σφαγαῖς τῶν ἁγίων. Ταῦτα ὁ μέγας Ἠλίας αὐτῶν καταβοᾷ λέγων· "Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, τὰ δυσια-

Μελχισεδέκ, καί ἄς τεντώσουμε τά αὐτιά, ἀφοῦ πρόκειται ν' ἀκούσουμε προφητικά αἰνίγματα. Γιατί τά λόγια τῶν προφητῶν μοιάζουν μέ αἰνίγματα, καί ὑπάρχει μεγάλη δυσκολία στήν Παλαιά Διαθήκη καί τά βιβλία της εἶναι δυσνόητα, ἐνῶ ἡ Καινή Διαθήκη εἶναι σαφέστερη καί εὐκολότερη. Καί γιά ποιό λόγο, θά μποροῦσε νά ἐρωτήσει κανείς, αὐτά ἔχουν διατυπωθεῖ ἔτσι, μολονότι ἡ Καινή Διαθήκη μιλάει γιά σπουδαιότερα πράγματα, ὅπως, γιά τή βασιλεία τῶν οὐρανῶν, γιά τήν ἀνάσταση τῶν σωμάτων καί τά ἀνέκφραστα ἀγαθά, τά ὁποῖα ξεπερνοῦν καί τόν ἀνθρώπινο νοῦ; Ποιά λοιπόν εἶναι ἡ αἰτία πού οἱ προφητεῖες εἶναι ἀσαφεῖς; Οἱ προφητεῖες αὐτές προλέγουν πολλά κακά στούς 'Ιουδαίους, καί ὅτι θά διωχθοῦν ἐκεῖνοι καί ἐμεῖς θά γίνουμε δεκτοί, καί ὅτι θά καταστραφεῖ ὁ ναός, ἀλλά δέ θά ξανακτισθεῖ στό μέλλον, θά πέσουν τά 'Ιεροσόλυμα καί σ' ὅλους θά γίνουν βατά· καί οἱ 'Ιουδαῖοι, ἀφοῦ περιπλανηθοῦν, θά διασκορπισθοῦν σ' ὅλα τά σημεῖα τῆς οἰκουμένης, καί, ἀφοῦ χάσουν τήν πόλη τους, δέ θά ἔχουν στό ἑξῆς τό ἀρχαῖο τους πολίτευμα, ἀλλά ὅλα τά προηγούμενα θ' ἀφαιρεθοῦν ἀπ' αὐτούς, καί οἱ προφητεῖες, καί οἱ θυσίες, καί ἡ ἱερωσύνη, καί ἡ βασιλεία.

Ὄχι μόνο αὐτά, ἀλλά καί πολλά ἄλλα παρόμοια προφήτευαν οἱ προφῆτες, ἀναφέροντας μέσα στά βιβλία τους ἄπειρες τραγωδίες. Οἱ προφῆτες λοιπόν, γιά νά μήν τούς σκοτώσουν οἱ 'Ιουδαῖοι, ἐπειδή δέν ἄκουαν καθαρά γιά πρώτη φορά, σκέπασαν τίς προφητεῖες μέ τή δυσκολία στήν ἑρμηνεία τους καί ἔριξαν μεγάλη ἀσάφεια στά γεγονότα, καί μέ τήν ἀσάφεια πού ὑπῆρχε στά λόγια τους ἐξασφαλίζονταν ἐκεῖνοι πού προφήτευαν. Καί ἀπό ποῦ φαίνεται αὐτό; Γιατί πρέπει καί ἐμεῖς νά ζητᾶμε δικαιολογίες, ἄν καί μιλᾶμε ἀνάμεσα σέ φίλους, γιατί ἴσως εἶναι παρόντες καί πολλοί πού δέν εἶναι φίλοι. Ἄς τά μαθαίνουν λοιπόν αὐτά καί αὐτοί, γιά νά γίνουν καί αὐτοί φίλοι. Εἶπα ὅτι οἱ 'Ιουδαῖοι, ἐάν ἄκουαν τά μελλοντικά κακά πού θά τούς βροῦν καί ὅτι τά 'Ιεροσόλυμα θά πέσουν γιά πάντα ἐξ αἰτίας τοῦ Χριστοῦ, χωρίς ἐλπίδα μεταβολῆς, ἐάν λοιπόν ἄκουαν ξεκάθαρα αὐτά ἀπό τούς προφῆτες, ἀμέσως θά σκότωναν τούς προφῆτες.

'Από ποῦ λοιπόν φαίνεται αὐτό; Πρῶτα βέβαια ἀπό τή συμπεριφορά τους, γιατί ἦταν ἀλόγιστη καί ἄγρια. Εἶναι λαός πού πάντοτε διψᾶ γιά τό αἷμα τῶν προφητῶν, τά χέρια τους ἀσκήθηκαν στίς σφαγές τῶν ἁγίων. Αὐτά τούς φωνάζει ὁ μεγάλος 'Ηλίας λέγοντας· «Κύριε, τούς προφῆτες σου σκότωσαν, τά θυσιαστήριά σου κατέστρεψαν ἀπό τά

στήριά σου κατέσκαψαν". Ὁ Χριστὸς πάλιν, "Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ ἀποκτείνασα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν". Καὶ ὁ Ἡσαΐας συνῳδὰ τούτοις αὐτῶν κατηγορῶν, ἐβόα· "Αἱ χεῖρες ὑμῶν
5 *αἵματος πλήρεις". Καὶ πάλιν ὁ Χριστός· "Οἱ πατέρες ὑμῶν ἀπέκτειναν τοὺς προφήτας, ὑμεῖς δὲ οἰκοδομεῖτε τὰ μνήματα αὐτῶν· πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν". Ὁρᾷς πῶς καὶ ὁ Δεσπότης καὶ οἱ δοῦλοι μιαιφονίαν αὐτῶν μαρτυροῦσι; Τί δέ ἐστι· "Πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν";*
10 *Ἀποκτείνατε, φησί, κἀμέ· πρόσθετε τοῖς δουλικοῖς αἵμασι τὴν δεσποτικὴν σφαγήν. Εἰ γὰρ μυρίους ἔσφαξαν ἀνθρώπους, ἀλλὰ συνδούλους πάντας· ὅτε δὲ κατὰ τοῦ Δεσπότου τὰς χεῖρας ἐξέτειναν, τότε ἐπληρώθη τὸ μέτρον· καὶ εἰκότως.*

Ἕως μὲν γὰρ οὐκ ἀπέκτειναν τὸν Δεσπότην, εἶχον ἐλπίδα
15 *σωτηρίας, καὶ προσεδόκων ὅτι ὁ ἀμνὸς τοῦ Θεοῦ ἐλθὼν ἀρεῖ τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐπειδὴ δὲ τὸν ἰατρὸν διεχειρίσαντο, καὶ εἰς αὐτὸ τὸ ἱλαστήριον ὕβρισαν, καὶ τὸν ἐλθόντα ἀφεῖναι τὰ ἁμαρτήματα ἀπεστράφησαν, πάσης λοιπὸν ἐλπίδος ἐξέπεσον. Διὰ τοῦτο λέγει· "Πληρώσατε τὸ μέτρον τῶν πα-*
20 *τέρων ὑμῶν". Ναί, φησίν· ἀλλ' ὅτι μὲν μιαιφόνοι καὶ ἐναγεῖς, ἀποδέδεικται ἐκ πολλῶν μαρτυριῶν, πόθεν δὲ δῆλον, ὅτι τῶν προφητῶν οὐκ ἂν ἐφείσαντο, εἰ ἤκουσαν ὅτι τὰ Ἱεροσόλυμα καταστραφήσεται, ὅτι ὁ νόμος παυθήσεται, ὅτι ἡ Παλαιὰ ἀλλαγήσεται; Μάλιστα μὲν καὶ ἐκ τῶν εἰρημένων*
25 *δῆλον· πλὴν ἀλλ' ἐξ αὐτῶν τῶν Γραφῶν πάλιν ποιήσομαι τὴν ἀπόδειξιν σαφεστέραν. Εἰ γάρ ποτε ἤκουσαν προφήτου λέγοντος, ὅτι τὰ Ἱεροσόλυμα καταστραφήσεται καταστροφὴν πρόσκαιρον, δέον αὐτοὺς μεταβάλλεσθαι καὶ ἀποκρούεσθαι τοῦ Θεοῦ τὴν ὀργήν, εἰς τὸν προφήτην ἠφίεσαν τὸν θυμόν.*
30 *Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, αὐτῶν ἀκούσατε τῶν ἱστοριῶν. Ἐπολιόρκουν τὴν πόλιν αὐτῶν οἱ Πέρσαι ποτέ, καὶ βαρβαρικὸν στρατόπεδον ἔξω περιεκάθητο· καὶ τὰ τῶν κινδύνων οὐκ ἦν ἄδηλα, ἀλλ' ἐν μέσῃ παγίδι ἡ πόλις ἦν τότε Ἱερουσαλήμ, ὡπλισμένων ἁπάντων καὶ περιεστώτων ἔξωθεν· ἀλλ' ὅμως*
35 *οὕτω φανερῶν ὄντων τῶν δεινῶν, ἐπειδὴ Ἱερεμίας ἐλθὼν εἶπε πρὸς αὐτούς, ὅτι ἡ πόλις παραδοθήσεται εἰς χεῖρας*

6. Γ΄ Βασ. 19, 10. 7. Ματθ. 23, 37. 8. Ἡσ. 1, 15.

θεμέλιά τους»[6]. Ὁ Χριστός πάλι λέγει· «Ἱερουσαλήμ, Ἱερουσαλήμ, πού σκοτώνεις τούς προφῆτες καί λιθοβολεῖς τούς ἀποσταλμένους σέ σένα»[7]. Καί ὁ Ἠσαΐας συμφωνώντας μ᾽ αὐτά, τούς κατηγοροῦσε φωνάζοντας· «Τά χέρια σας εἶναι γεμάτα αἷμα»[8]. Καί πάλι ὁ Χριστός λέγει· «Οἱ πατέρες σας σκότωσαν τούς προφῆτες, ἐσεῖς ὅμως κτίζετε τούς τάφους τους· συμπληρῶστε ἐκεῖνα πού λείπουν ἀκόμη ἀπό ὅσα ἔκαμαν οἱ πατέρες σας»[9]. Βλέπεις πῶς καί ὁ Κύριος καί οἱ δοῦλοι του μαρτυροῦν τή δίψα τους γιά αἷμα; Καί τί σημαίνει· «Πληρώσατε τό μέτρον τῶν πατέρων ὑμῶν»; Σκοτῶστε, λέγει, καί μένα· προσθέστε στό αἷμα τῶν δούλων καί τή σφαγή τοῦ Κυρίου. Γιατί, ἄν ἔσφαξαν πάρα πολλούς ἀνθρώπους, ἦταν ὅμως ὅλοι συνάνθρωποί τους. Ὅταν ὅμως ἅπλωσαν τά χέρια τους ἐναντίον τοῦ Κυρίου, τότε συμπληρώθηκε αὐτό πού τούς ἀναλογοῦσε. Καί πολύ φυσικά.

Γιατί, ὥσπου δέ σκότωσαν τόν Κύριο, εἶχαν κάποια ἐλπίδα σωτηρίας καί περίμεναν ὅτι ὁ ἀμνός τοῦ Θεοῦ, ὅταν ἔρθει, θά πάρει ἐπάνω του τήν ἁμαρτία τοῦ κόσμου. Ἐπειδή ὅμως σκότωσαν τόν ἰατρό, ἔβρισαν αὐτόν πού θά τούς ἐξιλέωνε καί περιφρόνησαν αὐτόν πού ἦρθε νά τούς συγχωρήσει τίς ἁμαρτίες, ἔχασαν πιά κάθε ἐλπίδα γιά σωτηρία. Γι᾽ αὐτό λέγει· «Συμπληρῶστε ἐκεῖνα πού λείπουν ἀκόμη ἀπ᾽ ὅσα ἔκαμαν οἱ πατέρες σας». Ναί, θά πεῖ κάποιος, ἔχει ἀποδειχθεῖ ἀπό πολλές μαρτυρίες ὅτι εἶναι αἱμοχαρεῖς καί καταραμένοι. Ἀπό ποῦ ὅμως εἶναι φανερό, ὅτι δέ θά λυποῦνταν τούς προφῆτες, ἄν ἄκουαν πώς θά καταστραφοῦν τά Ἱεροσόλυμα, πώς θά καταργηθεῖ ὁ νόμος, πώς θ᾽ ἀλλάξει ἡ Παλαιά Διαθήκη; Εἶναι φανερά αὐτά κυρίως ἀπ᾽ ὅσα ἔχουμε πεῖ, ἀλλ᾽ ὅμως θά κάμω σαφέστερη τήν ἀπόδειξη ἀπό τίς ἴδιες πάλι τίς Γραφές. Ἐάν λοιπόν ἄκουαν κάποτε ἕναν προφήτη νά λέγει, πώς τά Ἱεροσόλυμα θά καταστραφοῦν προσωρινά, ἐνῶ θά ἔπρεπε ν᾽ ἀλλάξουν αὐτοί καί νά ἀποκρούσουν τήν ὀργή τοῦ Θεοῦ, θ᾽ ἄφηναν τό θυμό τους νά πέσει στόν προφήτη.

Καί ὅτι αὐτό εἶναι ἀληθινό, ἀκοῦστε τά ἴδια τά ἱστορικά γεγονότα. Κάποτε οἱ Πέρσες πολιορκοῦσαν τήν πόλη τους καί ὁ βαρβαρικός στρατός τήν εἶχε περικυκλώσει. Οἱ κίνδυνοι ἦταν φανεροί καί ἡ πόλη Ἱερουσαλήμ ἦταν τότε ἀνάμεσα σέ παγίδα, ἀφοῦ ὅλοι ἦταν ὁπλισμένοι καί τήν περικύκλωσαν ἀπ᾽ ἔξω. Ἀλλ᾽ ὅμως, ἐνῶ οἱ συμφορές ἦταν τόσο φανερές, ἐπειδή ὁ Ἱερεμίας ἦρθε καί τούς εἶπε, ὅτι ἡ πόλη θά παραδοθεῖ στά χέρια τῶν Χαλδαίων (ἄν καί αὐτό δέν ἦταν οὔτε

9. Ματθ. 23, 31.29.32.

Χαλδαίων· καίτοι τοῦτο οὐδὲ προφητεία ἦν· οἱ γὰρ ὀφθαλμοὶ αὐτῶν ἑώρων τὰ συμβησόμενα· ἀλλ' ὅμως ἐπειδὴ τὰ φανερὰ καὶ πρὸ τῶν ὀφθαλμῶν εἶπεν, οἱ μιαροὶ καὶ ἀναίσθητοι καὶ περὶ τοὺς εὐεργέτας ἀγνώμονες οὕτως ἐμάνησαν, ὡς προδότην αὐτὸν καὶ λυμεῶνα τῆς πόλεως νομίσαι, καὶ εἰπεῖν, ὅτι "Ἐκλύει τὰς χεῖρας τοῦ λαοῦ τούτου". Καὶ μὴν ἐστερέου, καὶ μὴν διήγειρε τὴν προθυμίαν αὐτῶν, καὶ πρὸς Θεὸν ἦγε, τὸ ἀῤῥαγὲς καὶ ἀκαταμάχητον αὐτοῖς περιτιθεὶς τεῖχος· ἀλλ' οὐδὲν τούτων ἐννοήσαντες ἐκεῖνοι, ἐκέλευον αὐτὸν ἀναιρεῖσθαι. Τοιαύτας γὰρ τοῖς εὐεργέταις ἀεὶ τὰς ἀμοιβὰς ἀπεδίδοσαν, καὶ τοῦ βασιλέως συγγνόντος, οὐδὲ οὕτως ἐνέδωκαν, ἀλλ' ἐπειδὴ ἀνελεῖν οὐκ ἴσχυσαν εἰς τὸν τοῦ βορβόρου λάκκον ἐνέβαλον.

4. Εἰ δὲ προσκαίρου αἰχμαλωσίας ἀκοὴν οὐκ ἤνεγκαν, πῶς τὴν πρόῤῥησιν τῆς διηνεκοῦς δουλείας ἔμελλον εἰσακούειν; Εἰ Ἱερεμίας εἶπεν, ὅτι "Ἀπελεύσεσθε εἰς Βαβυλῶνα", καὶ οὐχ ὑπήνεγκαν, ἀκοῦσαι, ἀλλ' ἐτιμωρήσαντο τὸν εἰπόντα, εἰ ἤκουσαν τῶν προφητῶν εἰπόντων, ὅτι Οὐκ εἰς Βαβυλῶνα, ἀλλὰ πανταχοῦ τῆς οἰκουμένης διασπαρήσεσθε, καὶ οὐκέτι λοιπὸν ἐπανήξετε, οὐκ ἂν καὶ τὸ αἷμα τῶν λεγόντων ἐξέπιον; Εἰ δὲ δοκεῖ τοῦτο ἔτι στοχασμὸς εἶναι, φανερὰν ὑμῖν ἀπόδειξιν παρέχω, ὅτι οὐκ ἦν ἀσφαλὲς αὐτοῖς λέγειν τὰ μέλλοντα, τὴν ἡμετέραν τιμὴν λέγω, τὴν ἔκπτωσιν τὴν ἐκείνων. Στέφανον γάρ, εἰπέ μοι, τὴν ἀπαρχὴν τῶν μαρτύρων, διὰ τί ἐλίθασαν; οὐ ταῦτα ἐγκαλοῦντες αὐτῷ καὶ λέγοντες, ὅτι "Ὁ ἀνὴρ οὗτος λαλεῖ βλάσφημα ῥήματα"; "Εἶπε", φησίν, "ὅτι Ἰησοῦς καταλύσει τὸν ναὸν τοῦτον, καὶ ἀλλάξει τὰ ἔθη, ἃ παρέδωκε Μωϋσῆς", καὶ διὰ τοῦτο αὐτὸν ἐλίθασαν. Εἰ δὲ τότε οὐκ ἠνείχοντο ταῦτα ἀκούειν, καὶ ταῦτα τῶν πραγμάτων αὐτοὺς πειθόντων λοιπόν, πῶς ἂν τῶν προφητῶν ἠνέσχοντο ταῦτα προαναφωνούντων; Ἤκουσας, ἀγαπητέ, ὅτι διὰ τὸν ναὸν καὶ τὴν μετάθεσιν τῆς πολιτείας αὐτὸν ἐλίθασαν· ἄκουσον πῶς καὶ τῷ Χριστῷ τοῦτο προφέρουσιν ἔγκλημα. "Εἶπε" γάρ, φησίν, "οὗτος· Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν".

Εἶδες πῶς πανταχοῦ ἡ κατάλυσις τοῦ ναοῦ, καὶ ἡ μετά-

---

10. Ἱερ. 38, 4. 11. Πράξ. 6, 11.14. 12. Ματθ. 26, 31 καί Ἰω. 2, 19.

προφητεία, γιατί τά μάτια τους ἔβλεπαν αὐτά πού θά συμβοῦν), ἀλλ' ὅμως, ἐπειδή τούς εἶπε τά φανερά καί μπροστά στά μάτια τους, οἱ ἀχρεῖοι καί οἱ ἀναίσθητοι καί οἱ ἀχάριστοι γιά τούς εὐεργέτες τους, τόσο πολύ ὀργίσθηκαν, ὥστε ἔφθασαν νά τόν θεωρήσουν προδότη καί ἐξολοθρευτή τῆς πόλης τους καί νά ποῦν, ὅτι «Παραλύει τά χέρια αὐτοῦ τοῦ λαοῦ»[10]. Καί ὅμως τούς στερέωνε, καί ὅμως τούς προκαλοῦσε τήν προθυμία, τούς ὁδηγοῦσε στό Θεό, τοποθετώντας γύρω τους τό στερεό καί ἀκαταμάχητο τεῖχος. 'Εκεῖνοι ὅμως, ἐπειδή δέν κατάλαβαν τίποτε ἀπ' αὐτά, πρότειναν νά τόν σκοτώσουν. Γιατί μέ τέτοιες ἀμοιβές πλήρωσαν πάντοτε τούς εὐεργέτες τους, καί ἐνῶ ὁ βασιλιάς τόν συγχώρησε, οὔτε ἔτσι ὑποχώρησαν, ἀλλ', ἐπειδή δέν μπόρεσαν νά τόν σκοτώσουν, τόν ἔριξαν στό λάκκο πού ἦταν γεμάτος βοῦρκο.

4. 'Αφοῦ λοιπόν δέν ἄντεξαν ν' ἀκούσουν γιά προσωρινή αἰχμαλωσία, πῶς θά μποροῦσαν ν' ἀκούσουν τήν προφητεία γιά παντοτινή δουλεία; 'Εάν ὁ 'Ιερεμίας τούς εἶπε, ὅτι θά μεταφερθεῖτε στή Βαβυλώνα, καί δέν ἄντεξαν νά τό ἀκούσουν, ἀλλά τιμώρησαν αὐτόν πού τό εἶπε, ἐάν ἄκουαν τούς προφῆτες νά λέγουν, ὅτι '"Οχι στή Βαβυλώνα, ἀλλά θά διασκορπισθεῖτε σ' ὅλα τά μέρη τῆς γῆς καί δέ θά γυρίσετε ποτέ στό μέλλον', δέ θά ἔπιναν καί τό αἷμα αὐτῶν πού ἔλεγαν αὐτά; 'Εάν ὅμως νομίζετε ὅτι αὐτό εἶναι ἁπλή σκέψη, σᾶς δίνω φανερή ἀπόδειξη, ὅτι δέν εἶχαν ἀσφάλεια αὐτοί ὅταν τούς ἔλεγαν τά μελλοντικά γεγονότα, ἐννοῶ κάτι πού εἶναι τιμή γιά μᾶς καί ἀπώλεια γιά ἐκείνους. Τό Στέφανο λοιπόν, πές μου, τόν πρωτομάρτυρα, γιατί τόν λιθοβόλησαν; Δέν τόν κατηγοροῦσαν γιά τά ἴδια λέγοντας ὅτι «'Ο ἄνθρωπος αὐτός λέγει βλάσφημα λόγια»; «Εἶπε», λέγει ἡ Γραφή, «ὅτι ὁ 'Ιησοῦς θά καταστρέψει τό ναό αὐτόν καί θ' ἀλλάξει τά ἔθιμα, τά ὁποῖα παρέδωσε ὁ Μωυσῆς»[11], καί γι' αὐτό τόν λιθοβόλησαν. 'Εάν ὅμως τότε δέν ἀνέχονταν ν' ἀκοῦν αὐτά, ἐνῶ τούς ἔπειθαν ἀργότερα τά ἴδια τά γεγονότα, πῶς θ' ἀνέχονταν τούς προφῆτες πού προφήτευαν αὐτά; "Ακουσες, ἀγαπητέ, ὅτι γιά τό ναό καί γιά τήν ἀλλαγή τοῦ τρόπου ζωῆς τους τόν λιθοβόλησαν αὐτόν. "Ακουσε πῶς καί στό Χριστό ἀποδίδουν τήν ἴδια κατηγορία. Γιατί λέγει ὁ εὐαγγελιστής· «Εἶπε αὐτός· Γκρεμίστε τό ναό αὐτόν καί σέ τρεῖς ἡμέρες θά τόν κτίσω»[12].

Εἶδες ὅτι παντοῦ τούς ἐξόργιζε ἡ κατάργηση τοῦ ναοῦ καί ἡ

θεσις τῆς πολιτείας τὴν ὀργὴν αὐτοῖς ἐνεποίει; Διὰ τοῦτο ἔλεγον μὲν οἱ προφῆται ταῦτα, οὐκ ἔλεγον δὲ φανερῶς. Διὰ τοῦτο καὶ Παῦλον ἐβούλοντο ἀνελεῖν, ὅτι ἔπειθεν αὐτοὺς μετατίθεσθαι ἀπὸ τῆς πολιτείας. Πόθεν τοῦτο δῆλον; "Θεωρεῖς", φησίν, "ἀδελφέ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων, καὶ οὗτοι πάντες κατήχηνται περὶ σοῦ, ὅτι ἀποσtασίαν τοῦ νόμου διδάσκεις". Οἱ πιστοὶ οὐκ ἠνείχοντο διδάσκασθαι ἀποστασίαν τοῦ νόμου· καὶ οἱ οὐδέπω πιστεύσαντες πῶς ἂν ἠνέσχοντο ἀκοῦσαι, ὅτι παυθήσεται ὁ νόμος ποτέ; Ὅτι μὲν οὖν τοὺς προφήτας ἀπέκτειναν ἂν οἱ Ἰουδαῖοι, εἴ τι τοιοῦτον σαφῶς προεῖπον, ἐδείξαμεν ἀπὸ τῶν μαρτυριῶν, ἀπό τε τοῦ μακαρίου Ἱερεμίου, καὶ τοῦ πρωτομάρτυρος Στεφάνου, ἀπ' αὐτοῦ τοῦ Χριστοῦ, καὶ τοῦ ἀποστόλου Παύλου. Πᾶσι γὰρ τὰ αὐτὰ ἐγκαλοῦντες, οὕτως αὐτοὺς ἀνεῖλον. Ὅτι δὲ καὶ αὐτὰ τὰ βιβλία κατέκαυσαν ἂν τὰ προφητικά, εἰ συνεῖδον τὰ λεγόμενα, καὶ τοῦτο παραστῆσαι πειράσομαι ἀπό τινος ἱστορίας, κεκρυμμένης μὲν ὑμῖν, δήλης δὲ ἐσομένης αὐτίκα δὴ μάλα· οὕτω γὰρ αὐτὴν ἀπαγγεῖλαι πειράσομαι. Τίς οὖν ἡ ἱστορία, ἀκούσατε.

"Καί ἐγένετο ἐν τῷ τετάρτῳ ἔτει Ἰωακεὶμ υἱοῦ Ἰωσίου βασιλέως Ἰούδα, εἶπε Κύριος πρὸς Ἱερεμίαν· Γράψον πάντας τοὺς λόγους, οὓς ἐχρημάτισα πρὸς σὲ ἀπὸ τῆς ἡμέρας Ἰωσίου, ἕως τῆς ἡμέρας ταύτης"· τουτέστι, πάντα τὰ κακά, ἃ λογίζομαι ποιῆσαι αὐτοῖς. Ὅρα τί φιλάνθρωπος ὁ Θεὸς καὶ κηδεμονικός. Ἐπειδὴ γὰρ κατὰ μέρος ἀκοῦσαι οὐκ ἠνείχοντο, Συνάγαγε, φησίν, αὐτὰ πάντα, καὶ αὔξησον τὸν φόβον, ἵνα κἂν οὕτω βελτίους γένωνται. Μνημονεύετε τῆς ὑποσχέσεως· τὸ ζητούμενον ἡμῖν δεῖξαι, ὅτι καὶ τὰ βιβλία ἂν αὐτὰ κατέκοψαν, εἰ ἐνόησαν τὰ σήμερον ἐκβάντα πάντα. "Ἴσως ἀκούσονται κακά" (δεῖ γὰρ ἔχεσθαι τῆς ἱστορίας), "ἃ λογίζομαι ποιῆσαι αὐτοῖς, καὶ ἀποστραφήσονται ἀπὸ τῆς ὁδοῦ αὐτῶν τῆς πονηρᾶς". "Ἴσως", ὁ Θεὸς λέγει; ἀγνοεῖ, εἰπέ μοι, τὰ ἐσόμενα; οὐκ οἶδεν εἰ ἀκούσονται, ὁ εἰδὼς πάντα πρὶν γενέσεως, ὁ ἐτάζων καρδίας καὶ νεφρούς, ὁ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν; ᾧ πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ; Τίνος δὲ ἕνεκεν ἔλεγεν, "Ἴσως ἀκούσον-

13. Πράξ. 21, 20.21. 14. Ἱερ. 36, 1-2. 15. Ἱερ. 36, 13.

ἀλλαγή τοῦ τρόπου ζωῆς τους; Γι' αὐτό οἱ προφῆτες ἔλεγαν βέβαια αὐτά, δέν τά ἔλεγαν ὅμως φανερά. Γι' αὐτό καί τόν Παῦλο ἤθελαν νά σκοτώσουν, ἐπειδή προσπαθοῦσε νά τούς πείσει ν' ἀλλάξουν τρόπο ζωῆς. Ἀπό ποῦ φαίνεται αὐτό; «Βλέπεις», λέγει, «ἀδελφέ μου, πόσες χιλιάδες εἶναι οἱ Ἰουδαῖοι πού ἔχουν πιστέψει, καί ὅλοι αὐτοί πληροφορήθηκαν γιά σένα, ὅτι διδάσκεις τήν ἀπομάκρυνση ἀπό τό Μωσαϊκό νόμο»[13]. Οἱ πιστοί δέν ἀνέχονταν νά διδάσκει τήν ἀπομάκρυνση ἀπό τό νόμο· ὅσοι ὅμως δέν πίστεψαν ἀκόμη πῶς θ' ἀνέχονταν ν' ἀκούσουν, ὅτι θά καταργηθεῖ κάποτε ὁ νόμος; Ὅτι λοιπόν οἱ Ἰουδαῖοι θά σκότωναν τούς προφῆτες, ἐάν προφήτευαν καθαρά κάτι τέτοιο, τό ἀποδείξαμε ἀπό τίς μαρτυρίες, καί ἀπό τό μακάριο Ἰερεμία, καί ἀπό τόν πρωτομάρτυρα Στέφανο, ἀπό τόν ἴδιο τό Χριστό καί ἀπό τόν ἀπόστολο Παῦλο. Γιατί, ἀφοῦ τούς κατηγοροῦσαν ὅλους γιά τά ἴδια, ἔτσι τούς σκότωναν. Ὅτι ὅμως θά ἔκαιαν καί τά ἴδια τά προφητικά βιβλία, ἐάν γνώριζαν καλά τί ἔλεγαν, θά προσπαθήσω καί αὐτό νά σᾶς παρουσιάσω ἀπό κάποια ἱστορία, πού εἶναι σκοτεινή γιά σᾶς, ἀλλά θά γίνει ἀμέσως πολύ φανερή. Θά προσπαθήσω νά σᾶς τήν διηγηθῶ. Ποιά λοιπόν εἶναι ἡ ἱστορία, ἀκοῦστε.

«Καί συνέβηκε στόν τέταρτο χρόνο τοῦ Ἰωακείμ, τοῦ υἱοῦ τοῦ Ἰωσία, βασιλιᾶ τοῦ Ἰούδα, εἶπε ὁ Κύριος στόν Ἰερεμία· Γράψε ὅλους τούς λόγους, πού εἶπα σέ σένα ἀπό τήν ἐποχή τοῦ Ἰωσία μέχρι τήν ἡμέρα αὐτή»[14]· δηλαδή, ὅλα τά κακά, πού σκέπτομαι νά κάμω σ' αὐτούς. Πρόσεχε πόσο φιλάνθρωπος εἶναι ὁ Θεός καί πόσο φροντίζει γι' αὐτούς. Ἐπειδή λοιπόν δέν ἀνέχονταν νά τά ἀκούσουν ἕνα ἕνα ξεχωριστά, λέγει· «Συγκέντρωσε αὐτά ὅλα, καί μεγάλωσε τό φόβο τους, γιά νά γίνουν τουλάχιστο ἔτσι καλύτεροι». Νά θυμάστε τήν ὑπόσχεσή μου· ἐκεῖνο πού θέλω νά δείξω εἶναι ὅτι καί τά βιβλία αὐτά θά κατέστρεφαν, ἐάν καταλάβαιναν ὅλα ὅσα συνέβηκαν σήμερα. «Ἴσως ἀκούσουν τά κακά» (γιατί πρέπει νά παρακολουθοῦμε τήν ἱστορία), «τά ὁποῖα σκέπτομαι νά κάμω σ' αὐτούς καί ἐγκαταλείψουν τόν πονηρό τους δρόμο»[15]. «Ἴσως», ὁ Θεός λέγει; Πές μου, δέ γνωρίζει αὐτά πού θά συμβοῦν; δέ γνωρίζει, ἐάν θά τά ἀκούσουν, αὐτός πού γνωρίζει τά πάντα πρίν τή δημιουργία τους, αὐτός πού ἐρευνᾶ καρδιές καί νεφρά, αὐτός πού εἶναι ἱκανός νά διακρίνει τίς ἀναμνήσεις καί τίς σκέψεις μας; πού τά πάντα εἶναι γυμνά καί ξεσκέπαστα μπροστά στά μάτια του; Καί γιά ποιό λόγο ἔλεγε, «Ἴσως

ται"; Καὶ γὰρ καὶ ταῦτα ἀναγκαῖον ὑμᾶς μανθάνειν, διὰ τοὺς ἐγκαλοῦντας ἄγνοιαν τῷ Μονογενεῖ. Ἰδοὺ γὰρ καὶ ὁ Πατὴρ ἀγνοοῦντος φθέγγεται ῥήματα· τὸ γάρ, "Ἴσως", ἀγνοοῦντός ἐστιν· ἀλλ' οὐκ ἀγνοεῖ. Ὁπόταν οὖν καὶ παρὰ τοῦ Υἱοῦ 5 ἀκούσῃς τι τοιοῦτον λέγοντος, τὴν αὐτὴν κατάδεξαι ψῆφον. Υἱὸς γὰρ ὤν, πανταχοῦ τὸν Πατέρα μιμεῖται.

Ἀλλ' οἱ μὲν τῶν ἀγώνων καιροὶ τούτων ἀναμενέτωσαν, ἵνα μὴ τῆς προκειμένης ὑποθέσεως ἐκπέσωμεν, εἴπωμεν δέ, τίνος ἕνεκεν λέγει, "Ἴσως ἀκούσονται". Εἰ εἶπεν, ὅτι ἀκούσονται, 10 χωρὶς τοῦ "Ἴσως", ψευδὲς ἦν· οὐ γὰρ ἔμελλον ἀκούσεσθαι. Εἰ εἶπε τὸ ἀληθές, ὅτι οὐκ ἀκούσονται, περιττῶς ἔπεμπε τὸν προφήτην τοῖς οὐκ ἀκουσομένοις. Καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλὰ καὶ ἵνα μὴ ἡ πρόγνωσις αὐτοῦ νομισθείη ἀναγκαστική τις εἶναι τῆς παρακοῆς, διὰ τοῦτο ἐπαμφιβόλως τέθεικε τὰ 15 ῥήματα, ἵνα μὴ λέγωσί τινες, ὅτι προεῖπεν ὁ Θεός, καὶ πάντως ἔδει γενέσθαι· ὃ καὶ περὶ τοῦ Ἰούδα λέγουσι. Προεῖπε, φησίν, ὅτι προδότης ἔσται, καὶ διὰ τοῦτο προδότης ἐγένετο. Ὢ τῆς ἀνοίας, ὢ τῆς ἀναισχυντίας. Οὐδὲ γὰρ ἡ πρόγνωσις, ἄνθρωπε, τῆς πονηρίας αἰτία· μὴ γένοιτο. Οὐ γάρ ἐστιν ἀναγκαστικὴ τῶν 20 μελλόντων ἔσεσθαι, ἀλλὰ προγνωστικὴ μόνον. Οὐκ ἐπειδὴ προεῖπεν ὁ Χριστός, διὰ τοῦτο ἐγένετο ἐκεῖνος προδότης, ἀλλ' ἐπειδὴ προδότης ἔμελλε γενέσθαι, διὰ τοῦτο προεῖπεν ὁ Χριστός. Ἵνα οὖν μὴ καὶ ἐνταῦθα λέγωσιν, ὅτι εἶπεν ὅτι οὐκ ἀκούσονται, καὶ ἀπέκλεισεν αὐτοῖς τῆς μετανοίας τὴν ὁδόν, 25 προλαβὼν ἀνέσπασεν αὐτῶν τὴν πρόφασιν, εἰπὼν τῷ προφήτῳ, "Ἴσως ἀκούσονται".

5. Μνημονεύετε τῆς ὑποσχέσεως· διὰ γὰρ τοῦτο συνεχῶς ὑμᾶς ὑπομιμνήσκω, ἵν' ὅταν ἐπαγάγω τὸ συμπέρασμα, μὴ ἐπιλάθησθε τοῦ ζητηθέντος ἡμῖν ἐν ἀρχῇ κεφαλαίου. Τί δὲ ἦν 30 τοῦτο; Ὅτι εἰ ᾔσθοντο οἱ Ἰουδαῖοι, ὅτι ἔμελλεν αὐτοῖς συμβήσεσθαι τὰ κατειληφότα αὐτοὺς δεινὰ (ταῦτα δὴ λέγω τὰ νῦν κατέχοντα αὐτούς), αὐτὰ τὰ βιβλία ἂν κατέκοψαν, καὶ οὐκ ἂν ἐφείσαντο οὐδὲ τῶν θείων γραμμάτων. Ἀλλ' ἐπὶ τὴν ἱστορίαν ἔλθωμεν. "Ταῦτα ἀκούσας ὁ Ἱερεμίας, καλεῖ τὸν μαθητὴν 35 αὐτοῦ Βαροὺχ υἱὸν Νηρίου, καὶ λέγει πρὸς αὐτόν· Γράψον εἰς βιβλίον πάντα τὰ μέλλοντα αὐτοῖς ἔσεσθαι δεινά". Τί γέγονε;

---

16. Ἱερ. 36, 4.

ἀκούσουν»; Γιατί καί αὐτά εἶναι ἀνάγκη νά μαθαίνετε, γιά ἐκείνους πού κατηγοροῦν γιά ἄγνοια τό Μονογενή. Νά λοιπόν πού καί ὁ Πατέρας ὁμιλεῖ σάν νά μή γνωρίζει, γιατί τό «Ἴσως», εἶναι δεῖγμα ἐκείνου πού ἀγνοεῖ. Ἀλλά δέν ἀγνοεῖ. Ὅταν λοιπόν ἀκούσεις καί τόν Υἱό νά λέγει κάτι τέτοιο, νά δέχεσαι τήν ἴδια γνώμη. Γιατί, ἀφοῦ εἶναι Υἱός, παντοῦ μιμεῖται τόν Πατέρα.

Ἀλλ᾽ οἱ εὐκαιρίες γιά τούς ἀγῶνες αὐτούς ἄς περιμένουν, γιά νά μήν ξεφύγουμε ἀπό τό θέμα μας. Ἄς ποῦμε ὅμως, γιά ποιό λόγο λέγει, «Ἴσως νά τά ἀκούσουν». Ἐάν ἔλεγε, ὅτι θά τά ἀκούσουν, χωρίς τό «Ἴσως», θά ἦταν ψέμα, γιατί δέν ἐπρόκειτο νά τά ἀκούσουν. Ἐάν ἔλεγε τήν ἀλήθεια, ὅτι δέ θά τά ἀκούσουν, θά ἔστελνε ἄσκοπα τόν προφήτη σ᾽ ἐκείνους πού δέν ἐπρόκειτο ν᾽ ἀκούσουν. Καί ὄχι μόνο γι᾽ αὐτό, ἀλλά καί γιά νά μή θεωρηθεῖ ὅτι ἡ πρόγνωσή του ἀναγκάζει τούς ἀνθρώπους γιά παρακοή, γι᾽ αὐτό ἔβαλε τά λόγια μέ ἀσάφεια, γιά νά μή λέγουν μερικοί, ὅτι τό εἶπε ὁ Θεός ἀπό πρίν καί ὁπωσδήποτε ἔπρεπε νά γίνει, πράγμα πού λέγουν καί στήν περίπτωση τοῦ Ἰούδα. Τό εἶπε ἀπό πρίν, λέγει, ὅτι θά γίνει προδότης, καί γι᾽ αὐτό ἀκριβῶς ἔγινε προδότης. Πόση εἶναι ἡ ἀνοησία καί πόση εἶναι ἡ ἀναίδειά τους! Γιατί δέν εἶναι ἡ πρόγνωση, ἄνθρωπε, ἡ αἰτία τῆς κακίας· μακριά μιά τέτοια σκέψη. Δέν ἀναγκάζει δηλαδή νά συμβοῦν ἐκεῖνα πού πρόκειται νά συμβοῦν στό μέλλον, ἀλλά μόνο τά γνωρίζει ἀπό πρίν. Ὄχι γιατί τό προεῖπε ὁ Χριστός, γι᾽ αὐτό ἔγινε ἐκεῖνος προδότης, ἀλλά γιατί ἐπρόκειτο νά γίνει προδότης, γι᾽ αὐτό τό προεῖπε ὁ Χριστός. Γιά νά μή λέγουν λοιπόν καί ἐδῶ, πώς εἶπε ὅτι δέ θά τά ἀκούσουν, καί τούς ἀπέκλεισε τό δρόμο τῆς μετάνοιας, προκαταβολικά τούς ἀφαίρεσε τήν πρόφαση, λέγοντας στόν προφήτη, «Ἴσως νά τά ἀκούσουν».

5. Νά θυμάστε τήν ὑπόσχεση. Γι᾽ αὐτό σᾶς τή θυμίζω συνέχεια, ὥστε, ὅταν φθάσω στό συμπέρασμα, νά μήν ξεχάσετε ἐκεῖνο πού ζητούσαμε στήν ἀρχή. Καί ποιό ἦταν αὐτό; Ὅτι, ἄν οἱ Ἰουδαῖοι ἀντιλαμβάνονταν, πώς ἐπρόκειτο νά τούς συμβοῦν τά κακά πού τούς ἔχουν βρεῖ (ἐννοῶ αὐτά πού τούς καταπιέζουν καί σήμερα), θά κατέστρεφαν τά ἴδια τά βιβλία καί δέ θά σέβονταν οὔτε τά ἱερά γράμματα. Ἀλλ᾽ ἄς ἔρθουμε στήν ἱστορία. «Ἀφοῦ ἄκουσε αὐτά ὁ Ἰερεμίας, καλεῖ τό μαθητή του Βαρούχ, τόν υἱό τοῦ Νηρία, καί λέγει σ᾽ αὐτόν· Γράψε σέ βιβλίο ὅλα τά κακά πού πρόκειται νά συμβοῦν σ᾽ αὐτούς»[16]. Τί ἔχει γίνει; ἐσένα διέταξε ὁ Θεός, καί ἐσύ στέλνεις τό μαθητή σου; Μήπως λοιπόν δειλιάζεις; μήπως ἀνησυχεῖς; μήπως

σὺ ἐπετάγης παρὰ τοῦ Θεοῦ, καὶ τὸν μαθητὴν πέμπεις; ἆρα μὴ δειλιᾷς; ἆρα μὴ ἀγωνιᾷς; ἆρα μὴ δέδοικας; εἰ σὺ δέδοικας, πῶς ὁ μαθητὴς τολμήσει; Ἀλλ' οὐδὲν τούτων· πρόσκειται γὰρ ἡ αἰτία, εἰπὼν γάρ, Γράψον καὶ ἀνάγνωθι, ἐπήγαγεν· "Ἐγὼ
5 *γὰρ κατέχομαι ἐν τῇ φυλακῇ". Ὢ μεγαλοψυχίας. Ἐν τῷ δεσμωτηρίῳ ἦν, καὶ τῆς προφητείας οὐκ ἀφίστατο. Προσέχωμεν τῇ ἀνδρείᾳ τοῦ δικαίου, καὶ τῇ τῆς διανοίας φιλοσοφίᾳ. Οὐκ εἶπε πρὸς ἑαυτόν· Τοσαῦτά μοι δεινὰ συμβέβηκε διὰ τὴν παῤῥησίαν ταύτην· μυρίους ἀνήλωσα λόγους, καὶ οὐδὲν*
10 *ὤνησα, οὐδὲ ἐγένετό μοί τι πλέον, ἀλλ' ἢ τὸ δεδέσθαι μόνον· καὶ οὔπω με τῶν δεσμῶν ἀπέλυσεν ὁ Θεός, καὶ πάλιν πέμπει με πρὸς τοὺς θῆρας ἐκείνους;*

Οὐδὲν τούτων οὐκ εἶπεν, οὐδὲ ἐνενόησεν· ἀλλ' ἓν μόνον ἐσκόπει, ὅπως ἀνυσθῇ τὸ ἐπίταγμα τοῦ Δεσπότου· καὶ ἐπεὶ
15 *δι' ἑαυτοῦ οὐκ ἴσχυσε, διὰ τοῦ μαθητοῦ κατεσκεύασεν αὐτό. "Ἀνάγνωθι" γάρ, φησίν, "αὐτοῖς, καὶ εἰπὲ πάντα τὰ κακά. Ἐγὼ γὰρ κατέχομαι ἐν τῇ φυλακῇ". Καὶ ἔλεγεν Ἱερεμίας, καὶ ἔγραφεν ὁ Βαροὺχ ἐν βιβλίῳ. Νηστείας καιρὸς ἦν, ὅτε ταῦτα ἐγίνετο· ἑορτὴ ἐφειστήκει, πάντας καλοῦσα πρὸς τὴν μητρό-*
20 *πολιν· ἔδει γὰρ κοινὸν γενέσθαι τὸν σύλλογον, ἐπειδὴ περὶ ἀναγκαίων πραγμάτων ἔμελλεν ἡ ἐκκλησία ἔσεσθαι. "Εἰσῆλθε πρὸς τοὺς ἄρχοντας ὁ Βαρούχ, καὶ ἀνέγνω εἰς τὰ ὦτα τῶν ἀρχόντων πάντας τοὺς λόγους τούτους"· καὶ εἶπε καὶ τὴν αἰτίαν· "Ἴσως" γάρ, φησί, "πεσεῖται τὸ ἔλεος ὑμῶν ἐνώπιον*
25 *Κυρίου"· ἵνα μὴ νομίσωσιν ὅτι ὡς κατήγορος ἔλεγεν, ἀλλὰ μαθόντες ὅτι θεραπεῦσαι αὐτοὺς ἀφῖκται, ἐπιεικέστεροι γένωνται. Τί οὖν ἐκεῖνοι; Δέον χάριτας ὁμολογῆσαι, δέον ἐπαινέσαι, δέον θαυμάσαι, οὐδὲν τούτων ποιοῦσιν, ἀλλ' ἀπελθόντες ἀνήγγειλαν τῷ βασιλεῖ τὰ γεγραμμένα ἐν τῷ βιβλίῳ, καὶ*
30 *τὸ βιβλίον ἀπέθεντο ἐν τῷ οἴκῳ Ἐλισαμᾶ.*

"Καὶ πέμψας", φησίν, "ὁ βασιλεὺς τὸν Ἰουδήν", ἕνα τινὰ τῶν παρεστηκότων αὐτῷ, "ἐκέλευσε κομισθῆναι τὸ βιβλίον. Καὶ ἐκάθητο ὁ βασιλεὺς ἐν οἴκῳ χειμερινῷ"· μὴν γὰρ ἔνατος ἦν, τουτέστι Νοέμβριος· ἔνατον ἀπὸ τοῦ Ξανδικοῦ ἀριθμῶν
35 *λέγει· δεῖ γὰρ καὶ ταῦτα ἀκριβῶς εἰδέναι. Εἰ γὰρ ἀπὸ τοῦ Δίου ἠρίθμει, οὐκ ἔμελλεν ἔσεσθαι τότε χειμών. Τίνος οὖν ἕνεκεν καὶ τοῦτο πρόσκειται; Ἐκ τῶν μετὰ ταῦτα εἴσῃ σαφῶς. "Καὶ*

φοβᾶσαι; Ἐάν ἐσύ φοβᾶσαι, πῶς θά τολμήσει ὁ μαθητής; Τίποτε ὅμως ἀπ' ὅλα αὐτά, γιατί ὑπάρχει παρακάτω ἡ αἰτία. Γιατί, ἀφοῦ εἶπε, «Γράψε καί διάβασε», πρόσθεσε· «Ἐγώ εἶμαι στή φυλακή». Πόση εἶναι ἡ μεγαλοψυχία του! Ἦταν στή φυλακή καί δέν ἄφηνε τήν προφητεία. Ἄς προσέξουμε τή γενναιότητα τοῦ δίκαιου ἀνθρώπου καί στή φιλοσοφία τῆς ψυχῆς του. Δέν εἶπε στόν ἑαυτό του· «Μοῦ συνέβηκαν τόσες συμφορές ἐξ αἰτίας τῆς παρρησίας μου· ξόδεψα τόσα λόγια, τίποτε ὅμως δέν ὠφέλησα, οὔτε ἀπέκτησα κάτι περισσότερο, παρά μόνο φυλακίσθηκα· καί δέ μέ ἐλευθέρωσε ὁ Θεός ἀκόμη ἀπό τά δεσμά, καί μέ στέλνει πάλι στά θηρία αὐτά;».

Τίποτε ἀπ' αὐτά δέν εἶπε, οὔτε σκέφθηκε. Ἀλλ' ἕνα μόνο φρόντιζε, πῶς νά πραγματοποιηθεῖ ἡ ἐντολή τοῦ Κυρίου. Καί ἐπειδή δέν μπόρεσε μόνος του, τό ἔκαμε μέ τό μαθητή του. Γιατί τοῦ λέγει· «Διάβασε σ' αὐτούς καί πές ὅλα τά κακά. Γιατί ἐγώ βρίσκομαι στή φυλακή». Καί ἔλεγε ὁ Ἱερεμίας καί ὁ Βαρούχ ἔγραφε στό βιβλίο. Ἦταν ἐποχή νηστείας, ὅταν γίνονταν αὐτά· πλησίαζε ἑορτή, πού καλοῦσε ὅλους στήν πρωτεύουσα. Γιατί ἔπρεπε νά γίνει συγκέντρωση ὅλων, ἐπειδή ἡ συνέλευση θά γινόταν γιά θέματα ἀναγκαῖα. «Πλησίασε πρός τούς ἄρχοντες ὁ Βαρούχ, καί διάβασε γιά ν' ἀκούσουν οἱ ἄρχοντες ὅλα αὐτά τά λόγια»[17]. Καί εἶπε μάλιστα καί τήν αἰτία, γιατί λέγει· «Ἴσως θά πέσει ἡ δέησή σας μπροστά στόν Κύριο»[18], γιά νά μή νομίσουν ὅτι μιλοῦσε σάν κατήγορος, ἀλλά γιά νά γίνουν πιό πράοι, ὅταν μάθουν ὅτι ἦρθε γιά νά τούς θεραπεύσει. Τί λοιπόν ἔκαμαν ἐκεῖνοι; Ἐνῶ ἔπρεπε νά τόν εὐχαριστήσουν, ἐνῶ ἔπρεπε νά τόν ἐπαινέσουν, ἐνῶ ἔπρεπε νά τόν θαυμάσουν, δέν κάνουν τίποτε ἀπ' αὐτά, ἀλλά πῆγαν καί ἀνακοίνωσαν στό βασιλιά ὅσα ἦταν γραμμένα στό βιβλίο, καί τοποθέτησαν τό βιβλίο στό σπίτι τοῦ Ἐλισαμᾶ.

«Καί ἀφοῦ ἔστειλε», λέγει ἡ Γραφή, «ὁ βασιλιάς τόν Ἰουδή», ἕναν ἀπό τούς ὑπηρέτες του, «τόν διέταξε νά φέρει τό βιβλίο. Καθόταν ὁ βασιλιάς σέ χειμερινό σπίτι»[19]. Γιατί ἦταν ὁ ἔνατος μήνας, δηλαδή ὁ Νοέμβριος. Τόν ὀνομάζει ἔνατο, γιατί μετράει ἀπό τό Μάρτιο[20]· πρέπει λοιπόν καί αὐτά νά τά γνωρίζουμε μέ ἀκρίβεια. Γιατί ἄν ἀριθμοῦσε ἀπό τόν Ὀκτώβριο[21], δέν ἔπρεπε τότε νά εἶναι χειμώνας.

17. Ἱερ. 36, 14-15. 18. Ἱερ. 36, 7. 19. Ἱερ. 36, 21.22.

20. Ξανθικός· τό ὄνομα τοῦ Μαρτίου στούς Μακεδόνες.

21. Δίος· τό ὄνομα τοῦ πρώτου μήνα στό Μακεδονικό ἡμερολόγιο. Εἶναι ὁ μήνας Ὀκτώβριος.

ἐσχάρα πυρὸς ἔμπροσθεν αὐτοῦ"· ἀνθρακιά, φησί, διότι ψῦχος ἦν. Ὁρᾶτε πῶς οὐδὲν παραλιμπάνεται τῇ θείᾳ Γραφῇ; Καὶ ἀνθρακιὰ πυρὸς ἔμπροσθεν αὐτοῦ· καὶ περιεστήκεισαν οἱ σατράπαι· ἐκομίσθη τὸ βιβλίον μυρίων γέμον καλῶν (ἡ γὰρ τῶν
5 *κακῶν προφητεία κακῶν ἀναίρεσις ἦν), καὶ ἀνεγινώσκετο. Μνημονεύετέ μοι, παρακαλῶ, τῆς ὑποσχέσεως. "Καὶ ἐν τῷ ἀναγινώσκειν αὐτὸν τρεῖς σελίδας, λαβὼν τὴν σμίλην ἔκοψεν, καὶ ἔβαλεν εἰς τὴν ἐσχάραν τοῦ πυρός, ἕως ἐξέλιπε τὸ βιβλίον ἅπαν". Εἶδες πῶς οὐ φείδονται οὐδὲ τῶν βιβλίων; πῶς οὐδὲ*
10 *τῶν γραμμάτων τῶν θείων ἀπέχονται; Ἐπειδὴ αἰχμαλωσίαν εἶχε τῆς Ἱερουσαλήμ, κατέκοψε· καὶ οὐχ εὑρὼν τὸν προφήτην, εἰς τὰ γράμματα τὴν ὀργὴν ἀφῆκεν. Ὁ τοίνυν τοῖς ἀψύχοις οὕτω πολεμῶν, εἰ τὸν ψυχὴν ἔχοντα εὗρε, τί οὐκ ἂν εἰργάσατο;*

Καθάπερ γὰρ τὰ χαλεπὰ τῶν θηρίων, ἐπειδὰν ἐπιλάβωνται
15 *τῶν πυκτευόντων αὐτοῖς, εἶτα ἐκεῖνοι διαφύγωσι καταλιπόντες ἐν τῷ στόματι τῶν θηρίων ἃ περίκεινται δέρματα, λοιπὸν αὐτὰ περιτρώγουσι παραμυθούμενα τὸν θυμόν, οὕτω δὴ καὶ ὁ βασιλεὺς ἐποίησεν. Οὐχ εὗρε τὸν ἔχοντα τὸ βιβλίον, καὶ αὐτὸ τὸ βιβλίον κατέκοψε· καὶ οὐ κατέκοψε μόνον, ἀλλὰ*
20 *καὶ ἐνέβαλεν εἰς τὴν ἐσχάραν τοῦ πυρός, ἵνα μηδὲ λείψανον μείνῃ τῶν γραμμάτων ἐκείνων. Ἀλλ' οὐδέπω πᾶσαν ἔγνωτε αὐτοῦ τὴν μανίαν· εἴσεσθε δὲ σαφῶς, ἐὰν μετὰ ἀκριβείας τῷ διηγήματι προσέχητε. Οὐ γὰρ εἶπεν, ὅτι ἀναγνοὺς τὸ βιβλίον ἅπαν, οὕτως ἔκαυσεν, ἀλλ' "Ἐν τῷ ἀναγινώσκειν αὐτὸν τρεῖς*
25 *σελίδας ἢ τέσσαρας, ἐξέτεμεν αὐτό". Οὐκ ἀνέμεινεν οὐδὲ τὸ τέλος τῆς ἀναγνώσεως, ἀλλ' ἐξ αὐτῶν τῶν προοιμίων εὐθέως ἐξηγριώθη. Διὰ ταῦτα οὐκ ἦν ἀσφαλὲς τοῖς προφήταις Ἰουδαίοις λέγειν μετὰ σαφηνείας πάντα τὰ ἐσόμενα δεινά. Εἰ γὰρ πρόσκαιρον οὐκ ἤνεγκεν αἰχμαλωσίαν ἀκοῦσαι, τὴν*
30 *διηνεκῆ πῶς ἂν ὑπέμεινε μαθεῖν; Καὶ οὐδὲ μέχρι τούτου ἔστη ὁ βασιλεύς, ἀλλ' ἔπεμψε, φησί, ζητεῖν πανταχοῦ τὸν προφήτην, ἀλλ' οὐχ εὗρεν αὐτόν· ἔκρυψε γὰρ αὐτὸν ὁ Θεός. Ἐκεῖνον μὲν τόπῳ τότε ἔκρυψε, τοὺς δὲ ἄλλους προφήτας τῇ ἀσαφείᾳ τῶν λεγομένων.*

35 *6. Οὐκ ἀπὸ τούτων δὲ μόνον ἡμῖν ἔσται φανερόν, ὅτι τολμηρὸν ἦν παρὰ Ἰουδαίοις καὶ ψυχῆς ῥιψοκινδύνου, τὴν*

---

22. Ἱερ. 36, 22. 23. Ἱερ. 36, 23.

Για ποιό λόγο λοιπόν προσθέτει καί αὐτό; Ἀπ᾽ αὐτά πού ἀκολουθοῦν, θά τό γνωρίσεις καλά. «Καί ἀναμμένη φωτιά ἦταν μπροστά του»[22]. Ὑπῆρχαν ἀναμμένα κάρβουνα, λέγει, γιατί ἔκανε κρύο. Βλέπετε πώς τίποτε δέ μένει κρυφό στή θεία Γραφή; Καί ἀναμμένα κάρβουνα ἔχει μπροστά του καί γύρω του κάθονταν οἱ σατράπες. Ἔφεραν τό βιβλίο πού ἦταν γεμάτο μ᾽ ἄπειρα καλά (γιατί ἡ προφητεία τῶν κακῶν καταργοῦσε τά κακά), καί τό διάβαζαν. Νά θυμάστε, σᾶς παρακαλῶ, τήν ὑπόσχεση. «Καί, ἀφοῦ αὐτός διάβασε τρεῖς σελίδες, πῆρε τό μαχαίρι τίς ἔκοψε καί τίς ἔβαλε στή φωτιά, ὥσπου τελείωσε ὅλο τό βιβλίο»[23]. Εἶδες ὅτι δέ σέβονται οὔτε τά βιβλία; εἶδες ὅτι δέν ἀποφεύγουν οὔτε τά θεῖα γράμματα; Ἐπειδή περιεῖχε τήν αἰχμαλωσία τῆς Ἱερουσαλήμ, τό κατέστρεψε, καί, ἐπειδή δέ βρῆκε τόν προφήτη, ἄφησε νά ξεσπάσει ἡ ὀργή του στά γράμματα. Αὐτός λοιπόν πού πολεμᾶ ἔτσι τά ἄψυχα, ἄν εὕρισκε αὐτόν πού εἶχε ψυχή, τί θά τόν ἔκαμε;

Ὅπως τά ἄγρια θηρία, ὅταν πιάσουν αὐτούς πού μονομαχοῦν μαζί τους, καί στή συνέχεια ξεφύγουν αὐτοί, ἀφήνοντας στό στόμα τῶν θηρίων τά δέρματα πού φοροῦν, τότε τά τρώγουν αὐτά γιά νά καταπραΰνουν τό θυμό τους, ἔτσι ἀκριβῶς καί ὁ βασιλιάς ἔκαμε. Δέ βρῆκε λοιπόν αὐτόν πού εἶχε τό βιβλίο καί καταξέσχισε τό ἴδιο τό βιβλίο· καί ὄχι μόνο τό καταξέσχισε, ἀλλά καί τό ἔβαλε μέσα στή φωτιά, γιά νά μή μείνει κανένα ἀπομεινάρι ἀπό τά γράμματα ἐκεῖνα. Ἀλλά δέ γνωρίσατε ἀκόμη ὅλη του τή μανία· θά τή γνωρίσετε ὅμως καλά, ἐάν δώσετε προσοχή στή διήγηση. Γιατί δέν εἶπε, ὅτι ἀφοῦ διάβασε ὅλο τό βιβλίο, τότε τό ἔκαψε, ἀλλ᾽ «Ἀφοῦ διάβασε αὐτός τρεῖς ἤ τέσσερις σελίδες, τό ξέσχισε». Δέν περίμενε οὔτε τό τέλος τῆς ἀνάγνωσης, ἀλλ᾽ ἀμέσως ἐξαγριώθηκε ἀπό τήν εἰσαγωγή τοῦ βιβλίου. Γι᾽ αὐτό δέν ἦταν ἀσφαλισμένοι οἱ προφῆτες νά λέγουν στούς Ἰουδαίους μέ σαφήνεια ὅλα τά κακά πού ἐπρόκειτο νά συμβοῦν. Ἀφοῦ ὅμως δέν ἄντεξε ν᾽ ἀκούσει γιά προσωρινή αἰχμαλωσία, πῶς θά ὑπέφερε νά μάθει γιά τήν παντοτινή; Καί οὔτε μέχρι ἐδῶ σταμάτησε ὁ βασιλιάς· ἀλλ᾽ ἔστειλε, λέγει ἡ Γραφή, νά ζητήσει παντοῦ τόν προφήτη, ἀλλά δέν τόν βρῆκε, γιατί τόν ἔκρυψε ὁ Θεός. Αὐτόν βέβαια τόν ἔκρυψε τότε σέ τόπο, τούς ἄλλους ὅμως προφῆτες τούς ἔκρυβε μέ τήν ἀσάφεια τῶν προφητειῶν.

6. Ὄχι μόνο ἀπ᾽ αὐτά θά γίνει σέ μᾶς φανερό, ὅτι ἦταν τολμηρό στούς Ἰουδαίους καί πράξη ριψοκίνδυνου ἀνθρώπου, νά τούς μιλοῦν

ἐσομένην τοῖς ἔθνεσι τιμὴν καὶ δόξαν, καὶ τὴν διαδεξομένην ἐκείνους ἀτιμίαν λέγειν, ἀλλὰ καὶ ἐκ τῶν Παύλου ῥημάτων. Οὗτος γοῦν ἰδών τινα προφήτην μικρὸν παρανοίξαντά τι τῆς προῤῥήσεως ταύτης, καὶ σαφέστερον τῶν ἄλλων εἰπόντα, καὶ 5 *τὰ ἡμέτερα ἀγαθά, καὶ τὰ ἐκείνων κακά, ἐξεπλάγη καὶ ἐθαύμασε τῆς τόλμης αὐτόν, οὕτως εἰπών· "Ἡσαΐας δὲ ἀποτολμᾷ, καὶ λέγει· Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν. Εἶπον, Ἰδού εἰμι, τῷ ἔθνει, οἳ οὐκ ἐκάλεσαν τὸ ὄνομά μου". Καίτοι, εἰ μὴ κίνδυνος ἐκ τῆς* 10 *προῤῥήσεως ἠκολούθει, τίνος ἕνεκεν εἶπε Παῦλος, "Ἡσαΐας δὲ ἀποτολμᾷ, καὶ λέγει· Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν"; Μεγίστη ὄντως κατηγορία Ἰουδαίων. Οἱ μὴ ζητοῦντες εὗρον, καὶ οἱ ζητοῦντες ἀπέτυχον· οἱ μὴ ἀκούσαντες ἐπίστευσαν, καὶ οἱ ἀκούσαντες ἐσταύρωσαν. Διὰ ταῦτα τολμητὴν ἐκάλεσε τὸν* 15 *Ἡσαΐαν. Καὶ γὰρ ὄντως μεγίστης τόλμης ἦν, ἐν μέσῳ τῶν κατηγορουμένων ἑστῶτα, ἀφειδῶς ποιεῖσθαι τὰς κατηγορίας, καὶ ἐκείνους μὲν τῆς τιμῆς φανερῶς ἐκβάλλειν διὰ τῆς προφητείας, ἑτέρους δὲ εἰσάγειν εἰς τὴν ὀφειλομένην ἐκείνοις δόξαν. Τὸ δικαστήριον τῶν ἀκουόντων κατηγόρους εἶχε* 20 *πάντας. Τίς δὲ ἐν δικασταῖς ἐχθροῖς διαφεύγειν δύναται κίνδυνον; Διὰ τοῦτο, φησίν, "Ἀποτολμᾷ καὶ λέγει".*

Ἀλλ' ἔτι τοῦτο ὑμῖν σαφέστερον ἀποδεῖξαι βούλομαι. Διὰ τοῦτο περὶ Ἰουδαίων καὶ ἡμῶν ἀσαφῶς ἐν ταῖς Γραφαῖς εἴρηται, ἵνα μὴ πρὸ καιροῦ συνῶσι τῶν λεγομένων Ἰουδαῖοι. 25 *Καὶ τούτου παράγω μάρτυρα τὸν μεγαλοφωνότατον Παῦλον, τὸν ἄνωθεν φθεγγόμενον, τὴν σάλπιγγα τῶν οὐρανῶν, τὸ σκεῦος τῆς ἐκλογῆς, τὸν νυμφαγωγὸν τοῦ Χριστοῦ. "Ἡρμοσάμην γὰρ ὑμᾶς", φησίν, "ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ". Τοῦτον ὑμῖν παράγω μάρτυρα φανερῶς* 30 *λέγοντα, ὅτι διὰ τοῦτο συνεσκίασταί τινα τῶν ἐν τῇ Παλαιᾷ, οὐχὶ πάντα. Εἰς γὰρ πάντα ἀσαφῆ ἔμελλεν εἶναι, περιττῶς εἴρητο τοῖς τότε. Αἱ γὰρ προφητεῖαι ἔχουσι καὶ πολέμους προσκαίρους τοὺς τότε, καὶ λοιμούς, καὶ λιμούς· ἔχουσι δὲ καὶ τὰ σήμερον ἐκβάντα, τῆς Ἐκκλησίας τὴν κλῆσιν, τῆς συνα-* 35 *γωγῆς τὴν ἀποβολήν, τοῦ νόμου τὴν κατάργησιν. Ταῦτα δὲ οὐκ ἐβούλετο αὐτοὺς εἰδέναι· ἐκεῖνα δὲ ἤθελε τὰ ἐν τοῖς καιροῖς*

---

24. Ρωμ. 10, 20· Ἡσ. 65, 1. 25. Β΄ Κορ. 11, 2.

γιά τήν τιμή καί δόξα, πού θά ἔρθει στά ἔθνη, καί γιά τήν ντροπή πού θά ἔρθει σ' αὐτούς, ἀλλά καί ἀπό τά λόγια τοῦ Παύλου. Αὐτός λοιπόν, ὅταν εἶδε ὅτι κάποιος προφήτης φανέρωσε ἐλάχιστα ἀπό τήν προφητεία αὐτή καί εἶπε πιό καθαρά ἀπό τούς ἄλλους καί τά δικά μας ἀγαθά καί τά κακά ἐκείνων, ξαφνιάστηκε καί θαύμασε αὐτόν γιά τήν τόλμη του, λέγοντας τά ἑξῆς· «Ὁ Ἡσαΐας ὅμως τολμᾶ καί λέγει· Βρέθηκα ἀνάμεσα σ' ἐκείνους πού δέ μέ ζητοῦν, ἔγινα φανερός σ' ἐκείνους πού δέν ἐρωτοῦν γιά μένα. Εἶπα· Νά εἶμαι ἀνάμεσα στό ἔθνος, πού δέν πρόφερε τό ὄνομά μου»[24]. Βέβαια, ἄν δέν ἀκολουθοῦσε ὁ κίνδυνος ἀπό τήν προφητεία, γιά ποιό λόγο εἶπε ὁ Παῦλος, «Ὁ Ἡσαΐας τολμᾶ καί λέγει· Βρέθηκα ἀνάμεσα σ' ἐκείνους πού δέ μέ ζητοῦν»; Εἶναι πραγματικά πολύ μεγάλη ἡ κατηγορία ἐναντίον τῶν Ἰουδαίων. Ἐκεῖνοι πού δέ ζητοῦσαν τό Θεό, τόν βρῆκαν, καί ἐκεῖνοι πού τόν ζητοῦσαν, ἀπέτυχαν· ἐκεῖνοι πού δέν τόν ἄκουσαν, πίστεψαν, καί ἐκεῖνοι πού τόν ἄκουσαν, τόν σταύρωσαν. Γι' αὐτό ὀνόμασε τολμηρό τόν Ἡσαΐα. Καί πράγματι ἦταν πράξη πολύ μεγάλης τόλμης, ἐνῶ στεκόταν ἀνάμεσα σ' ἐκείνους πού κατηγοροῦσε, νά τούς κατηγορεῖ ἀλύπητα, καί μέ τήν προφητεία του φανερά τούς στεροῦσε τήν τιμή, ἐνῶ ἄλλους τούς ὁδηγοῦσε στή δόξα πού ὀφειλόταν σ' ἐκείνους. Τό δικαστήριο τῶν ἀκροατῶν του ἦταν ὅλοι κατήγοροί του. Ποιός ὅμως μπορεῖ νά ξεφύγει τόν κίνδυνο ἀνάμεσα σ' ἐχθρικούς δικαστές; Γι' αὐτό, λέγει· «Τολμᾶ καί λέγει».

Ἀλλά θέλω νά σᾶς ἀποδείξω αὐτό ἀκόμη πιό καθαρά. Γι' αὐτό στίς Γραφές γίνεται λόγος γιά τούς Ἰουδαίους καί γιά μᾶς μέ ἀσάφεια, γιά νά μήν καταλαβαίνουν τά λεγόμενα οἱ Ἰουδαῖοι πρίν ἀπό τήν ὥρα τους. Καί γι' αὐτό παρουσιάζω μάρτυρα τόν Παῦλο, πού φωνάζει δυνατά, πού μιλάει σάν ἐκπρόσωπος τοῦ Θεοῦ, τή σάλπιγγα τῶν οὐρανῶν, τό ἐκλεκτό ὄργανο, τόν παράνυμφο τοῦ Χριστοῦ. «Γιατί σᾶς ἀρραβώνιασα», λέγει, «μ' ἕναν ἄνδρα, γιά νά σᾶς παρουσιάσω σάν ἁγνή παρθένο στό Χριστό»[25]. Αὐτόν σᾶς παρουσιάζω μάρτυρα πού λέγει φανερά, ὅτι γι' αὐτό εἶναι σκοτεινά μερικά σημεῖα στήν Παλαιά Διαθήκη, ὄχι ὅμως ὅλα. Γιατί, ἄν ἐπρόκειτο νά εἶναι ὅλα σκοτεινά, θά λέγονταν ἄσκοπα γιά τούς τότε ἀνθρώπους. Οἱ προφητεῖες λοιπόν περιέχουν καί τούς πρόσκαιρους πολέμους τῆς τότε ἐποχῆς καί τούς λοιμούς καί τούς λιμούς, περιέχουν ὅμως καί τά σημερινά γεγονότα, τήν κλήση τῆς Ἐκκλησίας, τή διάλυση τῆς συναγωγῆς, τήν κατάργηση τοῦ νόμου. Αὐτά δέν ἤθελε νά τά γνωρίζουν αὐτοί, τά πρῶτα ὅμως πού συνέβαιναν στήν ἐποχή τους ἤθελε νά τά γνωρίζουν. Καί ἀκριβῶς

συμβαίνοντα τοῖς αὐτῶν. Καὶ τοῦτο αὐτὸ ἀποδεῖξαι πειράσομαι· ὅτι ταῦτα μόνα ἀσαφῆ ἐποίησε γενέσθαι, τὰ περὶ ἡμῶν καὶ τῆς συναγωγῆς, τὰ νῦν ἐκβάντα, καὶ τὴν τοῦ νόμου κατάργησιν· τοῦτο δὲ αὐτοὺς οὐκ ἔδει εἰδέναι ἐκ τότε. Εἰ γὰρ ἐξ 5 ἀρχῆς ἔμαθον, ὅτι πρόσκαιρος ὁ νόμος, πάντως ἂν αὐτοῦ κατεφρόνησαν· διὰ τοῦτο αὐτὸν συνεσκίασε μόνον.

Ὅτι γὰρ οὐ πᾶσα προφητεία ἀσαφὴς ἦν, ἀλλὰ τοῦτο μόνον περιέσταλτο τὸ μέρος, ἄκουσον τοῦ Παύλου σαφῶς ἀμφότερα ταῦτα ἡμῖν ἐνδεικνυμένου, καὶ ὅτι συνεσκίαστο ὁ νόμος, καὶ 10 ὅτι κατὰ τοῦτο μόνον τὸ μέρος. Κορινθίοις γὰρ ἐπιστέλλων, οὕτω πώς φησιν· "Ἔχοντες οὖν τοιαύτην ἐλπίδα, πολλῇ παῤῥησίᾳ χρώμεθα, καὶ οὐ καθάπερ Μωϋσῆς ἐτίθει κάλυμμα ἐπὶ τὸ πρόσωπον αὐτοῦ, ὥστε μὴ ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ τέλος τοῦ καταργουμένου, ἀλλ' ἐπωρώθη τὰ νοήματα 15 αὐτῶν. Ἄχρι γὰρ σήμερον κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς Παλαιᾶς Διαθήκης μένει, μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται". Τάχα ἀσαφὲς τὸ εἰρημένον· οὐκοῦν ἀναγκαῖον αὐτὸ ποιῆσαι σαφέστερον, τῆς ἱστορίας αὐτῆς ὑμᾶς ἀναμνήσας. Ἐπειδὴ γὰρ λαβὼν τὰς πλάκας ἐν τῷ ὄρει ἔμελλε 20 καταβαίνειν ὁ Μωϋσῆς, δόξα τις ἀπόῤῥητος καὶ θαυμαστὴ τῆς ἁγίας ἐκείνης ἐξέλαμψεν ὄψεως τοιαύτη, ὡς μηδένα τῶν πολλῶν αὐτῷ δύνασθαι προσιέναι καὶ διαλέγεσθαι.

Ἵνα οὖν μὴ διὰ παντὸς ἀπρόσιτος ᾖ τῷ δήμῳ, κάλυμμα ἐπὶ τῆς ὄψεως ἐπιτιθείς, παρεῖχε μετὰ ἀδείας τοῖς Ἰουδαίοις 25 αὐτῷ συγγίνεσθαι. Καὶ τῷ δήμῳ μὲν ὁμιλῶν εἶχε τὸ κάλυμμα, πρὸς δὲ τὸν Θεὸν ἐπιστρέφων ἀπετίθει τοῦτο πάλιν. Τοῦτο δὲ συνέβαινεν, ὁμοῦ μὲν ἵνα ἀξιόπιστος ὁ νομοθέτης φαίνηται τοῖς μέλλουσι τὸν δι' αὐτοῦ κομιζόμενον δέχεσθαι νόμον, ὁμοῦ δὲ ἵνα καὶ ὁ τῆς ἀληθείας ἐν αὐτῷ προδιαγραφῇ τύπος, 30 καὶ διαγραφῇ τῆς κατὰ Χριστὸν οἰκονομίας ἄνωθεν ἡ αἰτία. Ἐπειδὴ γὰρ ἔμελλόν τινες λέγειν, Τίνος ἕνεκεν οὐ γυμνῇ τῇ θεότητι παρεγένετο ὁ Χριστός, ἀλλὰ σάρκα περιεβάλλετο; ἄνωθεν διὰ τῆς ὄψεως τοῦ δούλου πᾶσι τούτοις ἀπελογήσατο. Εἰ γὰρ τὴν τοῦ δούλου δόξαν οὐκ ἤνεγκαν ἰδεῖν τὴν ἐπιγενο-35 μένην ὕστερον Ἰουδαῖοι, πῶς ἂν γυμνὴν τὴν θεότητα μετὰ ταῦτα ἰδεῖν ὑπέμειναν;

---

26. Β΄ Κορ. 3, 12-14.

αὐτό θά προσπαθήσω ν᾽ ἀποδείξω, ὅτι δηλαδή ἔκαμε νά γίνουν σκοτεινά αὐτά μόνο, πού ἀφοροῦν ἐμᾶς καί τή συναγωγή, τά σημερινά γεγονότα καί τήν κατάργηση τοῦ νόμου. Αὐτό ὅμως δέν ἔπρεπε νά τό γνωρίζουν αὐτοί ἀπό τότε. Γιατί, ἄν ἀπό τήν ἀρχή μάθαιναν, πώς ὁνόμος θά ἦταν προσωρινός, ὁπωσδήποτε θά τόν περιφρονοῦσαν. Γι᾽ αὐτό κάλυψε μέ ἀσάφεια μόνο τό νόμο.

Ὅτι λοιπόν δέν ἦταν ἀσαφής ὅλη ἡ προφητεία, ἀλλά τοῦτο μόνο τό μέρος ἔχει καλύψει, ἄκουσε τόν Παῦλο πού μᾶς παρουσιάζει καθαρά καί τά δύο, καί ὅτι δηλαδή ἔχει καλυφθεῖ μέ ἀσάφεια ὁ νόμος, καί ὅτι σ᾽ αὐτό τό σημεῖο μόνο. Γιατί γράφοντας στούς Κορινθίους, λέγει τά ἑξῆς· «Ἔχοντας λοιπόν μιά τέτοια ἐλπίδα, μεταχειριζόμαστε στό κήρυγμα πολλή παρρησία, καί ὄχι ὅπως ὁ Μωυσῆς, πού ἔβαζε στό πρόσωπό του κάλυμμα, γιά νά μήν ἀτενίσουν οἱ ἀπόγονοι τοῦ Ἰσραήλ τό τέλος τοῦ νόμου πού ἐπρόκειτο νά καταργηθεῖ, ἀλλά τυφλώθηκαν οἱ σκέψεις τους. Γιατί μέχρι σήμερα παραμένει τό κάλυμμα κατά τήν ἀνάγνωση τῆς Παλαιᾶς Διαθήκης, καί δέ σηκώνεται αὐτό, ἐπειδή καταργεῖται μέ τό Χριστό»[26]. Ἴσως τά λόγια αὐτά νά εἶναι σκοτεινά. Ἑπομένως εἶναι ἀνάγκη νά τά κάμω πιό καθαρά, ὑπενθυμίζοντας σέ σᾶς αὐτή τήν ἱστορία. Ὅταν λοιπόν ὁ Μωυσῆς πῆρε τίς πλάκες τοῦ νόμου στό βουνό καί ἐπρόκειτο νά κατεβεῖ, μιά τέτοια ἀνέκφραστη καί θαυμαστή λάμψη ξεχύθηκε ἀπό τό ἅγιο πρόσωπό του, ὥστε κανένας ἀπό τούς πολλούς δέν μποροῦσε νά τόν πλησιάσει καί νά συζητήσει μαζί του.

Γιά νά μήν εἶναι λοιπόν πάντοτε ἀπρόσιτος στό λαό, ἀφοῦ ἔβαλε κάλυμμα στό πρόσωπό του, ἄφηνε τούς Ἰουδαίους νά τόν πλησιάζουν ἄφοβα. Καί ὅταν μιλοῦσε μέ τό λαό, φοροῦσε τό κάλυμμα, ὅταν ὅμως ξαναγύριζε στό Θεό, τό ἀφαιροῦσε πάλι. Καί αὐτό συνέβαινε, γιά νά φαίνεται ἀξιόπιστος ὁ νομοθέτης σ᾽ ἐκείνους πού ἐπρόκειτο νά δεχθοῦν τό νόμο, τόν ὁποῖο ὁ ἴδιος ἔφερε, καί μαζί γιά νά προσχεδιασθεῖ στό νόμο ὁ τύπος τῆς ἀλήθειας καί νά διατυπωθεῖ ἡ αἰτία πού ἡ θεία πρόνοια ἔστειλε τό Χριστό. Ἐπειδή λοιπόν ἐπρόκειτο νά λέγουν μερικοί, 'Γιά ποιό λόγο δέν ἦρθε ὁ Χριστός μέ καθαρή τή θεότητά του, ἀλλά ντύθηκε ἀνθρώπινη σάρκα;', ἀπολογήθηκε ἀπό τήν ἀρχή σ᾽ ὅλους αὐτούς μέ τή μορφή τοῦ ἀνθρώπου. Ἀφοῦ τή δόξα τοῦ ἀνθρώπου πού ἦρθε ἔπειτα δέν ἄντεξαν νά δοῦν οἱ Ἰουδαῖοι, πῶς θά ὑπέφεραν ὕστερα νά δοῦν τήν ἴδια τή θεότητα;

7. Οὐ τοῦτο δὲ μόνον τὸ κάλυμμα ἡμῖν ἐνδείκνυται ἐκεῖνο, ἀλλ' ὅτι καὶ ταῦτα πάσχουσιν οἱ Ἰουδαῖοι ἐπὶ τοῦ νόμου, ἅπερ ἔπασχον ἐπὶ τῆς ὄψεως Μωϋσέως τότε. Καθάπερ γὰρ οὐχ ἑώρων τῆς ὄψεως τοῦ νομοθέτου τὴν δόξαν, τοῦ παραπετάσματος ἐκείνου παρεμβεβλημένου μέσον, οὕτως οὐδὲ τὴν νόμου δόξαν δύνανται νῦν κατιδεῖν. Τοῦτο δὲ καὶ πρὸς αἱρετικοὺς ἀναγκαῖον ἡμῖν. Καὶ γὰρ νομίσαντες κατηγορίαν εἶναι τοῦ νόμου τὰ εἰρημένα, κατεδέξαντο τῆς Ἐπιστολῆς τὸ χωρίον τοῦτο· καὶ ἐπειδὴ ἤκουσαν, ὅτι κάλυμμα ἔχει ὁ νόμος, καὶ ὅτι καταργεῖται, νομίσαντες εἶναι διαβολήν, ἀφῆκαν τὰ γράμματα, ἵνα τοῖς οἰκείοις ἁλῶσιν ἐπιχειρήμασιν. Αὐτὸ γὰρ τοῦτο δείκνυσι μέγαν ὄντα τὸν νόμον. Ὥσπερ γὰρ τότε οὐκ ἦν κατηγορία Μωϋσέως τὸ κάλυμμα ἔχειν ἐπὶ τῆς ὄψεως, ἀλλ' ἀσθένεια τῶν Ἰουδαίων, Μωϋσέως δὲ καὶ ἐγκώμιον μέγιστον ἦν, ὅτι τοιαύτην εἶχεν ἐπὶ τῆς ὄψεως δόξαν, ὡς καὶ παραπετάσματος δεηθῆναι πρὸς τοὺς ὁμοδούλους· οὕτω καὶ ἐπὶ τοῦ νόμου συνέβη. Εἰ γὰρ μὴ δόξαν εἶχεν ἀπρόσιτον ὁ νόμος, οὐκ ἂν ἐδεήθη καλύμματος.

Ὅταν οὖν λέγῃ, ὅτι "Κάλυμμα ἐπὶ τῆς ἀναγνώσεως τῆς Παλαιᾶς Διαθήκης μένει", τὴν ἀσάφειαν αὐτοῦ φησιν· ὅταν δὲ λέγῃ, "Μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται", τὸ μέρος, ὅπερ ἐστὶν ἀσαφές, ὁ νόμος ἡμῖν ἐπέδειξεν. Οὐ γὰρ ἐκεῖνο ἀσαφὲς ἦν τοῦ νόμου τὸ μέρος, ὅπερ εἰς βίον ἡμῖν συνετέλει καὶ πολιτείαν· ἐπεὶ περιττῶς ἂν ἐδόθη· ἀλλ' ἐκεῖνα μόνα συνεσκίαστο τὰ μέρη, δι' ὧν ἐδυνάμεθα μαθεῖν, ὅτι διὰ τοῦ Χριστοῦ καταργεῖται. Καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ Θεοῦ σοφίας ἔργον, τὸ τὸν νόμον αὐτὸν εἰσαγαγεῖν λέγοντα περὶ αὐτοῦ, ὅτι Χριστὸς ἐλθὼν αὐτὸν καταργήσει, καὶ ὅτι ἐν αὐτῷ παυθήσεται. Αὐτὸ οὖν τοῦτο τὸ μέρος τοῦ νόμου τὸ λέγον, ὅτι ἐν Χριστῷ καταργεῖται ὁ νόμος, τοῦτο ἀσαφὲς μόνον ἦν. Καὶ τοῦτο αὐτὸ δηλῶν ὁ μέγας Παῦλος, ἐπήγαγε· "Μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται". Ἵνα γὰρ μὴ ἀκούσας, ὅτι "Κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς Παλαιᾶς Διαθήκης μένει", ὅλην αὐτὴν ἀσαφῆ καὶ συνεσκιασμένην εἶναι νομίσῃς, τῇ ἐπαγωγῇ ταύτην διώρθωσε τὴν ὑπόνοιαν. Εἰπὼν γάρ, "Κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς Παλαιᾶς Διαθήκης μένει", ἐπήγαγε, "Μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται".

7. Καί ὄχι μόνο αὐτό τό κάλυμμα μᾶς φανερώνει ἐκεῖνο, ἀλλ᾿ ὅτι καί τά ἴδια παθαίνουν οἱ Ἰουδαῖοι στήν περίπτωση τοῦ νόμου, πού πάθαιναν τότε, ὅταν ἀντίκρυζαν τό Μωυσῆ. Γιατί, ὅπως δέν ἔβλεπαν τή δόξα τοῦ προσώπου τοῦ νομοθέτη, ἐπειδή ἔμπαινε στή μέση ἐκεῖνο τό παραπέτασμα, ἔτσι δέν μποροῦν τώρα νά δοῦν τή δόξα τοῦ νόμου. Αὐτό μᾶς εἶναι ἀναγκαῖο καί γιά τούς αἱρετικούς. Γιατί αὐτοί, ἐπειδή νόμισαν ὅτι τά λόγια αὐτά ἀποτελοῦν κατηγορία ἐναντίον τοῦ νόμου, δέχθηκαν τό χωρίο αὐτό τῆς ἐπιστολῆς, καί ὅταν ἄκουσαν ὅτι ὁ νόμος ἔχει κάλυμμα, καί ὅτι καταργεῖται, ἐπειδή νόμισαν ὅτι αὐτό εἶναι συκοφαντία, ἄφησαν τά γράμματα, γιά νά καταλάβουν τό χωρίο μέ τά δικά τους ἐπιχειρήματα. Αὐτό ἀκριβῶς δείχνει ὅτι ὁ νόμος εἶναι μεγάλος. Γιατί ὅπως τότε δέν ἦταν κατηγορία γιά τό Μωυσῆ πού εἶχε τό κάλυμμα στό πρόσωπό του, ἀλλ᾿ ἀδυναμία γιά τούς Ἰουδαίους, ἐνῶ ἦταν πολύ μεγάλος ἔπαινος, γιατί εἶχε στό πρόσωπό του τέτοια δόξα, ὥστε νά χρειασθεῖ καί παραπέτασμα γιά τήν ἐπαφή του μέ τούς συνανθρώπους του, ἔτσι ἔγινε καί στήν περίπτωση τοῦ νόμου. Ἐάν λοιπόν δέν εἶχε ἀπλησίαστη δόξα ὁ νόμος, δέν θά χρειαζόταν τό κάλυμμα.

Ὅταν λοιπόν λέγει, ὅτι «Τό κάλυμμα κατά τήν ἀνάγνωση τῆς Παλαιᾶς Διαθήκης παραμένει», τήν ἀσάφεια τοῦ νόμου ἐννοεῖ. Ὅταν ὅμως λέγει, «Καί δέ σηκώνεται τό κάλυμμα, γιατί καταργεῖται μέ τό Χριστό», μᾶς φανέρωσε τό μέρος τοῦ νόμου, πού εἶναι σκοτεινό. Γιατί δέν εἶναι σκοτεινό τό μέρος ἐκεῖνο τοῦ νόμου, πού μᾶς βοηθάει στή ζωή καί στή συμπεριφορά μας (γιατί θά μᾶς εἶχε δοθεῖ ἄσκοπα), ἀλλ᾿ ἔχουν καλυφθεῖ ἐκεῖνα μόνο τά μέρη, μέ τά ὁποῖα μπορούσαμε νά μάθουμε, ὅτι ὁ νόμος καταργεῖται μέ τό Χριστό. Καί αὐτό εἶναι ἔργο τῆς σοφίας τοῦ Θεοῦ, τό νά παρουσιάζει δηλαδή τό νόμο νά λέγει γιά τόν ἑαυτό του, ὅτι, ὅταν ἔρθει ὁ Χριστός, θά τόν καταργήσει, καί ὅτι μ᾿ αὐτόν θά σταματήσει νά ἔχει δύναμη. Αὐτό λοιπόν τό μέρος τοῦ νόμου πού λέγει, ὅτι μέ τό Χριστό καταργεῖται ὁ νόμος, αὐτό μόνο ἦταν σκοτεινό. Καί δηλώνοντας ἀκριβῶς αὐτό ὁ μεγάλος Παῦλος, πρόσθεσε· «Τό κάλυμμα δέ σηκώνεται, γιατί καταργεῖται μέ τό Χριστό». Γιά νά μή νομίσεις, ὅταν ἀκούσεις, ὅτι «Τό κάλυμμα κατά τήν ἀνάγνωση τῆς Παλαιᾶς Διαθήκης παραμένει», ὅτι ὁλόκληρη εἶναι ἀσαφής καί σκοτεινή, διόρθωσε τήν ὑπόνοια αὐτή μή τήν προσθήκη. Γιατί ἀφοῦ εἶπε, «Τό κάλυμμα κατά τήν ἀνάγνωση τῆς Παλαιᾶς Διαθήκης παραμένει», πρόσθεσε, «Τό ὁποῖο δέ σηκώνεται, γιατί μέ τό Χριστό καταργεῖται».

Τοῦτο αὐτό, φησίν, οὐκ ἀνεκαλύφθη, ὅτι μέλλει ἐν Χριστῷ καταργεῖσθαι· οὐκ ἀνεκαλύφθη δὲ τοῖς μὴ προσελθοῦσι τῇ πίστει· ὡς ὅ γε προσελθών, καὶ τῆς τοῦ ἁγίου Πνεύματος χάριτος ἀπολαύσας, οὐκέτι μετὰ παραπετάσματος βλέπει τὸν νόμον, ἀλλὰ γυμνὴν αὐτοῦ καθορᾷ τὴν δόξαν. Δόξα δὲ νόμου, τὸ δυνηθῆναι διδάξαι, ὅτι ἐν Χριστῷ καταργεῖται, ἵνα καὶ τοῦτο μάθῃς. Εἶδε τοῦ νόμου τὴν δόξαν; Δόξα δέ ἐστιν ἀληθὴς ἐκείνου, ὅταν σε πρὸς τὸν Χριστὸν παιδαγωγῆσαι δυνηθῇ· παιδαγωγεῖ δέ, ἐπειδὰν δείξῃ αὐτὸν καταργούμενον. Ὥστε καὶ ἐντεῦθεν καιρία τοῖς αἱρετικοῖς ἡ πληγὴ γέγονεν. Εἰ γὰρ ἐναντίος ἦν ὁ νόμος καὶ πολέμιος τοῦ Χριστοῦ, καὶ μὴ παρ᾽ ἐκείνου δοθείς, οὐκ ἔδει Παῦλον δόξαν αὐτοῦ καλέσαι, τῷ δυνηθῆναι παιδεῦσαι τοὺς προσιόντας αὐτῷ, ὅτι διὰ Χριστοῦ καταργεῖται. Εἰ πονηρὸς ἦν ὁ νόμος πάλιν, οὐκ ἔδει τὸ κάλυμμα αὐτοῦ ἀφαιρεθῆναι, ἀλλὰ μένειν αὐτὸν καὶ μετὰ τὴν χάριν συνεσκιασμένον.

Εἰ δὲ τοῦτο τῆς χάριτος ἔργον, τὸ διορατικωτέρους ποιεῖν τοὺς προσιόντας πρὸς τὴν τοῦ νόμου κατάληψιν, ὥστε ἐκεῖθεν τὰς ἀρχὰς καὶ τὰς ἀφορμὰς πάσας λαμβάνειν τῆς πρὸς τὸν Χριστὸν πίστεως, τί μεῖζον τούτου τεκμήριον τῆς τοῦ νόμου συγγενείας τῆς πρὸς τὴν χάριν εἴποι τις ἄν, ἀλλ᾽ ἢ ὅταν μὲν Χριστὸς ἀνοίγῃ τοὺς ὀφθαλμοὺς τῶν αὐτῷ προσιόντων, ὥστε δυνηθῆναι κατιδεῖν τοῦ νόμου τὴν ἀγωγήν, ἐκείνη δὲ φανεῖσα καὶ γενομένη δήλη, παραπέμψαι μετὰ πολλῆς τῆς εὐκολίας δυνήσεται τοὺς συνιέντας τὰ Χριστοῦ; Ταῦτα γὰρ οὔτε τὸν Χριστὸν τῷ νόμῳ μαχόμενον δείκνυσιν, οὔτε τὸν νόμον πολεμοῦντα τῷ Ἰησοῦ, ἀλλὰ τοὐναντίον ἅπαν, τὸν μὲν προοδοποιοῦντα τῇ μεγάλῃ ταύτῃ φιλοσοφίᾳ, τὸν δὲ ἐκεῖθεν αὐτοὺς παραλαμβάνοντα καὶ πρὸς ἄκραν ἄγοντα κορυφήν. Ὑπὲρ δὲ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ φιλανθρώπῳ Θεῷ, τῷ κατὰ τὸν προσήκοντα καιρὸν ἕκαστα οἰκονομοῦντι, καὶ πολυτρόπως τὴν ἡμετέραν πραγματευομένῳ σωτη[illegible] καὶ τῆς αὐτοῦ φιλανθρωπίας καὶ τῆς τοσαύτης προνοίας ἀξίαν κατὰ δύναμιν ἐπιδειξώμεθα πολιτείαν, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, τιμή, κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Αὐτό τό ἴδιο, λέγει, δέν ἀποκαλύφθηκε, ὅτι πρόκειται μέ τό Χριστό νά καταργηθεῖ· δέν ἀποκαλύφθηκε ὅμως σ᾽ ἐκείνους πού δέν πλησίασαν στήν πίστη. Αὐτός ὅμως πού πλησίασε καί ἀπόλαυσε τή χάρη τοῦ ἁγίου Πνεύματος, δέ βλέπει πιά μέ παραπέτασμα τό νόμο, ἀλλ᾽ ἀντικρύζει γυμνή τή δόξα του. Καί δόξα τοῦ νόμου εἶναι, τό ὅτι μπόρεσε νά διδάξει, πώς μέ τό Χριστό θά καταργηθεῖ, γιά νά τό μάθεις καί αὐτό. Εἶδες τή δόξα τοῦ νόμου; Ἡ ἀληθινή δόξα ἀνήκει σ᾽ ἐκεῖνον, ὅταν κατορθώσει νά σέ ὁδηγήσει στό Χριστό, καί ὁδηγεῖ ὅταν δείξει ὅτι ὁ ἴδιος καταργεῖται. Ἑπομένως καί ἀπό ἐδῶ τό χτύπημα ἐναντίον τῶν αἱρετικῶν εἶναι θανάσιμο. Γιατί, ἐάν ὁ νόμος ἦταν ἀντίθετος καί ἐχθρός τοῦ Χριστοῦ καί δέν εἶχε δοθεῖ ἀπ᾽ αὐτόν, δέ θά ἔπρεπε ὁ Παῦλος νά τόν ὀνομάσει δόξα του, μέ τό νά κατορθώσει νά διδάξει ἐκείνους πού τόν πλησίαζαν, ὅτι μέ τό Χριστό θά καταργηθεῖ. Ἐάν πάλι ὁ νόμος ἦταν κακός, δέν ἔπρεπε ν᾽ ἀφαιρεθεῖ τό κάλυμμά του, ἀλλ᾽ ἔπρεπε νά μείνει αὐτός καί ὕστερα ἀπό τή χάρη σκοτεινός.

Ἐάν ὅμως αὐτό εἶναι τό ἔργο τῆς χάρης, τό νά κάνει δηλαδή νά βλέπουν καλύτερα ἐκεῖνοι πού πλησιάζουν τήν κατανόηση τοῦ νόμου, ὥστε νά παίρνουν ἀπό ἐδῶ ὅλες τίς ἀρχές καί τίς ἀφορμές γιά τήν πίστη τους στό Χριστό, ποιά μεγαλύτερη ἀπόδειξη ἀπ᾽ αὐτό θά μποροῦσε νά πεῖ κανείς γιά τή συγγένεια τοῦ νόμου μέ τή χάρη, παρά μόνο, ὅτι ὁ Χριστός ἀνοίγει τά μάτια αὐτῶν πού τόν πλησιάζουν, γιά νά μπορέσουν νά δοῦν καλά τήν καθοδήγηση τοῦ νόμου, ἐνῶ αὐτή, ἀφοῦ ἀποκαλυφθεῖ καί γίνει φανερή, θά μπορέσει μέ μεγάλη εὐκολία νά ὁδηγήσει ἐκείνους πού γνώρισαν τά σχετικά μέ τό Χριστό; Γιατί αὐτά οὔτε τό Χριστό δείχνουν ὅτι ἀντιμάχεται τό νόμο, οὔτε τό νόμο ὅτι πολεμάει τόν Ἰησοῦ, ἀλλά τό ἐντελῶς ἀντίθετο, ὅτι ὁ νόμος προετοιμάζει τό δρόμο στή μεγάλη αὐτή διδασκαλία, καί ὅτι ὁ Χριστός παραλαβαίνει ἀπό ἐκεῖ τούς ἀνθρώπους καί τούς ὁδηγεῖ στήν πιό ψηλή κορυφή. Γιά ὅλα αὐτά ὅμως ἄς εὐχαριστήσουμε τό φιλάνθρωπο Θεό, ὁ ὁποῖος ρυθμίζει τά πάντα στόν κατάλληλο καιρό καί φροντίζει γιά τή σωτηρία μας μέ πολλούς τρόπους, καί ἄς δείξουμε, ὅσο βέβαια μποροῦμε, συμπεριφορά ἀντάξια στή φιλανθρωπία του καί τήν τόση πρόνοιά του, γιά νά ἐπιτύχουμε καί τά μελλοντικά ἀγαθά. Αὐτά τά ἀγαθά εἴθε ὅλοι ἐμεῖς νά ἐπιτύχουμε, μέ τή χάρη καί τή φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καί μαζί μέ τόν ὁποῖο στόν Πατέρα, καί συγχρόνως στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ τιμή, καί ἡ δύναμη, στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΕΤΙ ΕΙΣ ΤΗΝ ΑΣΑΦΕΙΑΝ ΤΗΣ ΠΑΛΑΙΑΣ ΔΙΑΘΗΚΗΣ ΚΑΙ ΕΙΣ ΤΗΝ ΤΟΥ ΘΕΟΥ ΦΙΛΑΝΘΡΩΠΙΑΝ ΚΑΙ ΠΕΡΙ ΤΟΥ ΜΗ ΚΑΤΗΓΟΡΕΙΝ ΑΛΛΗΛΩΝ

ΟΜΙΛΙΑ Β΄

1. Χαίρει μὲν βουκόλος, ἐπειδὰν εὐπαθοῦσαν αὐτῷ καὶ σφριγῶδαν ἴδη τῶν βοῶν τὴν ἀγέλην, χαίρει δὲ καὶ γηπόνος, θεωρῶν κομῶντα τὰ λήϊα· ἀλλ' οὔτε γηπόνος ἐπὶ τοῖς ληΐοις, οὔτε βουκόλος ἐπὶ ταῖς βουσὶν οὕτω χαίρουσιν, ὡς ἐγὼ χαίρω
5 νῦν καὶ ἀγάλλομαι, τὴν καλὴν ταύτην ἅλω τῶν πνευματικῶν τούτων δραγμάτων πεπληρωμένην ὁρῶν. Ὅταν γὰρ εἰς ἀκοὰς τοσαύτας καὶ τοιαύτας σπείρηται τῆς εὐσεβείας ὁ λόγος, ἀνάγκη ταχέως πολὺν καὶ ὥριμον βλαστῆσαι τῆς ὑπακοῆς τὸν ἄσταχυν. Καὶ γὰρ ὅταν τις εἰς βαθύγειον καὶ λιπαρὰν ἄρουραν
10 αὔλακα τέμη, κἂν μὴ δαψιλῇ τῇ χειρὶ καταβάλη τὰ σπέρματα, πολλὴν δέξεται τὴν φοράν, τῆς φύσεως τοῦ χωρίου τὴν ὀλιγότητα τῶν σπερμάτων διὰ τῆς οἰκείας δυνάμεως πλεοναζούσης, οὕτω καὶ ὅταν τις εἰς ψυχὰς σπείρη καταπειθεῖς καὶ εὐλαβείας γεμούσας, κἂν ὀλίγα καταβάλη τὰ τῆς διδασκαλίας σπέρματα,
15 πλούσιον ὄψεται τὸν ἄμητον, τῆς τῶν ἀκουόντων σοφίας τὴν τοῦ λέγοντος πενίαν ἀποκρυπτούσης.

Τοῦτο καὶ ἐπὶ τῆς ἁλείας γίνεται τῶν ἰχθύων. Κἂν γὰρ ἄπειροι τυγχάνωσιν ὄντες οἱ ἁλιεῖς, εἰς κόλπον δὲ βάλωσι τὰ δίκτυα πολλοὺς ἔχοντα τοὺς ἰχθύας, ῥᾳδίως τῆς θήρας ἐπιτυγ-
20 χάνουσι, τοῦ πλήθους τῶν συντρεχόντων ἰχθύων συσκιάζοντος, ἐκείνων τὴν ἀπειρίαν. Εἰ δὲ ἐπὶ τῆς ἄγρας ἐκείνης τῶν ἁλιεύεσθαι μελλόντων τὸ πλῆθος τοῦ σαγηνεύοντος πολλάκις παραμυθεῖται τὴν ἀμάθειαν, πολλῷ μᾶλλον ἐπὶ τῆς ἁλιείας ταύτης τῆς πνευματικῆς τοῦτο συμβήσεται. Καὶ γὰρ ἐκεῖνοι
25 μὲν οἱ ἰχθύες, ὅταν ἴδωσιν ἐμβληθέντα τὰ θήρατρα, εὐθέως

ΓΙΑ ΤΗΝ ΑΣΑΦΕΙΑ ΚΑΙ ΠΑΛΙ ΤΗΣ ΠΑΛΑΙΑΣ ΔΙΑΘΗΚΗΣ ΓΙΑ ΤΗ ΦΙΛΑΝΘΡΩΠΙΑ ΤΟΥ ΘΕΟΥ, ΚΑΙ ΓΙΑ ΤΟ ΟΤΙ ΔΕΝ ΠΡΕΠΕΙ ΝΑ ΚΑΤΗΓΟΡΕΙ Ο ΕΝΑΣ ΤΟΝ ΑΛΛΟ

ΟΜΙΛΙΑ Β΄

1. Χαίρεται ὁ βοσκός, ὅταν δεῖ ὅτι τό κοπάδι τῶν βοδιῶν του εἶναι εὐχαριστημένο καί σφριγηλό· χαίρεται καί ὁ γεωργός, ὅταν βλέπει ὅτι τά σπαρτά του φυτρώνουν καί βγάζουν πλούσιο φύλλωμα. Ἀλλ᾽ οὔτε ὁ γεωργός γιά τά σπαρτά του, οὔτε ὁ βοσκός γιά τά βόδια του χαίρονται τόσο, ὅσο χαίρομαι ἐγώ τώρα καί εὐφραίνομαι, καθώς βλέπω τό καλό αὐτό ἁλώνι τῶν πνευματικῶν αὐτῶν καρπῶν νά εἶναι γεμάτο. Γιατί, ὅταν σέ τόσους καί τέτοιους ἀκροατὲς σπέρνεται ὁ λόγος τῆς εὐσέβειας, εἶναι ἀναπόφευκτο νά βλαστήσει γρήγορα πολύς καί ὥριμος ὁ καρπός τῆς ὑπακοῆς. Γιατί, ὅταν κανείς ἀνοίγει αὐλάκι σέ εὔφορο καί γόνιμο χωράφι, καί ἄν ἀκόμη δέ ρίξει πολλούς σπόρους, θά περιμένει πλούσια τήν καρποφορία, ἀφοῦ ἡ γονιμότητα τοῦ ἐδάφους μέ τή δική του δύναμη θά πολλαπλασιάζει τούς λίγους σπόρους, ἔτσι καί ὅταν κανείς σπέρνει σέ ψυχές ὑπάκουες καί γεμάτες εὐσέβεια, καί ἄν ἀκόμη ρίξει λίγους τούς σπόρους τῆς διδασκαλίας, θά δεῖ πλούσιο τό θερισμό, ἀφοῦ ἡ σοφία τῶν ἀκροατῶν του καλύπτει τή φτώχεια τοῦ ὁμιλητῆ.

Τό ἴδιο γίνεται καί στό ψάρεμα τῶν ψαριῶν. Γιατί, καί ἄν ἀκόμη οἱ ψαράδες εἶναι ἄπειροι, ἀλλά ρίξουν τά δίχτυα τους σέ κόλπο πού ἔχει πολλά ψάρια, εὔκολα κατορθώνουν τό ψάρεμα, ἐπειδή τά πολλά ψάρια πού μαζεύονται καλύπτουν τήν ἀπειρία τους. Ἐάν ὅμως στό ψάρεμα αὐτό τά πολλά ψάρια μετριάζουν τήν ἀμάθεια ἐκείνων πού πρόκειται νά ψαρέψουν, πολύ περισσότερο θά συμβεῖ αὐτό στό πνευματικό αὐτό ψάρεμα. Γιατί ἐκεῖ τά ψάρια, ὅταν δοῦν ὅτι μπῆκαν μέσα στά δίχτυα, ἀμέσως πηδοῦν καί τινάζονται, ἐνῶ ἐσεῖς κάνετε τό

ἀποπηδῶσι καὶ ἐξάλλονται, ὑμεῖς δὲ τὸ ἐναντίον ποιεῖτε· ὅταν ἴδητε ἀναστάντα καὶ τὴν σαγήνην ἁπλώσαντα τῆς διδασκαλίας, οὐ μόνον οὐκ ἀποπηδᾶτε καὶ ἐξάλλεσθε, ἀλλὰ καὶ ἐνδοτέρω βαδίζετε πανταχόθεν συντρέχοντες, καὶ τὸν πλησίον 5 *ἕκαστος ὠθῶν καὶ θλίβων, πρότερος αὐτὸς ἐπείγεται ἐμπηδῆσαι καὶ ἐμπεσεῖν εἰς τὰ δίκτυα. Διὰ τοῦτο οὐδέποτε κενὴν ἀνεσπάσαμεν τὴν σαγήνην, οὐ διὰ τὴν ἡμετέραν ἐμπειρίαν, ἀλλὰ διὰ τὴν ὑμετέραν ἐπιθυμίαν. Ἱκανῶς μὲν οὖν ἡμᾶς καὶ πρώην εἱστίασεν ἡ χρυσὸν δόκιμον καὶ καθαρὸν ῥέουσα* 10 *γλῶττα, καὶ πηγὰς ἔχουσα μέλιτος ἐν τῷ στόματι, ἡ τοῦ μακαρίου, λέγω, Παύλου· μᾶλλον δὲ καὶ κηρίου παντὸς ἀποκρύπτουσα τὴν ἡδονὴν τῇ τῆς πνευματικῆς διδασκαλίας γλυκύτητι.*

Ἐπειδὴ δὲ κατὰ τὴν πρέπουσαν ὑμῖν φιλοσοφίαν οὐδὲ τὰ 15 *τοῦ πένητος ἐμοῦ καὶ πτωχεύοντος ἀτιμάζετε, ἀλλὰ θαυμάζετε μὲν τὰ πολλὴν ἔχοντα ὑπεροχήν, προσίεσθε δὲ καὶ τὰ τῆς ἡμετέρας εὐτελείας ῥήματα, ἀνέστην μετὰ προθυμίας ἀποδώσων ὑμῖν τὸ ὄφλημα, ὃ πρώην ὑπεσχόμην μέν, οὐ κατέβαλον δέ, τοῦ μήκους τῆς διδασκαλίας ἐκκρούσαντος ἡμᾶς* 20 *τοῦ τέλους. Τί οὖν ἦν τὸ ὄφλημα ἐκεῖνο; Ἀνάγκη γὰρ ἀναμνῆσαι ὑμᾶς τὴν ἀρχὴν τοῦ δανείσαντος, ὥστε σαφεστέραν ὑμῖν ἀπὸ τῆς ὑποθέσεως γενέσθαι τὴν ἐξήγησιν. Ἐζητήσαμεν τότε, τίνος ἕνεκεν ἀσαφεστέρα τῆς Καινῆς ἡ Παλαιὰ Διαθήκη· τάχα γὰρ μέμνησθε καὶ μίαν τέως εἰρήκαμεν* 25 *αἰτίαν, τὴν θηριωδίαν τῶν ἀκουόντων, καὶ μάρτυρα παρηγάγομεν τὸν Παῦλον λέγοντα, ὅτι "Τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς Παλαιᾶς Διαθήκης μένει μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται". Ἐδείξαμεν ὅτι καθάπερ Μωϋσῆς εἶχε κάλυμμα ὁ νομοθέτης, οὕτω καὶ ὁ νόμος εἶχε κάλυμμα,* 30 *τὴν ἀσάφειαν· ἀλλ' οὔτε τοῦ νομοθέτου ἔγκλημα, οὔτε τοῦ νόμου κατηγορία τὸ κάλυμμα, ἀλλὰ τῆς ἀσθενείας τῶν ἀκουόντων.*

Οὐδὲ γὰρ δι' ἑαυτὸν εἶχε κάλυμμα ὁ Μωϋσῆς, ἀλλ' ἐπειδὴ οὐκ ἠδύναντο ὑπενεγκεῖν τὴν δόξαν τοῦ προσώπου αὐτοῦ. 35 *Ὅτε γοῦν ἐπέστρεφε πρὸς Κύριον, περιῃρεῖτο τὸ κάλυμμα. Οὕτω καὶ ὁ νόμος, ἐπεὶ οὐδέπω ἠδύνατο μαθεῖν τὰ τέλεια διδάγματα καὶ φιλοσοφίας γέμοντα, τά τε περὶ Χριστοῦ καὶ τῆς Καινῆς Διαθήκης (πάντα γὰρ ἐκεῖνα ἐναπέκειτο, καθάπερ ἐν*

ἀντίθετο. Ὅταν δεῖτε ὅτι σηκώθηκε ὁ ὁμιλητής καί ἅπλωσε τό δίχτυ τῆς διδασκαλίας, ὄχι μόνο δέν πηδᾶτε καί δέν τινάζεστε, ἀλλά μαζεύεστε ἀπό παντοῦ καί πιό μέσα πηγαίνετε καί ὁ καθένας σπρώχνοντας καί πιέζοντας τό διπλανό του, βιάζεται αὐτός πρῶτος νά πηδήσει καί νά πέσει μέσα στά δίχτυα. Γι᾽ αὐτό ποτέ δέ σηκώσαμε ἄδειο τό δίχτυ, ὄχι ἀπό δική μας ἐμπειρία, ἀλλά ἀπό τή δική σας ἐπιθυμία. Ἀρκετά λοιπόν μᾶς φιλοξένησε καί προηγουμένως ἡ γλώσσα πού στάζει ἁγνό καί καθαρό χρυσάφι καί ἔχει στό στόμα πηγές ἀπό μέλι, δηλαδή ἡ γλώσσα τοῦ μακάριου Παύλου, ἡ γλώσσα πού κρύβει πιό πολύ καί ἀπ᾽ ὅλο τό κερί τήν ἡδονή μέ τή γλυκύτητα τῆς πνευματικῆς διδασκαλίας.

Ἐπειδή ὅμως, σύμφωνα μέ τή φιλοσοφία πού ταιριάζει σέ σᾶς, δέν περιφρονεῖτε αὐτά πού λέγω ἐγώ ὁ φτωχός καί ἐπαίτης, ἀλλά θαυμάζετε ὅσα ἔχουν μεγάλη ὑπεροχή καί ἀποδέχεσθε τά λόγια τῆς δικῆς μου ταπεινότητας, σηκώθηκα μέ προθυμία γιά νά σᾶς ἐπιστρέψω τό χρέος, τό ὁποῖο ὑποσχέθηκα στήν πρώτη μου ὁμιλία, ἀλλά δέν τό πλήρωσα, ἐπειδή τό μάκρος τῆς διδασκαλίας μᾶς στέρησε τό τέλος. Ποιό λοιπόν ἦταν τό χρέος ἐκεῖνο; Εἶναι ἀνάγκη βέβαια νά σᾶς θυμίσω τήν ἀρχή τοῦ δανείου, ὥστε μέ βάση αὐτό νά γίνει πιό καθαρή σέ σᾶς ἡ ἐξήγηση. Ἐξετάσαμε τότε, γιατί εἶναι ἡ Παλαιά Διαθήκη περισσότερο ἀσαφής ἀπό τήν Καινή (ἴσως τό θυμάστε) καί εἴπαμε τότε μία αἰτία, τήν ἀγριότητα τῶν ἀκροατῶν, καί παρουσιάσαμε μάρτυρα τόν Παῦλο, πού ἔλεγε ὅτι «Τό ἴδιο κάλυμμα παραμένει κατά τήν ἀνάγνωση τῆς Παλαιᾶς Διαθήκης, τό ὁποῖο δέ σηκώνεται, γιατί μέ τό Χριστό καταργεῖται»[1]. Δείξαμε ὅτι, ὅπως ἀκριβῶς εἶχε κάλυμμα ὁ νομοθέτης Μωυσῆς, ἔτσι καί ὁ νόμος εἶχε κάλυμμα, τήν ἀσάφεια· ἀλλά τό κάλυμμα δέν ἦταν κατηγορία οὔτε τοῦ νομοθέτη, οὔτε τοῦ νόμου, ἀλλά τῆς ἀδυναμίας τῶν ἀκροατῶν.

Γιατί ὁ Μωυσῆς δέν εἶχε τό κάλυμμα γιά τόν ἑαυτό του, ἀλλ᾽ ἐπειδή δέν μποροῦσαν ν᾽ ἀντέξουν τή λάμψη τοῦ προσώπου του. Ὅταν λοιπόν ξαναγύριζε στόν Κύριο, ἔβγαζε τό κάλυμμα. Ἔτσι καί ὁ νόμος, ἐπειδή δέν μποροῦσε ἀκόμη νά κατανοήσει τίς τέλειες καί γεμάτες φιλοσοφία διδασκαλίες οἱ ὁποῖες ἀναφέρονταν στό Χριστό καί στήν Καινή Διαθήκη (γιατί ὅλα αὐτά ἦταν φυλαγμένα, σάν σέ θησαυροφυλάκιο, στήν Παλαιά Διαθήκη), εἶχε κάλυμμα, συμφωνών-

1. Β΄ Κορ. 3, 14.

θησαυρῷ, τῇ παλαιᾷ Γραφῇ), κάλυμμα εἶχεν, ἐκείνοις μὲν συγκαταβαίνων, ἡμῖν δὲ τηρῶν τὸν πλοῦτον ἅπαντα, ἵν', ὅταν παραγένηται ὁ Χριστός, καὶ ἐπιστρέψωμεν πρὸς αὐτόν, περιαιρεθῇ τὸ κάλυμμα. Ὁρᾶτε τοίνυν εἰς ὅσην ἡμᾶς ἀξίαν 5 *ἤγαγεν ἡ τοῦ Χριστοῦ παρουσία, εἰς τὴν τάξιν ἀνάγουσα Μωϋσέως. Ἀλλ' ἴσως ἐρεῖ τις· Καὶ τίνος ἕνεκεν ἐλέγετο τότε, εἰ μὴ ἔμελλεν αὐτοῖς σαφῆ εἶναι τὰ λεγόμενα; Ἵνα τοῖς μετὰ ταῦτα γένηται χρήσιμα. Προφητείας γὰρ ἀξίωμα τοῦτό ἐστιν, οὐχ ὅταν τὰ παρόντα ἀπαγγείλῃ πράγματα, ἀλλ' ὅταν τὰ* 10 *μέλλοντα προαναφωνήσῃ. Προφητεία δὲ ὅταν συνεσκιασμένως λέγηται, μετὰ τὴν τῶν πραγμάτων ἔκβασιν γίνεται σαφεστέρα, πρὸ δὲ τῆς ἐκβάσεως οὐδαμῶς. Ὥστε, ἐπειδὴ τότε μὲν ἐλέγετο συνεσκιασμένως, ἀσαφῆ ἦν, ὅτε δὲ ἐκβέβηκε τὰ πράγματα, διὰ τοῦτο σαφέστερα ἦν τὰ λεγόμενα.*

15 *Καὶ ἵνα μάθητε, ὅτι προφητεία, κἂν πρὸ πολλοῦ λέγηται τοῦ χρόνου, συνεσκιασμένως δὲ λέγηται, ἀσαφεστέρα γίνεται ἀναμένουσα τὴν ἐκ τῶν πραγμάτων ἔκβασιν, ἀπ' αὐτῶν τῶν μαθητῶν ὑμῖν τοῦτο ποιήσω φανερόν. "Λύσατε τὸν ναὸν τοῦτον", τοῖς Ἰουδαίοις ἔλεγεν ὁ Χριστός. Ἐπειδὴ γὰρ* 20 *ἐδίωκε τοὺς διὰ τῆς καπηλείας εἰς τὸν ναὸν ἐνυβρίζοντας, λέγουσιν ἐκεῖνοι· "Τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα ποιεῖς;". Καὶ πρὸς τοῦτό φησι· "Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. Ἐκεῖνος δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ". Τοῦτο προφητεία τίς ἐστιν· οὔπω* 25 *γὰρ ἦν ἐκβεβηκὼς ὁ σταυρός, οὐδὲ ἡ λύσις τοῦ ναοῦ, οὐδὲ ἡ τριήμερος ἀνάστασις, ἣν αὐτὸς ἐποιήσατο. Καὶ ὅρα πῶς τὰ ἀμφότερα μετὰ ἀκριβείας ᾐνίξατο, καὶ τὴν τόλμαν τὴν ἐκείνων, καὶ τὴν οἰκείαν αὐτοῦ δύναμιν. Ἀλλ' ὅμως οὐκ ᾔδεισαν τὰ λεγόμενα. Καὶ τὸ μὲν Ἰουδαίους ἀγνοεῖν, οὐδὲν* 30 *θαυμαστόν,λέγει δέ, ὅτι οὐδὲ οἱ μαθηταὶ αὐτοῦ συνῆκαν, ἕως ἀνέστη ἐκ τῶν νεκρῶν· "Καὶ τότε ἐπίστευσαν τῇ Γραφῇ, καὶ τῷ λόγῳ, ᾧ εἶπεν ὁ Ἰησοῦς".*

2. Ὁρᾷς ὅτι ἐδεήθησαν τῆς διὰ τῶν πραγμάτων ἐκβάσεως, ἵνα σαφεστέρα γένηται ἡ προφητεία, καὶ ὅτι ἔγκλημα 35 *οὐκ εἶχον οἱ Ἰουδαῖοι μὴ συνιέντες τὰς προφητείας ἐκείνας τὰς περὶ Χριστοῦ πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας; Τῇ γὰρ*

---

2. Ἰω. 2, 19. 3. Ἰω. 2, 18. 4. Ἰω. 2, 19.21.

τας μ' ἐκείνους, ἀλλά διατηρώντας γιά μᾶς ὁλόκληρο τόν πλοῦτο, ὥστε, ὅταν ἔρθει ὁ Χριστός καί πιστέψουμε σ' αὐτόν, νά σηκωθεῖ τό κάλυμμα. Βλέπετε λοιπόν σέ πόση ἀξία μᾶς ὁδήγησε ἡ παρουσία τοῦ Χριστοῦ, πού μᾶς ἀνύψωσε στή θέση τοῦ Μωυσῆ. Ἴσως ὅμως θά ἐρωτήσει κάποιος· Καί γιά ποιό λόγο λέγονταν αὐτά τότε, ἀφοῦ δέν ἐπρόκειτο νά εἶναι σαφή σ' αὐτούς τά λεγόμενα; Γιά νά γίνουν χρήσιμα στούς μεταγενέστερους. Γιατί γνώρισμα τῆς προφητείας εἶναι αὐτό, ὄχι δηλαδή ὅταν ἀναγγέλλει τά παρόντα γεγονότα, ἀλλ' ὅταν λέγει ἀπό πρίν τά μελλοντικά. Ἡ προφητεία ὅμως, ὅταν λέγεται μέ κάποια ἀσάφεια, μετά τό ἀποτέλεσμα τῶν πραγμάτων γίνεται πιό καθαρή, πρίν ὅμως ἀπό τό ἀποτέλεσμά τους καθόλου. Ἐπομένως, ἐπειδή λέγονταν τότε μέ κάποια ἀσάφεια, γι' αὐτό ἦταν σκοτεινά· ὅταν ὅμως πραγματοποιήθηκαν τά γεγονότα, τότε ἦταν πιό καθαρά τά λεγόμενα.

Καί γιά νά μάθετε, ὅτι ἡ προφητεία, καί ἄν ἀκόμη λέγεται πρίν ἀπό πολύ χρόνο, λέγεται ὅμως μέ κάποια ἀσάφεια, γίνεται περισσότερο σκοτεινή καθώς περιμένει τήν πραγματοποίησή της ἀπό τά γεγονότα, θά σᾶς τό κάμω φανερό ἀπό τούς ἴδιους τούς μαθητές τοῦ Χριστοῦ. «Γκρεμίστε τό ναό αὐτόν»[2], ἔλεγε ὁ Χριστός στούς Ἰουδαίους. Ἐπειδή λοιπόν ἔδιωχνε ἐκείνους πού πρόσβαλλαν τό ναό μέ τό ἐμπόριο, αὐτοί τοῦ λέγουν· «Ποιό σημεῖο μᾶς δείχνεις, ὅτι ἔχεις ἐξουσία νά κάνεις αὐτά;»[3]. Καί σ' αὐτό ἀπάντησε· «Γκρεμίστε τό ναό αὐτόν καί σέ τρεῖς ἡμέρες θά τόν κτίσω. Ἐκεῖνος ὅμως ἔλεγε γιά τό ναό τοῦ σώματός του»[4]. Αὐτό εἶναι κάποια προφητεία, γιατί δέν εἶχε πραγματοποιηθεῖ ἀκόμη ἡ σταύρωση, οὔτε τό γκρέμισμα τοῦ ναοῦ, οὔτε ἡ τριήμερη ἀνάσταση, πού ὁ ἴδιος ἔκαμε. Καί πρόσεξε πῶς ὑπονόησε μέ ἀκρίβεια καί τά δύο, δηλαδή καί τήν παράτολμη ἐνέργειά τους καί τή δική του δύναμη. Ἀλλ' ὅμως δέν κατανόησαν τά λεγόμενα. Καί τό ὅτι βέβαια δέν τά κατανοοῦσαν οἱ Ἰουδαῖοι, δέν εἶναι καθόλου παράξενο. Λέγει ὅμως ὅτι οὔτε οἱ μαθητές του τά κατάλαβαν, ὥσπου ἀναστήθηκε ἀπό τούς νεκρούς. «Καί πίστεψαν στήν ἁγία Γραφή καί στό λόγο πού εἶπε ὁ Ἰησοῦς»[5].

2. Βλέπεις ὅτι χρειάσθηκε νά πραγματοποιηθοῦν τά γεγονότα, γιά νά γίνει σαφέστερη ἡ προφητεία, καί ὅτι δέν ἦταν ἄξιοι κατηγορίας οἱ Ἰουδαῖοι ἐπειδή δέν κατανόησαν τίς προηφτεῖες ἐκεῖνες πού ἀναφέρονταν στό Χριστό πρίν ἀπό τήν παρουσία τοῦ Χριστοῦ; Γιατί

5. Ἰω. 2, 22.

παρουσίᾳ δῆλαι ἔμελλον γίνεσθαι καὶ σαφεῖς. Ἄκουσον αὐτοῦ τοῦ Χριστοῦ λέγοντος· "Εἰ μὴ ἦλθον, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον". Διὰ τί οὐκ εἶχον ἁμαρτίαν, εἰ αἱ προφητεῖαι προέλεγον; Ὅτι προέλεγον μέν, οὐκ ἦσαν δὲ 5 σαφεῖς, οὐδὲ δῆλαι πρὸ τῆς παρουσίας τοῦ προλεγομένου. Εἰ γὰρ καὶ τότε σαφεῖς ἦσαν αὐτοῖς καὶ δῆλαι, δῆλον ὅτι καὶ πρὸ τῆς παρουσίας αὐτοῦ ἁμαρτίαν εἶχον· εἰ δὲ ἁμαρτίαν οὐκ εἶχον, εὔδηλον ὅτι διὰ τὴν ἀσάφειαν αὐτῶν καὶ τὸ συνεσκιάσθαι τὰ λεγόμενα. Οὐδὲ γὰρ ἀπητοῦντο τὴν εἰς τὸν Χριστὸν 10 πίστιν πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας.

Τίνος οὖν ἕνεκεν προελέγετο τότε; Ἵν', ὅταν παραγένηται, οἴκοθεν ἔχωσι τοὺς διδασκάλους ἐνάγοντας αὐτούς, καὶ εἰδῶσιν ὅτι οὐ καινοτομία τὰ γινόμενα, οὐδὲ πρόσφατος ἡ οἰκονομία, ἀλλ' ἄνωθεν ταῦτα καὶ πρὸ πολλῶν προανεκηρύτ- 15 τετο χρόνων· οὐ μικρὸν δὲ τοῦτο εἰς τὸ ἐπισπάσασθαι πρὸς τὴν πίστιν αὐτούς. Μία μὲν οὖν αὕτη τῆς ἀσαφείας αἰτία, ἣν καὶ διὰ πλειόνων ἀπεδείξαμεν μαρτυριῶν ἐν τῇ προτέρᾳ διαλέξει. Ἵν' οὖν μὴ πάλιν ὑμᾶς ἐνοχλῶμεν τὰ αὐτὰ λέγοντες, ἀναγκαῖον μὲν ταύτης ἀποστῆναι, ἑτέραν δὲ εἰπεῖν τὴν οὐκ ἀσαφῆ 20 καὶ ἄγνωστον, ἀλλὰ δυσκολωτέραν ἡμῖν ποιοῦσαν τὴν Παλαιὰν Διαθήκην. Ἄλλο γάρ ἐστι μηδὲν ὅλως εἰδέναι τῶν ἐγκειμένων, καὶ ὁρᾶν κάλυμμα ἐπικείμενον, ἄλλο δὲ εὑρεῖν μὲν τὰ λεγόμενα, μετὰ πόνου δὲ εὑρεῖν.

Τίς οὖν ἐστιν ἡ δευτέρα αἰτία, δι' ἣν δυσκολωτέρα ἡ 25 Παλαιὰ Διαθήκη τῆς Νέας ἐστίν; Οὐχὶ τῇ ἐγχωρίῳ φωνῇ ἔχομεν τὴν Παλαιὰν Διαθήκην παρ' ἡμῖν γεγραμμένην, ἀλλ' ἑτέρᾳ μὲν συνετέθη γλώττῃ, ἑτέρᾳ δὲ ἔχομεν αὐτὴν ἀναγινωσκομένην ἡμεῖς. Τῇ γὰρ Ἑβραίων φωνῇ παρὰ τὴν ἀρχὴν συνεγράφη, ἡμεῖς δὲ αὐτὴν τῇ Ἑλλήνων παρελάβομεν γλώττῃ· ὅταν δὲ 30 γλῶττα ἑρμηνευθῇ εἰς ἑτέραν γλῶτταν, πολλὴν ἔχει τὴν δυσκολίαν. Καὶ ἴσασιν ἀκριβῶς, ὅσοι πολλῶν γλωσσῶν εἰσιν ἔμπειροι, πῶς οὐ δυνατὸν πᾶσαν τὴν σαφήνειαν τῆς φωνῆς τῆς ἐν τῇ οἰκείᾳ φύσει κειμένης μετενεγκεῖν εἰς τὴν ἑτέραν μεταβάλλοντας γλῶσσαν. Τοῦτο οὖν αἴτιον τῆς δυσκολίας τῆς 35 ἐν τῇ Παλαιᾷ Διαθήκῃ γέγονε. Πρὸ γὰρ τριακοσίων ἐτῶν τῆς τοῦ Χριστοῦ παρουσίας, ἐπὶ Πτολεμαίου τοῦ βασιλέως τῶν Αἰγυπτίων, πρὸς τὴν Ἑλλάδα μετηνέχθη γλῶσσαν ἡ Παλαιὰ

---

6. Ἰω. 15, 21.

μέ τήν παρουσία του ἐπρόκειτο νά γίνουν φανερές καί καθαρές. Ἄκουσε τόν ἴδιο τό Χριστό πού λέγει· «Ἐάν δέν ἐρχόμουν καί δέν τούς μιλοῦσα, ἁμαρτία δέ θά εἶχαν»[6]. Γιατί δέν εἶχαν ἁμαρτία, ἐφόσον οἱ προφητεῖες τά ἔλεγαν ἀπό πρίν; Γιατί τά ἔλεγαν βέβαια ἀπό πρίν, δέν ἦταν ὅμως καθαρές, οὔτε φανερές πρίν ἀπό τήν παρουσία τοῦ Χριστοῦ. Γιατί, ἄν ἦταν τότε καί καθαρές καί φανερές σ᾿ αὐτούς, εἶναι φανερό ὅτι καί πρίν ἀπό τήν παρουσία του θά εἶχαν ἁμαρτία. Ἀφοῦ ὅμως δέν εἶχαν ἁμαρτία, εἶναι ὁλοφάνερο ὅτι δέν εἶχαν, γιατί ἦταν ἀσαφή καί σκοτεινά τά λεγόμενα. Οὔτε βέβαια τούς ζητοῦσαν νά πιστέψουν στό Χριστό πρίν ἀπό τήν παρουσία του.

Γιά ποιό λοιπόν λόγο γίνονταν οἱ προφητεῖες τότε; Γιά νά ἔχουν, ὅταν ἔρθει ὁ Χριστός, τά ἴδια τά κείμενα σάν διδασκάλους πού νά τούς προτρέπουν, καί νά γνωρίζουν ὅτι δέν ἦταν ἀσυνήθιστα αὐτά πού γίνονταν, οὔτε καινούρια ἡ οἰκονομία τοῦ Θεοῦ, ἀλλ᾿ ὅτι προέρχονταν αὐτά ἀπό τούς οὐρανούς καί εἶχαν προαναγγελθεῖ πρίν ἀπό πολλά χρόνια. Καί δέν ἦταν μικρό αὐτό γιά νά τούς προσελκύσει στήν πίστη. Αὐτή λοιπόν εἶναι ἡ πρώτη αἰτία τῆς ἀσάφειας, πού τήν ἀποδείξαμε μέ περισσότερες μαρτυρίες στήν προηγούμενη ὁμιλία μας. Γιά νά μή σᾶς ἐνοχλοῦμε λοιπόν λέγοντας τά ἴδια, εἶναι ἀνάγκη νά φύγουμε ἀπ᾿ αὐτήν, καί νά ποῦμε γιά κάποια ἄλλη, πού δέν κάνει τήν Παλαιά Διαθήκη σκοτεινή καί ἄγνωστη σέ μᾶς, ἀλλά δυσκολότερη. Γιατί ἄλλο πράγμα εἶναι νά μή γνωρίζεις ἐντελῶς καθόλου αὐτά πού ὑπῆρχαν μέσα της καί νά βλέπεις πώς ὑπάρχει ἐπάνω τους ἕνα κάλυμμα, καί ἄλλο νά βρεῖς τά λεγόμενα, ἀλλά νά τά βρεῖς μέ κόπο.

Ποιά λοιπόν εἶναι ἡ δεύτερη αἰτία, γιά τήν ὁποία εἶναι πιό δύσκολη ἡ Παλαιά Διαθήκη ἀπό τήν Καινή; Δέν ἔχουμε τήν Παλαιά Διαθήκη γραμμένη, στή δική μας γλώσσα, ἀλλά σ᾿ ἄλλη γλώσσα ἔχει γραφεῖ, καί σ᾿ ἄλλη τήν ἔχουμε νά τή διαβάζουμε ἐμεῖς. Γιατί ἀπό τήν ἀρχή γράφτηκε στήν ἑβραϊκή γλώσσα, ἐμεῖς ὅμως τήν παραλάβαμε στήν ἑλληνική. Ὅταν ὅμως μία γλώσσα μεταφρασθεῖ σ᾿ ἄλλη, ἔχει πολλές δυσκολίες. Καί γνωρίζουν καλά, ὅσοι ξέρουν πολλές γλῶσσες, ὅτι δέν εἶναι δυνατό νά μεταφέρουν οἱ μεταφραστές ὅλη τή σαφήνεια τῆς γλώσσας, πού ἀπό τή φύση της ἔχει, σ᾿ ἄλλη γλώσσα. Αὐτό λοιπόν ἔγινε ἡ αἰτία τῆς δυσκολίας τῆς Παλαιᾶς Διαθήκης. Γιατί τριακόσια χρόνια πρίν ἀπό τήν ἔλευση τοῦ Χριστοῦ, στήν ἐποχή τοῦ Πτολεμαίου[7] τοῦ βασιλιᾶ τῆς Αἰγύπτου, ἡ Παλαιά Διαθήκη μεταφράσθηκε

7. Πρόκειται γιά τόν Πτολεμαῖο Β΄ τό Φιλάδελφο (285-246) πού στήν ἐποχή του ἄρχισε νά γίνεται ἡ μετάφραση τῆς Π. Διαθήκης.

Διαθήκη, χρησίμως σφόδρα καὶ ἀναγκαίως. Ἕως μὲν γὰρ ἑνὶ ἔθνει τῶν Ἰουδαίων διελέγετο, ἔμενεν ἐν τῇ Ἑβραΐδι φωνῇ. Οὐδεὶς γὰρ τότε ἔμελλεν αὐτῇ προσέχειν, τοῦ λοιποῦ τῶν ἀνθρώπων γένους εἰς θηριωδίαν ἐσχάτην ἐληλακότος.

5 *Ἐπειδὴ δὲ ἔμελλεν ὁ Χριστὸς παραγίνεσθαι, καὶ τὴν οἰκουμένην πᾶσαν πρὸς ἑαυτὸν καλεῖν, οὐχὶ διὰ τῶν ἀποστόλων μόνον, ἀλλὰ καὶ διὰ τῶν προφητῶν (καὶ γὰρ κἀκεῖνοι πρὸς τὴν πίστιν ἡμᾶς χειραγωγοῦσι τῆς τοῦ Χριστοῦ γνώσεως), τηνικαῦτα λοιπὸν ὡσπερεί τινας εἰσόδους καὶ ὁδοὺς τὰς*
10 *προφητείας, πρότερον ἀποκεκλεισμένας τῇ τῆς γλώττης ἀσαφείᾳ, πάντοθεν ἀνοιγῆναι παρεσκεύασε διὰ τῆς ἑρμηνείας, ἵνα πάντες οἱ ἐκ τῶν ἐθνῶν πανταχόθεν συῤῥέοντες, καὶ μετὰ πολλῆς τῆς εὐκολίας ταύτας ὁδεύοντες τὰς ὁδούς, δι' αὐτῶν δυνηθῶσι πρὸς τὸν βασιλέα τῶν προφητῶν ἐλθεῖν, καὶ*
15 *προσκυνῆσαι τῷ μονογενεῖ τοῦ Θεοῦ Υἱῷ. Διὰ τοῦτο πρό γε τοῦ χρόνου τῆς παρουσίας τοῦ Χριστοῦ ἡρμηνεύθησαν ἅπασαι· ἐπεὶ εἰ ἔμενον ἐν τῇ Ἑβραΐδι διαλέκτῳ μόνον, ἔλεγε δὲ ὁ Δαυΐδ, "Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς", πόθεν*
20 *ἔμελλεν εἰδέναι τὸ λεγόμενον ὁ Σύρος, ἢ ὁ Γαλάτης, ἢ ὁ Μακεδών, ἢ ὁ Ἀθηναῖος, ἐν ἀσαφείᾳ μενούσης τῆς Γραφῆς; Πάλιν ὁ Ἠσαΐας ἐβόα· "Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος". Καὶ πάλιν· "Ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν·*
25 *ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι". Καὶ πάλιν· "Πλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας". Καὶ ὁ Δαυΐδ πάλιν ἔλεγεν· "Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος"· καὶ πάλιν· "Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου*
30 *ὑποπόδιον τῶν ποδῶν σου".*

3. Ἐπεὶ οὖν καὶ περὶ τοῦ πάθους, καὶ περὶ τῆς ἀναστάσεως, καὶ περὶ τῆς ἀναλήψεως, καὶ περὶ τῆς ἐκ δεξιῶν καθέδρας, καὶ περὶ τῆς δευτέρας αὐτοῦ παρουσίας, καὶ περὶ πάντων τούτων ἁπλῶς τῶν ἐν τῇ Καινῇ κειμένων προεῖπεν ἡ
35 *Παλαιὰ Διαθήκη, ἵνα μὴ ἄγνωστα μένῃ ταῦτα τοῖς ἔθνεσι τοῖς μετὰ ταῦτα μέλλουσιν ἔσεσθαι, καὶ ἀγνοῶσι τῆς προφητείας*

8. Ψαλμ. 2, 8. 9. Ἠσ. 53, 7. 10. Ἠσ. 11, 10.

στήν ἑλληνική γλώσσα, πράγμα πού ἦταν πολύ χρήσιμο καί ἀναγκαῖο. Γιατί ὥσπου μιλοῦσε σ' ἕνα λαό, τόν 'Ιουδαϊκό, ἔμενε στήν ἑβραϊκή γλώσσα. Κανένας βέβαια τότε δέν ἐπρόκειτο νά τήν προσέχει, ἀφοῦ τό ὑπόλοιπο ἀνθρώπινο γένος εἶχε φθάσει στήν πιό μεγάλη ἀγριότητα.

'Επειδή ὅμως ἐπρόκειτο νά ἔρθει ὁ Χριστός καί ἐπρόκειτο νά καλέσει κοντά του ὅλη τήν οἰκουμένη, ὄχι μόνο μέ τούς ἀποστόλους, ἀλλά καί μέ τούς προφῆτες (γιατί καί αὐτοί μᾶς ὁδηγοῦν στήν πίστη νά γνωρίσουμε τό Χριστό), τότε λοιπόν σάν νά ἦταν οἱ προφητεῖες εἴσοδοι καί δρόμοι, κλεισμένοι προηγουμένως μέ τήν ἀσάφεια τῆς γλώσσας, ἔκανε μέ τήν ἑρμηνεία ν' ἀνοιχθοῦν ἀπό παντοῦ, ὥστε, ὅλοι αὐτοί πού μαζεύονταν ἀπ' ὅλους τούς λαούς καί βάδιζαν μέ μεγάλη εὐκολία αὐτούς τούς δρόμους, νά μπορέσουν μέ τίς προφητεῖες νά πλησιάσουν τό βασιλιά τῶν προφητῶν καί νά προσκυνήσουν τό μονογενή Υἱό τοῦ Θεοῦ. Γι' αὐτό ἀκριβῶς μεταφράσθηκαν ὅλες οἱ προφητεῖες πρίν ἀπό τό χρόνο τῆς παρουσίας τοῦ Χριστοῦ. Γιατί, ἐάν ἔμενε γραμμένη μόνο στήν ἑβραϊκή διάλεκτο, ἐνῶ ἔλεγε ὁ Δαυίδ, «Ζήτησε ἀπό μένα καί θά σοῦ δώσω τά ἔθνη σάν κληρονομιά σου, καί σάν ἰδιοκτησία του τά πέρατα τῆς γῆς»[8], ἀπό ποῦ ἐπρόκειτο νά γνωρίσει τό λεγόμενο ὁ Σύρος ἤ ὁ Γαλάτης ἤ ὁ Μακεδόνας ἤ ὁ 'Αθηναῖος, ἀφοῦ ἡ Γραφή θά παρέμενε σκοτεινή; Πάλι ὁ 'Ησαΐας φώναζε· «'Οδηγήθηκε στή σφαγή σάν πρόβατο καί σάν ἀρνί ἄφωνο μπροστά σ' αὐτόν πού τό κυρεύει»[9]. Καί πάλι· «Θά εἶναι ἡ ρίζα τοῦ 'Ιεσσαί καί αὐτός πού θ' ἀναστηθεῖ θά ἐξουσιάζει τά ἔθνη. Σ' αὐτόν θά στηρίξουν τίς ἐλπίδες τους τά ἔθνη»[10]. Καί πάλι «Θά γεμίσει ἡ γῆ ἀπό τή γνώση τοῦ Κυρίου, σάν τό πολύ νερό πού σκεπάζει τίς θάλασσες»[11]. Καί ὁ Δαυίδ πάλι ἔλεγε· «'Ανέβηκε ὁ Θεός μέ ἀλαλαγμό, ὁ Κύριος μέ φωνή σάλπιγγας»[12]. Καί πάλι· «Εἶπε ὁ Κύριος στόν Κύριό μου· Κάθισε στά δεξιά μου, ὥσπου νά βάλω τούς ἐχθρούς σου ὑποπόδιο στά πόδια σου»[13].

3. 'Αφοῦ λοιπόν καί γιά τό πάθος, καί γιά τήν ἀνάσταση, καί γιά τήν ἀνάληψη, καί γιά τήν ἐγκατάστασή του στά δεξιά, καί γιά τή δεύτερη παρουσία του, καί γιά ὅλα αὐτά γενικά πού ὑπάρχουν στήν Καινή Διαθήκη, εἶπε ἀπό πρίν ἡ Παλαιά Διαθήκη, γιά νά μή μένουν αὐτά ἄγνωστα στά ἔθνη πού ἐπρόκειτο νά ἐμφανισθοῦν ἀργότερα καί γιά νά μήν ἀγνοοῦν τή δύναμη τῆς προφητείας, φρόντισε ἡ χάρη τοῦ Θεοῦ πρίν ἀπό τήν παρουσία τοῦ Χριστοῦ νά μεταφρασθοῦν οἱ

---

11. 'Ησ. 11, 9. 12. Ψαλμ. 46, 6. 13. Ψαλμ. 109, 1.

τὴν ἰσχύν, ᾠκονόμησεν ἡ τοῦ Θεοῦ χάρις πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ ἑρμηνευθῆναι τὰς Γραφάς, οὐ τοῖς ἐξ ἐθνῶν μόνον, ἀλλὰ καὶ Ἰουδαίων τοῖς πανταχοῦ τῆς οἰκουμένης διασπαρεῖσι καὶ τὴν Ἑβραΐδα λοιπὸν ἀποβαλοῦσι γλῶσσαν 5 χρησίμους αὐτὰς ποιῶν. Ἰδοὺ γάρ, ἐπίστευσεν ὁ ἐξ ἐθνῶν, βλέπων τὰ σημεῖα τῶν Ἰουδαίων. Πῶς εἶχον πάλιν ἐπαγαγέσθαι τὸν Ἰουδαῖον οἱ ἀπόστολοι, εἰ μὴ ἔμελλον αὐτῷ διδάσκαλον οἴκοθεν παρέχειν τὸν προφήτην; Εἰ γὰρ εἰς Ἀθήνας εἰσελθὼν ὁ Παῦλος ἐπιγράμματος ἐδεήθη ἐγκεκο-10 λαμμένου βωμῷ, καὶ τὴν διδασκαλίαν ἐξ ἐκείνου πρὸς αὐτοὺς ἐποιήσατο, τοῖς οἰκείοις αὐτῶν ὅπλοις εὐκολώτερον αἱρήσειν προσδοκῶν, ὅπερ καὶ ἐγένετο, πολλῷ μᾶλλον Ἰουδαίοις διαλεγόμενος ἐδεῖτο συμμαχίας τῆς ἀπὸ τῶν προφητῶν, ὥστε μὴ καὶ ἐκείνους ἐγκαλεῖν, ὅτι καινά τινα καὶ ξενίζοντα 15 εἰσφέρει εἰς τὰς ἀκοὰς αὐτῶν.

Καὶ διὰ τί, φησίν, οὐκ ἦν μία φωνή, καὶ πάσης ἦμεν ἀπηλλαγμένοι τῆς δυσκολίας; Μία φωνὴ τὸ παλαιὸν ἦν, ὦ ἄνθρωπε, καὶ ὥσπερ μία φύσις ἀνθρώπων, καὶ μία φωνὴ πάντων ἦν. Οὐκ ἦν ἑτερόγλωσσος ἀπ᾿ ἀρχῆς, οὐκ ἦν ἑτερό-20 φωνος, οὐκ ἦν Ἰνδός, οὔτε Θρᾷξ, οὔτε Σκύθης, ἀλλὰ πάντες μιᾷ διελέγοντο γλώσσῃ. Τί οὖν γέγονε τὸ αἴτιον; φησίν. Ἀνάξιοι τῆς μιᾶς ταύτης φωνῆς ἐφάνημεν ἡμεῖς, οἱ ἀγνώμονες ἀεὶ περὶ τὸν εὐεργέτην. Τί λέγεις; φωνῆς ἀνάξιοι ἐφάνημεν; καὶ τὰ μὲν ἄλογα τὴν οἰκείαν φωνὴν ἔχει πάντα· βληχᾶται 25 πρόβατα, μηκῶνται αἶγες, μυκᾶται ταῦρος, χρεμετίζει ἵππος, βρύχεται λέων, ὠρύεται λύκος, συρίζει δράκων· ἕκαστον τῶν ἀλόγων τὸν οἰκεῖον φθόγγον διετήρησεν, ἐγὼ δὲ μόνος τῆς οἰκείας ἀπεστέρημαι φωνῆς; Καὶ τὰ ἄγρια καὶ τὰ ἥμερα, καὶ τὰ χειροήθη καὶ τὰ ἀτιθάσσευτα ζῶα ἔμεινεν ἕκαστον ἔχοντα 30 τὴν ἐξ ἀρχῆς συγκληρωθεῖσαν αὐτοῖς φωνήν, ἐγὼ δὲ ὁ ἄρχων αὐτῶν ἠτίμωμαι; κἀκείνοις μὲν ἀκίνητοι αἱ τιμαί, ἐγὼ δὲ ἐξέπεσον τῶν δωρεῶν τοῦ Θεοῦ; Καὶ τί τοσοῦτον ἡμάρτηταί μοι; οὐκ ἤρκουν αἱ πρότεραι τιμωρίαι;

Ἔδωκέ μοι τὸν παράδεισον, καὶ ἐξέβαλέ με τοῦ παραδεί-35 σου· ἔζων βίον ἀταλαίπωρον καὶ πόνων ἀπηλλαγμένον, κατεδίκασέ με ἱδρῶτι καὶ μόχθῳ· ἄσπαρτα καὶ ἀνήροτα πάντα μοι παρεῖχεν ἡ γῆ, ἐκέλευσεν αὐτῇ ἀκάνθας καὶ τριβόλους ἀνενεγκεῖν, καὶ εἰς αὐτήν με πάλιν ἀπέστρεψε· θανάτῳ με

Γραφές, κάνοντας χρήσιμες αὐτές ὄχι μόνο σ' ἐκείνους πού προέρχονται ἀπό τά ἔθνη, ἀλλά καί στούς 'Ιουδαίους πού διασκορπίσθηκαν σ' ὅλα τά σημεῖα τῆς γῆς καί ξέχασαν ἔτσι τήν ἐβραϊκή γλώσσα. Νά λοιπόν, πίστεψε ὁ ἐθνικός, ἐπειδή ἔβλεπε τά σημεῖα τῶν 'Ιουδαίων. Πῶς μποροῦσαν πάλι οἱ ἀπόστολοι νά πείσουν τόν 'Ιουδαῖο, ἐάν δέν ἐπρόκειτο νά τοῦ δώσουν διδάσκαλο ἀπό τήν πατρίδα τους τόν προφήτη; 'Εάν βέβαια ὁ Παῦλος, ὅταν μπῆκε στήν 'Αθήνα, χρειάσθηκε κάποια ἐπιγραφή[14] πού ἦταν χαραγμένη σέ βωμό καί ἔκαμε τή διδασκαλία του ξεκινώντας ἀπ' αὐτή, ἐπειδή προσδοκοῦσε νά τούς κατακτήσει μέ τά δικά τους ὅπλα πιό εὔκολα, πράγμα πού καί ἔγινε, πολύ περισσότερο εἶχε ἀνάγκη ἀπό τή συμμαχία τῶν προφητῶν, ὅταν μιλοῦσε μέ τούς 'Ιουδαίους, γιά νά μήν τόν κατηγοροῦν αὐτοί ὅτι φέρνει στά αὐτιά τους καινούρια καί ξένα πράγματα.

Καί γιατί, θά πεῖ κάποιος, δέν ὑπῆρχε μία γλώσσα καί θά εἴχαμε ἀπαλλαχθεῖ ἀπό κάθε δυσκολία; 'Υπῆρχε μία γλώσσα τήν παλιά ἐποχή, ἄνθρωπε, καί ὅπως ἦταν μία ἡ φύση τῶν ἀνθρώπων, ἦταν καί μία ἡ γλώσσα ὅλων. 'Από τήν ἀρχή δέν ὑπῆρχαν ἄνθρωποι μέ διαφορετική γλώσσα, οὔτε μέ διαφορετική διάλεκτο, δέν ὑπῆρχαν 'Ινδοί, οὔτε Θρακιῶτες, οὔτε Σκύθες, ἀλλ' ὅλοι μιλοῦσαν τήν ἴδια γλώσσα. Ποιά λοιπόν, λέγει, ἦταν ἡ αἰτία; 'Εμεῖς φανήκαμε ἀνάξιοι γιά τή μία αὐτή γλώσσα, οἱ ὁποῖοι εἴμαστε πάντοτε ἀχάριστοι στόν εὐεργέτη μας. Τί λέγεις; φανήκαμε ἀνάξιοι γιά τή γλώσσα; Τά ζῶα βέβαια ἔχουν ὅλα τή δική τους φωνή· τά πρόβατα καί τά γίδια βελάζουν, ὁ ταῦρος μουγκρίζει, τό ἄλογο χλιμιτρίζει, τό λιοντάρι βρυχᾶται, ὁ λύκος οὐρλιάζει, τό φίδι σφυρίζει· τό καθένα ζῶο διατήρησε τή δική του φωνή, ἐνῶ μόνο ἐγώ ἔχω χάσει τή δική μου φωνή; Καί τά ἄγρια καί τά ἥμερα, καί τά ἐξημερωμένα καί τά ἀτιθάσσευτα ζῶα διατήρησαν τό καθένα τή γλώσσα πού τούς ἔλαχε ἀπό τήν ἀρχή· ἐγώ ὅμως ὁ ἄρχοντας τῶν ζώων τιμωρήθηκα μέ τή στέρηση τῆς γλώσσας; καί σ' ἐκεῖνα ὑπάρχουν σταθερές οἱ τιμές, ἐγώ ὅμως ἔχασα τίς δωρεές τοῦ Θεοῦ. Σέ τί ἁμάρτησα τόσο πολύ; δέ μοῦ ἔφθαναν οἱ προηγούμενες τιμωρίες;

Μοῦ ἔδωσε τόν παράδεισο, ἀλλά μ' ἔδιωξε ἀπό τόν παράδεισο. Ζοῦσα ζωή χωρίς βάσανα καί κόπους, μέ καταδίκασε νά ζῶ μέ ἱδρώτα καί μόχθο. 'Η γῆ μοῦ ἔδινε τά πάντα χωρίς νά σπέρνω καί νά ὀργώνω, τή διέταξε ὅμως νά βλασταίνει ἀγκάθια καί τριβόλια, καί μέ ξαναγύρισε πάλι σ' αὐτή. Μέ τιμώρησε μέ θάνατο· τιμώρησε τό γυναικεῖο

14. 'Αναφέρεται στήν ἐπιγραφή «Στόν ἄγνωστο Θεό» (Πράξ. 17, 23).

ἐκόλασε· τὸ τῶν γυναικῶν γένος ἐκόλασεν ὑποβαλὼν ὠδῖσι καὶ πόνοις. Οὐκ ἤρκει ταῦτα εἰς τιμωρίαν, ἀλλὰ καὶ τῆς φωνῆς με ἐξέβαλε, καὶ ταύτης ἀπεστέρησε τῆς τιμῆς, ἵνα τοὺς ὁμοφύλους καὶ ὁμογενεῖς καθάπερ θηριώδεις ἀποστρέφωμαι, τῆς φωνῆς διατειχιζούσης μοι τὴν συνουσίαν. Διὰ τοῦτο ηὔξησα τὴν ἀντίθεσιν, ἵν', ὅταν ἐπαγάγω τὴν λύσιν, λαμπροτέρα γένηται ἡ νίκη. Εἰ ἐβούλετό με, φησίν, ἐκβαλεῖν τούτων ἁπάντων, τίνος ἕνεκέν μοι αὐτὰ παρὰ τὴν ἀρχὴν ἐδίδου; Βούλεσθε ἀπ' αὐτοῦ τούτου ἐπαγάγω τὴν λύσιν, ἀπ' αὐτῆς τῆς ἀντιῤῥήσεως τῆς ψιλῆς; Τοσαύτη γὰρ τῶν ὑπὲρ τοῦ Θεοῦ δικαιωμάτων ἡ περιουσία, ὡς αὐτὴν τοῦ ἀντιλέγοντος τὴν ἀντίῤῥησιν, μηδὲν παρ' ἡμῶν προσλαμβάνουσαν, ἀρκέσαι πρὸς τὴν τῶν ἐγκλημάτων λύσιν.

Εἰ ἐβούλετό με ἐκβαλεῖν πάντων τούτων, τίνος ἕνεκεν αὐτά μοι παρὰ τὴν ἀρχὴν ἐδίδου; Καὶ γὰρ κἀγὼ τὸ αὐτὸ λέγω· εἰ ἐβούλετό σε ἐκβαλεῖν πάντων τούτων, τίνος ἕνεκεν ἐδίδου; Ὥστε ἐπειδὴ οὐκ ἐβούλετό σε ἐκβαλεῖν, διὰ τοῦτο ἔδωκέ σοι ταῦτα παρὰ τὴν ἀρχήν. Τί οὖν ἐγένετο; Οὐχ ὁ Θεός σε ἐξέβαλεν, ἀλλὰ σὺ ἀπώλεσας τὰ δοθέντα. Ἐκεῖνον θαύμαζε τῆς φιλανθρωπίας, ὅτι ἐχαρίσατο· σαυτῷ μέμφου τῆς ῥαθυμίας, ὅτι τὸ δῶρον οὐκ ἐφύλαξας. Ὥστε δῆλον, ὅτι οὐχ ὁ παρακαταθέμενος αἴτιος, ἀλλ' ὁ τὴν παρακαταθήκην προδοὺς ἐγκλημάτων ὑπεύθυνος. Ὅτι γὰρ ἐφίλει, καὶ φιλάνθρωπος ἦν, καὶ ἐβούλετο χαρίσασθαι, ἔδειξεν, οὐδενὸς δὲ ἀναγκάζοντος, οὐδὲ βίαν ἐπιτιθέντος, οὐ τὰ κατορθώματά σου θαυμάσας, οὐκ ἔχων σοι πόνων ἀμοιβὴν ἀποδοῦναι· ἀλλ' εὐθέως πλάσας, εὐθέως εἰς τὴν ἀρχὴν μετήγαγε ταύτην, ἵνα δείξῃ, ὅτι οὐκ ἀντίδοσις ἀμοιβῆς ἡ δωρεά, ἀλλὰ γυμνὴ ἡ χάρις ἦν. Εἰ δὲ οὐκ ἐφύλαξας τὰ δοθέντα, σαυτὸν αἰτιῶ, μὴ τὸν δεδωκότα τὴν δωρεάν.

Ἆρ' οὖν τοῦτο μόνον ἔχομεν εἰπεῖν ὑπὲρ τοῦ Δεσπότου; Ἱκανὴ μὲν οὖν καὶ αὕτη ἡ ἀπολογία, ἀλλ' ἡ ἄπειρος αὐτοῦ ἀγαθότης καὶ ἡ ἄῤῥητος φιλανθρωπία καὶ ἑτέραν ἡμῖν περιουσίαν δικαιωμάτων παρέχει. Οὐδὲ γὰρ τοῦτο μόνον ἔστιν εἰπεῖν, ὅτι αὐτὸς μὲν ἔδωκε, σὺ δὲ ἀπώλεσας· ἀπήλλακται μὲν γὰρ καὶ οὕτω τῶν ἐγκλημάτων ὁ δούς, μᾶλλον δὲ καὶ μεγίστου θαύματός ἐστιν ἄξιος, ὅτι καὶ προειδὼς ὅτι ἀπολεῖς, οὐκ ἀπεστέρησέ σε τῆς δωρεᾶς· πλὴν ἀλλὰ καὶ ἕτερον πολλῷ

φύλο ὑποβάλλοντας αὐτό στούς πόνους τοῦ τοκετοῦ καί σέ κόπους. Δέν ἔφθαναν αὐτά γιά τιμωρία, ἀλλά μοῦ ἀφαίρεσε καί τή γλώσσα, καί μέ στέρησε ἀπό τήν τιμή αὐτή, γιά ν' ἀποστρέφομαι τούς ἀνθρώπους πού ἀνήκουμε στήν ἴδια φυλή καί στό ἴδιο γένος σάν νά ἦταν θηρία, ἐπειδή ἡ γλώσσα μοῦ ἐμποδίζει τή συναναστροφή. Γι' αὐτό μεγάλωσα τήν ἀντίθεση, γιά νά γίνει λαμπρότερη ἡ νίκη, ὅταν σᾶς παρουσιάσω τήν ἀπάντηση. 'Εάν ἤθελε, λέγει, νά μοῦ τά στερήσει ὅλα αὐτά, γιά ποιό λόγο μοῦ τά ἔδωσε ἀπό τήν ἀρχή; Θέλετε ἀπ' αὐτό μόνο νά φέρω τή λύση, ἀπ' αὐτή τήν ἀντίρρηση μόνο; Γιατί ὑπάρχουν τόσο πολλές δικαιολογίες γιά ὑπεράσπιση τοῦ Θεοῦ, ὥστε νά φθάσει γι' ἀνασκευή τῶν κατηγοριῶν ἡ ἴδια ἡ ἀντίρρηση αὐτοῦ πού ἀντιλέγει, χωρίς νά χρειάζεται τίποτε ἀπό μᾶς.

'Εάν ἤθελε νά μοῦ τά στερήσει ὅλα αὐτά, γιατί μοῦ τά ἔδωσε αὐτά ἀπό τήν ἀρχή; Πραγματικά καί ἐγώ τό ἴδιο λέγω· ἐάν ἤθελε νά σοῦ τά στερήσει ὅλα αὐτά, γιά ποιό λόγο σοῦ τά ἔδωσε; 'Επομένως, ἐπειδή δέν ἤθελε νά σοῦ τά στερήσει, γι' αὐτό σοῦ τά ἔδωσε ἀπό τήν ἀρχή. Τί ἔγινε λοιπόν; Δέ σοῦ τά στέρησε ὁ Θεός, ἀλλ' ἐσύ ἔχασες αὐτά πού σοῦ δόθηκαν. Θαύμαζε τό Θεό γιά τή φιλανθρωπία του, γιατί σοῦ τά χάρισε· νά κατηγορεῖς τόν ἑαυτό σου γιά τήν ἀδιαφορία σου, γιατί δέ φύλαξες τό δῶρο. 'Επομένως εἶναι φανερό, ὅτι δέν εἶναι αἴτιος αὐτός πού τά παρέδωσε, ἀλλ' ἐκεῖνος πού ἐγκατέλειψε τήν παρακαταθήκη εἶναι ὑπεύθυνος γιά τίς κατηγορίες αὐτές. Γιατί ἔδειξε ὅτι σ' ἀγαποῦσε καί ὅτι ἦταν φιλάνθρωπος καί ὅτι ἤθελε νά σοῦ χαρίσει, χωρίς νά τόν ἀναγκάζει κανείς, οὔτε νά τοῦ ἐπιβάλλει μέ βία, οὔτε γιατί θαύμασε τά κατορθώματά σου, οὔτε γιατί ἔπρεπε νά σοῦ δώσει ἀμοιβή γιά τούς κόπους σου· ἀλλ' ἀμέσως, ὅταν σ' ἔπλασε, ἀμέσως σ' ἔφερε σ' αὐτήν τήν ἐξουσία, γιά νά δείξει, ὅτι ἡ δωρεά δέν ἦταν ἀνταπόδοση ἀμοιβῆς, ἀλλά μόνο χάρη. 'Εάν ὅμως δέ φύλαξες αὐτά πού σοῦ δόθηκαν, κατηγόρησε τόν ἑαυτό σου, ὄχι αὐτόν πού σοῦ ἔδωσε τή δωρεά.

Μήπως αὐτό μόνο μποροῦμε νά ποῦμε γιά ὑπεράσπιση τοῦ Κυρίου; Βέβαια καί ἡ ἀπολογία αὐτή εἶναι ἀρκετή, ἀλλ' ἡ ἄπειρη ἀγαθότητά του καί ἡ ἀνέκφραστη φιλανθρωπία του μᾶς δίνει καί πολλές ἄλλες δικαιολογίες. Οὔτε λοιπόν αὐτό μόνο μποροῦμε νά ποῦμε, ὅτι δηλαδή αὐτός ἔδωσε, ἐσύ ὅμως τά ἔχασες· γιατί καί ἔτσι εἶναι ἀπαλλαγμένος ἀπό τίς κατηγορίες αὐτός πού ἔδωσε, ἤ καλύτερα, εἶναι ἄξιος γιά μεγαλύτερο θαυμασμό, ἐπειδή, ἄν καί γνώριζε ἀπό προηγουμένως ὅτι θά τά χάσεις, δέ σοῦ στέρησε τή δωρεά. 'Αλλ' ὅμως

μεῖζον ἔχω τούτων εἰπεῖν. Τί δὲ τοῦτό ἐστιν; Ὅτι καὶ μετὰ τὸ ἀπολέσαι ἐξ οἰκείας ῥᾳθυμίας, πάλιν ἀποδέδωκέ σοι τὰ ἀπολωλότα· μᾶλλον δὲ οὐ τὰ ἀπολωλότα μόνον, ἀλλὰ καὶ πολλῷ μείζονα τούτων. Ἀπώλεσας μὲν γὰρ παράδεισον, ἔδωκε δέ σοι τὸν οὐρανόν. Ὁρᾷς πῶς μείζων ἡ ἐμπορία τῆς ζημίας, πῶς πλείων ὁ πλοῦτος; Ἔδωκέ σοι τὸν οὐρανόν, ἵνα καὶ τὴν οἰκείαν φιλανθρωπίαν ἐπιδείξηται, καὶ τὸν διάβολον δάκῃ, δεικνὺς ὅτι κἂν μυρία τῷ τῶν ἀνθρώπων ἐπιβουλεύσῃ γένει, οὐδὲν ἔσται πλέον αὐτῷ, τοῦ Θεοῦ πρὸς μείζονα ἀεὶ τιμὴν ἡμᾶς ἀνάγοντος. Ἀπώλεσας τοίνυν παράδεισον, καὶ ἀνέῳξέ σοι ὁ Θεὸς τὸν οὐρανόν· κατεδικάσθης πόνῳ προσκαίρῳ, καὶ ἐτιμήθης ζωῇ αἰωνίῳ· ἐκέλευσε τῇ γῇ ἀκάνθας καὶ τριβόλους ἐνεγκεῖν, καὶ ἐβλάστησέ σοι καρπὸν Πνεύματος ἡ ψυχή.

4. Καὶ σκόπει μοι τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, μέχρι πόσου κατέβη. Ἐν τοῖς ἀπολλύουσί τινα τῶν οἰκείων κτημάτων, κἂν μείζονα λάβωσι καὶ πολυτελέστερα, ἐκεῖνα τὰ ἀπολωλότα ζητεῖν ἐφίενται, καὶ μὴ πρότερον πληροφορεῖσθαι, ἕως ἂν αὐτὰ ἀπολάβωσιν. Ἐπεὶ οὖν ἀπώλεσας παράδεισον, οὐχὶ τὸν οὐρανόν σοι δέδωκε μόνον, ἀλλὰ καὶ παράδεισον καὶ οὐρανόν. "Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ", φησίν· ἵνα μὴ μόνον τῇ τῶν μειζόνων προσθήκῃ, ἀλλὰ καὶ τῇ τῶν ἀπολωλότων ἀνακτήσει παραμυθήσηται τὴν ὀδυνωμένην ψυχήν. Ἀλλ' εἰ δοκεῖ, καὶ ἐπ' αὐτὸ τοῦτο ἔλθωμεν τὸ προκείμενον, καὶ ἴδωμεν πῶς ἀπωλέσαμεν τὴν φωνήν. Οὐδὲ γὰρ μικρὸν εἰς ἀσφαλείας λόγον ἡ ἱστορία. Ὁ γὰρ μαθὼν τὸν τρόπον τῆς προτέρας ἀσφαλείας, πρὸς τὰ λοιπὰ ἀσφαλέστερος ἔσται. Ἀναγκαῖον δὲ πάντα πρὸς ὑμᾶς εἰπεῖν· οἷον, ὅτι μία φωνὴ τὸ παλαιὸν πάντων ἀνθρώπων ἦν, ὅτι εἰς πολλὰς ὕστερον μετέπεσε· μέχρι πότε μία ἦν, καὶ πότε μετέπεσεν εἰς πολλάς· καὶ πότερον αὐτὴ ἐκείνη ἠφανίσθη, καὶ ἕτεραι εἰσηνέχθησαν, ἢ μενούσης ἐκείνης ἐπεισήχθησαν αἱ λοιπαί· διὰ τί συνεχύθη, καὶ ἐκ ποίας αἰτίας· εἶτα ποίᾳ τούτων τῶν πολλῶν φωνῶν ἡ Παλαιὰ συνέκειτο Διαθήκη· διὰ γὰρ ἐκείνην πάντα ταῦτα ἐκινήσαμεν· πότερον τῇ ἀρχαίᾳ καὶ πρεσβυτέρᾳ, ἢ ταῖς ὕστερον ἐπεισενεχθείσαις.

Ἀλλὰ μὴ δείσητε· κἂν γὰρ μὴ τήμερον ἅπαντα δυνηθῶμεν

15. Λουκᾶ 23, 42.

ἔχω νά πῶ καί ἄλλο πολύ μεγαλύτερο ἀπ᾽ αὐτά. Ποιό λοιπόν εἶναι αὐτό; Ὅτι, ἀφοῦ τά ἔχασες ἀπό δική σου ἀδιαφορία, πάλι σοῦ ἐπέστρεψε τά χαμένα, καί μάλιστα ὄχι μόνο τά χαμένα, ἀλλά καί πολύ μεγαλύτερα ἀπ᾽ αὐτά. Γιατί ἔχασες βέβαια τόν παράδεισο, σοῦ ἔδωσε ὅμως τόν οὐρανό. Βλέπεις πῶς τό κέρδος εἶναι μεγαλύτερο ἀπό τή ζημία, πῶς ὁ πλοῦτος εἶναι περισσότερος; Σοῦ ἔδωσε τόν οὐρανό, γιά νά φανερώσει καί τή δική του φιλανθρωπία καί γιά νά πληγώσει τό διάβολο, δείχνοντας ὅτι καί ἄν ἀκόμη σκεφθεῖ νά κάμει πάρα πολλά κακά στό ἀνθρώπινο γένος, δέ θά εἶναι καθόλου ἀνώτερος, ἀφοῦ ὁ Θεός μᾶς ἀνεβάζει πάντοτε σέ μεγαλύτερη τιμή. Ἔχασες λοιπόν τόν παράδεισο, ἀλλά σοῦ ἄνοιξε ὁ Θεός τόν οὐρανό· καταδικάσθηκες μέ προσωρινό μόχθο, καί τιμήθηκες μέ τήν αἰώνια ζωή· διέταξε τή γῆ νά βλαστήσει ἀγκάθια καί τριβόλια καί ἡ ψυχή σου βλάστησε τόν καρπό τοῦ ἁγίου Πνεύματος.

4. Καί πρόσεξε, παρακαλῶ, τή φιλανθρωπία τοῦ Θεοῦ, μέχρι ποιό σημεῖο κατέβηκε. Ἐκεῖνοι πού χάνουν μερικά ἀπό τά δικά τους κτήματα, καί ἄν ἀκόμη πάρουν μεγαλύτερα καί ἀκριβότερα, ἐξακολουθοῦν νά ζητοῦν ἐκεῖνα πού ἔχασαν, καί δέ συνέρχονται προηγουμένως, ὥσπου νά ξαναπάρουν αὐτά. Ἐπειδή λοιπόν ἔχασες τόν παράδεισο, δέ σοῦ ἔδωσε μόνο τόν οὐρανό, ἀλλά καί τόν παράδεισο καί τόν οὐρανό. «Σήμερα μαζί μου θά εἶσαι στόν παράδεισο»[15], λέγει, γιά νά παρηγορήσει τήν πονεμένη ψυχή, ὄχι μόνο μέ τήν προσθήκη τῶν μεγαλύτερων, ἀλλά καί μέ τήν ἀπόκτηση τῶν χαμένων. Ἀλλά, ἐάν θέλετε, ἄς ἔλθουμε καί σ᾽ αὐτό τό θέμα, καί ἄς δοῦμε πῶς χάσαμε τή γλώσσα. Γιατί ἡ ἱστορία εἶναι μεγάλο πράγμα γιά τήν ἀσφάλεια τοῦ λόγου. Ἐκεῖνος λοιπόν πού γνώρισε τόν τρόπο τῆς προηγούμενης ἀσφάλειας, θά εἶναι περισσότερο ἀσφαλής γιά τά μελλοντικά. Εἶναι ἀνάγκη ὅμως νά τά πῶ ὅλα σέ σᾶς· ὅτι δηλαδή τήν παλιά ἐποχή ἦταν μιά ἡ γλώσσα σ᾽ ὅλους τούς ἀνθρώπους καί ὅτι ἀργότερα ἄλλαξε σέ πολλές· μέχρι τότε ἦταν μία καί τότε ἄλλαξε σέ πολλές· καί ποιό ἀπό τά δύο, ἐκείνη ἡ ἴδια ἐξαφανίσθηκε καί χρησιμοποιήθηκαν ἄλλες, ἤ παρέμεινε ἐκείνη καί χρησιμοποιήθηκαν καί οἱ ἄλλες· γιατί ἔγινε τό ἀνακάτωμα καί ἀπό ποιά αἰτία· ἔπειτα, σέ ποιά ἀπό τίς πολλές αὐτές γλῶσσες γράφτηκε ἡ Παλαιά Διαθήκη· γιατί ἐξ αἰτίας της θέσαμε ὅλα αὐτά τά ζητήματα· ποιό ἀπό τά δύο ἔγινε, στήν ἀρχαία καί παλιότερη γράφτηκε, ἤ σ᾽ αὐτές πού χρησιμοποιήθηκαν ἀργότερα.

Ἀλλά μή φοβηθεῖτε, γιατί καί ἄν ἀκόμη δέν μπορέσουμε νά τά

ἀποδοῦναι, ἀλλὰ πάντως ὑμῖν ἀποδώσομεν ὕστερον. Τίνος οὖν ἕνεκεν μὴ μέλλοντες ἅπαντα τήμερον ἀποδιδόναι, ἁπάντων τῶν ὀφλημάτων τὴν ὑπόθεσιν ὑμῖν ἀνέγνωμεν; Ἵνα προσδοκῶντες τὴν ἀπόδοσιν, διαπαντὸς κατὰ νοῦν ἡμᾶς
5 *ἔχητε. Καὶ γὰρ ὁ χρυσίον τινὶ δανείσας, καὶ ὑπεύθυνον ἔχων τοῦ ὀφλήματος, καὶ ἐν τραπέζῃ, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν κλίνῃ, καὶ πανταχοῦ τὸν ὀφείλοντα αὐτῷ φαντάζεται καὶ ὀνειροπολεῖ· καὶ ὁ τῶν χρημάτων ἔρως μετὰ τῶν χρημάτων κἀκεῖνον ἐπὶ τῆς τοῦ δεδανεικότος ποιεῖ διαπαντὸς περιφέ-*
10 *ρεσθαι ψυχῆς. Ἵνα οὖν καὶ ἡμεῖς τῇ ἐλπίδι τῆς ἀποδόσεως ἐσώμεθα διαπαντὸς ἐν ταῖς ὑμετέραις διανοίαις, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ ὅπου δ' ἂν ἦτε, διὰ τοῦτο τὰ μὲν ὀφλήματα ὡμολογήσαμεν, τὴν δὲ ἀπόδοσιν ἅπασαν οὐ ποιούμεθα σήμερον, ἵνα τῇ προσδοκίᾳ τῶν λειπομένων ὑπόθεσιν τῆς περὶ*
15 *ἡμῶν μνήμης παρ' ὑμῖν καταλείψωμεν.*

Μεγάλη γὰρ ἡμῶν ἀσφάλεια, τῆς ὑμετέρας ἀγάπης ἀπολαύειν διηνεκῶς, δήμου τοιούτου καὶ τοσούτου. Ὁ γὰρ ἀγάπης ἀπολαύων, καὶ εὐχῆς ἀπολαύσεται πάντως. Τοῦτο δὲ ἡλίκον ἐστὶν ἀγαθόν, δῆλον ἐκεῖθεν· Παῦλος ἐκεῖνος, ὁ εἰς
20 *τρίτον ἁρπαγεὶς οὐρανόν, ὁ ῥήματα ἀκούσας ἄῤῥητα, ὁ πάσας καταπατήσας τὰς ἀνάγκας τῆς φύσεως, ὁ ἐν ἀσφαλείᾳ τελείᾳ λοιπὸν ὤν, ἐδεῖτο καὶ εὐχῆς τῶν μαθητῶν, καὶ ἔλεγε "Προσεύχεσθε ὑπὲρ ἐμοῦ, ἵνα ῥυσθῶ ἀπὸ τῶν ἀπειθούντων"· καὶ πάλιν, "Προσεύχεσθε, ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ*
25 *στόματός μου". Καὶ πανταχοῦ ὁρᾶτε αὐτὸν καὶ αἰτοῦντα τὰς εὐχὰς τῶν μαθητῶν, καὶ εὐχαριστοῦντα αὐτοῖς μετὰ τὸ λαβεῖν. Ἵνα γὰρ μὴ λέγῃ τις, ὅτι διὰ ταπεινοφροσύνην καταφεύγει ἐπὶ τὰς εὐχὰς τῶν μαθητῶν, δείκνυσιν αὐτῶν καὶ τὴν δύναμιν, οὕτω λέγων· "Ὃς ἐκ τηλικούτων θανάτων ἐῤῥύσατο ἡμᾶς·*
30 *ἠλπίκαμεν δὲ ὅτι καὶ ῥύσεται, συνυπουργούντων καὶ ὑμῶν τῇ δεήσει ὑπὲρ ἡμῶν, ἵνα τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν".*

Εἰ δὲ Παῦλον κινδύνων ἀπήλλαξεν ἡ τοῦ πλήθους εὐχή, πῶς οὐ μεγάλα δεῖ προσδοκᾶν καὶ ἡμᾶς ἀπὸ ταύτης καρπώ-
35 *σεσθαι τῆς προστασίας; Ἐπειδὴ γὰρ καθ' ἑαυτοὺς εὐχόμενοι ἀσθενεῖς ἐσμεν, ὅταν δὲ συλλεγῶμεν, ἰσχυροὶ γινόμεθα μᾶλ-*

---

16. Ρωμ. 15, 30.31. 17. Ἐφ. 6, 21. 18. Β΄ Κορ. 1, 10-11.

ἀποδώσουμε σήμερα ὅλα αὐτά, ὁπωσδήποτε ὅμως θά σᾶς τά ἀποδώσουμε ἀργότερα. Γιά ποιό λοιπόν λόγο σᾶς διαβάσαμε τόν κατάλογο ὅλων τῶν ὀφειλῶν μας, ἀφοῦ δέν πρόκειται νά σᾶς τά ἀποδώσουμε ὅλα σήμερα; Γιά νά προσέχετε σέ μᾶς συνέχεια, περιμένοντας τήν ἀπόδοση. Γιατί καί ἐκεῖνος πού δάνεισε σέ κάποιον χρήματα καί γνωρίζει τόν ὑπεύθυνο τῆς ὀφειλῆς, καί στό τραπέζι καί στό σπίτι καί στήν ἀγορά καί στό κρεβάτι καί παντοῦ αὐτόν πού τοῦ ὀφείλει φαντάζεται καί ὀνειρεύεται. Καί ἡ μεγάλη ἀγάπη γιά τά χρήματα κάνει νά περιφέρεται συνέχεια στήν ψυχή ἐκείνου πού ἔχει δανείσει καί αὐτός μαζί μέ τά χρήματα. Γιά νά εἴμαστε λοιπόν καί ἐμεῖς συνέχεια μέσα στό νοῦ σας μέ τήν ἐλπίδα τῆς ἀπόδοσης, καί στό σπίτι καί στήν ἀγορά καί ὁπουδήποτε καί ἄν βρίσκεστε, γι' αὐτό παραδεχθήκαμε τίς ὀφειλές μας, τήν ἐξόφληση ὅμως δέ θά τήν κάνουμε ὅλη σήμερα, γιά ν' ἀφήσουμε μέσα σας τή δική μας θύμηση μέ τήν προσδοκία τῶν ὑπόλοιπων.

Γιατί εἶναι μεγάλη ἡ ἀσφάλειά μου, νά ἀπολαμβάνω διαρκῶς τήν ἀγάπη σας, ὅταν ὑπάρχει τέτοιος καί τόσος λαός. Γιατί ἐκεῖνος πού ἀπολαμβάνει τήν ἀγάπη, θά ὠφεληθεῖ ὁπωσδήποτε καί ἀπό τήν προσευχή. Πόσο μεγάλο ὅμως ἀγαθό εἶναι αὐτό, γίνεται φανερό ἀπ' αὐτό· ὁ Παῦλος, αὐτός πού ἀνέβηκε στόν τρίτο οὐρανό, πού ἄκουσε ἀνέκφραστα λόγια, πού καταπάτησε ὅλες τίς ἀνάγκες τῆς φύσης, πού ἦταν τέλεια ἐξασφαλισμένος στό ἑξῆς, χρειαζόταν καί τήν προσευχή τῶν μαθητῶν, καί ἔλεγε· «Προσεύχεστε γιά μένα, γιά νά γλυτώσω ἀπ' ἐκείνους πού ἀπειθοῦν στό κήρυγμα»[16]. Καί πάλι· «Προσεύχεστε, γιά νά μοῦ δοθεῖ ὁ λόγος, γιά νά μοῦ ἀνοίξει δηλαδή τό στόμα ὁ Θεός»[17]. Καί παντοῦ τόν βλέπετε καί νά ζητᾶ τίς προσευχές τῶν μαθητῶν καί νά τούς εὐχαριστεῖ, ὅταν τίς λάβει. Γιά νά μή λέγει λοιπόν κανείς, ὅτι ἀπό ταπεινοφροσύνη καταφεύγει στίς προσευχές τῶν μαθητῶν του, δείχνει καί τή δύναμή τους, λέγοντας τά ἑξῆς· «Ὁ Θεός μᾶς γλύτωσε ἀπό τόσο θανάσιμους κινδύνους. Ἔχουμε τήν ἐλπίδα ὅτι καί στό μέλλον θά μᾶς γλυτώσει, ἀφοῦ καί σεῖς συνεργεῖτε μέ τίς προσευχές σας γιά μᾶς, γιά νά ἐκφρασθεῖ ἡ εὐγνωμοσύνη ἀπό πολλούς γιά τή χάρη πού μᾶς ἔκαμε μέ τή σωτηρία μας»[18].

Ἐάν ὅμως ἡ προσευχή τῶν πολλῶν ἔσωσε τόν Παῦλο ἀπό τούς κινδύνους, πῶς δέν πρέπει νά περιμένουμε καί μεῖς ὅτι θά ὠφεληθοῦμε πολύ ἀπό τήν προστασία αὐτή; Γιατί, ὅταν προσευχόμαστε μόνοι μας, εἴμαστε ἀδύναμοι, ὅταν ὅμως συγκεντρωθοῦμε, γινόμαστε περισσότερο δυνατοί, καί ἱκετεύουμε τό Θεό μέ τό πλῆθος καί τή

λον, δυσωποῦμεν τὸν Θεὸν τῷ πλήθει καὶ τῇ συμμαχίᾳ. Οὕτω καὶ βασιλεὺς πολλάκις τινὰ παραπέμψας θανάτῳ, ἑνὶ μὲν οὐκ ἐπένευσε δεομένῳ περὶ τοῦ καταδικασθέντος, πόλιν δὲ ὁλόκληρον παρακαλοῦσαν ἐδυσωπήθη, καὶ τὸν ἐπὶ τὸ βάραθρον ἀπαγόμενον διὰ τὸ πλῆθος τῶν παρακαλούντων ἐξήρπασε τῆς καταδίκης, καὶ πρὸς ζωὴν ἐπανήγαγε. Τοσαύτη ἡ δύναμις τῆς τοῦ πλήθους ἱκετηρίας ἐστί. Διὰ τοῦτο καὶ ἐνταῦθα συλλεγόμεθα πάντες, ἵνα μειζόνως εἰς οἶκον ἐπισπασώμεθα τὸν Θεόν. Ἐπειδὴ γὰρ καθ' ἑαυτοὺς εὐχόμενοι, καθὼς ἔφθην εἰπών, ἀσθενεῖς ἐσμεν, ἀπὸ τοῦ συνδέσμου τῆς ἀγάπης δυσωποῦμεν τὸν Θεὸν δοῦναι ἡμῖν τὰ αἰτούμενα. Ταῦτα δὲ οὐχ ἁπλῶς λέγω, οὐδὲ δι' ἐμαυτὸν μόνον, ἀλλ' ἵνα ἀεὶ σπεύδητε εἰς τὰς συνάξεις, ἵνα μὴ λέγητε· Τί γάρ, ἐν τῇ οἰκίᾳ· οὐ δύναμαι εὔξασθαι; Δύνασαι μὲν εὔξασθαι, οὐ τοσαύτην δὲ δύναμιν ἔχει ἡ εὐχή, ὡς ὅταν μετὰ τῶν μελῶν τῶν οἰκείων γίνηται, ὡς ὅταν ὁλόκληρον τὸ σῶμα τῆς Ἐκκλησίας ὁμοθυμαδὸν ἀναπέμπῃ τὴν δέησιν μιᾷ φωνῇ, ἱερέων παρόντων, καὶ τὰς εὐχὰς τοῦ κοινοῦ πλήθους ἀναφερόντων.

5. Βούλει μαθεῖν πόση ἐστὶν ἡ δύναμις τῆς εὐχῆς ἐν τῇ ἐκκλησίᾳ γινομένης; Ἐδέδετο ὁ Πέτρος ποτὲ ἐν τῷ δεσμωτηρίῳ, καὶ ἁλύσεις περιέκειτο πολλάς· "Προσευχὴ δὲ ἦν ἐκτενὴς ὑπὸ τῆς Ἐκκλησίας περὶ αὐτοῦ γινομένη, καὶ εὐθέως αὐτὸν ἀπήλλαξε τοῦ δεσμωτηρίου". Τί τοίνυν δυνατώτερον ταύτης γένοιτ' ἂν τῆς εὐχῆς, ἣ τοὺς στύλους καὶ πύργους τῆς Ἐκκλησίας ὠφέλησε; Παῦλος γὰρ καὶ Πέτρος πύργοι καὶ στῦλοι τῆς Ἐκκλησίας· καὶ τοῦ μὲν τὰ δεσμὰ ἔλυσε, τοῦ δὲ τὸ στόμα ἀνέῳξεν. Ἵνα δὲ μὴ μόνον ἀπὸ τῶν τότε συμβάντων, ἀλλὰ καὶ ἀπὸ τῶν καθ' ἑκάστην τελουμένων τὴν ἡμέραν, διπλῆν τὴν δύναμιν ἐπιδείξωμεν, αὐτῆς τῆς ὑπὸ τοῦ δήμου γινομένης εὐχῆς ὑμᾶς ἀναμνήσωμεν. Καίτοι γε εἴ τις τῶν πολλῶν ὑμῶν ἐπιτάξειεν εὔχεσθαι καθ' ἑαυτὸν ὑπὲρ τῆς τοῦ ἐπισκόπου σωτηρίας, ἕκαστος ἂν παραιτήσαιτο, ὡς μεῖζον τὸ φορτίον τῆς αὐτοῦ δυνάμεως ὄν· κοινῇ δὲ πάντες ἀκούοντες τοῦ διακόνου τοῦτο κελεύοντος καὶ λέγοντος, "Δεηθῶμεν ὑπὲρ τοῦ ἐπισκόπου, καὶ τοῦ γήρως, καὶ τῆς ἀντιλήψεως, καὶ ἵνα ὀρθοτομῇ τὸν λόγον τῆς ἀληθείας, καὶ ὑπὲρ τῶν ἐνταῦθα, καὶ ὑπὲρ τῶν ἁπανταχοῦ", οὐ παραιτεῖσθε ποιεῖν τὸ ἐπίταγμα,

συμμαχία. Ἔτσι καί ἕνας βασιλιάς πολλές φορές, ὅταν στείλει κάποιον σέ θάνατο, δέν ὑποχωρεῖ σ' ἕναν πού παρακαλεῖ γιά τόν κατάδικο, ὅταν ὅμως τόν παρακαλεῖ ὁλόκληρη πόλη, ὑποχωρεῖ, καί αὐτόν πού ὁδηγοῦνταν στήν καταστροφή, ἐξ αἰτίας τῶν πολλῶν πού τόν παρακαλοῦσαν, τόν γλύτωσε ἀπό τό θάνατο καί τόν ἔφερε πάλι στή ζωή. Τόσο μεγάλη εἶναι ἡ δύναμη τῆς ἱκεσίας τοῦ πλήθους. Γι' αὐτό συγκεντρωνόμαστε καί ἐδῶ ὅλοι, γιά νά προκαλέσουμε τό Θεό γιά μεγαλύτερη εὐσπλαχνία. Ἐπειδή λοιπόν, ὅταν προσευχόμαστε μόνοι μας, ὅπως εἶπα παραπάνω, εἴμαστε ἀδύναμοι, ἑνώνοντας τήν ἀγάπη μας ἱκετεύουμε τό Θεό νά μᾶς δώσει αὐτά πού ζητᾶμε. Αὐτά ὅμως δέν τά λέγω ἄσκοπα, οὔτε γιά τόν ἑαυτό μου μόνο, ἀλλά γιά νά τρέχετε πάντοτε στίς συγκεντρώσεις μας, γιά νά μή λέγετε· 'Τί λοιπόν, δέν μπορῶ νά προσευχηθῶ στό σπίτι μου;'. Μπορεῖς βέβαια νά προσευχηθεῖς, ἡ προσευχή σου ὅμως δέν ἔχει τόση δύναμη, ὅπως ὅταν γίνεται μαζί μέ τά σύγγενικά σου μέλη, ὅπως ὅταν ὁλόκληρο τό σῶμα τῆς Ἐκκλησίας ὁμόψυχα ἀπευθύνει στό Θεό τή δέηση μέ μιά φωνή, ἐνῶ εἶναι παρόντες οἱ ἱερεῖς καί προσφέρουν τίς προσευχές ὅλου τοῦ πλήθους.

5. Θέλεις νά μάθεις πόση εἶναι ἡ δύναμη τῆς προσευχῆς πού γίνεται στήν ἐκκλησία; Κάποτε ὁ Πέτρος ἦταν φυλακισμένος καί δεμένος μέ πολλές ἀλυσίδες· «Ἀπό τήν Ἐκκλησία ὅμως γινόταν συνέχεια γιά τή διάσωσή του θερμή προσευχή, καί ἀμέσως τόν ἐλευθέρωσε ἀπό τή φυλακή»[19]. Τί λοιπόν θά μποροῦσε νά γίνει πιό δυνατό ἀπό τήν προσευχή αὐτή, ἡ ὁποία ὠφέλησε τούς στύλους καί τούς πύργους τῆς Ἐκκλησίας; Γιατί ὁ Παῦλος καί ὁ Πέτρος εἶναι πύργοι καί στύλοι τῆς Ἐκκλησίας· τοῦ δεύτερου ἔλυσε τά δεσμά, ἐνῶ τοῦ πρώτου ἄνοιξε τό στόμα. Γιά νά μή δείξουμε ὅμως τή διπλή δύναμή της μόνο ἀπό τά τότε γεγονότα, ἀλλά καί ἀπ' αὐτά πού συμβαίνουν καθημερινά, ἄς σᾶς θυμίσουμε τήν προσευχή αὐτή πού γίνεται ἀπό τό λαό. Μολονότι βέβαια ἄν θά σᾶς διέταζε κάποιος ἀπό τούς πολλούς νά προσεύχεστε μόνοι σας γιά τή σωτηρία τοῦ ἐπισκόπου, ὁ καθένας θ' ἀπέφευγε, ἐπειδή τό φορτίο θά ἦταν μεγαλύτερο ἀπό τή δύναμή του. Ὅταν ὅμως ἀκοῦτε ὅλοι μαζί τό διάκονο νά προτρέπει αὐτό καί νά λέγει, «Ἄς δεηθοῦμε γιά τόν ἐπίσκοπο, καί γιά τά γηρατειά του, καί γιά τή βοήθειά του, καί γιά νά διδάσκει σωστά τό λόγο τῆς ἀληθείας, καί γι' αὐτούς πού βρίσκονται ἐδῶ καί γιά ἐκείνους πού βρίσκονται σ' ὅλα τά μέρη τῆς γῆς», δέν

19. Πράξ. 12, 5.

ἀλλὰ μετ' ἐκτενείας ἀναφέρετε τὴν εὐχήν, εἰδότες τῆς ὑμετέρας συνόδου τὴν δύναμιν.

Ἴσασιν οἱ μεμυημένοι τὰ λεγόμενα· τῇ γὰρ εὐχῇ τῶν κατηχουμένων οὐδέπω τοῦτο ἐπιτέτραπται, ἐπειδὴ οὐδέπω 5 πρὸς τὴν παῤῥησίαν ἔφθασαν ταύτην· ὑμῖν δὲ καὶ ὑπὲρ τῆς οἰκουμένης, καὶ ὑπὲρ τῆς Ἐκκλησίας τῆς μέχρι περάτων τῆς γῆς ἐκτεταμένης, καὶ ὑπὲρ τῶν διοικούντων αὐτὴν ἐπισκόπων ἁπάντων παρακελεύεται ποιεῖσθαι τὰς δεήσεις ὁ ταύταις διακονῶν, καὶ ὑπακούετε μετὰ προθυμίας, ἔργῳ μαρτυροῦν- 10 τες, ὅτι μεγάλη τῆς εὐχῆς ἡ δύναμις τῆς ἐν ἐκκλησίᾳ ἀπὸ τοῦ δήμου συμφώνως ἀναφερομένης ἐστίν. Ἀλλὰ γὰρ ἐπὶ τὸ προκείμενον ἐπανίωμεν, ὅτι μία φωνὴ ἦν τὸ παλαιόν. Πόθεν οὖν δῆλον, ὅτι μία φωνὴ ἦν; "Καὶ ἦν πᾶσα ἡ γῆ", φησί, "χεῖλος ἕν". Ἀσαφὲς τὸ εἰρημένον. Ἡ γῆ χεῖλος ἔχει; Οὐδαμῶς. Τί 15 οὖν φησι, καὶ περὶ τίνος; Οὐ περὶ ταύτης λέγει τῆς γῆς τῆς ἀναισθήτου, τῆς ἀκινήτου, ἀλλὰ τὸ κοινὸν τῶν ἀνθρώπων γένος οὕτως ἐκάλεσε, τῆς οἰκείας αὐτοὺς ἀναμιμνήσκων φύσεως, τῆς μητρὸς εἰς ὑπόμνησιν ἄγων, ὅθεν ἐγένοντο. Διπλοῦν γὰρ τοῦτο τὸ ζῶον, ὁ ἄνθρωπος, λέγω, ἐκ δύο 20 συγκείμενος οὐσιῶν, τῆς μὲν αἰσθητῆς, τῆς δὲ νοητῆς, ψυχῆς, λέγω, καὶ σώματος, καὶ ἐν οὐρανῷ καὶ ἐν γῇ συγγένειαν ἔχων. Διὰ μὲν γὰρ τῆς νοητῆς οὐσίας κοινωνεῖ ταῖς ἄνω δυνάμεσι, διὰ δὲ τῆς αἰσθητῆς τοῖς τῆς γῆς συνῆπται πράγμασι, σύνδεσμός τις ὢν ἀκριβὴς ἑκατέρας τῆς κτίσεως.

25 *Ὅταν μὲν οὖν πράττῃ τι τῶν τῷ Θεῷ δοκούντων, πνευματικὸς λέγεται, καὶ οὐδὲ ἀπὸ τῆς ψυχῆς ὀνομάζεται, ἀλλ' ἀφ' ἑτέρας μείζονος τιμῆς, ἀπὸ τῆς τοῦ Πνεύματος ἐνεργείας. Οὐδὲ γὰρ ἀρκεῖ ἡ ψυχὴ ἡμῖν εἰς κατορθώματα, ἐὰν μὴ ἀπολαύσωμεν τῆς βοηθείας ἐκείνης. Καὶ ἵνα μάθητε, ὅτι, οὐδὲ 30 ἡ ψυχὴ ἀρκεῖ ἡμεῖν εἰς κατορθώματα· καὶ τί λέγω, εἰς κατορθώματα; οὐδὲ εἰς τὸ δυνηθῆναι συνιέναι τῶν λεγομένων· "Ψυχικός, φησίν, "ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος". Ὥσπερ γὰρ σαρκικὸν καλεῖ τὸν τῇ σαρκὶ δουλεύοντα, οὕτω ψυχικὸν καλεῖ τὸν τοῖς λογισμοῖς τοῖς ἀνθρωπίνοις τὰ πράγμα- 35 τα ἐπιτρέποντα, καὶ μὴ δεχόμενον τοῦ Πνεύματος τὴν ἐνέργειαν. Ἀλλ' ὅπερ ἔλεγον, ὅτι κατορθοῦντες μὲν πνευματικοὶ λεγόμεθα, ὅταν δὲ ἁμάρτωμεν καὶ ὑποσκελισθῶμεν καὶ πράξωμέν τι ἀνάξιον τῆς ἡμετέρας εὐγενείας, ἀπὸ τῆς εὐτελοῦς*

ἀποφεύγετε νά ἐκτελεῖτε τήν προσταγή, ἀλλά μέ ζῆλο προσφέρετε τήν προσευχή, ἐπειδή γνωρίζετε τή δύναμη τῆς δικῆς σας συγκέντρωσης.

Γνωρίζουν οἱ πιστοί αὐτά πού λέγω· γιατί αὐτό δέν τό ἐμπιστεύονται αὐτό στήν προσευχή τῶν κατηχουμένων, ἐπειδή δέν ἔφθασαν ἀκόμη σ' αὐτήν τήν παρρησία. 'Ενῶ ἐσᾶς καί γιά τήν οἰκουμένη, καί γιά τήν 'Εκκλησία πού ἔχει ἁπλωθεῖ μέχρι τά πέρατα τῆς γῆς, καί γιά ὅλους τούς ἐπισκόπους πού τή διοικοῦν, σᾶς παρακινεῖ ὁ διάκονος νά κάνετε τίς δεήσεις, καί ὑπακοῦτε μέ προθυμία, ἐπιβεβαιώνοντας μέ τό ἔργο σας, ὅτι εἶναι μεγάλη ἡ δύναμη τῆς προσευχῆς πού προσφέρεται μέσα στήν ἐκκλησία ὁμόφωνα ἀπό τό λαό. 'Αλλ' ἄς γυρίσουμε πάλι στό θέμα μας, ὅτι δηλαδή ὑπῆρχε τήν παλιά ἐποχή μία γλώσσα. 'Από ποῦ ὅμως γίνεται φανερό, ὅτι ὑπῆρχε μία γλώσσα; «Καί ὅλη ἡ γῆ», λέγει ἡ Γραφή, «ἦταν ἕνα χεῖλος»[20]. Εἶναι σκοτεινός ὁ λόγος. 'Η γῆ ἔχει χεῖλος; Καθόλου. Τί λοιπόν λέγει, καί γιά ποιό πράγμα; Δέ λέγει γι' αὐτήν τή γῆ πού εἶναι χωρίς αἰσθήσεις καί ἀκίνητη, ἀλλά κάλεσε ἔτσι ὅλο τό ἀνθρώπινο γένος, θυμίζοντας στούς ἀνθρώπους τή δική τους φύση, ἀνακαλώντας στή μνήμη τή μητέρα, ἀπό τήν ὁποία δημιουργήθηκαν. Γιατί εἶναι διπλό αὐτό τό ζῶο, δηλαδή ὁ ἄνθρωπος, πού ἀποτελεῖται ἀπό δύο οὐσίες, ἡ μία εἶναι ὑλική, ἐνῶ ἡ ἄλλη πνευματική, ἐννοῶ τήν ψυχή καί τό σῶμα, καί ἔχει συγγένεια καί στόν οὐρανό καί στή γῆ. Γιατί μέ τήν πνευματική του οὐσία ἐπικοινωνεῖ μέ τίς οὐράνιες δυνάμεις, ἐνῶ μέ τήν ὑλική ἔχει συνδεθεῖ μέ τά πράγματα τῆς γῆς, ἐπειδή εἶναι ἕνας τέλειος σύνδεσμος καί στίς δύο κτίσεις.

"Οταν λοιπόν κάνει κάτι ἀπ' αὐτά πού θέλει ὁ Θεός, λέγεται πνευματικός, καί δέν ὀνομάζεται ἀπό τήν ψυχή, ἀλλ' ἀπό κάποια ἄλλη μεγαλύτερη τιμή ἀπό τήν ἐνέργεια τοῦ ἁγίου Πνεύματος. Γιατί δέ μᾶς φθάνει ἡ ψυχή μας γιά κατορθώματα, ἐάν δέν ἔχουμε τή βοήθεια αὐτή. Καί γιά νά μάθετε ὅτι δέ μᾶς φθάνει ἡ ψυχή γιά κατορθώματα (καί γιατί λέγω γιά κατορθώματα; οὔτε γιά νά μπορέσουμε νά καταλάβουμε αὐτά πού λέγονται), «'Ο ψυχικός ἄνθρωπος», λέγει ὁ Παῦλος, «δέ δέχεται ἐκεῖνα πού διδάσκει τό ἅγιο Πνεῦμα»[21]. Γιατί, ὅπως ὀνομάζει σαρκικό ἐκεῖνον πού εἶναι δοῦλος τῆς σάρκας[22], ἔτσι ὀνομάζει ψυχικό ἐκεῖνον πού ἐμπιστεύεται τά πράγματα στίς ἀνθρώπινες σκέψεις καί δέ δέχεται τήν ἐνέργεια τοῦ ἁγίου Πνεύματος. 'Αλλ' αὐτό πού ἔλεγα, ἐπειδή κάνουμε κατορθώματα, λεγόμαστε πνευματικοί· ὅταν ὅμως ἁμαρτήσουμε καί πράξουμε κάτι ἀνάξιο γιά τή δική μας εὐγενική καταγωγή, μᾶς ὀνομάζει ἀπό τήν ἀσήμαντη φύση,

20. Γεν. 11, 1. 21. Α΄ Κορ. 2, 14. 22. Βλ. Ρωμ. 7, 14.

ἡμᾶς καλεῖ φύσεως, γῆν ἡμᾶς ὀνομάζων. Ἐπεὶ οὖν καὶ ἐνταῦθα μέλλει τινῶν κατηγορήσειν τῶν τὸν πύργον οἰκοδομησάντων, τῶν εἰς ἀπόνοιαν ἐπαρθέντων, τῶν μείζονα ἔννοιαν λαβόντων τῆς οἰκείας ἀξίας, μέλλει δὲ αὐτῶν κατηγορεῖν
5 *ἀπόνοιαν, διὰ τοῦτο ἀπὸ τῆς εὐτελοῦς αὐτοὺς ἐκάλεσεν οὐσίας εἰπών· "Καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν". Καὶ ἵνα μάθητε, ὅτι οὕτω καλεῖ ἡμᾶς, ὅταν ἁμάρτωμεν, τὸν Ἀδὰμ μετὰ τὴν ἁμαρτίαν οὕτως ἐκάλεσεν εἰπών· "Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ"· καὶ μὴν οὐκ ἦν γῆ μόνον, ἀλλὰ καὶ ἀθάνατον εἶχε ψυχήν.*
10 *Τίνος οὖν ἕνεκεν γῆν αὐτὸν ἐκάλεσεν; Ἐπειδὴ ἥμαρτεν. Ὅτε γοῦν ἔπλαττεν αὐτόν, οὐκ ἐκάλεσεν αὐτὸν οὕτως· ἀλλὰ τί; "Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν· καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν θηρίων τῆς γῆς. Καὶ ἔσται ὁ φόβος αὐτῶν καὶ ὁ τρόμος ἐπὶ πᾶσαν τὴν*
15 *γῆν". Ὁρᾷς οἷα τὰ προέδρια τῆς φύσεως; οἷαι αἱ τιμαί; οἷα τὰ ἐγκώμια; Ἀλλὰ πρὸ τῆς ἁμαρτίας· μετὰ δὲ τὴν ἁμαρτίαν λοιπόν, "Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ". Ἄκουσον δὲ καὶ τοῦ Μαλαχίου τοῦτο αἰνιττομένου, μᾶλλον δὲ τοῦ Θεοῦ διὰ τοῦ προφήτου· "Ἰδοὺ γὰρ ἀποστέλλω ὑμῖν", φησίν, "Ἠλίαν τὸν*
20 *Θεσβίτην". Τίνος οὖν ἕνεκεν ἀποστέλλει; Ὥστε ἐπιστρέψαι καρδίαν πατρὸς πρὸς υἱόν". Ἐπειδὴ γὰρ μέλλει τὸ δικαστήριον ἐφίστασθαι τὸ φοβερὸν ἐκεῖνο καὶ φρικῶδες, ἵνα μὴ ἀναπολογήτους λαβὼν ὑπὸ τὰς εὐθύνας ὁ δικαστὴς κατακρίνῃ τινάς· ἵνα ἐλθὼν μὲν ἐκεῖνος καὶ προειπών, ὅτι ἐγγὺς ἐπὶ*
25 *θύραις ἡ παρουσία, σωφρονεστέρους ποιήσῃ τοὺς ἀνθρώπους· καὶ γὰρ τὰ πρὸ πολλῶν χρόνων εἰρημένα εἰς ὀλιγωρίαν ἐμπίπτειν εἴωθεν· ἀνανεῶν τοίνυν τὴν μνήμην ἡμῶν ἔρχεται ἐκεῖνος ὁ προφήτης. Ἀλλ' ὅτι γῆ καλοῦνται οἱ ἁμαρτάνοντες, τοῦτο ἀποδεῖξαι χρὴ νῦν.*

30 *6. Εἰπὼν τοίνυν, "Ὅπως ἐπιστρέψῃ καρδίαν πατρὸς πρὸς υἱόν", ἐπήγαγε· "Μή ποτε ἐλθὼν πατάξω τὴν γῆν ἄρδην"· πατάσσει δὲ τοὺς ἁμαρτάνοντας. Ὁρᾷς τοὺς ἁμαρτάνοντας γῆν καλουμένους; Πάλιν ἀλλαχοῦ περὶ τοῦ Χριστοῦ διηγούμενος ὁ προφήτης, οὕτως ἔλεγεν· "Ἔσται δικαιοσύνῃ περιε-*
35 *ζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ εἰλημμένος τὰς πλευρὰς αὐτοῦ"· οὐχ ὅτι πλευρὰ καὶ ὀσφὺς περὶ τὸν Θεόν·*

---

23. Γεν. 3, 19. 24. Γεν. 1, 26.19. 25. Μαλαχ. 4, 4.

ἀποκαλώντας μας γῆ. Ἐπειδή λοιπόν καί ἐδῶ πρόκειται νά κατηγορήσει μερικούς πού ἔκτισαν τόν πύργο, πού ὑπερηφανεύθηκαν ἀνόητα, πού εἶχαν μεγαλύτερη ἀντίληψη ἀπό τή δική τους ἀξία, ἐπειδή λοιπόν πρόκειται νά κατηγορήσει τήν ἀνοησία τους, γι' αὐτό τούς ὀνόμασε ἀπό τήν ἀσήμαντη οὐσία λέγοντας· «Καί ἦταν ὅλη ἡ γῆ ἕνα χεῖλος». Καί γιά νά μάθετε, ὅτι ἔτσι ὀνομάζει καί μᾶς, ὅταν ἁμαρτήσουμε, ὀνόμασε ἔτσι τόν Ἀδάμ ὕστερα ἀπό τήν ἁμαρτία λέγοντας· «Γῆ εἶσαι, καί στή γῆ θά γυρίσεις»[23]. Καί ὅμως δέν ἦταν μόνο χῶμα, ἀλλά εἶχε καί ἀθάνατη ψυχή.

Γιά ποιό λοιπόν λόγο τόν ὀνόμασε γῆ; Ἐπειδή ἁμάρτησε. Ὅταν βέβαια τόν δημιουργοῦσε, δέν τόν ὀνόμασε ἔτσι· ἀλλά τί εἶπε; «Ἄς κάμουμε τόν ἄνθρωπο σύμφωνα μέ τή δική μας εἰκόνα καί ὁμοίωση. Καί ἄς ἐξουσιάζει τά ψάρια τῆς θάλασσας καί τά θηρία τῆς γῆς. Καί θά εἶναι ὁ φόβος καί ὁ τρόμος σ' ὅλη τή γῆ»[24]. Βλέπεις ποιές ἐξουσίες εἶχε πάνω στή φύση; ποιές τιμές; ποιά ἐγκώμια; Ἀλλά πρίν ἀπό τήν ἁμαρτία· ἐνῶ ὕστερα ἀπό τήν ἁμαρτία, «Γῆ εἶσαι, καί στή γῆ θά γυρίσεις». Ἄκουσε ὅμως καί τό Μαλαχία πού ὑπονοεῖ αὐτό, ἤ καλύτερα, τό Θεό μέ τό στόμα τοῦ προφήτη· «Νά λοιπόν», λέγει, «σᾶς στέλνω τόν Ἠλία τό Θεσβίτη»[25]. Γιά ποιό λόγο ὅμως τόν σέλνει; «Γιά νά ἐπιστρέψει ἡ καρδιά τοῦ πατέρα στόν υἱό»[26]. Ἐπειδή λοιπόν πρόκειται νά στηθεῖ τό φοβερό ἐκεῖνο καί τρομερό δικαστήριο, γιά νά μήν καταδικάσει ὁ δικαστής μερικούς, ὅταν τούς βρεῖ ὑπεύθυνους καί χωρίς δικαιολογία (γιά νά κάμει τούς ἀνθρώπους πιό συνετούς ὅταν ἔρθει ἐκεῖνος καί προφητέψει, ὅτι εἶναι πολύ κοντά ἡ παρουσία του, γιατί συνήθως ἐκεῖνα πού ἔχουν εἰπωθεῖ πρίν ἀπό πολλά χρόνια δέν τά προσέχουν οἱ ἄνθρωποι), ἔρχεται λοιπόν αὐτός ὁ προφήτης γιά ν' ἀνανεώσει τή μνήμη μας. Ἀλλά πρέπει τώρα ν' ἀποδείξουμε, ὅτι αὐτοί πού ἁμαρτάνουν ὀνομάζονται γῆ.

6. Ἀφοῦ εἶπε λοιπόν, «Γιά νά ἐπιστρέψει ἡ καρδιά τοῦ πατέρα στόν υἱό», πρόσθεσε «Μήπως ἔρθω κάποτε καί καταστρέψω τή γῆ ἀπό τά θεμέλιά της». Καταστρέφει βέβαια αὐτούς πού ἁμαρτάνουν. Βλέπεις ὅτι οἱ ἁμαρτωλοί ὀνομάζονται γῆ; Σ' ἄλλο σημεῖο πάλι μιλώντας γιά τό Χριστό ὁ προφήτης, ἔλεγε τά ἑξῆς· «Θά εἶναι ζωσμένος μέ δικαιοσύνη γύρω ἀπό τή μέση του, καί μέ ἀλήθεια τυλιγμένος στά πλευρά του»[27]. Ὄχι γιατί ἔχει πλευρά καί μέση ὁ Θεός, ἀφοῦ εἶναι ἀσώματος, ἀλλά μ' αὐτά μᾶς παρουσιάζει τήν ἀδέκαστη

---

26. Μαλαχ. 4, 5. 27. Ἠσ. 11, 5.

ἀσώματον γὰρ τὸ Θεῖον· ἀλλὰ τὸ ἀδέκαστον καὶ ἀπαραλόγιστον τῆς τοῦ δικαστοῦ κρίσεως διὰ τούτων ἡμῖν ἐμφαίνει· καὶ ὅτι οὐδαμοῦ συκοφάνται λοιπόν, οὐδὲ οἱ ἐπηρεάζοντες, οὐδὲ ἡ διὰ τῶν χρημάτων διαφθορά, οὐδὲ ἄγνοια τοῦ δικαίου. Ἐν 5 τούτοις μὲν γὰρ τοῖς δικαστηρίοις καὶ ἀνεύθυνος κολάζεται, καὶ ὑπεύθυνος διαφεύγει· διέφθαρται γὰρ πολλαχοῦ τὸ δίκαιον· ἐπειδὰν δὲ ὁ δίκαιος κριτὴς καὶ ἀπαραλόγιστος παραγένηται, ὁ δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ περιειλημμένος τὰς πλευρὰς αὐτοῦ, τῶν δικαίων μετὰ 10 ἀκριβείας ἅπαντες τεύξονται. "Καὶ πατάξει τὴν γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ". Καὶ ἵνα μάθῃς, ὅτι οὐ περὶ τῆς γῆς λέγει, ἀλλὰ περὶ ἁμαρτωλῶν, ἐπήγαγεν, ὅτι "Καὶ πνεύματι διὰ χειλέων ἀνελεῖ ἀσεβεῖς".

Ὁρᾷς ὅτι καὶ ἐνταῦθα τοὺς ἁμαρτωλοὺς ἐκάλεσε γῆν; 15 Ταῦτ' οὖν εἰδώς, ὅταν ἀκούσῃς, ὅτι "Ἡ γῆ πᾶσα ἦν χεῖλος ἕν", τὴν ἀνθρωπίνην πάλιν ἐννόει φύσιν· ἀναμιμνήσκει γὰρ τῆς οἰκείας εὐτελείας ἡμᾶς· καὶ γὰρ μέγα ἀγαθὸν τὴν οἰκείαν ἐπισκέπτεσθαι συγγένειαν, καὶ εἰδέναι πόθεν συνεστήκαμεν. Ἀρκοῦσα αὕτη διδασκαλία ταπεινοφροσύνης, ἡ τῆς φύσεως 20 ἐπίσκεψις· πάντα τὰ πάθη καταστεῖλαι δύναται, καὶ ποιῆσαι γαλήνην ἐν διανοίᾳ. Διὰ τοῦτο παρῄνει τις λέγων· "Πρόσεχε σεαυτῷ"· ἀναλόγισαι τὴν φύσιν σου καὶ τὴν κατασκευήν, καὶ ἀρκεῖ σοι τοῦτο πρὸς τὸ κατεστάλθαι διηνεκῶς. Διὰ τοῦτο ὁ δίκαιος ἐκεῖνος Ἀβραὰμ διαπαντὸς τοῦτον εἶχε τὸν λογισμὸν 25 ἐν ἑαυτῷ, καὶ οὐδέποτε μέγα ἐφρόνει. Ὁ γοῦν Θεῷ διαλεγόμενος, καὶ παῤῥησίας τοσαύτης ἀπολαύων, καὶ μαρτυρηθεὶς παρ' αὐτοῦ ἐπὶ ἀρετῇ, ἔλεγεν· "Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός". Καὶ ἄλλος βουλόμενος πάλιν τὸν πεφυσιωμένον ἄνθρωπον καταστεῖλαι, οὐ μακροὺς κινεῖ λόγους, ἀλλ' ἀναμιμνήσκει 30 αὐτὸν τῆς φύσεως μόνον, καὶ ἐπιτιμᾷ σφοδρῶς, οὑτωσὶ λέγων· "Τί ὑπερηφανεύεται γῆ καὶ σποδός;".

Τὰ μετὰ τὸν θάνατόν μοι φαινόμενα λέγεις; Κατάστειλον αὐτὸν ζῶντα. Οὐκ οἶδε νῦν, ὅτι γῆ καὶ σποδός ἐστιν. Ὁρᾷ τὴν εὐπρέπειαν τοῦ σώματος, ὁρᾷ τὴν δυναστείαν, τὴν θεραπείαν 35 τῶν κολάκων, τοὺς παρασίτους ἀκολουθοῦντας. Ἱμάτια περίκειται πολυτελῆ, ὄγκον ἀρχῆς περιβέβληται μέγαν, ἡ φαντασία αὐτὸν ἀπατᾷ καὶ ἐπιλαθέσθαι ποιεῖ τῆς φύσεως. Οἴδαμεν, ὅτι γῆ ἐσμεν καὶ σποδός· ἀλλ' ἡμεῖς οἱ σωφρονοῦν-

καί σωστή κρίση τοῦ δικαστῆ, καί ὅτι δέν ὑπάρχουν πιά οἱ συκοφάντες, οὔτε αὐτοί πού ἐπηρεάζουν, οὔτε ἡ δωροδοκία, οὔτε ἡ ἄγνοια τοῦ δικαίου. Γιατί στά δικαστήρια αὐτά καί ὁ ἀθῶος τιμωρεῖται, καί ὁ ἔνοχος γλυτώνει τήν τιμωρία, ἐπειδή πολλές φορές ἡ δικαιοσύνη εἶναι διεφθαρμένη. Ὅταν ὅμως ἔρθει ὁ δίκαιος καί ἀλάθητος κριτής, πού εἶναι ζωσμένος μέ δικαιοσύνη γύρω ἀπό τή μέση του καί περιτυλιγμένος μέ ἀλήθεια στά πλευρά του, θά βροῦν ὅλοι τό σωστό δίκαιό τους. «Καί θά τραντάξει τή γῆ μέ τό λόγο τοῦ στόματός του»[28]. Καί γιά νά μάθεις ὅτι δέ μιλάει γιά τή γῆ, ἀλλά γιά τούς ἁμαρτωλούς, πρόσθεσε ὅτι «Καί μέ τό φύσημα τῶν χειλιῶν του θά καταστρέψει τούς ἀσεβεῖς».

Βλέπεις ὅτι καί ἐδῶ τούς ἁμαρτωλούς ὀνόμασε γῆ; Γνωρίζοντας λοιπόν αὐτά, ὅταν ἀκούσεις, ὅτι «Ἡ γῆ ὅλη ἦταν ἕνα χεῖλος», νά ἐννοεῖς πάλι τήν ἀνθρώπινη φύση, γιατί μᾶς θυμίζει τήν ἀσήμαντη καταγωγή μας. Εἶναι πραγματικά μεγάλο ἀγαθό νά ἐξετάζουμε τή δική μας συγγένεια καί νά γνωρίζουμε ἀπό ποῦ δημιουργηθήκαμε. Εἶναι ἀρκετή αὐτή ἡ διδασκαλία ταπεινοφροσύνης, δηλαδή ἡ ἐξέταση τῆς φύσης μας· μπορεῖ νά συγκρατήσει ὅλα τά πάθη καί νά φέρει γαλήνη στό νοῦ. Γι᾽ αὐτό συμβούλευε κάποιος λέγοντας· «Πρόσεχε τόν ἑαυτό σου»[29]. Ἀναλογίσου τή φύση σου καί τή δημιουργία σου, καί σοῦ εἶναι ἀρκετό αὐτό γιά νά εἶσαι πάντοτε σεμνός. Γι᾽ αὐτό καί ὁ δίκαιος ἐκεῖνος Ἀβραάμ εἶχε αὐτή τή σκέψη διαρκῶς μέσα του, καί ποτέ δέν ὑπερηφανευόταν. Αὐτός λοιπόν πού μιλοῦσε μέ τό Θεό, καί εἶχε τόσο μεγάλη παρρησία, καί πῆρε μαρτυρία ἀπ᾽ αὐτόν γιά τήν ἀρετή του, ἔλεγε· «Ἐγώ ὅμως εἶμαι γῆ καί στάχτη»[30]. Καί ἄλλος πάλι πού ἤθελε νά συγκρατήσει τό φουσκωμένο ἄνθρωπο, δέν ἀναφέρει πολλά λόγια, ἀλλά τοῦ θυμίζει μόνο τή φύση του καί τόν κατακρίνει σφοδρά, λέγοντας ἀκριβῶς ἔτσι· «Γιατί ὑπερηφανεύεται ἡ γῆ καί ἡ στάχτη;»[31].

Μοῦ ἀναφέρεις αὐτά πού γίνονται ὕστερα ἀπό τό θάνατο; Συγκράτησέ τον, ὅταν ζεῖ. Δέ γνωρίζει τώρα, ὅτι εἶναι γῆ καί στάχτη. Βλέπει τήν ὀμορφιά τοῦ σώματος, βλέπει τήν ἐξουσία, τήν περιποίηση τῶν κολάκων, τά παράσιτα πού τόν ἀκολουθοῦν. Φοράει ροῦχα ἀκριβά, ἔχει μεγάλη ἐξουσία, ἡ φαντασία τόν ἐξαπατᾶ καί τόν κάνει νά ξεχνᾶ τή φύση του. Γνωρίζουμε, ὅτι εἴμαστε γῆ καί στάχτη. Τό γνωρίζουμε ὅμως ἐμεῖς οἱ συνετοί, ἐνῶ ἐκεῖνος δέν περιμένει τήν

28. Ἡσ. 11, 4.
29. Σοφ. Σειρ. 29, 20.
30. Γεν. 18, 27.
31. Σοφ. Σειρ. 10, 9.

τες· ἐκεῖνος δὲ οὐκ ἀναμένει τὴν ἀπὸ τοῦ τέλους ἀπόδειξιν, οὐδὲ ἔρχεται πρὸς τὰς σοροὺς καὶ τὰς θήκας τῶν προγόνων, ἀλλὰ πρὸς τὰ παρόντα βλέπει, οὐδὲν τῶν μελλόντων ἐννοεῖ. Δίδαξον αὐτὸν ἐντεῦθεν ἤδη, ὅτι γῆ καὶ σποδός ἐστιν. 5 Ἀνάμεινόν με, φησί, καὶ οὐ διδάσκω τοῦτο, ἀλλὰ πολλῷ ἄλλο εὐτελέστερον· ἵν', ὅταν φαντάζηται, ἐπιγινώσκῃ τὴν ἑαυτοῦ εὐτέλειαν· ἵνα ζῶν λάβῃ τὸ φάρμακον. Εἰπὼν γάρ, "Τί ὑπερηφανεύεται γῆ καὶ σποδός;" ἐπήγαγεν· "Ὅτι καὶ ἐν τῇ ζωῇ αὐτοῦ ἐξουδένωται τὰ ἐνδόσθια αὐτοῦ". Τί ἐστιν, "Ὅτι 10 καὶ ἐν τῇ ζωῇ αὐτοῦ ἐξουδένωται τὰ ἐνδόσθια αὐτοῦ;". Τάχα ἀσαφὲς τὸ εἰρημένον. Ἐνδόσθια τὰ ἔγκατα λέγει, τὰ σπλάγχνα λέγει, τὴν γαστέρα τὴν γέμουσαν σκυβάλων καὶ πολλῆς ἀκαθαρσίας καὶ δυσωδίας, οὐ κατηγορῶν τῆς φύσεως, ἀλλ' εἰς ταπεινοφροσύνην ἐνάγων· "Ὅτι καὶ ἐν τῇ ζωῇ αὐτοῦ 15 ἐξουδένωται".

Εἶδες τὸ εὐτελὲς καὶ ἐπίκηρον τῆς οὐσίας; Μὴ ἀναμείνῃς τὴν ἡμέραν τῆς τελευτῆς, ἵνα μάθῃς σου τὴν ἀσθένειαν· ἔτι μοι ζῶντα τὸν ἄνθρωπον διερεύνησον, καὶ εἰς τὰ ἔγκατα αὐτοῦ διάβηθι τῷ λόγῳ, καὶ πᾶσαν αὐτοῦ τὴν οὐδένειαν ὄψει. Ἀλλὰ 20 μὴ καταπέσῃς· οὐδὲ γὰρ μισῶν ἡμᾶς, ἀλλὰ φειδόμενος οὕτως ἐποίησεν ὁ Θεός, προφάσεις ἡμῖν ταπεινοφροσύνης παρέχων μεγάλας. Εἰ γὰρ ἄνθρωπος γῆ ὢν καὶ σποδός, ἐτόλμησεν εἰπεῖν, ὅτι "Εἰς τὸν οὐρανὸν ἀναβήσομαι", εἰ μὴ τὸν τῆς φύσεως χαλινὸν εἶχε, ποῦ οὐκ ἂν ἐξέπεσε τῇ διανοίᾳ; Ὅταν 25 οὖν ἴδῃς τινὰ πεφυσιωμένον, τὸν αὐχένα ἀνατείνοντα, τὰς ὀφρῦς ἀνασπῶντα, ἐπὶ τοῦ ὀχήματος φερόμενον, ἀπειλοῦντα, εἰς δεσμωτήριον ἐμβάλλοντα, θανάτῳ παραδιδόντα, ἐπηρεάζοντα, εἰπὲ πρὸς αὐτόν· "Τί ὑπερηφανεύεται γῆ καὶ σποδός; Ὅτι καὶ ἐν τῇ ζωῇ αὐτοῦ ἐξουδένωται τὰ ἐνδόσθια αὐτοῦ". 30 Ταῦτα οὐ περὶ ἀνθρώπου μόνον ἰδιώτου, ἀλλὰ καὶ περὶ αὐτοῦ τοῦ καθημένου ἐπὶ τοῦ θρόνου τοῦ βαισλικοῦ ἔστιν εἰπεῖν.

Μὴ γὰρ τὴν ἁλουργίδα ἴδῃς, μηδὲ τὸ διάδημα, μηδὲ τὰ ἱμάτια τὰ χρυσᾶ, ἀλλ' αὐτὴν τὴν φύσιν ἐρεύνησον, καὶ οὐδὲν ὄψει πλέον ἔχουσαν τῶν πολλῶν· μᾶλλον δέ, εἰ βούλει, καὶ τὴν 35 ἁλουργίδα, καὶ τὸ διάδημα, καὶ τὰ ἱμάτια, καὶ πᾶσαν περίελθε τὴν φαντασίαν ἐκείνην, καὶ τούτων αὐτῶν ὄψει πάλιν τὴν γῆν οὖσαν ὑπόθεσιν. "Πᾶσα γὰρ δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου". Ἰδοὺ καὶ γῆς εὐτελέστερος ἐφάνη ὁ καλλωπισμὸς

ἀπόδειξη ἀπό τό τέλος, οὔτε ἔρχεται στούς τάφους καί τά μνήματα τῶν προγόνων του, ἀλλά βλέπει στά παρόντα, δέ σκέφτεται καθόλου γιά τά μελλοντικά. Δίδαξε αὐτόν ἀπό ἐδῶ καί πέρα, ὅτι εἶναι γῆ καί στάχτη. Περίμενέ με, λέγει, καί δέ διδάσκω αὐτό, ἀλλά κάτι ἄλλο πολύ χειρότερο, γιά νά γνωρίζει καλά, ὅταν φαντάζεται, τήν ἀσήμαντη καταγωγή του, γιά νά πάρει τό φάρμακο, ὅσο ἀκόμη βρίσκεται στή ζωή. Γιατί, ἀφοῦ εἶπε, «Γιατί ὑπερηφανεύεται ἡ γῆ καί ἡ στάχτη;», πρόσθεσε· «Ἐπειδή καί ὅσο ζεῖ αὐτός δέν ἀξίζουν τίποτε τά ἐντόσθιά του». Τί σημαίνει, «Ὅτι καί ἐν τῇ ζωῇ αὐτοῦ ἐξουδένωται τά ἐνδόσθια αὐτοῦ»; Ἴσως εἶναι σκοτεινός ὁ λόγος. Ἐντόσθια ὀνομάζει αὐτά πού ὑπάρχουν μέσα στό σῶμα, τά σπλάχνα, τήν κοιλιά πού εἶναι γεμάτη κοπριά καί πολλή ἀκαθαρσία καί δυσοσμία, ὄχι γιά νά κατηγορήσει τή φύση, ἀλλά γιά νά ὁδηγήσει στήν ταπεινοφροσύνη· «Ἐπειδή καί ὅσο ζεῖ αὐτός δέν ἀξίζουν αὐτά τίποτε».

Εἶδες ὅτι ἡ ἀνθρώπινη ὕπαρξη εἶναι ἀσήμαντη καί θνητή; Μήν περιμένεις τήν ἡμέρα τοῦ θανάτου, γιά νά μάθεις τήν ἀσθένειά σου. Ἐξέτασε, σέ παρακαλῶ, τόν ἄνθρωπο ὅσο ζεῖ ἀκόμη, πέρασε μέ τό λόγο βαθιά μέσα του, καί θά δεῖς ὅλη του τή μηδαμινότητα. Ἀλλά μή χάσεις τό θάρρος σου, γιατί δέ μᾶς ἔκανε ἔτσι ὁ Θεός ἐπειδή μᾶς μισοῦσε, ἀλλ' ἐπειδή μᾶς συμπαθοῦσε, δίνοντας σέ μᾶς μεγάλες εὐκαιρίες γιά ταπεινοφροσύνη. Ἀφοῦ λοιπόν ὁ ἄνθρωπος, πού εἶναι γῆ καί στάχτη, τόλμησε νά πεῖ, ὅτι «Θ' ἀνεβῶ στόν οὐρανό»[32], ἐάν δέν εἶχε τό χαλινάρι τῆς φύσης του, πού δέ θά ἐξορμοῦσε μέ τό νοῦ του; Ὅταν λοιπόν δεῖς ὅτι κάποιος εἶναι φουσκωμένος ἀπό ἐγωισμό, ὅτι ἔχει τεντωμένο τό λαιμό του, ὅτι εἶναι σοβαρός, ὅτι ταξιδεύει ἐπάνω σέ ἅμαξα, ὅτι ἀπειλεῖ ὅλους, ὅτι ρίχνει στή φυλακή ἀνθρώπους, ὅτι παραδίνει στό θάνατο, ὅτι συμπεριφέρεται περιφρονητικά στούς ἄλλους, πές του· «Γιατί ὑπερηφανεύεσαι γῆ καί στάχτη; Ἀφοῦ καί ὅσο ζεῖ ὁ ἄνθρωπος δέν ἀξίζουν τίποτε τά ἐντόσθιά του». Αὐτά μπορεῖ νά τά πεῖ κανείς ὄχι μόνο γιά πολίτη ἁπλό, ἀλλά καί γι' αὐτόν πού κάθεται στό βασιλικό θρόνο.

Μήν κυττάξεις βέβαια τή βασιλική πορφύρα, οὔτε τό στέμμα, οὔτε τά χρυσά φορέματα, ἀλλ' ἐξέτασε τήν ἴδια τή φύση του, καί θά δεῖς ὅτι δέν ἔχει τίποτε περισσότερο ἀπό τούς ἄλλους· ἤ καλύτερα, ἐάν θέλεις, περιεργάσου καί τήν πορφύρα καί τό στέμμα καί τά φορέματα καί ὅλη ἐκείνη τήν ἐμφάνισή του, καί θά δεῖς ὅτι ἡ γῆ πάλι εἶναι ἡ βάση τους. «Γιατί ὅλη ἡ δόξα τοῦ ἀνθρώπου εἶναι σάν τό λουλούδι τοῦ φυτοῦ»[33].

32. Ἡσ. 14, 13. 33. Ἡσ. 40, 6.

ἐκεῖνος ἅπας. Ὁρᾷς πῶς καταστέλλει τὸ φύσημα; πῶς καθαιρεῖ πᾶσαν ἀπόνοιαν ἡ ἔννοια τῆς φύσεως αὐτῆς; Ἀρκεῖ μόνον λογίσασθαι τίνες ἐσμέν, καὶ πόθεν συνεστήκαμεν, καὶ πᾶσα οἰχήσεται λογισμῶν ἀπόνοια. Διὰ γὰρ τοῦτο ἐκ δύο οὐσιῶν κατεσκεύασεν ἡμᾶς ὁ Θεός, ἵν', ὅταν μὲν εἰς ἀπόνοιαν ἐπαρθῇς, καταστείλῃ σε τὸ εὐτελὲς τῆς σαρκός, ὅταν δὲ ἀνάξιόν τι καὶ ἀγενὲς τῆς δοθείσης σοι παρὰ τοῦ Θεοῦ τιμῆς ἐννοήσῃς, ἀναγάγῃ σε πρὸς τὸν τῶν οὐρανίων δυνάμεων ζῆλον ἡ τῆς ψυχῆς εὐγένεια.

7. Οὐκ εἰς ἀναίρεσιν δὲ ἀπονοίας μόνον ἐπιτηδεία ἡ επίσκεψις τῆς φύσεως, ἀλλὰ κἂν ἑτέρα τις ἐπιθυμία διενοχλῇ, κἂν ἡ τῶν χρημάτων, κἂν ἡ τῶν σωμάτων, ἡ ἄτοπος αὕτη καὶ εἰς ἀσέλγειαν ἐκκαλουμένη, ἀπόχρη τοῦτο εἰς παραμυθίαν τοῦ πάθους. Ὅταν οὖν ἴδῃς γυναῖκα εὔμορφον, λάμποντα ἔχουσαν ὀφθαλμόν, φαιδρόν, στίλβουσαν ἀπὸ τῆς παρειᾶς, ἀμήχανόν τινα ὥραν ἐπὶ τῆς ὄψεως φέρουσαν, φλέγουσάν σου τὸν λογισμόν, καὶ τὴν ἐπιθυμίαν αὔξουσαν, ἐννόησον ὅτι γῆ τὸ θαυμαζόμενον, ὅτι σποδὸς τὸ ἐκκαῖον, καὶ παύσεται λυττῶσα ἡ ψυχή· ἀνακάλυψον αὐτῆς τὸ δέρμα τῆς ὄψεως, καὶ τότε πᾶσαν αὐτὴν ὄψει τῆς εὐμορφίας τὴν εὐτέλειαν· μὴ στῇς μέχρι τῆς ἐπιφανείας, ἀλλ' ἐνδοτέρω διάβηθι τῷ λογισμῷ, καὶ οὐδὲν ἕτερον εὑρήσεις, ἀλλ' ἢ ὀστᾶ καὶ νεῦρα καὶ φλέβας. Ἀλλ' οὐκ ἀρκεῖ ταῦτα; Λόγισαί μου ταύτην ἀλλοιουμένην, γηράσκουσαν, ἀῤῥωστοῦσαν, ὑφιζάνοντας ὀφθαλμούς, καὶ κοιλαινομένας παρειάς, ἅπαν καταῤῥέον τὸ ἄνθος ἐκεῖνο· ἐννόησον τί θαυμάζεις, καὶ αἰσχύνθητί σου τὴν κρίσιν. Πηλὸν θαυμάζεις καὶ σποδόν, καὶ κόνις σὲ ἐκκαίει καὶ τέφρα.

Οὐ κατηγορῶν τῆς φύσεως ταῦτα λέγω· μὴ γένοιτο· οὐ κακίζων, οὐδὲ εἰς εὐτέλειαν ἐμβάλλων, ἀλλὰ φάρμακα τοῖς νοσοῦσι κατασκευάζων. Διὰ τοῦτο ὁ Θεὸς τοιαύτην αὐτὴν ἐποίησεν, οὕτως εὐτελῆ, ἵνα καὶ τὴν οἰκείαν δύναμιν ἐπιδείξηται, καὶ τὴν κηδεμονίαν τὴν περὶ ἡμᾶς, τῇ τῆς φύσεως μὲν εὐτελείᾳ πρὸς ταπεινοφροσύνην ἐνάγων, καὶ πᾶσαν τὴν ἐπιθυμίαν ἡμῶν καταστέλλων, τὴν δὲ σοφίαν δεικνὺς τὴν ἑαυτοῦ, ὡς καὶ ἐν πηλῷ τοσοῦτον ἰσχύων ἐξασκῆσαι κάλλος.

Νά, ὅλος ὁ στολισμός αὐτός φάνηκε πιό ἀσήμαντος καί ἀπό τό χῶμα. Βλέπεις πῶς συγκρατεῖ τήν ἀλαζονεία, καί πῶς καταργεῖ κάθε ἀνοησία ἡ γνώση τῆς φύσης μας; Ἀρκεῖ μόνο ν᾽ ἀναλογισθοῦμε ποιοί εἴμαστε καί ἀπό ποῦ δημιουργηθήκαμε, καί θά μᾶς ἐγκαταλείψουν ὅλες οἱ ἀνόητες σκέψεις. Γι᾽ αὐτό λοιπόν μᾶς δημιούργησε ὁ Θεός ἀπό δύο οὐσίες, ὥστε, ὅταν ὑπερηφανευθεῖς ἀνόητα, νά σέ συγκρατήσει ἡ ἀσήμαντη καταγωγή τῆς σάρκας, ὅταν ὅμως σκεφθεῖς κάτι ἀνάξιο καί ἀσήμαντο στήν τιμή πού σοῦ ἔδωσε ὁ Θεός, νά σέ ὁδηγήσει στό ζῆλο τῶν οὐράνιων δυνάμεων ἡ εὐγενική καταγωγή τῆς ψυχῆς.

7. Ἡ προσεκτική ἐξέταση τῆς φύσης μας δέν εἶναι κατάλληλη μόνο γιά συγκράτηση τῆς ἀλαζονείας, ἀλλά καί ἄν ἀκόμη σ᾽ ἐνοχλεῖ συνέχεια κάποια ἄλλη ἐπιθυμία, εἴτε ἡ ἐπιθυμία τῶν χρημάτων, εἴτε ἡ ἐπιθυμία τῶν σωμάτων, αὐτή πού εἶναι παράλογη καί προτρέπει σ᾽ ἀκολασία, χρησιμοποίησε αὐτό γιά νά καταπραΰνεις τό πάθος σου. Ὅταν λοιπόν δεῖς μιά ὄμορφη γυναίκα, νά ἔχει μάτι σπινθηροβόλο καί λαμπερό, νά ἔχει ὡραῖα μάγουλα, νά φέρει κάποια ἀκατανίκητη ὀμορφιά στό πρόσωπό της, νά σοῦ ἀνάβει τό νοῦ καί νά σοῦ μεγαλώνει τήν ἐπιθυμία, σκέψου ὅτι αὐτό πού θαυμάζεις εἶναι χῶμα, ὅτι αὐτό πού σέ καίει εἶναι στάχτη, καί τότε ἡ ψυχή σου θά σταματήσει νά τήν ἐπιθυμεῖ μέ μανία. Ξεσκέπασε τό δέρμα τοῦ προσώπου της, καί τότε θά δεῖς ὅλη τήν ἀσήμαντη προέλευση τῆς ὀμορφιᾶς της. Μή σταματήσεις στήν ἐξωτερική ἐμφάνιση, ἀλλά προχώρησε μέ τή σκέψη σου πιό μέσα, καί δέ θά βρεῖς τίποτε ἄλλο παρά μόνο κόκκαλα καί νεῦρα καί φλέβες. Ἀλλά δέν ἀρκοῦν αὐτά; Σκέψου, σέ παρακαλῶ, τή γυναίκα αὐτή ν᾽ ἀλλάζει στό χειρότερο, νά γίνεται γριά, νά εἶναι ἄρρωστη, μέ ζαρωμένα μάτια καί βαθουλωτά μάγουλα, ὅλο ἐκεῖνο τό λουλούδι νά μαραίνεται. Σκέψου τί θαυμάζεις καί νά ντραπεῖς γιά τήν κρίση σου. Θαυμάζεις λάσπη καί στάχτη, καί ἡ σκόνη καί ἡ τέφρα σέ καίει.

Δέν τά λέγω αὐτά γιά νά κατηγορήσω τήν ἀνθρώπινη φύση (μακριά μιά τέτοια σκέψη), οὔτε γιά νά τήν κατακρίνω σάν κακή, οὔτε γιά νά πολεμήσω τήν ἀσήμαντη καταγωγή της, ἀλλά γιά νά ἑτοιμάσω φάρμακα σ᾽ αὐτούς πού εἶναι ἄρρωστοι. Γι᾽ αὐτό ὁ Θεός τήν ἔκαμε τέτοια, τόσο ἀσήμαντη, γιά νά φανερώσει καί τή δική του δύναμη καί τή φροντίδα του γιά μᾶς, μέ τήν ἀσήμαντη καταγωγή τῆς φύσης μας ὁδηγώντας στήν ταπεινοφροσύνη καί συγκρατώντας κάθε ἐπιθυμία μας, δείχνοντας βέβαια καί τή σοφία του, ἀφοῦ καί στή λάσπη ἔχει τή δύναμη νά δημιουργήσει τόσο μεγάλη ὀμορφιά. Ὥστε, ὅταν χαρακτη-

Ὥστε ὅταν ἐξευτελίσω τὴν οὐσίαν, τότε ἐκκαλύπτω τὴν τέχνην τοῦ Δημιουργοῦ. Ὥσπερ γὰρ ἀνδριαντοποιὸν τότε μᾶλλον θαυμάζομεν, οὐχ ὅταν ἐκ χρυσίου καλὸν ἡμῖν δείξῃ τὸν ἀνδριάντα, ἀλλ᾽ ὅταν ἐκ πηλοῦ τῆς ὕλης ὑποκειμένης ἀπηρτισμένην καὶ ἀκριβῆ τὴν εἰκόνα ἐργάζηται, οὕτω καὶ τὸν ἀριστοτέχνην Θεὸν ἐκπληττόμεθα καὶ δοξάζομεν, ὅτι ἐν σποδῷ καὶ πηλῷ κάλλος ἀμήχανον καὶ σοφίας ἀῤῥήτου τινὸς ἐπίδειξιν τοῖς σώμασιν ἡμῶν ἐναπέθετο.

Καὶ τοῦτο οὐκ ἐν τῷ σώματι μόνον τῷ ἡμετέρῳ, ἀλλὰ καὶ ἐν πάσῃ τῇ κτίσει ἐποίησεν. Εὐτελεῖς γὰρ πολλαχοῦ παραγαγὼν τὰς οὐσίας, καὶ τῆς οἰκείας τέχνης δεῖγμα σαφὲς ἐγκατέθηκε, καὶ τῆς τῶν οὐσιῶν ἀσθενείας ἔλεγχόν τινα ἐγκατέμιξεν· ἵνα διὰ μὲν τὴν τέχνην καὶ τὸ κάλλος θαυμάζῃς τὸν Δημιουργόν, διὰ δὲ τὴν ἀσθένειαν καὶ τὴν εὐτέλειαν τῆς φύσεως καὶ τῆς οὐσίας μὴ προσκυνήσῃς τὰ γενόμενα. Φαιδρὸς ὁ ἥλιος λάμπων, καὶ πᾶσαν καταυγάζει τὴν οἰκουμένην, ἀλλ᾽ ἐλθούσης τῆς νυκτὸς ἐκλείπει. "Τί γάρ", φησί, "φωτεινότερον ἡλίου; Ἀλλὰ καὶ τοῦτο ἐκλείπει"· οὐκ ἐν νυκτὶ δὲ μόνον, ἀλλὰ καὶ ἐν ἡμέρᾳ. Καὶ διὰ τοῦτο πολλάκις καὶ ἐν ἡμέρᾳ ἥλιος ἐξέλιπεν, ἵνα θαυμάζῃς μὲν διὰ τὴν τέχνην τὸν Δημιουργόν, μὴ προσκυνήσῃς δὲ διὰ τὴν ἀσθένειαν τὸ γενόμενον. Ὁρᾷς τὸν οὐρανὸν τοῦτον, ἡλίκον ἐστὶ σῶμα; πῶς καλόν; πῶς ἀποστίλβον, καὶ τῶν ἡμετέρων βέλτιον σωμάτων κατὰ τὴν ἐπιφάνειαν; Ἀλλ᾽ ἄψυχόν ἐστιν. Εἶδες καὶ τῆς τέχνης τὴν ἐπίδειξιν, καὶ τῆς ἀσθενείας τὸν ἔλεγχον; ὁρᾷς ἑκατέρωθέν σοι τὰ ὀχυρώματα κείμενα; Ἵνα γὰρ μὴ καταγινώσκῃς τοῦ Δημιουργοῦ ὡς ἀσθενοῦς, καλὰ ἐποίησεν· ἵνα δὲ μὴ προσκυνῇς τὰ γενόμενα ὡς θεούς, ἀσθενῆ ταῦτα ἐκ μέρους εἰργάσατο. Ταῦτα μέμνησθε διηνεκῶς.

Διὰ τοῦτο Γραφὰς ἑρμηνεύομεν, οὐχ ἵνα Γραφὰς μάθητε μόνον, ἀλλ᾽ ἵνα καὶ τὰ ἤθη διορθώσητε. Ἂν γὰρ τοῦτο μὴ γένηται, περιττῶς ἀναγινώσκομεν, περιττῶς ἐξηγούμεθα. Ὥσπερ γὰρ ἀθλητὴς εἰς παλαίστραν εἰσιὼν ἀλειφόμενος καὶ ἀπολαύων τῶν χειρῶν τοῦ παιδοτρίβου, ἂν τοῦ ἀγῶνος παραγενομένου ἐλέγξῃ ἐκείνην τὴν τέχνην, περιττῶς εἰσήχθη εἰς τὴν παλαίστραν, οὕτως ἂν ἐνταῦθα παραγινόμενοι, καὶ μανθάνοντες τὰ παλαίσματα πάντα καὶ τὰς λαβὰς τοῦ διαβόλου, τοῦ καιροῦ τῶν ἀγώνων ἐλθόντος ὑποσκελισθῆτε, ἢ

ρίσω ἀσήμαντη τήν οὐσία, τότε φανερώνω τήν τέχνη τοῦ Δημιουργοῦ. Γιατί, ὅπως ἀκριβῶς τότε θαυμάζουμε πιό πολύ ἕνα γλύπτη, ὄχι ὅταν μᾶς παρουσιάσει ὡραῖο τό ἄγαλμα ἀπό χρυσάφι, ἀλλ᾽ ὅταν τό κάνει τέλειο καί μέ ἀκρίβεια ἔχοντας σάν ὑλικό του τή λάσπη, ἔτσι καί τόν ἀριστοτέχνη Θεό τόν θαυμάζουμε καί τόν δοξάζουμε, ἐπειδή στή στάχτη καί στή λάσπη τοποθέτησε ἀκατανίκητη ὀμορφιά καί φανέρωση κάποιας ἀνέκφραστης σοφίας στά σώματά μας.

Καί αὐτό δέν τό ἔκαμε μόνο στό δικό μας σῶμα, ἀλλά καί σ᾽ ὅλη τήν κτίση. Γιατί, δημιουργώντας ὁ Θεός πολλές φορές τά ὄντα ἀπό ἀσήμαντα ὑλικά, τοποθέτησε σ᾽ αὐτά καθαρή ἀπόδειξη τῆς δικῆς του τέχνης καί ἕνωσε σ᾽ αὐτά κάποιον ἔλεγχο τῆς ἀδυναμίας τῶν ὄντων, γιά νά θαυμάζεις τό Δημιουργό ἀπό τήν τέχνη καί τήν ὀμορφιά, καί νά μήν προσκυνήσεις τά δημιουργήματα γιά τήν ἀδυναμία καί τήν ἀσήμαντη προέλευση τῆς φύσης καί τῆς οὐσίας τους. Εἶναι λαμπερός ὁ ἥλιος, ὅταν λάμπει, καί φωτίζει τήν οἰκουμένη ὅλη· ὅταν ὅμως ἔρχεται ἡ νύχτα, χάνεται. «Ποιό ἄλλο πράγμα λοιπόν», λέγει ἡ Γραφή, «εἶναι φωτεινότερο ἀπό τόν ἥλιο; Καί ὅμως καί αὐτός χάνεται»[34], ὄχι μόνο τή νύχτα, ἀλλά καί τήν ἡμέρα. Καί γι᾽ αὐτό πολλές φορές ὁ ἥλιος παθαίνει ἔκλειψη καί τήν ἡμέρα, γιά νά θαυμάζεις βέβαια γιά τήν τέχνη του τόν Δημιουργό, ἀλλά γιά νά μήν προσκυνήσεις γιά τήν ἀδυναμία του τό δημιούργημα. Βλέπεις αὐτόν τόν οὐρανό, πόσο μεγάλος εἶναι; πῶς εἶναι ὡραῖος; πῶς εἶναι λαμπερός καί πῶς εἶναι καλύτερος στήν ἐμφάνιση ἀπό τά δικά μας σώματα; Ὅμως εἶναι χωρίς ψυχή. Εἶδες καί τή φανέρωση τῆς τέχνης καί τόν ἔλεγχο τῆς ἀδυναμίας; Βλέπεις πώς ὑπάρχουν γύρω σου τά ὀχυρώματα; Γιά νά μήν κατηγορεῖς λοιπόν τό Δημιουργό σάν ἀδύνατο, τά ἔκαμε ὡραῖα, καί γιά νά μήν προσκυνεῖς τά δημιουργήματα σάν θεούς, τά ἔκαμε ἀδύναμα αὐτά μέχρι ἕνα σημεῖο. Αὐτά νά τά θυμάστε διαρκῶς.

Γι᾽ αὐτό ἑρμηνεύουμε τίς Γραφές, ὄχι γιά νά μάθετε μόνο τίς Γραφές, ἀλλά γιά νά διορθώσετε καί τή συμπεριφορά σας. Γιατί ἄν δέ γίνει αὐτό, ἄσκοπα τίς διαβάζουμε, ἄσκοπα τίς ἑρμηνεύουμε. Ὅπως λοιπόν ὁ ἀθλητής, πού μπαίνει στήν παλαίστρα ἀλειμμένος μέ λάδι καί ἑτοιμασμένος ἀπό τόν γυμναστή του, ἄν μετά τό τέλος τοῦ ἀγώνα ἀποδείξει πώς ἄσκοπα ἔμαθε τήν τέχνη αὐτή, ἄσκοπα μπῆκε τότε καί στήν παλαίστρα, ἔτσι ἀκριβῶς καί ἐσεῖς, πού ἔρχεστε ἐδῶ καί μαθαίνετε ὅλα τά ἀγωνίσματα καί τίς λαβές τοῦ διαβόλου, ὅταν ἔρθει ὁ καιρός τῶν ἀγώνων, ἄν νικηθεῖτε, ἤ γιατί εἴδατε κάποιο ὄμορφο

34. Σοφ. Σειρ. 17, 31.

εὔμορφον ὄψιν ἰδόντες, ἢ πρὸς ἀπόνοιαν ἐπαρθέντες, ἢ ἑτέρῳ τινὶ πονηρῷ χειρωθέντες λογισμῷ, μάτην ἐνταῦθα εἰσήλθετε. Μέμνησθε τοίνυν τῶν λόγων, οὐ τῶν κατὰ τῆς φύσεως τῆς ἡμετέρας, ἀλλὰ τῶν κατὰ τῆς ἐπιθυμίας τῆς ἀκολάστου. Οὐ
5 φύσεως ἔγκλημα τὰ εἰρημένα, ἀλλὰ ἐπιθυμίας τὰ λεγόμενα. Ταύτῃ καταστέλλετε θυμόν, οὕτω πραΰνατε ἐπιθυμίαν, οὕτω κατασπᾶτε ἀπόνοιαν. "Καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν, καὶ φωνὴ μία πᾶσιν". Ἰδοὺ τὸ ζητούμενον ἔτι. Οὐ περὶ ταύτης ὁ λόγος, ἀλλ' ὅτι πάντες οἱ ἄνθρωποι φωνὴν εἶχον μίαν. Διὰ τί δὲ χεῖλος
10 ἓν ἐκάλεσε τὴν φωνήν; Ἔθος τῇ Γραφῇ οὕτω καλεῖν τὰ ῥήματα, γλῶσσαν.

Ἀναγκαῖον δὲ καὶ τοῦτο εἰδέναι διὰ τοὺς αἱρετικούς, τοὺς κατηγοροῦντας τῆς δημιουργίας τοῦ Θεοῦ, τοὺς λέγοντας, ὅτι πονηρὸν τὸ σῶμα. Ἐπειδὴ γὰρ τὰ πονηρὰ κινήματα τῆς
15 διανοίας τοῖς μέλεσι τοῦ σώματος ἡ Γραφὴ καλεῖ· οἷόν τι λέγω· "Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως"· "Ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα"· νομίζουσιν οὖν τινες, ὅτι περὶ τῆς γλώττης εἴρηται. Οὐκ εἴρηται δὲ περὶ τῆς γλώττης· μὴ γένοιτο· ἔργον γάρ ἐστι τοῦ Θεοῦ· ἀλλὰ περὶ τῶν ῥημάτων τῶν φονικῶν, τῶν
20 ἀποκτιννύντων ἀνθρώπους, τῶν ἐμπιπτόντων ξίφους χαλεπώτερον. "Ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα"· καὶ πάλιν· "Χείλη δόλια ἐν καρδίᾳ, καὶ ἐν καρδίᾳ ἐλάλησε κακά"· οὐ περὶ τοῦ μέλους λέγων τοῦ σώματος, ἀλλὰ περὶ τῶν ὑπούλων ῥημάτων.

Οὕτω καὶ ἐνταῦθα εἰπών, "Καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν", οὐ
25 τοῦτο ἐδίδαξεν, ὅτι πάντες ἄνθρωποι εἶχον ἓν χεῖλος, ἀλλὰ χεῖλος τὴν φωνὴν ἐκάλεσεν. Εἰπὼν γάρ, "Ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν", ἐπήγαγε, "Καὶ φωνὴ μία πᾶσιν". Οὕτως ὅταν λέγῃ, "Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν", οὐ τοῦ λάρυγγος κατηγορεῖ, ἀλλὰ τῶν κακῶν ῥημάτων τῶν ἀναβαινόντων
30 ἐκεῖθεν, τῶν νεκρῶν δογμάτων. Τάφος γάρ τοῦτό ἐστι, νεκρῶν δοχεῖον ὀστῶν καὶ σωμάτων. Τοιαῦτα κἀκείνων τὰ στόματα, τῶν κατηγορούντων τοῦ Δημιουργοῦ· τοιαῦτα τὰ στόματα αἰσχρὰ φθεγγομένων ἀνθρώπων, τῶν λοιδορούντων, τῶν δυσώδη καὶ πονηρὰ ῥήματα ἐκ τῆς οἰκείας φάρυγγος ἐκβαλλόντων.

8. Εὐωδίας αὐτὴν ἔμπλησον, ἄνθρωπε, μὴ δυσωδίας· θησαυρὸν ποίησον βασιλικόν, μὴ τάφον σατανικόν. Εἰ δὲ

35. Γεν. 11, 1. 36. Ψαλμ. 139, 4 καί 56, 5. 37. Ψαλμ. 11, 5. 38. Ψαλμ. 5, 11.

πρόσωπο, ἤ γιατί ὑπερηφανευθήκατε ἀνόητα, ἤ γιατί αἰχμαλωτισθήκατε ἀπό κάποια ἄλλη πονηρή σκέψη, στά χαμένα μπήκατε ἐδῶ μέσα. Νά θυμάστε λοιπόν τά λόγια, ὄχι αὐτά πού στρέφονται ἐναντίον τῆς δικῆς μας φύσης, ἀλλ' αὐτά πού στρέφονται ἐναντίον τῆς ἀκόλαστης ἐπιθυμίας. Αὐτά πού εἴπαμε δέν ἀποτελοῦν κατηγορία ἐναντίον τῆς φύσης μας, ἀλλά κατηγορία ἐναντίον τῆς ἐπιθυμίας. Μέ τόν τρόπο αὐτό νά συγκρατεῖτε τό θυμό, ἔτσι νά καταπραΰνετε τήν ἐπιθυμία, ἔτσι νά συντρίβετε τήν ἀνόητη ἔπαρση. «Καί ἦταν ὅλη ἡ γῆ ἕνα χεῖλος, καί μία γλώσσα εἶχαν ὅλοι οἱ ἄνθρωποι»[35]. Νά, αὐτό πού ζητᾶμε ἀκόμη. Δέ λέγει γι' αὐτήν τή γλώσσα, ἀλλ' ὅτι ὅλοι οἱ ἄνθρωποι μιλοῦσαν μιά γλώσσα. Γιατί ὅμως ὀνόμασε τή γλώσσα ἕνα χεῖλος; Εἶναι συνήθεια τῆς Γραφῆς νά ὀνομάζει ἔτσι τά πράγματα, δηλαδή γλώσσα.

Εἶναι ἀνάγκη ὅμως νά τό γνωρίζουμε καί αὐτό γιά τούς αἱρετικούς, οἱ ὁποῖοι κατηγοροῦν τή δημιουργία τοῦ Θεοῦ καί λέγουν, ὅτι τό σῶμα εἶναι κακό. Ἐπειδή λοιπόν ἡ Γραφή ὀνομάζει τίς κακές ἐπιθυμίες τῆς ψυχῆς μέ τά μέλη τοῦ σώματος, ὅπως γιά παράδειγμα, «Ἀκόνισαν τή γλώσσα τους σάν τοῦ φιδιοῦ», καί «Ἡ γλώσσα τους εἶναι κοφτερό μαχαίρι»[36], νομίζουν λοιπόν μερικοί, ὅτι αὐτό ἔχει εἰπωθεῖ γιά τή γλώσσα. Δέν ἔχει εἰπωθεῖ ὅμως γιά τή γλώσσα (μακριά μιά τέτοια σκέψη, γιατί εἶναι ἔργο τοῦ Θεοῦ ἡ γλώσσα), ἀλλά γιά τά φονικά λόγια, πού σκοτώνουν ἀνθρώπους, πού πέφτουν πιό φοβερά ἀπό τό ξίφος. «Ἡ γλώσσα τους εἶναι μαχαίρι κοφτερό», καί πάλι, «Ἔχει στήν καρδιά του χείλη δόλια, καί μέσα στήν καρδιά του μίλησε κακά λόγια»[37], δέ μιλάει γιά τό μέλος τοῦ σώματος, ἀλλά γιά τά πονηρά λόγια.

Ἔτσι καί ἐδῶ, ἀφοῦ εἶπε, «Καί ἦταν ὅλη ἡ γῆ ἕνα χεῖλος», δέ δίδαξε αὐτό, ὅτι δηλαδή ὅλοι οἱ ἄνθρωποι εἶχαν ἕνα χεῖλος, ἀλλά χεῖλος ὀνόμασε τή γλώσσα. Γιατί, ἀφοῦ εἶπε, «Ὅλη ἡ γῆ ἦταν ἕνα χεῖλος», πρόσθεσε, «Καί ὑπῆρχε μιά γλώσσα σ' ὅλους». Ἔτσι ὅταν λέγει, «Τάφος ἀνοιγμένος εἶναι ὁ λάρυγγάς τους»[38], δέν κατηγορεῖ τό λάρυγγα, ἀλλά τά πονηρά λόγια πού ἀνεβαίνουν ἀπ' ἐκεῖ, τίς πεθαμένες διδασκαλίες. Γιατί τάφος αὐτό σημαίνει, δηλαδή δοχεῖο γιά πεθαμένα κόκκαλα καί σώματα. Τέτοια εἶναι τά στόματα καί ἐκείνων, πού κατηγοροῦν τό Δημιουργό. Τέτοια εἶναι τά στόματα τῶν ἀνθρώπων πού λέγουν αἰσχρολογίες, πού βρίζουν, πού βγάζουν ἀπό τό δικό τους φάρυγγα βρωμερά καί πονηρά λόγια.

8. Γέμισε τό φάρυγγά σου μέ εὐωδιά, ἄνθρωπε, ὄχι μέ δυσοσμία· κάμε αὐτόν βασιλικό θησαυροφυλάκιο, ὄχι σατανικό τάφο. Ἐάν ὅμως

τάφος ἐστί, κἂν ἀπόκλεισον, ἵνα μὴ προβαίνῃ ἡ δυσωδία. Πονηρὰ ἔχει ἐνθυμήματα; Μὴ προενέγκῃς αὐτὰ διὰ ῥημάτων· ἔασον κάτω κεῖσθαι, καὶ ταχέως ἀποπνίγονται. Ἄνθρωποί ἐσμεν, πολλὰ πολλάκις πονηρά βουλευόμενοι καὶ ἄτοπα καὶ
5 *αἰσχρὰ βουλεύματα· ἀλλὰ μὴ συγχωρῶμεν εἰς ῥήματα τὰ νοήματα προελθεῖν, ἵνα πιεζόμενα κάτω ἀσθενέστερα γίνηται καὶ ἀπολλύηται. Καθάπερ γὰρ θηρία τις παντοδαπὰ καὶ ἀνήμερα εἰς λάκκον ἐμβαλών, ἂν μὲν ἐμφράξῃ τὸν λάκκον ἄνωθεν, ἀποπνίγει ῥᾳδίως, ἂν δὲ διέξοδόν τινα καὶ ἀναπνοὴν*
10 *παράσχῃ μικράν, πολλὴν αὐτοῖς δίδωσι τὴν παραμυθίαν, καὶ οὐκ ἀφίησιν ἀπολέσθαι, ἀλλ' ἐκθηριοῖ μειζόνως, οὕτω καὶ ἐπὶ τῶν λογισμῶν γίνεται τῶν πονηρῶν, ὅταν τεχθῶσιν ἔνδον, ἂν μὲν ἀποκλείσωμεν αὐτῶν τὴν εἰς τὰ ἔξω πρόοδον, ταχέως αὐτοὺς ἀφανίζομεν, ἂν δὲ διὰ τῶν ῥημάτων αὐτοὺς ἐξενέγκω-*
15 *μεν, κἀκείνους ἰσχυροτέρους εἰργασάμεθα, δόντες ἀναπνεῦσαι διὰ τῆς γλώττης αὐτοῖς, καὶ πρὸς τὰ τῶν ἀτόπων πράξεων βάραθρα ταχέως ἀπὸ τῆς τῶν αἰσχρῶν ῥημάτων μελέτης καταπίπτομεν.*

Διὰ τοῦτο ὁ προφήτης οὐχ ἁπλῶς τάφον ἐκάλεσεν, ἀλλὰ
20 *"Τάφον ἀνεῳγμένον", αὐτὸ τοῦτο ἐγκαλῶν ὅπερ εἶπον. Οὐδὲ γὰρ ἑαυτὸν αἰσχύνει μόνον ὁ τὰ αἰσχρὰ φθεγγόμενος ῥήματα, ἀλλὰ καὶ τοὺς πλησίον, καὶ τοὺς συγγινομένους αὐτῷ πολλῆς ἀναπίμπλησι τῆς λύμης. Καὶ καθάπερ εἰ τοὺς τάφους ἀνοίξομεν, λοιμοῦ τὰς πόλεις ἐμπλήσομεν, οὕτω τὰ αἰσχρὰ στόματα*
25 *εἰ μετὰ ἀδείας ἀνοίγοιτο, τοὺς συγγινομένους ἅπαντας νόσου χαλεπωτάτης ἐμπλήσει. Διὰ τοῦτο χρὴ θύραν καὶ μοχλὸν καὶ χαλινὸν ἐπιθεῖναι τῷ στόματι. Ὅτι μὲν οὖν μία φωνὴ ἦν τότε, ἱκανῶς ἐκ τούτων ἡμῖν ἀποδέδεικται, λοιπὸν δὲ ἀναγκαῖον εἰπεῖν, τίνος ἕνεκεν αἱ πολλαὶ ἐπεισήχθησαν. Ἀλλὰ τέως τὸν*
30 *ἠθικώτερον γυμνάσωμεν λόγον· παιδεύσωμεν τὴν ἡμετέραν γλῶτταν χαλινὸν ἔχειν, καὶ μὴ πάντα ἁπλῶς ἐκφέρειν τὰ ἀπὸ τῆς διανοίας· μὴ κακηγορεῖν τοὺς ἀδελφούς, μὴ ἀλλήλους δάκνειν καὶ κατεσθίειν. Τῶν δακνόντων τὰ σώματα χείρους εἰσὶν οἱ διὰ λόγων τοῦτο ποιοῦντες. Ἐκεῖνοι τοῖς ὀδοῦσι*
35 *δάκνουσι τὸ σῶμα, οὗτος τοῖς λόγοις δάκνει τὴν ψυχήν, τιτρώσκει τὴν ὑπόληψιν, ἀνίατον ποιεῖ τὸ τραῦμα. Διόπερ μείζονα ἐκδέξεται κόλασιν καὶ τιμωρίαν, ὅσον χαλεπώτερον ἐντίθησι τὸ δῆγμα.*

εἶναι τάφος, τουλάχιστο κράτησέ τον κλειστό, γιά νά μή βγαίνει ἔξω ἡ δυσοσμία. Ἔχεις πονηρές σκέψεις; Μήν τίς προφέρεις μέ τά λόγια, ἄφησε νά βρίσκονται μέσα σου καί γρήγορα ἐξαφανίζονται. Ἄνθρωποι εἴμαστε, πολλές φορές σκεφτόμαστε πολλά πονηρά καί παράλογα καί αἰσχρά πράγματα, ἀλλ᾽ ἄς μήν ἀφήνουμε νά γίνονται οἱ σκέψεις λόγια, γιά νά ἐξασθενίζουν καί νά χάνονται, πιεζόμενα πρός τά κάτω. Γιατί, ὅπως κανείς, ὅταν βάλει μέσα σέ λάκκο διάφορα ἄγρια θηρία, ἄν φράξει τό λάκκο ἀπό πάνω, τά πνίγει εὔκολα, ἄν ὅμως ἀφήσει κάποιο ἄνοιγμα γιά λίγη ἀναπνοή, δίνει σ᾽ αὐτά μεγάλη παρηγοριά, καί δέν τά ἀφήνει νά χαθοῦν, ἀλλά τά ἐξαγριώνει περισσότερο, ἔτσι γίνεται καί στίς πονηρές σκέψεις. Ὅταν γεννηθοῦν μέσα μας, ἄν φράξουμε τό δρόμο τους πρός τά ἔξω, γρήγορα τίς ἐξαφανίζουμε· ἄν ὅμως τίς βγάλουμε ἔξω μέ τά λόγια, καί αὐτές κάμαμε πιό δυνατές, ἀφοῦ τίς ἐπιτρέψαμε ν᾽ ἀναπνεύσουν μέ τή γλώσσα, καί γρήγορα πέφτουμε ἀπό τή συνήθεια τῶν αἰχρῶν λόγων στά βάραθρα τῶν παράλογων πράξεων.

Γι᾽ αὐτό ὁ προφήτης δέν ὀνόμασε τό φάρυγγα ἁπλά τάφο, ἀλλά «τάφο ἀνοιγμένο», κατηγορώντας αὐτό ἀκριβῶς πού εἶπα. Γιατί αὐτός πού λέγει αἰσχρά λόγια δέν ντροπιάζει τόν ἑαυτό του μόνο, ἀλλά βλάπτει πάρα πολύ καί τούς συγγενεῖς καί τούς φίλους του. Καί ὅπως ἀκριβῶς, ἐάν ἀνοίξουμε τούς τάφους, θά γεμίσουμε τίς πόλεις μέ πανούκλα, ἔτσι τά αἰσχρά στόματα, ἐάν ἀνοίγονται ἄφοβα, θά γεμίσουν ὅλους τούς φίλους τους μέ τήν πιό φοβερή ἀρρώστια. Γι᾽ αὐτό πρέπει νά βάλουμε στό στόμα πόρτα καί σύρτη καί χαλινάρι. Ὅτι λοιπόν ὑπῆρχε τότε μία γλώσσα, ἀρκετά ἔχει ἀποδειχθεῖ μέ αὐτά. Εἶναι ἀνάγκη ὅμως νά ποῦμε στή συνέχεια, γιά ποιό λόγο ἐμφανίσθηκαν ὕστερα οἱ πολλές γλῶσσες. Ἀλλά πρῶτα ἀπ᾽ ὅλα ἄς συνηθίσουμε τά πιό ἠθικά λόγια. Ἄς μάθουμε τή γλώσσα μας νά ἔχει χαλινάρι καί νά μή βγάζει ἔξω ὅλες τίς σκέψεις χωρίς λόγο· νά μήν κακολογεῖ τούς ἀδελφούς, νά μή δαγκώνει καί κατατρώγει ὁ ἕνας τόν ἄλλο. Ἀπό ἐκείνους πού δαγκώνουν τά σώματα εἶναι χειρότεροι αὐτοί πού τό κάνουν αὐτό μέ τά λόγια. Ἐκεῖνοι δαγκώνουν τό σῶμα μέ τά δόντια, αὐτός δαγκώνει τήν ψυχή μέ τά λόγια, πληγώνει τήν ὑπόληψη, κάνει ἀνίατη τήν πληγή. Γι᾽ αὐτό ἀκριβῶς θά δεχθεῖ μεγαλύτερη ποινή καί τιμωρία, ὅσο πιό ἄγριο εἶναι τό δάγκωμα πού προξενεῖ.

Οὐ διὰ τοῦτο δὲ μόνον ἐκπεσεῖται συγγνώμης ὁ κατηγορῶν, ἀλλ' ὅτι οὔτε δικαίαν οὔτε ἄδικον ἔχει πρόφασιν εἰπεῖν τῆς πονηρίας τῆς ἑαυτοῦ. Αἱ μὲν γὰρ ἄλλαι ἁμαρτίαι κἂν ἀλόγους ἔχωσιν αἰτίας, ἀλλ' ὅμως ἔχουσιν· οἷον, ὁ πόρνος 5 ἐπιθυμίαν πληροῖ, ὁ κλέπτης τὴν πενίαν λύει, ἀνδροφόνος τὸν θυμὸν παύει· ὁ κατηγορῶν οὐδεμίαν ἔχει πρόφασιν εἰπεῖν. Ποίαν γάρ, εἰπέ μοι, χρημάτων περιουσίαν περιβάλλεται; ποίαν ἐπιθυμίαν πληροῖ; Οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ βασκανίας ὑπόθεσις, οὔτε δικαίαν οὔτε ἄδικον ἔχουσα αἰτίαν. Διὰ 10 τοῦτο ἀπεστέρηται συγγνώμης ἁπάσης. Βούλει κατηγορεῖν; Δίδωμί σοι χρησίμην ὑπόθεσιν. Βούλει κακῶς λέγειν; Εἰπὲ τὰς ἁμαρτίας σου κακῶς. "Λέγε γὰρ σύ", φησί, "τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς". Εἶδες κακηγορίαν στέφανον ἔχουσαν καὶ ἐγκώμιον καὶ δικαιοσύνην; Πάλιν, "Δίκαιος ἑαυτοῦ 15 κατήγορος ἐν πρωτολογίᾳ"· ἑαυτοῦ", οὐκ ἄλλου. Ἐὰν ἄλλου κατήγορος γένῃ, ἐκολάσθης· ἐὰν ἑαυτοῦ, ἐστεφανώθης. Καὶ ἵνα μάθῃς πόσον ἐστὶ καλὸν τὸ κατηγορεῖν τὸ ἑαυτοῦ παράπτωμα, "Δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ", φησί. Καὶ μὴν εἰ δίκαιος, πῶς κατήγορος; εἰ κατήγορος, πῶς 20 δίκαιος; Ὁ δίκαιος οὐκ ἔστι κατηγορίας ὑπεύθυνος.

Ἀλλ' ἵνα μάθῃς, ὅτι κἂν ἁμαρτωλὸς ᾖ τις, κατηγορῇ δὲ τῶν ἁμαρτημάτων, διὰ τῆς κατηγορίας δίκαιος γίνεται, διὰ τοῦτο εἶπε, "Δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ". Τί δέ ἐστιν, "Ἐν πρωτολογίᾳ"; Πρόσεχε ἀκριβῶς· Ἐν τοῖς δικαστηρίοις 25 δύο μέρη ἐστί, τῶν μὲν ἐναγόντων, τῶν δὲ ἐναγομένων· τῶν μὲν κατηγορούντων, τῶν δὲ κατηγορουμένων· τῶν μὲν ὑπευθύνων, τῶν δὲ ἀνευθύνων· καὶ ἡ πρωτολογία τῷ κατηγόρῳ δίδοται, τῷ ἀνευθύνῳ. Ἐνταῦθα δὲ τοὐναντίον. Σὺ ὁ ὑπεύθυνος ἅρπασον τὴν πρωτολογίαν, ἵνα ἀνεύθυνος γένῃ· μὴ ἀναμείνῃς τὸν 30 κατήγορον. Εἰ καὶ τῶν ὑπευθύνων εἶ, ἀλλὰ πρὶν ἢ παρ' ἐκείνου τι τοιοῦτον ἀκούσῃς, αὐτὸς κατηγόρησον τῶν ἡμαρτημένων. Μάχαιρά ἐστιν ἡ γλῶσσα ἠκονημένη· ἀλλὰ μὴ ἑτέροις ἐπάγωμεν τραύματα, ἀλλὰ τὰς ἡμετέρας σηπεδόνας ἀποτέμνωμεν. Βούλει μαθεῖν ὅτι ἔθος ἦν τοῖς δικαίοις μὴ ἄλλους 35 κακῶς λέγειν, ἀλλ' ἑαυτούς; Ἄκουσον τοῦ Παύλου βοῶντος· "Χάριν ἔχων ἐνδυναμώσαντί με Χριστῷ, ὅτι πιστόν με ἡγήσατο θέμενος εἰς διακονίαν, τὸν πρότερον βλάσφημον ὄντα, καὶ

39. Ἠσ. 43, 26. 40. Παροιμ. 18, 17.

Δέ θά χάσει τή συγγνώμη ἐκεῖνος πού κατηγορεῖ γι' αὐτό μόνο, ἀλλά καί γιατί δέν μπορεῖ νά πεῖ οὔτε δίκαιη οὔτε ἄδικη δικαιολογία γιά τήν κακία του. Γιατί οἱ ἄλλες βέβαια ἁμαρτίες, καί ἄν ἀκόμη ἔχουν παράλογες αἰτίες, ἀλλ' ὅμως ἔχουν· γιά παράδειγμα, ὁ πόρνος ἱκανοποιεῖ κάποια ἐπιθυμία του, ὁ κλέφτης δίνει λύση στή φτώχεια του, ὁ δολοφόνος σταματᾶ τό θυμό του. Αὐτός πού κατηγορεῖ δέν μπορεῖ νά πεῖ καμιά δικαιολογία. Ποιά λοιπόν, πές μου, χρήματα ἀποκτᾶ; ποιά ἐπιθυμία ἱκανοποιεῖ; Δέν εἶναι τίποτε ἄλλο, παρά μόνο αἰτία τοῦ φθόνου, χωρίς νά ἔχει οὔτε δίκαιη οὔτε ἄδικη αἰτία. Γι' αὐτό ἔχει χάσει ὅλη τή συγγνώμη. Θέλεις νά κατηγορεῖς; Σοῦ δίνω κάποια χρήσιμη ἀφορμή. Θέλεις νά κακολογεῖς; Κακολόγησε τίς ἁμαρτίες σου. Γιατί λέγει ὁ προφήτης· «Λέγε ἐσύ πρῶτος τίς ἁμαρτίες σου, γιά νά δικαιωθεῖς»[39]. Εἶδες κακολογία πού ἔχει στεφάνι καί ἔπαινο καί δικαιοσύνη; Πάλι λέγει ἡ Γραφή, «Ὁ εὐσεβής πρέπει πρῶτος νά κατηγορεῖ τόν ἑαυτό του»[40]· νά κατηγορεῖ τόν ἑαυτό του, ὄχι ἄλλον. Ἐάν γίνεις κατήγορος κάποιου ἄλλου, θά τιμωρηθεῖς· ἐάν ὅμως γίνεις τοῦ ἑαυτοῦ σου, θά βραβευθεῖς. Καί γιά νά μάθεις πόσο καλό εἶναι τό νά κατηγορεῖς τό δικό σου ἁμάρτημα, λέγει «Ὁ δίκαιος πρέπει νά κατηγορήσει πρῶτος τόν ἑαυτό του». Ἀλλ' ὅμως, ἐάν εἶναι δίκαιος, πῶς εἶναι κατήγορος; ἐάν εἶναι κατήγορος, πῶς εἶναι δίκαιος; Ὁ δίκαιος δέν εἶναι ὑπόλογος κατηγορίας.

Ἀλλά γιά νά μάθεις, ὅτι καί ἄν ἀκόμη εἶναι ἁμαρτωλός κάποιος, μπορεῖ νά γίνει δίκαιος μέ τήν κατηγορία, ἄν κατηγορεῖ ὅμως τά ἁμαρτήματά του, γι' αὐτό εἶπε, «Ὁ δίκαιος πρῶτος ὁ ἴδιος νά κατηγορήσει τόν ἑαυτό του». Τί σημαίνει ὅμως, «Ἐν πρωτολογίᾳ»; Πρόσεχε καλά· στά δικαστήρια ὑπάρχουν δύο μέρη, αὐτοί πού ὑποβάλλουν μηνύσεις καί αὐτοί πού μηνύονται, οἱ κατήγοροι καί οἱ κατηγορούμενοι, οἱ ἔνοχοι καί οἱ ἀθῶοι, καί τό δικαίωμα νά μιλήσει πρῶτος δίνεται στόν κατήγορο, δηλαδή στόν ἀθῶο. Ἐδῶ ὅμως συμβαίνει τό ἀντίθετο. Ἐσύ ὁ ἔνοχος ἅρπαξε πρῶτος τό λόγο, γιά νά γίνεις ἀθῶος· μήν περιμένεις τόν κατήγορο. Ἄν καί εἶσαι ἔνοχος, προτοῦ ὅμως ἀκούσεις κάτι τέτοιο ἀπ' αὐτόν, ὁ ἴδιος κατηγόρησε τά ἁμαρτήματά σου. Ἡ γλώσσα εἶναι ἀκονισμένο μαχαίρι, ὅμως ἄς μή προξενοῦμε τραύματα σ' ἄλλους, ἀλλ' ἄς κόβουμε μόνο τή δική μας σαπίλα. Θέλεις νά μάθεις ὅτι συνήθιζαν οἱ δίκαιοι νά μήν κακολογοῦν τούς ἄλλους, ἀλλά μόνο τούς ἑαυτούς τους; Ἄκουσε τόν Παῦλο πού φωνάζει· «Εὐχαριστῶ τό Χριστό πού μέ ἐνίσχυσε, γιατί μέ ἔκρινε ἄξιο τῆς ἐμπιστοσύνης του καί ἔβαλε στήν ὑπηρεσία του ἐμένα, πού ἤμουν

διώκτην, καὶ ὑβριστήν". Ὁρᾶς πῶς ἑαυτὸν κακῶς λέγει; Καὶ πάλιν, "Χριστὸς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ". Καὶ πάλιν ἀλλαχοῦ, "Οὐκ εἰμὶ ἱκανός", φησί, "καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ".

9. Εἶδες πῶς πανταχοῦ ἑαυτὸν κακῶς λέγει; Οἶδε γὰρ τῆς κατηγορίας ταύτης τὸ κέρδος, ὅτι δικαιοσύνην ἐργάζεται. Ὅταν μὲν οὖν αὐτὸν ἑαυτοῦ κατηγορεῖν δέῃ, ἀφειδῶς κέχρηται τῇ κατηγορίᾳ· ὅταν δὲ καὶ ἑτέρους ἴδῃ τοῖς ἀλλοτρίοις δικάζοντας κακοῖς, ὅρα μεθ᾽ ὅσης αὐτοὺς ἐπιστομίζει τῆς αὐστηρότητος, οὑτωσὶ λέγων· "Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν". Ἐκείνῳ τήρησον τὸ δικαστήριον, τῷ τὰ ἀπόρρητα εἰδότι τῆς διανοίας. Κἂν ἀκριβῶς νομίζῃς εἰδέναι τὰ τοῦ πλησίον, ἔσφαλταί σου ἡ κρίσις. "Τίς γὰρ οἶδε", φησί, "τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ;". Πόσοι τῶν ἀπερριμμένων καὶ εὐτελῶν ἡλίου φαιδρότερον ἐκλάμπειν ἔχου-σι! πόσοι τῶν μεγάλων καὶ περιφανῶν σποδὸς ὄντες καὶ τάφος κεκονιαμένος εὑρεθήσονται!

Ἤκουσας πῶς ὁ Παῦλος ἑαυτὸν κακῶς λέγει, μετὰ σφοδρότητος καὶ ὑπερβολῆς ἁμαρτημάτων, ὧν οὐκ ἔμελλεν εὐθύνας ὑπέχειν, συνεχῶς μεμνημένον; Βλάσφημος γὰρ καὶ διώκτης καὶ ὑβριστὴς πρὸ τοῦ βαπτίσματος ἦν, ἐκεῖνα δὲ τὰ ἁμαρτήματα ἔλυσε τὸ βάπτισμα· ἀλλ᾽ ὅμως αὐτῶν μέμνηται, οὐκ ἐπειδὴ λόγον ἔμελλεν ὑπὲρ αὐτῶν ὑπέχειν, ἀλλ᾽ ἵνα δείξῃ τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, καὶ τίνα ὄντα, οἷον κατεσκεύασεν, ἀπὸ διώκτου ποιήσας ἀπόστολον. Εἰ δὲ ἐκεῖνος τῶν ἀφανισθέντων ἁμαρτημάτων μέμνηται, πολλῷ μᾶλλον ἡμᾶς τῶν μετὰ τὸ βάπτισμα μεμνῆσθαι χρή. Τίς γὰρ ἡμῖν ἀπολογία ἔσται, ἢ ποία συγγνώμη, ὅταν ἐκεῖνος μὲν τῶν ἀνευθύνων μνημονεύῃ συνεχῶς, ἡμεῖς δὲ μηδὲ ὧν μέλλομεν λόγον ὑπέχειν, μηδὲ τούτων ἑαυτοὺς ὑπομιμνήσκωμεν, ἀλλ᾽ ἀφέντες τὰ οἰκεῖα, τὰ ἀλλότρια περιεργαζώμεθα κακά; (Ἄκουσον τὸν Πέτρον λέγοντα· "Ἔξελθε ἀπ᾽ ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι"). Ἄκουσον πῶς καὶ Ματθαῖος τῆς προτέρας ἑαυτοῦ

41. Α΄ Τιμ. 1, 12-13.
42. Α΄ Τιμ. 1, 15
43. Α΄ Κορ. 15, 9.
44. Α΄ [illegible] 4, 5.
45. Α΄ Κορ. 2, 11.
46. Λουκᾶ 5, 8.

πρωτύτερα βλάσφημος καί διώκτης καί ὑβριστής»[41]. Βλέπεις πῶς κακολογεῖ τόν ἑαυτό του; Καί πάλι λέγει· «Ὁ Χριστός ἦρθε στόν κόσμο γιά νά σώσει τούς ἁμαρτωλούς, ἀπό τούς ὁποίους ἐγώ εἶμαι ὁ πρῶτος»[42]. Καί ἀλλοῦ πάλι λέγει ὁ ἴδιος· «Δέν εἶμαι ἱκανός νά ὀνομάζομαι ἀπόστολος, γιατί καταδίωξα τήν Ἐκκλησία τοῦ Θεοῦ»[43].

9. Εἶδες πῶς κακολογεῖ παντοῦ τόν ἑαυτό του; Γιατί γνωρίζει τό κέρδος ἀπ᾽ αὐτήν τήν κατηγορία, ὅτι φέρει τή δικαίωση. Ὅταν λοιπόν χρειάζεται νά κατηγορεῖ ὁ ἴδιος τόν ἑαυτό του, χρησιμοποιεῖ πλούσια τήν κατηγορία. Ὅταν ὅμως δεῖ καί ἄλλους νά κρίνουν τά ξένα σφάλματα, πρόσεχε μέ πόση αὐστηρότητα τούς κλείνει τό στόμα, λέγοντας αὐτά ἐδῶ· «Ἑπομένως μήν κάνετε καμιά κρίση πρίν ἀπό τόν καθορισμένο χρόνο, ὥσπου νά ἔρθει ὁ Κύριος, ὁ ὁποῖος θά φωτίσει αὐτά πού εἶναι κρυμμένα στό σκοτάδι καί θά φανερώσει τίς σκέψεις τῶν καρδιῶν»[44]. Φύλαξε τό δικαστήριο γι᾽ αὐτόν, πού γνωρίζει τά ἀπόρρητα τοῦ νοῦ. Καί ἄν ἀκόμη νομίζεις πώς ξέρεις πολύ καλά τά ἰδιαίτερα τοῦ πλησίον σου, εἶναι λαθεμένη ἡ κρίση του. «Γιατί ποιός ἄλλος ἀπό τούς ἀνθρώπους», λέγει ὁ Παῦλος, «γνωρίζει τά ἰδιαίτερα τοῦ ἀνθρώπου, παρά μόνο ἡ ψυχή τοῦ ἀνθρώπου πού εἶναι μέσα του;»[45]. Πόσοι ἀπ᾽ αὐτούς πού εἶναι παραπεταμένοι καί τιποτένιοι μποροῦν νά λάμπουν πιό λαμπερά ἀπό τόν ἥλιο! Πόσοι ἀπό τούς μεγάλους καί ὀνομαστούς θά βρεθοῦν ὅτι εἶναι στάχτη καί τάφος ἀσπρισμένος ἀπ᾽ ἔξω!

Ἄκουσες πῶς ὁ Παῦλος κακολογεῖ τόν ἑαυτό του, πού μέ δύναμη καί ὑπερβολή θυμόταν συνεχῶς τά ἁμαρτήματά του, γιά τά ὁποῖα δέν ἐπρόκειτο νά λογοδοτήσει; Γιατί πρίν ἀπό τό βάπτισμα ἦταν βλάσφημος καί διώκτης καί ὑβριστής, τό βάπτισμα ὅμως διέλυσε ὅλα αὐτά τά ἁμαρτήματα. Ἀλλ᾽ ὅμως τά θυμᾶται αὐτά, ὄχι γιατί ἐπρόκειτο νά λογοδοτήσει γι᾽ αὐτά, ἀλλά γιά νά δείξει τή φιλανθρωπία τοῦ Θεοῦ καί τί τόν ἔκαμε, ἀπό ἐκεῖνο ἦταν, ἀφοῦ ἀπό διώκτη τόν ἔκαμε ἀπόστολο. Ἐάν ὅμως αὐτός θυμᾶται τά ἁμαρτήματά του πού ἔσβησαν, πολύ περισσότερο πρέπει ἐμεῖς νά θυμόμαστε τά ἁμαρτήματα πού κάναμε μετά τό βάπτισμα. Γιατί, ποιά θά εἶναι ἡ δικαιολογία μας, ἤ ποιά συγγνώμη θά ἐπιτύχουμε, ὅταν αὐτός ἀναφέρει συνέχεια ἐκεῖνα γιά τά ὁποῖα δέ θά δώσει λόγο, ἐνῶ ἐμεῖς οὔτε ἐκεῖνα γιά τά ὁποῖα πρόκειται νά λογοδοτήσουμε, οὔτε αὐτά ὑπενθυμίζουμε στόν ἑαυτό μας, ἀλλ᾽, ἀφοῦ ἀφήσαμε τά δικά μας, ἀσχολούμαστε μέ τά ξένα σφάλματα; (Ἄκουσε τόν Πέτρο πού λέγει· «Ἔβγα ἔξω ἀπό μένα, γιατί εἶμαι ἄνθρωπος ἁμαρτωλός»[46]). Ἄκουσε πῶς καί ὁ Ματθαῖος κατηγορεῖ τήν προηγούμενη ζωή του καί ὀνομάζει τόν ἑαυτό του

κατηγορεῖ ζωῆς, καὶ τελώνην ἑαυτὸν καλεῖ, καὶ οὐδὲ αἰσχύνεται τὸν πρότερον ἐκπομπεύων βίον. Ἐπειδὴ γὰρ οὐδὲν εἶχον κατηγορεῖν ἑαυτῶν μετὰ τὸ βάπτισμα, τῶν προτέρων ἐμέμνηντο, παιδεύοντες ἡμᾶς τῶν μὲν ἀλλοτρίων κακῶν 5 μηδένα ποιεῖσθαι λόγον, τὰ δὲ οἰκεῖα μεριμνᾶν καὶ συνεχῶς ἀναστρέφειν.

Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν οὐδὲν ἕτερον φάρμακον τοιοῦτον πρὸς τὴν τῶν ἁμαρτημάτων ἀναίρεσιν, ὡς ἡσυνεχὴς αὐτῶν ἀνάμνησις, καὶ ἡ διηνεκὴς αὐτῶν κατηγορία. Οὕτως ὁ τελώνης 10 τὰ μυρία ἠδυνήθη κακὰ ἀποθέσθαι, ἵνα εἴπῃ· "Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ"· οὕτως ὁ Φαρισαῖος τῆς δικαιοσύνης ἁπάσης ἐξέπεσεν, ὅτι ἀφεὶς λογίζεσθαι τὰ αὐτῷ πεπλημμελημένα, τὴν οἰκουμένην κατεδίκαζε, λέγων· "Οὐκ εἰμὶ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες καὶ πλεονέκται, 15 οὐδὲ ὡς οὗτος ὁ τελώνης". Διὰ τοῦτο καὶ ὁ Παῦλος παρῄνει λέγων· "Ἕκαστος δὲ δοκιμαζέτω τὸ ἑαυτοῦ ἔργον, καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον". Βούλει μαθεῖν καὶ ἐν τῇ Παλαιᾷ πῶς οἱ δίκαιοι κατηγόρησαν ἑαυτῶν; Ἄκουε καὶ τούτων ἐκείνοις συνῳδὰ φθεγγομένων. Ὁ μὲν γὰρ 20 Δαυῒδ ἔλεγεν· "Αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου· ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ". Ὁ δὲ Ἠσαΐας ἐβόα· "Οἴμοι ὁ τάλας ἐγώ, ὅτι ἄνθρωπος ὢν καὶ ἀκάθαρτα χείλη ἔχων".

Καὶ οἱ τρεῖς παῖδες ἐν καμίνῳ διατρίβοντες, καὶ τὰ 25 σώματα θανάτῳ διὰ τὸν Θεὸν παραδόντες, ἐν τοῖς ἐσχάτοις τῶν ἁμαρτωλῶν ἑαυτοὺς ἠρίθμουν, "Ἡμάρτομεν, ἠνομήσαμεν" λέγοντες· καίτοι τί λαμπρότερον ἐκείνων, τί καθαρώτερον ἦν; Καὶ γὰρ εἰ καί τινας ἦσαν ἁμαρτίας πεποιηκότες, πάσας ἀπέσμηξε τῆς φλογὸς ἐκείνης ἡ φύσις. Ἀλλ' οὐ πρὸς 30 τὰ κατορθώματα ἑώρων τὰ οἰκεῖα, ἀλλὰ τὰ ἁμαρτήματα ἀνελογίζοντο. Οὕτω καὶ Δανιὴλ μετὰ τὸν λάκκον τῶν λεόντων, μετὰ τὰς μυρίας τιμωρίας, ἃς ὑπέμεινε, καὶ αὐτὸς ἑαυτοῦ κατηγόρει, τοῦ δὲ πλησίον οὐδείς. Τί δή ποτε; Ὅτι ὁ μὲν ἑτέρους λέγων κακῶς, παροξύνει τὸν Δεσπότην, ὁ δὲ ἑαυτὸν 35 λέγων κακῶς, ἐξιλεοῖ καὶ καταλλάττει· καὶ τὸν δίκαιον δικαιό-

τελώνη, καί δέν ντρέπεται νά διασύρει τήν προηγούμενη ζωή του[47]. Ἀφοῦ λοιπόν δέν εἶχαν γιά τίποτε νά κατηγορήσουν τόν ἑαυτό τους μετά τό βάπτισμα, θυμοῦνταν τά προηγούμενα ἁμαρτήματά τους, διδάσκοντας ἐμᾶς νά μή μιλᾶμε καθόλου γιά τά σφάλματα τῶν ἄλλων, ἀλλά νά φροντίζουμε καί νά ἀσχολούμαστε συνέχεια μέ τά δικά μας.

Δέν ὑπάρχει λοιπόν, δέν ὑπάρχει κανένα ἄλλο φάρμακο τέτοιο γιά τήν κατάργηση τῶν ἁμαρτημάτων, ὅπως ἡ διαρκής ἀνάμνησή τους καί ἡ παντοτινή κατηγορία τους. Ἔτσι ὁ τελώνης μπόρεσε νά διώξει τά ἄπειρα παραπτώματά του, γιά νά πεῖ· «Θεέ μου, ἐλέησέ με τόν ἁμαρτωλό»[48]. Ἔτσι ὁ Φαρισαῖος ἔχασε ὅλη τή δικαίωση, γιατί, ἐνῶ σταμάτησε νά σκέπτεται τά δικά του ἁμαρτήματα, καταδίκαζε ὅλους τούς ἀνθρώπους, λέγοντας· «Δέν εἶμαι σάν τούς ἄλλους ἀνθρώπους πού εἶναι ἅρπαγες καί πλεονέκτες, οὔτε σάν αὐτόν τόν τελώνη»[49]. Γι' αὐτό καί ὁ Παῦλος συμβούλευε λέγοντας· «Ὁ καθένας ἄς ἐξετάζει καλά τά ἔργα του, καί τότε θά ἔχει λόγο γιά καύχηση, ἀποβλέποντας μόνο στόν ἑαυτό του, καί ὄχι στόν ἄλλο»[50]. Θέλεις νά μάθεις καί στήν Παλαιά Διαθήκη πῶς οἱ δίκαιοι κατηγοροῦσαν τόν ἑαυτό τους. Ἄκου καί αὐτούς πού λέγουν τά ἴδια μ' ἐκείνους. Γιατί ὁ Δαυίδ ἔλεγε· «Οἱ ἁμαρτίες μου ἀνέβηκαν ἐπάνω ἀπό τό κεφάλι μου· βάρυναν ἐπάνω μου σάν βαρύ φορτίο»[51]. Καί ὁ Ἠσαΐας φώναξε· «Ἀλλοίμονο ἐγώ ὁ δυστυχισμένος, γιατί εἶμαι ἄνθρωπος καί ἔχω ἀκάθαρτα χείλη»[52].

Καί οἱ τρεῖς νέοι πού βρίσκονταν μέσα στό καμίνι καί παρέδωσαν τά σώματά τους στό θάνατο γιά τό Θεό, ἀριθμοῦσαν τόν ἑαυτό τους ἀνάμεσα στούς τελευταίους ἁμαρτωλούς, λέγοντας· «Ἁμαρτήσαμε, κάνεμε ἀνομίες»[53]. Καί ὅμως τί ἦταν πιό λαμπρό καί πιό καθαρό ἀπ' αὐτούς; Γιατί πραγματικά, ἄν καί εἶχαν κάμει κάποιες ἁμαρτίες, τίς καθάρισε ὅλες ἡ φλόγα τῆς φωτιᾶς ἐκείνης. Ὅμως δέν ἔβλεπαν πρός τά δικά τους κατορθώματα, ἀλλά ἀναλογίζονταν τά ἁμαρτήματά τους. Ἔτσι καί ὁ Δανιήλ ὕστερα ἀπό τό λάκκο μέ τά λιοντάρια, ὕστερα ἀπό τίς ἄπειρες τιμωρίες πού ὑπέφερε, καί αὐτός κατηγοροῦσε τόν ἑαυτό του, ἐνῶ κανείς δέν κατηγοροῦσε τόν πλησίον του. Τί συμβαίνει λοιπόν; Γιατί αὐτός πού κακολογεῖ τούς ἄλλους, ἐξοργίζει τόν Κύριο. Αὐτός ὅμως πού κακολογεῖ τόν ἑαυτό του, τόν ἐξευμενίζει καί τόν συμφιλιώνει μαζί του, καί τό δίκαιο τόν κάνει περισσότερο δίκαιο, καί

47. Ματθ. 10, 3.
48. Λουκᾶ 18, 13.
49. Λουκᾶ 18, 11.
50. Γαλ. 6, 4.
51. Ψαλμ. 37, 5.
52. Ἠσ. 6, 5.
53. Δαν. 3, 20.

τερον ἀπεργάζεται, καὶ τὸν ἁμαρτωλὸν ἐξαρπάζει τῶν ἐγκλημάτων καὶ συγγνώμης ἄξιον ποιεῖ.

Ταῦτ' οὖν εἰδότες, μὴ τὰ ἀλλότρια, ἀλλὰ οἰκεῖα πολυπραγμονῶμεν κακά· ἀναπτύξωμεν ἡμῶν τὸ συνειδός, ἀναμνησθῶμεν ἡμῶν τὴν ζωὴν ἅπασαν, ἕκαστον τῶν ἡμαρτημένων ἡμῖν περιεργασώμεθα, καὶ μὴ μόνον μὴ λέγωμεν κακῶς ἑτέρους, ἀλλὰ μηδὲ ἀκούωμεν ἑτέρων λεγόντων κακῶς. Καὶ γὰρ καὶ τούτου ἔγκλημα κεῖται καὶ τιμωρία μεγίστη· "Ἀκοὴν" γάρ, φησί, "ματαίαν μὴ παραδέξῃ". Οὐκ εἶπεν, Ἀκοῇ ματαίᾳ μὴ πιστεύσῃς, ἀλλά, Μηδὲ δέξῃ αὐτήν· ἀπόφραξον τὰ ὦτα, ἀποτείχισον τῇ κατηγορίᾳ τὴν εἴσοδον, δεῖξον ὅτι τοῦ κατηγορουμένου οὐκ ἔλαττον αὐτὸς ὁ ἀκούων ἐχθρὸς εἶ καὶ πολέμιος τῷ κακῶς λέγοντι. Μίμησαι τὸν προφήτην οὕτω λέγοντα· "Τὸν καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον". Οὐκ εἶπεν, ὅτι Οὐκ ἐπίστευον, οὐδὲ ὅτι Οὐ παρεδεχόμην τὰ λεγόμενα, ἀλλὰ καὶ ἀπήλαυνον, ὡς ἐχθρὸν καὶ πολέμιον.

10. Ἀλλ' εἰσί τινες, οἳ ψυχρᾷ παραμυθίᾳ ἑαυτοὺς παραμυθοῦνται, οὑτωσὶ λέγοντες· Κύριε, μὴ στήσῃς μοι τὴν ἁμαρτίαν ταύτην, ὅτι ἀκοῆς λόγον ὀφείλω. Τίς χρεία τῆς ἀπολογίας; τίς χρεία τῆς συγγνώμης ταύτης; Σίγησον, καὶ ἀπήλλαξαι τῶν ἐγκλημάτων· μηδὲν εἴπῃς, καὶ καθαρὸς εἶ τῆς ἀγωνίας. Τί σαυτῷ πράγματα πλέκεις, καὶ παρὰ Θεῷ, καὶ παρὰ ἀνθρώποις; Τί ποιεῖς ὑπεύθυνον ἑαυτὸν ἐγκλημάτων; τί τὸ φορτίον βαρύτερον δεσμεῖς; Οὐκ ἀρκεῖ σοι περὶ τῶν οἰκείων κακῶν εὐθύνας ὑποσχεῖν, ἀλλὰ καὶ ἑτέρας ἁμαρτίας ἐπισωρεύεις σαυτῷ; Περιττὴ αὕτη ἡ ἀπολογία· οὐκ ἀκοῆς λόγον ὀφείλεις, ἀλλὰ κατηγορίας λόγον χρεωστεῖς. Ὅταν γὰρ ἀκούσας, οὐ σιγήσῃς, οὐ τῆς ἀκοῆς λόγον μόνο ὀφείλεις, ἀλλὰ καὶ κατηγορίας. "Ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ", φησί, "καὶ ἐκ τῶν λόγων σου κατακριθήσῃ".

Ταῦτα οὐχ ὑπὲρ τῶν κακῶς ἀκουόντων, ἀλλ' ὑπὲρ τῶν κακῶς λεγόντων δεδοικὼς λέγω καὶ διαμαρτύρομαι. Ὁ μὲν γὰρ κακῶς ἀκούσας, οὐδὲν ἐπηρέασται, οὐδὲ ἐβλάβη· ἀλλ' ἂν μὲν ψευδῆ ᾖ τὰ περὶ αὐτοῦ λεγόμενα, καὶ μισθὸν ἔχει, ἃ δὲ

τόν ἁμαρτωλό τόν σώζει ἀπό τίς ἁμαρτίες του καί τόν κάνει ἄξιο γιά συγχώρηση.

Γνωρίζοντας λοιπόν αὐτά, ἄς μήν ἀσχολούμαστε μέ τά ξένα ἁμαρτήματα, ἀλλά μέ τά δικά μας. Ἄς ἀνοίξουμε τή συνείδησή μας, ἄς θυμηθοῦμε ὅλη μας τή ζωή, ἄς ἐξετάσουμε καλά κάθε σφάλμα μας, καί ἄς μήν κακολογοῦμε μόνο τούς ἄλλους, ἀλλ' οὔτε ν' ἀκοῦμε ἄλλους νά κακολογοῦν. Γιατί καί γι' αὐτό ὑπάρχει κατηγορία καί πολύ μεγάλη τιμωρία, ἀφοῦ λέγει ἡ Γραφή· «Νά μή δεχθεῖς ν' ἀκούσεις κάτι πού εἶναι ἄσκοπο»[54]. Δέν εἶπε, 'Νά μήν πιστέψεις σέ κάτι τό ἄσκοπο', ἀλλά, «Νά μή τό δεχθεῖς αὐτό»· κλεῖσε τά αὐτιά σου, φράξε τήν εἴσοδο στήν κατηγορία, ἀπόδειξε ὅτι αὐτός πού ἀκούει δέν εἶναι λιγότερο ἐχθρός καί πολέμιος σ' ἐκεῖνον πού κακολογεῖ ἀπό τόν κατηγορούμενο. Νά μιμηθεῖς τόν προφήτη πού λέγει αὐτά· «Ἐκεῖνον πού κακολογοῦσε κρυφά τόν πλησίον του, αὐτόν τόν ἔδιωχνα»[55]. Δέν εἶπε, ὅτι 'Δέν τόν πίστευα', οὔτε ὅτι 'Δέν παραδεχόμουν τά λόγια του', ἀλλά «καί τόν ἔδιωχνα», σάν νά ἦταν ἐχθρός καί ἀντίπαλος.

10. Ὑπάρχουν ὅμως μερικοί, οἱ ὁποῖοι παρηγοροῦν τόν ἑαυτό τους μέ ἀνόητη παρηγοριά, λέγοντας αὐτά ἐδῶ· 'Κύριε, μή λογαριάσεις αὐτήν τήν ἁμαρτία μου, γιατί ὀφείλω δικαιολογία γι' αὐτό πού ἄκουσα'. Γιατί χρειάζεται αὐτή ἡ δικαιολογία; γιατί χρειάζεται αὐτή ἡ συγχώρηση; Σιώπησε, καί θ' ἀπαλλαχθεῖς ἀπό τίς κατηγορίες· νά μήν πεῖς τίποτε, καί εἶσαι καθαρός ἀπό τήν ἀγωνία. Γιατί δημιουργεῖς δυσκολίες στόν ἑαυτό σου, καί μπροστά στό Θεό καί μπροστά στούς ἀνθρώπους; Γιατί κάνεις τόν ἑαυτό σου ἔνοχο γιά τέτοιες κατηγορίες; γιατί δένεις πιό βαρύ τό φορτίο; Δέ σοῦ φθάνει πού θά λογοδοτήσεις γιά τά δικά σου παραπτώματα, ἀλλά μαζεύεις ἐπάνω σου καί ἄλλες ἁμαρτίες; Εἶναι ἄχρηστη αὐτή ἡ ἀπολογία. Δέν ὀφείλεις λόγο γι' αὐτό πού ἄκουσες, ἀλλά χρεωστᾶς λόγο γι' αὐτήν τήν κατηγορία. Γιατί ὅταν ἀκούσεις καί δέ σιωπήσεις, δέν ὀφείλεις τό λόγο μόνο γι' αὐτό πού ἄκουσες, ἀλλά καί γιά τήν κατηγορία. «Γιατί ἀπό τά καλά σου λόγια θά δικαιωθεῖς», λέγει ὁ Χριστός, «καί ἀπό τά κακά λόγια σου θά καταδικασθεῖς»[56].

Αὐτά τά λέγω καί τά φωνάζω ὄχι γιατί φοβᾶμαι γι' αὐτούς πού κακολογοῦνται, ἀλλά γι' αὐτούς πού κακολογοῦν. Γιατί αὐτός πού κακολογεῖται, δέν ἀπειλήθηκε καθόλου, οὔτε ζημιώθηκε, ἀλλ' ἐάν εἶναι ψέματα αὐτά πού λέγονται γι' αὐτόν, ἔχει καί μισθό, ἐάν ὅμως

54. Ἐξ. 23, 1. 55. Ψαλμ. 100, 5. 56. Ματθ. 12, 37.

ἀληθῆ, οὐδὲν οὐδὲ οὕτως ἐπηρέασται παρὰ τὴν σὴν κατηγορίαν. Οὐδὲ γὰρ ἀπὸ τῆς σῆς λοιδορίας οἴσει τότε τὴν ψῆφον αὐτῷ ὁ δικάζων. Εἰ δὲ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, καὶ τὰ μέγιστα κερδανεῖ γενναίως φέρων τὴν βλασφημίαν, ὥσπερ οὖν καὶ ὁ τελώνης· ὁ δὲ κακῶς λέγων, ἄν τε ἀληθῆ κακῶς εἴπῃ τὸν πλησίον, τὰ μέγιστα ἠδίκηται. Καὶ ὅτι μὲν ὁ συκοφαντῶν ἀπόλωλεν, οὐδὲ ἀποδείξεως χρεία· ὅτι δέ, κἂν ἀληθῆ λέγῃ, φορτικώτερον ἑαυτῷ ποιεῖ τὸ δικαστήριον, ἐκπομπεύων τὰς τοῦ πλησίον συμφοράς, καὶ σκανδάλων αἴτιος γινόμενος, ἃ κρύπτειν δέον, ἐκκαλύπτων ἅπασι, καὶ κηρύττων τὰ ἁμαρτήματα τοῦ πλησίον, παντί που δῆλόν ἐστιν. Εἰ γὰρ ἕνα τις σκανδαλίσας, ἀπαραίτητον δώσει τιμωρίαν, ὁ μυρίους σκανδαλίζων διὰ τῆς πονηρᾶς φήμης, πόσην οὐχ ὑποστήσεται κόλασιν; Καὶ γὰρ ὁ Φαρισαῖος οὐκ ἐψεύδετο, ἀλλ' ἀληθῆ ἔλεγε, τελώνην καλῶν τὸν τελώνην, ἀλλ' ὅμως δίκην ἔδωκε.

Ταῦτ' οὖν εἰδότες, ἀγαπητοί, φεύγωμεν τὸ κατηγορεῖν. Οὔτε γὰρ ταύτης χαλεπωτέρα, οὔτε εὐκολωτέρα ἐστὶν ἁμαρτία. Τίνος ἕνεκεν; Ὅτι πάσης παρανομίας ὀξύτερον δρᾶται, καὶ ταχέως συναρπάζει τὸν μὴ προσέχοντα. Αἱ μὲν γὰρ ἄλλαι ἁμαρτίαι καὶ χρόνου δέονται, καὶ δαπάνης, καὶ μελλήσεως, καὶ συνεργῶν, καὶ πολλάκις ἐν τῇ τοῦ χρόνου διατριβῇ διακόπτονται. Οἷόν τι λέγω· Εἵλετό τις φονεῦσαι, εἵλετό τις ἁρπάσαι καὶ πλεονεκτῆσαι· πολλῆς αὐτῷ δεῖ τῆς πραγματείας, καὶ ἐν τῷ μέλλειν πολλάκις ἐξέλυσε τὸν θυμόν, ἀπέστη τῆς πονηρᾶς ὁρμῆς, κατέλυσε τὴν διεφθαρμένην γνώμην, οὐ προσέθηκε τὸ ἔργον τῇ βουλῇ· ἐπὶ δὲ τοῦ κακῶς λέγειν οὐχ οὕτως, ἀλλ' ἐὰν μὴ σφόδρα ὦμεν νήφοντες, συναρπαζόμεθα ῥᾳδίως· καὶ οὔτε χρόνου, οὔτε μελλήσεως, οὔτε δαπάνης, οὔτε πραγματείας ἡμῖν δεῖ τινος, ὥστε κακῶς εἰπεῖν· ἀλλ' ἀρκεῖ μόνον ἑλέσθαι, καὶ εὐθέως εἰς ἔργον ἐξῆλθε τὸ βούλημα. Γλῶσσα γάρ ἐστιν ἡ ὑπηρετουμένη μόνον. Ἐπεὶ οὖν καὶ ὀξύῤῥοπον τὸ κακόν, καὶ εὐπερίστατος ἡ ἁμαρτία, καὶ χαλεπὴ ἡ κόλασις καὶ ἡ τιμωρία, καὶ κέρδος οὐδέν, οὐ μικρόν, οὐ μέγα, μετὰ πολλῆς τῆς ἀκριβείας φεύγωμεν τὸ νόσημα, καὶ τὰ ἀλλότρια περιστέλλωμεν κακά, καὶ μὴ ἐκπομπεύωμεν· παραι-

57. Βλ. Λουκᾶ 18, 9-14.

εἶναι ἀλήθεια, οὔτε ἔτσι δέν ἔχει ἀπειληθεῖ καθόλου ἀπό τή δική σου κατηγορία. Οὔτε βέβαια αὐτός πού τόν δικάζει τότε θά βγάλει τήν ἀπόφασή του ἀπό τή δική σου κακολογία. Ἐάν ὅμως πρέπει νά πῶ καί κάτι παράξενο, θά κερδίσει πάρα πολλά, ἐάν ὑποφέρει μέ γενναιότητα τή βλασφημία, ὅπως ἀκριβῶς καί ὁ τελώνης. Ἐκεῖνος ὅμως πού κακολογεῖ καί ἄν ἀκόμη πεῖ τήν ἀλήθεια κακολογώντας τόν πλησίον του, ἔχει κάμει μεγάλη ἀδικία. Καί ὅτι βέβαια ὁ συκοφάντης θά χαθεῖ, δέ χρειάζεται ἀπόδειξη. Ὅτι ὅμως, καί ἄν ἀκόμη λέγει τήν ἀλήθεια, κάνει τό δικαστήριο χειρότερο γι' αὐτόν, ἐπειδή διασύρει τίς δυστυχίες τοῦ πλησίον καί γίνεταί αἴτιος γιά σκάνδαλα, τά ὁποῖα, ἐνῶ ἔπρεπε νά κρύβει, τά φανερώνει σ' ὅλους, καί διαλαλεῖ τά ἁμαρτήματα τοῦ πλησίον, εἶναι κατά κάποιο τρόπο γνωστό στόν καθένα. Γιατί, ἐάν θά τιμωρηθεῖ ὁπωσδήποτε κάποιος, ὅταν σκανδαλίσει ἕναν ἄνθρωπο, αὐτός πού σκανδαλίζει πάρα πολλούς μέ τήν κακή φήμη, πόσο θά τιμωρηθεῖ; Πραγματικά ὁ Φαρισαῖος δέν ἔλεγε ψέματα, ἀλλά τήν ἀλήθεια, ὅταν ἔλεγε τελώνη τόν τελώνη, ἀλλ' ὅμως τιμωρήθηκε[57].

Γνωρίζοντας λοιπόν αὐτά, ἀγαπητοί, ἄς ἀποφεύγουμε τήν κατηγορία. Γιατί δέν ὑπάρχει ἁμαρτία οὔτε δυσκολότερη οὔτε εὐκολότερη ἀπ' αὐτή. Γιά ποιό λόγο; Γιατί γίνεται πιό γρήγορα ἀπό κάθε παρανομία, καί γρήγορα παίρνει μαζί της αὐτόν πού δέν προσέχει. Οἱ ἄλλες ἁμαρτίες βέβαια χρειάζονται καί χρόνο καί ἔξοδα καί φροντίδα καί συνεργούς καί πολλές φορές μέ τό πέρασμα τοῦ χρόνου σταματοῦν. Θέλω νά πῶ τό ἑξῆς· Προτίμησε κάποιος νά σκοτώσει, προτίμησε κάποιος νά κλέψει καί ν' ἁρπάξει· ἔχει ἀνάγκη ἀπό πολλή ἐργασία, καί μέ τήν ἀναβολή πολλές φορές σταματάει τό θυμό του, ἀπομακρύνεται ἀπό τήν κακή διάθεση, διαλύει τή διεφθαρμένη σκέψη, δέν προσθέτει στήν ἀπόφαση τό ἔργο. Στήν περίπτωση ὅμως τῆς κακολογίας δέν γίνεται ἔτσι, ἀλλά μᾶς παίρνει εὔκολα μαζί της, ἐάν δέν εἴμαστε πολύ νηφάλιοι· καί δέ μᾶς χρειάζεται οὔτε χρόνος, οὔτε φροντίδα, οὔτε ἔξοδα, οὔτε κάποια κοπιαστική ἐργασία γιά νά κακολογήσουμε, ἀλλά φθάνει μόνο ν' ἀποφασίσουμε καί ἀμέσως ἡ σκέψη βγῆκε καί ἔγινε πράξη. Γιατί μόνο ἡ γλώσσα εἶναι αὐτή πού κάνει τό ἔργο αὐτό. Ἐπειδή λοιπόν εἶναι γρήγορο τό κακό καί εὔκολα μᾶς κυριεύει ἡ ἁμαρτία, καί ἐπειδή ἡ ποινή καί ἡ τιμωρία εἶναι φοβερή, καί τό κέρδος καθόλου, οὔτε μικρό οὔτε μεγάλο, ἄς ἀποφεύγουμε μέ μεγάλη προσοχή τήν ἀσθένεια αὐτή, ἄς καλύψουμε τά ξένα κακά, καί ἄς μή τά διασύρουμε. Ἄς συμβουλεύουμε αὐτούς

νῶμεν τοῖς ἁμαρτάνουσι, καθὼς καὶ ὁΚύριός φησιν· "Ἐὰν ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου".

Ὥστε τὸ ἀδημοσίευτον τῶν ἐλέγχων εὐκολωτέραν ποιήσει
5 *τὴν θεραπείαν. Μὴ δάκνωμεν, μηδὲ κατεσθίωμεν τὰ ἀλλότρια τραύματα· μὴ τὰς μυίας μιμησώμεθα, ἀλλὰ τὰς μελίττας ζηλώσωμεν. Αἱ μυῖαι τοῖς τραύμασιν ἐγκαθέζονται, καὶ δάκνουσιν· αἱ μέλιτται τοῖς ἄνθεσιν ἐφίπτανται. Διὰ τοῦτο αὗται μὲν κηρία πηγνύουσιν, ἐκεῖναι δὲ νοσήματα ἐπάγουσιν, οἷς ἂν*
10 *ἐπικαθεσθῶσι σώμασι· καὶ αἱ μέν εἰσι βδελυκταί, αἱ δὲ ποθειναὶ καὶ ἐπίδοξοι. Καὶ ἡμεῖς τοίνυν τῷ λειμῶνι τῆς ἀρετῆς τῶν ἁγίων ἐπιπτῆναι τὴν ψυχὴν παρασκευάσωμεν, καὶ συνεχῶς τὴν εὐωδίαν τῶν παρ' ἐκείνοις κατορθωμάτων ἀνακινῶμεν, τὰ δὲ τραύματα μὴ δάκνωμεν τῶν πλησίον· ἀλλ' εἰ καί*
15 *τινας ἴδωμεν τοῦτο ποιοῦντας, ἐπιστομίζωμεν, τὸν φόβον αὐτοῖς τῆς κολάσεως ἐπιτειχίζοντες, τῆς συγγενείας αὐτοὺς ἀναμιμνήσκοντες τῆς πρὸς τοὺς ἀδελφούς. Εἰ δὲ μηδενὶ τούτων εἴκοιεν, μυίας αὐτοὺς καλῶμεν, ἵνα κἂν τὸ ὄνειδος τῆς προσηγορίας ταύτης ἀποστήσῃ τῆς πονηρᾶς μελέτης αὐτούς·*
20 *ἵνα τῆς κακοσχολίας ταύτης ἀπαλλαγέντες, πᾶσαν τὴν σχολὴν εἰς τὴν ἔρευναν τῶν οἰκείων ἀναλίσκωσι κακῶν.*

Οὕτω γὰρ οἵ τε πεπτωκότες ἀναστήσονται τῇ μνήμῃ τῶν ἡμαρτημένων αὐτοῖς οὐκ ἐκπομπευομένων, οἵ τε τὰ οἰκεῖα ἀναλογιζόμενοι συνεχῶς κακά, ῥᾳδίως αὐτὰ ἀποθήσονται, τῇ
25 *μνήμῃ τῶν ἡμαρτημένων πρὸς τὴν τῶν λοιπῶν πρᾶξιν ὀκνηρότεροι γινόμενοι, οἵ τε τὴν ἀρετὴν τῶν ἁγίων ἐπισκοποῦντες συνεχῶς, μέγιστον λήψονται ζῆλον πρὸς τὴν τῶν αὐτῶν μίμησιν· καὶ διὰ τούτων ἁπάντων ὁλοκλήρου τοῦ σώματος τῆς Ἐκκλησίας ἡμῖν κατορθωθέντος, δυνησόμεθα μετὰ τοῦ πλη-*
30 *ρώματος τούτου εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εἰσελθεῖν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

35

πού ἁμαρτάνουν, ὅπως καί ὁ Κύριος λέγει· «Ἄν σοῦ φταίξει σέ κάτι ὁ ἀδελφός σου, πήγαινε καί δεῖξε τό φταίξιμό του αὐτό, ὅταν εἶναι αὐτός καί ἐσύ μόνο»[58].

Ἑπομένως ὁ κρυφός ἔλεγχος θά κάμει πιό εὔκολη τή θεραπεία. Ἄς μήν ἐρεθίζουμε, οὔτε νά κατατρώγουμε τά ξένα τραύματα. Ἄς μή μιμηθοῦμε τίς μύγες, ἀλλ' ἄς ζηλέψουμε τίς μέλισσες. Οἱ μύγες κάθονται στά τραύματα καί δαγκώνουν, οἱ μέλισσες πετοῦν ἐπάνω στά λουλούδια. Γι' αὐτό οἱ μέλισσες κάνουν κηρῆθρες, ἐνῶ οἱ μύγες μεταφέρουν ἀρρώστιες, σ' ὅποια σώματα θά καθίσουν· καί αὐτές εἶναι σιχαμερές, ἐνῶ ἐκεῖνες ποθητές καί διάσημες. Καί ἐμεῖς λοιπόν ἄς ἑτοιμάσουμε τήν ψυχή μας γιά νά πετάξει στό λιβάδι τῆς ἀρετῆς τῶν ἁγίων, καί ἄς ἀνακατώνουμε τή μυρωδιά τῶν κατορθωμάτων τους, ἀλλ' ἄς μήν ἐρεθίζουμε τά τραύματα τῶν πλησίον μας. Ἀλλά καί ἄν δοῦμε ὅτι τό κάνουν αὐτό μερικοί, ἄς τούς κλείνουμε τό στόμα, ἀντιτάσσοντας σ' αὐτούς τό φόβο τῆς τιμωρίας καί θυμίζοντας σ' αὐτούς τή συγγένεια μέ τούς ἀδελφούς τους. Ἐάν ὅμως δέ θά ὑποχωρήσουν σέ τίποτε ἀπ' αὐτά, ἄς τούς ὀνομάζουμε μύγες, γιά νά τούς ἀπομακρύνει τουλάχιστο ἡ ντροπή τῆς ὀνομασίας αὐτῆς ἀπό τήν κακή αὐτή συνήθεια, ὥστε, ἀφοῦ ἀπαλλαγοῦν ἀπό τήν κακή αὐτή ἀσχολία, νά ξοδεύουν ὅλη τους τή φροντίδα στήν ἔρευνα τῶν δικῶν τους κακῶν.

Γιατί ἔτσι καί αὐτοί πού ἔχουν πέσει θ' ἀναστηθοῦν μέ τήν ὑπενθύμιση, ἀφοῦ τά ἁμαρτήματά τους δέ διασύρονται, καί αὐτοί πού σκέφτονται συνέχεια τά δικά τους κακά, εὔκολα θά τά ἀπομακρύνουν, ἀφοῦ μέ τήν ὑπενθύμιση τῶν σφαλμάτων τους γίνονται πιό διστακτικοί στή διάπραξη ἄλλων ἁμαρτημάτων, καί αὐτοί πού συνέχεια προσέχουν τήν ἀρετή τῶν ἁγίων, θά ἔχουν μεγάλο ζῆλο γιά νά τούς μιμηθοῦν. Καί μέ ὅλα αὐτά, ἀφοῦ ὁλόκληρο τό σῶμα τῆς Ἐκκλησίας μας θά κατορθώσει τήν ἀρετή, θά μπορέσουμε μαζί μέ ὅλους αὐτούς τούς πιστούς νά μποῦμε στή βασιλεία τῶν οὐρανῶν, τήν ὁποία εἴθε νά τήν ἐπιτύχουμε ὅλοι μας, μέ τή χάρη καί τή φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καί μαζί μέ τόν ὁποῖο ἀνήκει ἡ δόξα στόν Πατέρα καί συγχρόνως καί στό ἅγιο Πνεῦμα τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

---

58. Ματθ. 18, 15.

ΣΥΝΟΨΗ

ΠΑΛΑΙΑΣ ΚΑΙ ΚΑΙΝΗΣ ΔΙΑΘΗΚΗΣ

ΣΥΝΟΨΙΣ
ΤΗΣ ΠΑΛΑΙΑΣ ΤΕ ΚΑΙ ΚΑΙΝΗΣ ΔΙΑΘΗΚΗΣ
ΩΣ ΕΝ ΤΑΞΕΙ ΥΠΟΜΝΗΣΤΙΚΟΥ

ΠΡΟΘΕΩΡΙΑ

Καινὴ λέγεται ἀπὸ τοῦ χρόνου καὶ ἀπὸ τῆς φύσεως τῶν ἐν αὐτῇ γενομένων, ὅτι πάντα ἀνεκαινίσθη, καὶ πρῶτον ἄνθρωπος, δι' ὃν τὰ πάντα. Ἵνα δὲ μή τις λέγῃ· Ὁ οὐρανὸς ὁ αὐτός, ἡ γῆ, καὶ τὸ κυριώτατον ἁπάντων ἄνθρωπος· καὶ καινὸς νόμος
5 *ἐδόθη, καιναὶ ἐντολαί, καινὴ ἡ χάρις διὰ τοῦ λουτροῦ, καινὸς ἄνθρώπος, καιναὶ ἐπαγγελίαι. Οὐκέτι γὰρ γῆ καὶ τὰ ἀπὸ τῆς γῆς· ἀλλ' οὐρανός, καὶ τὰ ἐν οὐρανοῖς. Καινὰ τὰ μυστήρια. Οὐκέτι γὰρ ἐκεῖνα τὰ σωματικά, πρόβατον καὶ αἷμα, καὶ κνίσσα, καὶ κόπρος, ἀλλ' ἡ λογικὴ καὶ ἐνάρετος λατρεία, τὰ*
10 *παραγγέλματα καινά, ξύλον εἰς οὐρανοὺς ἀνάγον καὶ ὑψηλοὺς ἐργαζόμενον. Σκοπὸς δὴ ἑκατέρωθεν τῶν διαθηκῶν εἷς, τῶν ἀνθρώπων ἡ διόρθωσις. Καὶ τί δεῖ θαυμάζειν περὶ τῆς Γραφῆς, ὅπου γε καὶ τῆς κτίσεως αὐτῆς ἡ χρεία διὰ τοῦτον; Καὶ γὰρ οὐρανὸν μέγαν δι' αὐτὸν ἐποίησε, καὶ γῆν εὐθεῖαν,*
15 *καὶ θάλασσαν ὑπὲρ τὴν χρείαν, ἵνα ἀπὸ τοῦ μεγέθους τῶν γενομένων θαυμάσαντες τὸν Δημιουργόν, εἰς θεογνωσίαν ἔλθωσι. Καὶ ταῦτα οὖν διὰ τοῦτον γέγονεν.*

Ἐπεὶ οὖν σκοπὸς εἷς τῆς Παλαιᾶς καὶ τῆς Καινῆς, ἀναγκαῖον εἶναι ἐνόμισεν ὁ Μωϋσῆς καὶ ἱστορίας ἀναγράψαι
20 *παλαιάς· οὐ κατὰ τὴν ἔξωθεν ἀκολουθίαν· ἐκεῖνοι μὲν γὰρ*

ΠΕΡΙΛΗΨΗ ΤΗΣ ΠΑΛΑΙΑΣ ΚΑΙ ΤΗΣ ΚΑΙΝΗΣ ΔΙΑΘΗΚΗΣ ΥΠΟ ΜΟΡΦΗ ΥΠΟΜΝΗΜΑΤΟΣ

ΠΡΟΛΟΓΟΣ

Καινή Διαθήκη ὀνομάζεται ἀπό τό χρόνο καί ἀπό τή φύση τῶν γεγονότων πού συνέβηκαν σ' αὐτή, γιατί ὅλα ἀνακαινίστηκαν, καί πρῶτα ὁ ἄνθρωπος, γιά τόν ὁποῖο ἔγιναν τά πάντα. Γιά νά μή λέγει λοιπόν κανείς, ''Ο οὐρανός εἶναι ὁ ἴδιος, ὅπως καί ἡ γῆ, καί τό σπουδαιότερο ἀπ' ὅλα ὁ ἄνθρωπος εἶναι ὁ ἴδιος', δόθηκε νέος νόμος, νέες ἐντολές, εἶναι νέα ἡ χάρη πού δίνεται μέ τό βάπτισμα, νέος ὁ ἄνθρωπος, νέες οἱ ὑποσχέσεις. Γιατί δέν εἶναι πιά γῆ καί τά προερχόμενα ἀπό τή γῆ, ἀλλά οὐρανός καί τά συμβαίνοντα στούς οὐρανούς. Νέα τά μυστήρια. Δέν εἶναι πιά ἐκεῖνα τά ὑλικά, δηλαδή πρόβατο καί αἷμα καί κνίσσα καί ἀκαθαρσία, ἀλλ' ἡ λογική καί ἐνάρετη λατρεία, οἱ ἐντολές νέες, ὁ σταυρός πού ἀνεβάζει στούς οὐρανούς καί κάνει ὑψηλούς τούς ἀνθρώπους. Ὁ σκοπός λοιπόν καί ἀπό τίς δύο Διαθῆκες εἶναι ἕνας, ἡ διόρθωση τοῦ ἀνθρώπου. Καί γιατί πρέπει νά θαυμάζουμε γιά τήν ἁγία Γραφή, ἀφοῦ καί ἡ ὠφέλεια τῆς ἴδιας τῆς δημιουργίας εἶναι γιά τόν ἄνθρωπο; Γιατί ἔκανε γι' αὐτόν καί οὐρανό μεγάλο καί γῆ τό ἴδιο καί θάλασσα παραπάνω ἀπό τήν ἀνάγκη του, γιά νά ὁδηγηθοῦν στή θεογνωσία οἱ ἄνθρωποι, ἀφοῦ θαυμάσουν τό Δημιουργό ἀπό τό μέγεθος αὐτῶν πού ἔγιναν. Καί αὐτά λοιπόν ἔγιναν γιά τόν ἄνθρωπο.

Ἐπειδή λοιπόν ἕνας εἶναι ὁ σκοπός τῆς Παλαιᾶς καί τῆς Καινῆς Διαθήκης, θεώρησε ὁ Μωυσῆς ὅτι εἶναι ἀναγκαῖο νά γράψει καί τίς παλιές ἱστορίες, ὄχι κατά τόν τρόπο τῶν ἄλλων ἱστορικῶν, γιατί αὐτοί

ἱστορίας γράφουσιν ἁπλῶς, ὥστε πραγμάτων διηγήσεις ποιεῖσθαι, καὶ πολέμους καὶ μάχας εἰς μέσον ἀγαγεῖν, καὶ καρπώσασθαι δόξαν ἀπὸ τῶν γραμμάτων. Ὁ δὲ νομοθέτης οὐχ οὕτως· ἀλλὰ πάντοτε ἱστορίας ἀναγράφει ἀνδρῶν μεγάλων 5 κατωρθωκότων, ὥστε τοῖς μετὰ ταῦτα τῶν ἐκείνοις βεβιωμένων τὴν διήγησιν γενέσθαι διδασκαλίας ἀγαθῆς ὑπόθεσιν. Διὰ δὴ τοῦτο οὐ μόνον τοὺς κατωρθωκότας εἰς μέσον ἄγει, ἀλλὰ καὶ τοὺς ἡμαρτηκότας, ἵνα τοὺς μὲν ζηλώσωμεν, τοὺς δὲ ἐκφύγωμεν, καὶ ἑκατέρωθεν ὀρθωθῇ τὰ τῆς ἀρετῆς καὶ τὰ τῆς 10 ἐπιμελείας. Μὴ τοίνυν νομιζέτω τις ξένον εἶναι νομοθέτου τὸ παλαιὰς ἱστορίας διηγεῖσθαι καὶ νόμους ἀναγράφειν. Ὅπερ γὰρ ἰσχύει νόμος, τοῦτο καὶ ἡ διήγησις τοῦ βίου τῶν ἁγίων.

Τῷ δὲ Ἰούδα ἐτέχθησαν Ἤρ, Αὐνᾶν, καὶ Σηλών. Ἀποθανόντος δὲ τοῦ Ἤρ, τὴν γυναῖκα αὐτοῦ τὴν Θάμαρ ἔλαβεν ὁ ἀδελφὸς αὐτοῦ Αὐνᾶν· καὶ οὐκ ἐβούλετο ἀναστῆσαι σπέρμα 15 *τῷ ἀδελφῷ αὐτοῦ. Ὡς δὲ καὶ οὗτος ἀπέθανεν, οὐκέτι ἤθελε τῷ τρίτῳ Σηλὼν δοῦναι γυναῖκα τὴν Θάμαρ ὁ Ἰούδας. Ἡ δὲ Θάμαρ κοσμησαμένη ἐκάθισεν ὡς πόρνη παρὰ τὴν ὁδόν. Καὶ νομίσας αὐτὴν ἀληθῶς πόρνην εἶναι Ἰούδας (ἐκεκάλυπτο γὰρ τὸ πρόσωπον), εἰσῆλθε πρὸς αὐτήν, καὶ ἔδωκεν αὐτῇ* 20 *ἀῤῥαβῶνα, ὁρμίσκον καὶ δακτύλιον καὶ ῥάβδον. Ὡς δὲ ἀπηγγέλθη μετὰ ταῦτα, ὅτι κύει Θάμαρ, ἐκέλευσεν αὐτὴν κατακαυθῆναι ὁ πενθερὸς Ἰούδας. Ἡ δὲ ἀπέστειλε λέγουσα, ἐκ τοῦ ἀνδρὸς συνειληφέναι, οὗ ὁ δάκτυλός ἐστι. Τότε φησὶν Ἰούδας· "Δεδικαίωται Θάμαρ ἢ ἐγώ". Ὡς δὲ ἔτικτε, προεξή-* 25 *νεγκε τὴν χεῖρα ὁ Ζαρά, εἶτα συνέστειλε, καὶ ἐξῆλθεν ὁ Φαρές, καὶ τότε ὁ Ζαρά. Ταῦτα δὲ οὕτως ἀλληγορεῖται. Προεξήνεγκε, φησίν, ὁ πρῶτος λαός, οἱ πρὸ τοῦ νόμου δίκαιοι, τὴν χεῖρα, τουτέστι, τὴν ἐνάρετον πολιτείαν καὶ ἀγγελικήν. Εἶτα ἐν μέσῳ παρενεβλήθη νόμος· μετὰ δὲ ταῦτα πάλιν ἀνεκλήθη ἐκεῖνος ὁ* 30 *πρότερος βίος, διὰ τῆς κατὰ Χριστὸν πολιτείας ἐπὶ τὸ τελειότερον παραχθείς.*

Ἠγόρασε τὸν Ἰωσὴφ ὁ ἀρχιμάγειρος Φαραὼ ὁ Πεντεφρής· ἐνεχείρισε τὰ κατὰ τὴν οἰκίαν. Οὐκ εἶξε τῇ δεσποίνῃ παρανομεῖν κελευούσῃ ἐκεῖνος. Ἐσυκοφαντήθη, ἐνεβλήθη εἰς τὸ 35 *δεσμωτήριον· ἦν ἄρχων κἀκεῖ, διέκρινε τῷ ἀρχιοινοχόῳ καὶ τῷ*

---

12. Ἡ παλλακίδα (= ἐρωμένη) ἦταν συνήθως αἰχμάλωτη ἢ ἀργυρώνυτη δούλη καί διακρινόταν καί ἀπό τή νόμιμη σύζυγο καί ἀπό τήν πόρνη.

Βάλλα, τήν παλλακίδα[12] τοῦ πατέρα του. Τότε πέθανε ὁ Ἰσαάκ καί τόν ἔθαψαν ὁ Ἠσαῦ καί ὁ Ἰακώβ. Ἀναφέρονται οἱ ἀπόγονοι τοῦ Ἠσαῦ, ὅπου ἀποδείχνεται ὅτι ὁ Ἰώβ ἦταν ἀπ' αὐτούς καί ὀνομάζεται ἐδῶ Ἰωβάβ. Φθονοῦν οἱ ἀδελφοί του τόν Ἰωσήφ ἀπό τά ὄνειρά του καί γιατί τόν ἀγαποῦσε πιό πολύ ὁ πατέρας τους. Καί ὅταν τόν βρῆκαν μόνο του ἤθελαν νά τόν σκοτώσουν. Ὅταν τούς συμβούλεψε ὁ Ρουβήμ νά τόν ρίξουν σέ λάκκο (γιατί ἤθελε μετά νά τόν γλυτώσει ἀπό τό θάνατο), ἀφοῦ τόν ἔριξαν, ὕστερα τόν πούλησαν στούς Μαδιανίτες, ἔπειτα ἀπό σχετική πρόταση τοῦ Ἰούδα. Ἀφοῦ ἔβαψαν μέ αἷμα τό χιτώνα τοῦ Ἰωσήφ, τόν ἔδειξαν στόν πατέρα τους. Καί αὐτός πού νόμισε πώς τόν ἔφαγαν ἄγρια θηρία, ἔκλαιγε πικρά.

Ἀπό τόν Ἰούδα γεννήθηκαν ὁ Ἤρ, ὁ Αὐνάν καί ὁ Σηλών. Ὅταν πέθανε ὁ Ἤρ, τή γυναίκα του Θάμαρ τήν πῆρε ὁ ἀδελφός του Αὐνάν καί δέν ἤθελε νά δώσει ἀπόγονο στόν ἀδελφό του. Μόλις ὅμως πέθανε καί αὐτός, δέν ἤθελε πιά ὁ Ἰούδας νά δώσει τή Θάμαρ γυναίκα στόν τρίτο υἱό του Σηλώμ. Ἡ Θάμαρ ἀφοῦ στολίστηκε κάθισε σάν πόρνη κοντά στό δρόμο. Καί ἐπειδή ὁ Ἰούδας νόμισε πώς εἶναι πράγματι πόρνη (γιατί εἶχε κρύψει τό πρόσωπό της), τήν ἐπισκέφθηκε καί ἔδωσε σ' αὐτήν ἐγγύηση, τήν ἁλυσίδα πού φοροῦσε στό λαιμό, τό δαχτυλίδι καί τό ραβδί του. Ὅταν ὅμως πληροφορήθηκε ὕστερα ἀπ' αὐτά, ὅτι ἡ Θάμαρ ἔμεινε ἔγκυος, διέταξε ὁ πεθερός της Ἰούδας νά τήν κάψουν. Αὐτή ὅμως ἔστειλε σ' αὐτόν τά ἐνέχυρα λέγοντας, ὅτι ἔχει συλλάβει ἀπό τόν ἄνδρα, στόν ὁποῖο ἀνήκει τό δαχτυλίδι. Τότε λέγει ὁ Ἰούδας· «Ἔχει δίκαιο ἡ Θάμαρ καί ὄχι ἐγώ»[13]. Ὅταν γεννοῦσε, ἔβγαλε ἔξω τό χέρι του ὁ Ζαρά, ἔπειτα τό συμμάζεψε, καί βγῆκε πρῶτα ὁ Φαρές καί μετά ὁ Ζαρά. Αὐτά ὅμως λέγονται ἔτσι μέ ἀλληγορική ἔννοια. Ἔβγαλε πρῶτα, λέγει, ὁ πρῶτος λαός, οἱ δίκαιοι πρίν ἀπό τό νόμο, τό χέρι του, δηλαδή τήν ἐνάρετη καί ἀγγελική πολιτεία. Ἔπειτα μπῆκε στή μέση ὁ νόμος. Ὕστερα ὅμως ἀπ' αὐτά πάλι ἐπανῆλθε ἐκείνη ἡ προηγούμενη ζωή, ἀφοῦ ἔγινε πιό τέλεια μέ τή συμπεριφορά πού εἶναι σύμφωνη μέ τό Χριστό.

Ἀγόρασε τόν Ἰωσήφ ὁ ἀρχιμάγειρος τοῦ Φαραώ Πετεφρής καί τοῦ ἀνέθεσε ὅλα ὅσα εἶχε τό σπίτι του. Δέν ἐπέτρεψε ἐκεῖνος στήν κυρία του νά παρανομήσει πού τόν διέταζε γι' αὐτό. Συκοφαντήθηκε, ρίχθηκε στή φυλακή. Ἦταν ἄρχοντας καί ἐκεῖ, ἐξήγησε στόν ἀρχικεραστή καί στόν ἀρχιμάγειρο τά ὄνειρα. Ἔγινε ὅπως εἶπε ὁ

---

13. Γεν. 38, 26.

ἀρχισιτοποιῷ τὰ ἐνύπνια. Ἐξέβη καθὼς εἶπε· καὶ ὁ μὲν ἀνηρέθη, ὁ δὲ εἰς τὴν προτέραν ἐπανῆλθε τιμήν. Εἶδε Φαραὼ τὰ ἐνύπνια τῶν βοῶν, τῶν σταχύων· δι' ὧν ἐδηλοῦτο ἡ εὐθηνία, καὶ ὁ διαδεξάμενος αὐτὴν λιμός. Ἐξηνέχθη Ἰωσὴφ τοῦ
5 δεσμωτηρίου, ἵνα ἐπιλύσῃ· ἐμήνυσε γὰρ ὁ ἀρχιοινοχόος. Ἐπέλυσεν, ἔδωκε καὶ γνώμην τὴν τὸν λιμὸν παραμυθησομένην. Γίνεται μετὰ τὸν Φαραώ, καὶ συναγαγὼν σῖτον πολὺν ἐν τοῖς ἑπτὰ ἔτεσι τῆς εὐθηνίας, ὅτε ὁ λιμὸς ἐπέστη, ἐπώλει τοῖς βουλομένοις. Ἦλθον καὶ οἱ ἀδελφοὶ αὐτοῦ πρίασθαι. Ὡς
10 δὲ οὐκ εἶδε μετ' αὐτῶν τὸν Βενιαμίν, δεδοικὼς μὴ καὶ αὐτὸν ἀπώλεσαν, αἰτιᾶται ὡς κατασκόπους τῆς γῆς, καὶ τοῦ ἐγκλήματος οὐκ εἶναι ἑτέραν λύσιν, πλὴν εἰ μὴ τὸν ἀδελφὸν τὸν νεώτερον τὸν Βενιαμὶν καταγαγόντες εἰς Αἴγυπτον ἐπιδεῖξαι δυνηθεῖεν.

15 Λαβὼν δὲ τὸν Συμεὼν ἀπ' αὐτῶν καὶ δήσας, τοὺς λοιποὺς ἐξέπεμψε, τόν τε σῖτον δοὺς καὶ τὸ ἀργύριον. Ὡς δὲ εἶδον τὸ ἀργύριον ἐν τῷ κενοῦν τοὺς μαρσίππους, ἐταράχθησαν τῷ παραδόξῳ, καὶ τὸν Βενιαμὶν ᾔτουν παρὰ τοῦ πατρὸς λαβεῖν, τὰ γεγονότα ἀπαγγέλλοντες ἅπαντα. Ὁ δὲ ἀντείχετο τοῦ
20 παιδίου. Ὡς δὲ ἐπεκράτησεν ὁ λιμός, καὶ Ἰούδας ἐπέκειτο βουλόμενος λαβεῖν τὸν Βενιαμίν, ὑγιῆ καὶ σῶον ἐπαγγειλάμενος ἐπανήξειν, ἔδωκεν ὁ Ἰακὼβ τό τε ἀργύριον διπλοῦν, κελεύσας ἐπιφέρεσθαι καὶ δῶρα ἕτερα. Ὡς δὲ ἦλθον πρὸς τὸν Ἰωσήφ, ἐδέξατο αὐτοὺς εὐμενῶς, καὶ περὶ τοῦ πατρὸς
25 ἠρώτησε, καὶ εἱστίασε λαμπρῶς. Ἡνίκα δὲ ἔδει ἀπιέναι, τὸ ποτήριον τὸ ἀργυροῦν κελεύει ἐμβληθῆναι τῷ μαρσίππῳ τοῦ Βενιαμίν, οὐκ εἰδότων ἐκείνων. Ὡς δὲ ἐνεβλήθη καὶ λαβόντες ἀπῆλθον, προστάσσει τῷ ἐπὶ τῆς οἰκίας ὁ Ἰωσὴφ καταδιῶξαι τοὺς ἄνδρας. Ὁ δὲ καταδιώξας ἐνεκάλει, ὅτι κακοῖς τὸν
30 εὐεργέτην ἠμείψαντο. Ταραττομένων δὲ αὐτῶν, καὶ τῷ μὲν ἁλόντι ἐπὶ τῇ κλοπῇ, εἰ εὑρεθείη, θάνατον ὁριζόντων, ἑαυτοῖς δὲ δουλείαν, εὑρίσκεται παρὰ τῷ Βενιαμίν.

Τότε εἰσελθὼν ὁ Ἰούδας, καὶ μακρὸν ἀποτείνας λόγον περί τε τοῦ πατρὸς καὶ περὶ τοῦ Ἰωσὴφ καὶ τοῦ Βενιαμίν, ὃς
35 ἦν ἑλόμενος ἀντὶ τοῦ μειρακίου δουλεύειν αὐτός, εἰς τοσοῦτον ἐνέβαλεν οἶκτον τὸν Ἰωσήφ, ὡς ἐλεγχθῆναι τὴν σκηνὴν

'Ιωσήφ. Καί ὁ ἕνας κρεμάσθηκε, ἐνῶ ὁ ἄλλος ἀποκαταστάθηκε στό προηγούμενο ἀξίωμά του. Εἶδε ὁ Φαραώ τά ὄνειρα γιά τίς ἀγελάδες καί τά στάχυα, μέ τά ὁποῖα φανερωνόταν ἡ εὐφορία καί ἡ πείνα πού θά τή διαδεχόταν. Βγῆκε ὁ 'Ιωσήφ ἀπό τή φυλακή, γιά νά τά ἐξηγήσει, γιατί τό φανέρωσε ὁ ἀρχικεραστής. 'Εξήγησε καί ἔδωσε γνώμη πού θά καταπράϋνε τήν πείνα. Γίνεται ὁ δεύτερος στήν ἐξουσία μετά τό Φαραώ, καί ἀφοῦ συγκέντρωσε πολύ σιτάρι στά ἑπτά χρόνια τῆς εὐφορίας, ὅταν ἔπεσε ἡ πείνα, τό πουλοῦσε σ' αὐτούς πού ἤθελαν. 'Ηρθαν καί οἱ ἀδελφοί του γιά ν' ἀγοράσουν. Ὅταν ὅμως δέν εἶδε μαζί τους τό Βενιαμίν, ἐπειδή φοβήθηκε μήπως τόν ἐξαφάνισαν καί αὐτόν, τούς κατηγορεῖ σάν κατασκόπους τῆς χώρας, καί γιά ν' ἀπαλλαγοῦν ἀπό τήν κατηγορία δέν ὑπάρχει ἄλλη λύση, ἐκτός ἐάν μπορέσουν νά τοῦ δείξουν τό νεότερο ἀδελφό τους τόν Βενιαμίν, ἀφοῦ τόν κατεβάσουν στήν Αἴγυπτο.

'Αφοῦ πῆρε ἀπ' αὐτούς τό Συμεών καί τόν φυλάκισε, τούς ὑπόλοιπους ἔστειλε πίσω δίνοντας καί τό σιτάρι καί τά χρήματά τους. Μόλις ὅμως εἶδαν τά χρήματα, ὅταν ἄδειαζαν τούς σάκκους, τάραχθηκαν μέ τό παράδοξο γεγονός καί ζητοῦσαν νά πάρουν τό Βενιαμίν ἀπό τόν πατέρα τους, ἀφοῦ τοῦ γνωστοποίησαν ὅλα τά γεγονότα. 'Ο 'Ιακώβ ὅμως κρατοῦσε κοντά του τό παιδί. Ὅταν ἐπικράτησε ἡ πείνα καί ὁ 'Ιούδας μέ ἐπιμονή ἤθελε νά πάρει τό Βενιαμίν, ἀφοῦ ὑποσχέθηκε νά τόν φέρει πίσω ὑγιή καί σῶο, ἔδωσε ὁ 'Ιακώβ καί τά χρήματα διπλά, προτρέποντας νά φέρουν στόν 'Ιωσήφ καί ἄλλα δῶρα. Μόλις ἦρθαν στόν 'Ιωσήφ, τούς δέχθηκε μέ χαρά, τούς ἔκανε ἐρωτήσεις γιά τόν πατέρα καί τούς φιλοξένησε μέ λαμπρότητα. Καί ὅταν ἐπρόκειτο νά ἐπιστρέψουν, διατάζει νά βάλουν μέσα στό σάκκο τοῦ Βενιαμίν τό ἀργυρό ποτήρι του, χωρίς νά γνωρίζουν ἐκεῖνοι. Μόλις τό ἔβαλαν καί παίρνοντας τό σιτάρι ἔφυγαν, διατάζει τόν ἀρχηγό τοῦ οἴκου του ὁ 'Ιωσήφ νά καταδιώξει τούς ἄνδρες. Αὐτός, ἀφοῦ τούς καταδίωξε, τούς κατηγοροῦσε ὅτι ἀνταπέδωσαν κακά στόν εὐεργέτη τους. 'Ενῶ αὐτοί ταράχθηκαν καί ὅρισαν νά θανατωθεῖ ἐκεῖνος πού θά συλληφθεῖ γιά τήν κλοπή, ἐάν βρεθεῖ, καί οἱ ἄλλοι νά γίνουν δοῦλοι, βρίσκεται τό ποτήρι στό σάκκο τοῦ Βενιαμίν.

Τότε ἀφοῦ ἦρθε στό σπίτι τοῦ 'Ιωσήφ ὁ 'Ιούδας καί εἶπε πολλά λόγια καί γιά τόν πατέρα τους καί γιά τόν 'Ιωσήφ καί τό Βενιαμίν, πού προτιμοῦσε νά γίνει δοῦλος αὐτός ἀντί γιά τό μικρό ἀδελφό του, προκάλεσε τόση λύπη στόν 'Ιωσήφ, ὥστε φανερώθηκε ὅλη ἡ

ἅπασαν. Πάντας γὰρ ἐκβαλών, ἵνα αὐτῷ μετ' ἐξουσίας δακρύειν ἐξῇ, γνωρίζει τε αὐτὸν τοῖς ἀδελφοῖς, καὶ ἀποστέλλει ἐπὶ τὸν πατέρα μετὰ δώρων καὶ ἁμαξῶν· ἦν δὲ καὶ τῷ Φαραὼ τοῦτο συνευδοκοῦν. Ὡς δὲ ἤκουσεν ὁ Ἰακὼβ τὰ κατὰ τὸν Ἰωσήφ, περιχαρής τε ἦν, καὶ τοῦ Θεοῦ κελεύσαντος κατέβη εἰς Αἴγυπτον. Ὁρᾷ τὸν Ἰωσήφ ὁ πατήρ, ἀπηγγέλθη ταῦτα τῷ Φαραώ, καὶ κατῴκησεν ἐν Ῥαμεσσῆ. Ὡς δὲ ἀνάλωτο τὸ ἀργύριον τῆς γῆς, κτήνη διδόντες οἱ ἄνθρωποι, ἐλάμβανον σῖτον· ἐπειδὴ δὲ καὶ ταῦτα ἐπέλιπε, καὶ ὁ λιμὸς οὐκ ἐπαύετο, ἑαυτοὺς ἔδωκαν μετὰ τῆς γῆς· καὶ γενόμενοι τῷ Φαραὼ δοῦλοι, ἔσπειρον, καὶ τὸ πέμπτον μέρος ἐδίδοσαν αὐτῷ, τὰ τέσσαρα αὐτοὶ καρπούμενοι.

Μέλλων δὲ τελευτᾶν ὁ Ἰακώβ, ὅρκον ἀπαιτεῖ τὸν Ἰωσήφ, ὥστε μὴ θάψαι αὐτὸν ἐν Αἰγύπτῳ, ἀλλ' ἐν τῷ τάφῳ τῶν πατέρων αὐτοῦ. Καὶ τοὺς υἱοὺς Ἰωσήφ, τὸν Ἐφραῒμ καὶ τὸν Μανασσῆ, οὐκ εἰς ἐγγόνων, ἀλλ' εἰς υἱῶν καταλέγει τάξιν. Καὶ ἠμβλυώπει Ἰακώβ· ὡς δὲ κατεφίλησεν αὐτούς, καὶ ἔδει εὐλογεῖν, ἐξ ἀριστερῶν τοῦ Ἰακὼβ ἔστησε τὸν Ἐφραῒμ ὁ Ἰωσήφ, τὸν δὲ Μανασσῆ ἐκ δεξιῶν. Ὁ δὲ Ἰακὼβ τὴν δεξιὰν χεῖρα ἐπέθηκεν ἐπὶ τὸν ἐξ ἀριστερῶν ἑστῶτα τὸν νεώτερον, τὴν δὲ ἀριστερὰν ἐπὶ τὸν ἐκ δεξιῶν, καὶ εὐλόγησε, τοῦ δὲ Ἰωσὴφ οἰομένου κατὰ ἄγνοιαν τοῦτο ποιεῖν τὸν πατέρα, καὶ διορθουμένου, οὐκ ἠνέσχετο ὁ Ἰακώβ· εἰδὼς γὰρ ἔφη τοῦτο ποιεῖν, οὐκ ἀγνοῶν. Τότε δίδωσι τῷ Ἰωσὴφ ὁ Ἰακὼβ τὴν Σίκιμαν ἐξαίρετον, ἣν ὁ Συμεὼν καὶ Λευίεῖλον. Καὶ εὐλογεῖ τοὺς υἱοὺς αὐτοῦ. Ἐνταῦθα περὶ τοῦ Χριστοῦ προφητεύει. "Οὐκ ἐκλείψει ἄρχων", φησίν, "ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθη ᾧ ἀπόκειται".

Ὡς δὲ ἀπέθανεν ὁ Ἰακώβ, ἐπένθησεν αὐτὸν ὁ Ἰωσήφ, καὶ ἀναγαγὼν ἔθαψεν ἐν τῷ σπηλαίῳ Ἀβραάμ. Εἶπον οὖν οἱ ἀδελφοὶ αὐτοῦ· "Μήποτε μνησικακήσῃ, καὶ ἀνταποδώσει ἡμῖν κακά, ἃ ἐνεδειξάμεθα αὐτῷ". Καὶ παρεκάλουν αὐτὸν λέγοντες· "Ἰδοὺ ἡμεῖς οἰκέται σου". Καὶ ἔκλαυσεν ὁ Ἰωσήφ, καὶ εἶπεν αὐτοῖς· "Μὴ φοβεῖσθε· τοῦ γὰρ Θεοῦ εἰμι ἐγώ. Ὑμεῖς ἐβουλεύσασθε πονηρά, ὁ δὲ Θεὸς ἀνταπέδωκέ μοι ἀγαθά.

σκηνοθεσία. Γιατί, ἀφοῦ ἔβγαλε ὅλους ἔξω, γιά νά μπορέσει νά κλάψει ἐλεύθερα, φανερώνεται στούς ἀδελφούς του καί τούς στέλνει στόν πατέρα τους μέ δῶρα καί ἅμαξες. Σ' αὐτό ἔδωσε καί ὁ Φαραώ τή συναίνεσή του. Μόλις ἄκουσε ὁ 'Ιακώβ τά σχετικά μέ τόν 'Ιωσήφ, ἦταν γεμάτος χαρά, καί ὅταν τόν διέταξε ὁ Θεός, κατέβηκε στήν Αἴγυπτο. Βλέπει τόν 'Ιωσήφ ὁ πατέρας, ἔγιναν γνωστά αὐτά στό Φαραώ, καί κατοίκησε στή Ραμεσσή. Ὅταν τελείωσαν τά χρήματα τῆς χώρας, οἱ ἄνθρωποι ἔδιναν ζῶα καί ἔπαιρναν σιτάρι. 'Επειδή ὅμως τελείωσαν καί τά ζῶα, ἀλλά ἡ πείνα δέ σταματοῦσε, παρέδωσαν τόν ἑαυτό τους μαζί μέ τά χωράφια τους. Καί ἀφοῦ ἔγιναν δοῦλοι στόν Φαραώ, ἔσπειραν καί ἔδιναν τό ἕνα πέμπτο τοῦ σιταριοῦ σ' αὐτόν καί ἔπαιρναν αὐτοί τά τέσσερα πέμπτα.

'Ενῶ ἐπρόκειτο νά πεθάνει ὁ 'Ιακώβ, ὁρκίζει τόν 'Ιωσήφ, γιά νά μήν τόν θάψει στήν Αἴγυπτο, ἀλλά στόν τάφο τῶν πατέρων του. Καί τά παιδιά τοῦ 'Ιωσήφ, τόν 'Εφραΐμ καί τό Μανασσή, δέν τά συγκαταλέγει ἀνάμεσα στά ἐγγόνια του, ἀλλά ἀνάμεσα στά παιδιά του. Καί δέν ἔβλεπε καθαρά ὁ 'Ιακώβ. Μόλις ὅμως τά φίλησε καί ἐπρόκειτο νά τά εὐλογήσει, τοποθέτησε ὁ 'Ιωσήφ στά ἀριστερά τοῦ 'Ιακώβ τόν 'Εφραΐμ καί στά δεξιά του τό Μανασσή. 'Ο 'Ιακώβ ἔβαλε τό δεξί του χέρι ἐπάνω στό κεφάλι τοῦ νεότερου πού στεκόταν στά ἀριστερά του καί τό ἀριστερό του σ' αὐτόν πού στεκόταν δεξιά, καί τούς εὐλόγησε, ἐνῶ ὁ 'Ιωσήφ, πού νόμιζε πώς ἀπό ἄγνοια ἔκανε αὐτό ὁ πατέρας του τόν διόρθωνε, δέ τό δέχθηκε ὅμως ὁ 'Ιακώβ, γιατί εἶπε ὅτι κάνει αὐτό ἐπειδή τό γνωρίζει καί ὄχι ἀπό ἄγνοια. Τότε ὁ 'Ιακώβ δίνει στόν 'Ιωσήφ τήν ἐκλεκτή πόλη Συχέμ, πού κυρίευσαν ὁ Συμεών καί ὁ Λευΐ. Καί εὐλογεῖ τά παιδιά του. 'Εδῶ προφητεύει γιά τό Χριστό. «Δέ θά λείψει ἄρχοντας ἀπό τή φυλή τοῦ 'Ιούδα», λέγει, «οὔτε ἀρχηγός ἀπό τούς ἀπογόνους του, μέχρι νά ἔρθει ἐκεῖνος πού ἔχει τήν ἐξουσία»[14].

Ὅταν πέθανε ὁ 'Ιακώβ, τόν πένθησε ὁ 'Ιωσήφ καί ἀνέβηκε καί τόν ἔθαψε στό σπήλαιο τοῦ 'Αβραάμ. Εἶπαν λοιπόν οἱ ἀδελφοί του· «Μήπως κάποτε μνησικακήσει ὁ 'Ιωσήφ καί μᾶς ἀνταποδώσει τά κακά, πού κάναμε σ' αὐτόν»[15], καί τόν παρακαλοῦσαν λέγοντας· «Νά, ἐμεῖς εἴμαστε δοῦλοι σου»[16]. Ἔκλαψε ὁ 'Ιωσήφ καί τούς εἶπε· «Μή φοβᾶστε, γιατί ἐγώ εἶμαι ἄνθρωπος τοῦ Θεοῦ. 'Εσεῖς σκεφθήκατε κακά ἐναντίον μου, ὁ Θεός ὅμως μοῦ ἀνταπέδωσε ἀγαθά. 'Εγώ θά

14. Γεν. 49, 10. 15. Γεν. 50, 15. 16. Γεν. 50, 18.

Ἐγὼ διαθρέψω ὑμᾶς καὶ τοὺς οἴκους ὑμῶν". Ἔζησεν οὖν Ἰωσὴφ ἔτη ἑκατόν, καὶ εἶδεν Ἐφραῒμ παιδία ἕως τρίτης γενεᾶς. Λέγει οὖν τοῖς ἀδελφοῖς αὐτοῦ· "Ἐπισκοπῇ ἐπισκέψεται ὑμᾶς ὁ Θεός, καὶ εἰσάξει ὑμᾶς εἰς τὴν γῆν τῆς 5 *ἐπαγγελίας, ἣν ὤμοσε τοῖς πατράσιν ἡμῶν δοῦναι αὐτοῖς. Καὶ συνανοίσετε τὰ ὀστᾶ μου μεθ' ὑμῶν". Καὶ τελευτήσας ἐτῶν ἑκατόν, ἐτάφη ἐν τῇ σορῷ ἐν Αἰγύπτῳ.*

2. ΣΥΝΟΨΙΣ ΤΗΣ ΕΞΟΔΟΥ

Ἀναστὰς βασιλεὺς ἐν Αἰγύπτῳ, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ, 10 *ἐκάκου τοὺς Ἰσραηλίτας τῷ πηλῷ καὶ τῇ πλινθείᾳ. Ἐκέλευσε δὲ καὶ ταῖς μαίαις ἀναιρεῖν τὰ ἄρρενα τῶν Ἰσραηλιτῶν· ὡς δὲ οὐκ εἶξαν, τῷ λαῷ τὸ τόλμημα ἐπέτρεψε. Τότε τίκτεται Μωϋσῆς ἐκ τῆς φυλῆς Λευΐ, καὶ ἐξέθηκαν αὐτὸν οἱ γονεῖς ἐν θήβῃ. Κατελθοῦσα δὲ ἡ θυγάτηρ Φαραώ, καὶ ἀνελομένη τὸ παιδίον,* 15 *ἔδωκε τρέφεσθαι. Μέγας οὖν γενόμενος Μωϋσῆς, ἐξῆλθε πρὸς υἱοὺς Ἰσραήλ. Κατανοήσας δὲ τὸν πόνον, ὁρᾷ Αἰγύπτιον τύπτοντά τινα Ἑβραῖον. Περιβλεψάμενος δὲ ὧδε καὶ ὧδε, οὐχ ὁρᾷ οὐδένα· πατάξας δὲ τὸν Αἰγύπτιον, ἔκρυψεν αὐτὸν ἐν τῇ ἄμμῳ. Ἐξελθὼν δὲ τῇ ἡμέρᾳ τῇ δευτέρᾳ, ὁρᾷ δύο* 20 *Ἑβραίους διαπληκτιζομένους καὶ λέγει τῷ ἑνί· "Διὰ τί τύπτεις τὸν πλησίον;". Ὁ δὲ εἶπε· "Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς; μὴ ἀνελεῖν με θέλεις ὡς χθὲς Αἰγύπτιον;" Ἐφοβήθη οὖν Μωϋσῆς· ἤκουσε δὲ Φαραὼ τὸ ῥῆμα, καὶ ἐζήτει ἀνελεῖν Μωϋσῆν. Φοβηθεὶς δὲ Μωϋσῆς, ἀνεχώρησεν εἰς Μα-* 25 *διάμ· ἐβοήθησε ταῖς θηγατράσιν Ἰοθὸρ πρὸς τὸ ποτίσαι. Αἱ δὲ ἀνήγγειλαν τῷ πατρὶ τὸ γεγονὸς καὶ εἰσήγαγον πρὸς αὐτὸν τὸν Μωϋσῆν. Καὶ δίδωσιν αὐτῷ τὴν θυγατέρα αὐτοῦ γυναῖκα· καὶ ἔτεκε τῷ Μωϋσῇ τὸν Γερσὲμ καὶ τὸν Ἐλιέζερ.*

Ποιμαίνοντι δὲ αὐτῷ λαλεῖ ὁ Θεός· ὅτε ἦλθεν, εἶδε τὸ ἐπὶ 30 *τῆς βάτου θαῦμα, ὅτε ἐκαίετο, καὶ οὐ κατεκαίετο. Καὶ ἀποστέλλει αὐτὸν εἰς Αἴγυπτον λέγων· "Εἰπέ, Ἐγώ εἰμι ὁ ὤν".*

---

17. Γεν. 50, 19.21. 18. Γεν. 50, 24.25. 1. Ἐξ. 2, 13.14.

διαθρέψω καί σᾶς καί τίς οἰκογένειές σας»[17]. Ἔζησε λοιπόν ὁ Ἰωσήφ ἑκατό χρόνια, καί εἶδε παιδιά τοῦ Ἐφραΐμ μέχρι τρίτη γενεά. Τότε λοιπόν λέγει στούς ἀδελφούς του· «Θά σᾶς ἐπισκεφθεῖ σάν προστάτης ὁ Θεός καί θά σᾶς ὁδηγήσει στή γῆ τῆς ἐπαγγελίας, πού μέ ὅρκο ὑποσχέθηκε νά δώσει στούς πατέρες μας. Καί θά φέρετε μαζί σας τά κόκκαλά μου»[18]. Καί ἀφοῦ πέθανε σέ ἡλικία ἑκατό χρόνων, τόν ἔθαψαν στήν Αἴγυπτο καί τόν τοποθέτησαν στή λάρνακα.

2. ΠΕΡΙΛΗΨΗ ΤΗΣ ΕΞΟΔΟΥ

Ὅταν πῆρε τήν ἐξουσία ἄλλος βασιλιάς στήν Αἴγυπτο, ὁ ὁποῖος δέ γνώριζε τόν Ἰωσήφ, βασάνιζε τούς Ἰσραηλίτες στή λάσπη καί τήν κατασκευή πλίνθων. Διέταξε ἀκόμη καί τίς μαῖες νά σκοτώνουν τά ἀρσενικά παιδιά τῶν Ἰσραηλιτῶν. Ἐπειδή ὅμως δέν ὑπάκουσαν, ἔδωσε στό λαό τό δικαίωμα νά κάνει αὐτό. Τότε γεννιέται ὁ Μωυσῆς ἀπό τή φυλή τοῦ Λευΐ, καί τόν τοποθέτησαν οἱ γονεῖς του μέσα σ' ἕνα καλάθι. Ὅταν κατέβηκε στό ποτάμι ἡ κόρη τοῦ Φαραώ, ἔβγαλε τό παιδί καί τό ἔδωσε νά τρέφεται. Ἀφοῦ λοιπόν ἔγινε μεγάλος ὁ Μωυσῆς, βγῆκε νά συναντήσει τούς Ἰσραηλίτες. Ἐνῶ κατανοοῦσε τήν ταλαιπωρία τους, βλέπει ἕναν Αἰγύπτιο νά χτυπᾶ κάποιον Ἑβραῖο. Ἀφοῦ εἶδε γύρω του ἀπό ἐδῶ καί ἀπό ἐκεῖ, δέ βλέπει κανένα καί, ἀφοῦ σκότωσε τόν Αἰγύπτιο, τόν ἔκρυψε στήν ἄμμο. Ὅταν βγῆκε πάλι τήν ἄλλη ἡμέρα, βλέπει δύο Ἑβραίους νά μαλώνουν, καί λέγει στόν ἕνα· «Γιατί χτυπᾶς τόν πλησίον σου;» Ἐκεῖνος τοῦ εἶπε· «Ποιός σέ ὅρισε ἄρχοντα καί δικαστή σέ μᾶς; μήπως θέλεις νά μέ σκοτώσεις ὅπως σκότωσες χθές τόν Αἰγύπτιο;»[1]. Φοβήθηκε στή συνέχεια ὁ Μωυσῆς. Ἔμαθε τό γεγονός αὐτό ὁ Φαραώ καί ζητοῦσε νά θανατώσει τό Μωυσῆ. Ἐπειδή φοβήθηκε ὁ Μωυσῆς ἔφυγε καί ἦρθε στή Μαδιάμ. Βοήθησε τίς θυγατές τοῦ Ἰοθόρ γιά νά ποτίσουν τά ζῶα τους. Αὐτές πληροφόρησαν τό γεγονός στόν πατέρα τους καί ἔφεραν τό Μωυσῆ σ' αὐτόν. Καί τοῦ δίνει γυναίκα τή θυγατέρα του, πού γέννησε στό Μωυσῆ τόν Γερσέμ καί τόν Ἐλιέζερ.

Καθώς ὁ Μωυσῆς ἔβοσκε τά ζῶα, τοῦ μιλάει ὁ Θεός. Ὅταν πλησίασε, εἶδε τό θαῦμα στή βάτο, πού φλεγόταν, ἀλλά δέν καιγόταν. Καί τόν στέλνει στήν Αἴγυπτο λέγοντας· «Πές, Ἐγώ εἶμαι αὐτός πού

Κελεύεται δὲ συναγαγεῖν τὴν γερουσίαν, καὶ οὕτως εἰσελθεῖν πρὸς Φαραώ, καὶ παραγγεῖλαι τῷ λαῷ, ἡνίκα ἀποτρέχουσι χρήσασθαι σκεύη ἀργυρᾶ καὶ χρυσᾶ παρὰ τῶν γειτόνων. Καὶ δίδωσιν αὐτῷ σημεῖα τοῖα πρὸς τὸ πιστευθῆναι, τὴν ῥάβδον, ἣ
5 *γέγονεν ὄφις, τὴν ἀλλοίωσιν τῆς χειρὸς αὐτοῦ· γέγονε γὰρ ὡς χιών, καὶ πάλιν ἀποκατεστάθη εἰς οἰκείαν χροιάν, τὸ ὕδωρ τοῦ ποταμοῦ. "Ἐκχεεῖς γὰρ ἀπ' αὐτοῦ", φησίν, "ἐπὶ τὴν ξηράν, καὶ ἔσται αἷμα". Ὁ δὲ Μωϋσῆς παρῃτεῖτο· τότε ὀργισθεὶς ὁ Θεός, συνέζευξεν αὐτῷ τὸν Ἀαρών. Ἀπήγγειλε Μωϋσῆς τῷ*
10 *πενθερῷ αὐτοῦ τῷ Ἰοθόρ, ὅτι μέλλει εἰς Αἴγυπτον ἀπιέναι. Καὶ τελευτήσαντος τοῦ βασιλέως τοῦ ζητοῦντος αὐτοῦ τὴν ψυχήν, φησὶν αὐτῷ ὁ Θεός, ὅτι "Εἴσελθε εἰς Αἴγυπτον".*

Ὁ δὲ τὰ παιδία καὶ τὴν γυναῖκα λαβών, οὕτως εἰσῄει. Διὸ καὶ ἄγγελος φαίνεται φοβῶν αὐτόν. Οὐ γὰρ διὰ τὴν περιτομὴν
15 *(εἰ γὰρ τῆς περιτομῆς ἕνεκεν, ἐχρῆν μὴ πρότερον ἀναστῆναι τὸν ἄγγελον, ἕως οὗ καὶ τὸν ἕτερον περιέτεμεν ἡ μήτηρ), ἀλλ' ὑπὲρ τοῦ μὴ τὴν γυναῖκα λαβεῖν εἰς Αἴγυπτον. Οὐ γὰρ οἰκῆσαι ἐκεῖ ἐπέμπετο, ἀλλ' ἐξαγαγεῖν τὸν Ἰσραήλ· ὅπερ καὶ αὐτὸς συνιδών, ἀφίησι τὴν γυναῖκα. Καὶ πόθεν δῆλον ὅτι ἀφῆκεν;*
20 *Ἀπελθόντι αὐτῷ ἐξ Αἰγύπτου ἀπαντᾷ μετὰ τῆς γυναικὸς ὁ πενθερὸς Ἰοθόρ. Ἔρχεται Ἀαρὼν πρὸς Μωϋσῆν, καὶ ἀμφότεροι συνήγαγον τὴν γερουσίαν Ἰσραήλ, καὶ ἀπήγγειλαν αὐτοῖς τὰ παρὰ τοῦ Θεοῦ· οἱ δὲ ἐχάρησαν. Ὡς δὲ καὶ πρὸς τὸν Φαραὼ εἰσῆλθον, καὶ ἐκέλευον ἐξαποστέλλειν τὸν λαόν, οὐ μόνον οὐκ εἶξεν ὁ βασιλεύς, ἀλλὰ καὶ πλέον ἐκάκωσε τοὺς Ἰσραηλίτας, κελεύσας μὴ δίδοσθαι αὐτοῖς ἄχυρον, ἀλλ' αὐτοὺς ἀφ' ἑαυτῶν πορίζειν. Ὡς δὲ ἐμαστίχθησαν οἱ γραμματεῖς διὰ τὸ μὴ πληροῦσθαι τὸ ἔργον, ἐνέτυχον τῷ Φαραώ, καὶ οὐδὲν ὤνησαν. Κατεβόων λοιπὸν τοῦ Μωϋσέως· καὶ πάλιν*
30 *ἀποστέλλεται πρὸς τοὺς Ἰσραηλίτας, εὐαγγελιζόμενος αὐτῶν τὴν ἔξοδον. Οἱ δὲ οὐκ ἤκουσαν Μωϋσέως ἀπὸ τῆς ὀλιγοψυχίας αὐτῶν.*

Ἐνταῦθα γενεαλογεῖται Μωϋσῆς, καί φησιν αὐτῷ ὁ Θεός· "Δέδωκά σε θεὸν τῷ Φαραώ"· καὶ ἀποστέλλει αὐτὸν πρὸς
35 *Φαραώ, κελεύσας ἐπιδεῖξαι σημεῖον, εἰ αἰτήσειεν ὁ βασιλεύς, τὸ τῆς ῥάβδου τῆς εἰς ὄφιν στραφείσης. Ὡς δὲ ἐγένετο ἡ*

2. Ἐξ. 3, 14. 3. Ἐξ. 4, 9. 4. Ἐξ. 4, 19. 5. Ἐξ. 7, 1.

ὑπάρχει»[2]. Διατάζεται νά συγκεντρώσει τούς γεροντότερους Ἰσραηλίτες, καί ἔτσι νά ἔρθει στό Φαραώ, καί νά παραγγείλει στό λαό, ὅταν φύγουν νά χρησιμοποιήσουν ἀργυρά καί χρυσά σκεύη ἀπό τούς γείτονες. Καί δίνει σ' αὐτόν ὁ Θεός ἀποδείξεις ἱκανές γιά νά τόν πιστέψουν, τό ραβδί, πού ἔγινε φίδι, τήν ἀλλοίωση τοῦ χεριοῦ του, γιατί ἔγινε σάν τό χιόνι καί ἀποκαταστάθηκε πάλι στό φυσικό του χρῶμα, τό νερό τοῦ ποταμοῦ. «Γιατί θά τό χύσεις στήν ξηρά», λέγει, «καί θά γίνει αὐτό αἷμα»[3]. Ὁ Μωυσῆς ὅμως παρακαλοῦσε νά μήν ἀναλάβει τήν ἀποστολή αὐτή. Τότε ὀργίσθηκε ὁ Θεός καί ἕνωσε μαζί του τόν Ἀαρών. Ἀνακοίνωσε ὁ Μωυσῆς στόν πεθερό του Ἰοθόρ, ὅτι πρόκειται νά φύγει στήν Αἴγυπτο. Καί ὅταν πέθανε ὁ βασιλιάς πού ζητοῦσε νά θανατώσει τό Μωυσῆ, λέγει σ' αὐτόν ὁ Θεός, «Πήγαινε στήν Αἴγυπτο»[4].

Παίρνοντας μαζί του αὐτός τά παιδιά καί τή γυναίκα του, βάδιζε γιά τήν Αἴγυπτο. Γι' αὐτό καί παρουσιάζεται ἄγγελος γιά νά τόν φοβήσει. Ὄχι βέβαια γιά τήν περιτομή (γιατί ἄν ἦταν αἰτία ἡ περιτομή, ἔπρεπε νά μήν ἀναχωρήσει ὁ ἄγγελος προτοῦ νά κάνει περιτομή καί στό ἄλλο παιδί της ἡ μητέρα), ἀλλά γιά νά μήν πάρει τή γυναίκα του στήν Αἴγυπτο. Γιατί δέ στελνόταν ἐκεῖ γιά νά κατοικήσει, ἀλλά γιά νά ἐλευθερώσει τούς Ἰσραηλίτες, πράγμα πού καί αὐτός ἀφοῦ κατάλαβε, ἀφήνει τή γυναίκα του. Καί ἀπό ποῦ φαίνεται ὅτι τήν ἄφησε; Ὅταν ἐπέστρεψε αὐτός ἀπό τήν Αἴγυπτο, τόν συναντᾶ ὁ πεθερός του Ἰοθόρ μαζί μέ τή γυναίκα του. Ἔρχεται ὁ Ἀαρών στό Μωυσῆ, καί οἱ δύο συγκέντρωσαν τούς γεροντότερους Ἰσραηλίτες καί ἀνακοίνωσαν σ' αὐτούς τά λόγια τοῦ Θεοῦ· καί αὐτοί χάρηκαν. Ὅταν ἦρθαν στό Φαραώ καί τόν παρακαλοῦσαν ν' ἀφήσει ἐλεύθερο τό λαό, ὄχι μόνο δέν ὑπάκουσε ὁ βασιλιάς, ἀλλά καί βασάνισε περισσότερο τούς Ἰσραηλίτες, διατάζοντας νά μήν τούς δίνουν ἄχυρο, ἀλλά μόνοι τους αὐτοί νά τό προμηθεύονται. Μαστιγώθηκαν οἱ γραμματεῖς ἐπειδή δέν τελείωναν τό ἔργο, συνάντησαν τό Φαραώ καί δέν ἐπέτυχαν τίποτε. Φώναζαν στή συνέχεια ἐναντίον τοῦ Μωυσῆ. Πάλι στέλνεται στούς Ἰσραηλίτες εὐαγγελίζοντας τήν ἔξοδό τους. Αὐτοί ὅμως δέν ὑπάκουσαν στόνΜωυσῆ ἐξ αἰτίας τῆς ἀπογοήτευσής τους.

Ἐδῶ ἀναφέρεται ἡ γενεαλογία τοῦ Μωυσῆ καί ὁ Θεός λέγει σ' αὐτόν· «Σέ καθιστῶ Θεό στό Φαραώ»[5]. Καί τόν στέλνει στό Φαραώ, διατάζοντας νά δείξει θαῦμα, ἐάν τό ζητήσει ὁ βασιλιάς, τό θαῦμα μέ τό ραβδί πού μεταβλήθηκε σέ φίδι. Ὅταν ὅμως τό ραβδί ἔγινε φίδι,

ῥάβδος ὄφις, καὶ οὐκ εἶξε, τρέπεται τὸ ὕδωρ τοῦ ποταμοῦ εἰς αἷμα, πληροῦται ἡ γῆ βατράχων· εἶτα σκνῖπες ἐπῆλθον, εἶτα ἡ κυνόμυια, εἶτα ὁ θάνατος τῶν κτηνῶν, εἶτα αἱ φλυκτίδες, εἶτα ἡ χάλαζα καὶ τὸ πῦρ, εἶτα ἡ ἀκρίς, καὶ τὸ σκότος τὸ ψηλαφητόν.
5 *Ὡς δὲ ἤμελλεν ὁ τῶν πρωτοτόκων ἐπάγεσθαι θάνατος, κελεύονται θῦσαι πρόβατον ἄρσεν, ἄμωμον, καὶ χρῖσαι τὰς φλιὰς τῷ αἵματι· οὐ γὰρ ἀπολεῖσθαι τοὺς ὄντας ἐν τῇ οἰκίᾳ, ἐν ᾗ ἂν τὸ αἷμα ἦν τοῦ ἀμνοῦ. Τότε καὶ τῶν ἑπτὰ ἡμερῶν τῶν ἀζύμων αὐτοῖς νομοθετεῖ· κἂν εἰσέλθωσιν εἰς τὴν γῆν τῆς*
10 *ἐπαγγελίας, φυλάττειν κελεύει τὴν λατρείαν. "Κἂν ἐρωτήσωσιν ὑμᾶς υἱοὶ ὑμῶν", φησί, "ἐρεῖτε· Θυσία τὸ πάσχα τοῦτο Κυρίῳ". Ὡς δὲ κατὰ τὸ μέσον τῆς νυκτὸς ἀπώλετο τὰ πρωτότοκα τῶν Αἰγυπτίων, ἀπήλασαν τοὺς Ἰσραηλίτας τῆς Αἰγύπτου. Οἱ δὲ ἐξῆλθον, λαβόντες τὰ σκεύη τὰ ἀργυρᾶ καὶ*
15 *χρυσᾶ, καὶ πολὺν λαὸν μετ' αὐτῶν ἐπίμικτον, καὶ πρόβατα, καὶ βόας καὶ κτήνη. Ἡ δὲ κατοίκησις τῶν υἱῶν Ἰσραήλ, ἣν κατῴκησαν αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν ἐν γῇ Αἰγύπτῳ, καὶ ἐν γῇ Χαναάν, ἔτη τετρακόσια τριάκοντα.*

"Καὶ εἶπεν ὁ Θεός· Ἀνάθες καὶ ἁγίασόν μοι πᾶν
20 *πρωτότοκον ἀπὸ ἀνθρώπου ἕως κτήνους", ὅτι ἀπέκτεινε τὰ πρωτότοκα Αἰγυπτίων. Οὐκ ἤγαγε δὲ αὐτοὺς διὰ Φυλιστιεὶμ, ἵνα μὴ μετανοήσωσιν ἰδόντες πόλεμον, καὶ ἀποστρέψωσιν εἰς Αἴγυπτον, ἀλλὰ διὰ τῆς Ἐρυθρᾶς. Πέμπτῃ δὲ γενεᾷ ἀνέβησαν υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτου· καὶ ἔλαβε Μωϋσῆς τὰ ὀστᾶ Ἰωσήφ.*
25 *Ὡδήγει δὲ ὁ Θεὸς τὸν Ἰσραὴλ στύλῳ πυρὸς τὴν νύκτα, καὶ στύλῳ νεφέλης τὴν ἡμέραν. Ὡς δὲ κατεδίωξεν ὁ Φαραὼ μεταμεληθείς, ἐπάταξε τὴν θάλασσαν Μωϋσῆς τῇ ῥάβδῳ, καὶ διῃρέθη· παρελθόντων δὲ τῶν Ἰσραηλιτῶν, συνῆλθε κατὰ τῶν Αἰγυπτίων, καὶ κατεπόντισεν αὐτούς. Καὶ ᾖσε Μωϋσῆς τὴν*
30 *ᾠδήν, ᾖσε δὲ καὶ Μαριὰμ μετὰ τῶν γυναικῶν. Ἦλθον εἰς Μαῤῥάς, ἔνθα πικρὸν ἦν τὸ ὕδωρ, καὶ ἐγλύκανεν αὐτὸ Μωϋσῆς διὰ τοῦ ξύλου. Ἦλθον ἔνθα δώδεκα πηγαὶ καὶ φοίνικες οἱ ἑβδομήκοντα· ὁ δὲ τόπος Ἐλεὶμ ἐλέγετο. Ἦλθον ἐκεῖθεν εἰς τὴν ἔρημον ἀνὰ μέσον Ἐλεὶμ καὶ Σινά. Τότε*
35 *ἐγόγγυσαν οἱ Ἰσραηλῖται ἐν τῇ ἐρήμῳ, κρέα ζητοῦντες.*

Τότε ἔβρεξεν αὐτοῖς μάννα. Εἶτα ἤνεγκε τὴν ὀρτυγομή-

6. Ἐξ. 12, 26.27. 7. Ἐξ. 13, 2.

καί δέν ὑπάκουσε, μετατρέπεται τό νερό τοῦ ποταμοῦ σέ αἷμα, γεμίζει ἡ γῆ βατράχια. Ἔπειτα ἔπεσαν οἱ σκνίπες, ἔπειτα ἡ σκυλόμυγα, ἔπειτα ὁ θάνατος τῶν ζώων, ἔπειτα οἱ φουσκάλες, ἔπειτα τό χαλάζι καί ἡ φωτιά, ἔπειτα οἱ ἀκρίδες καί τό πυκνό σκοτάδι. Ὅταν ἐπρόκειτο νά συμβεῖ ὁ θάνατος σέ ὅλα τά πρωτότοκα, διατάζονται νά θυσιάσουν ἕνα ἀρσενικό πρόβατο, χωρίς ἐλάττωμα, καί νά βάψουν τό ἐπάνω μέρος στίς πόρτες μέ τό αἷμα του. Γιατί δέ θά θανατώνονταν ἐκεῖνοι πού βρίσκονταν μέσα στό σπίτι, στό ὁποῖο θά ἦταν τό αἷμα τοῦ ἀρνιοῦ. Τότε τούς νομοθετεῖ τά ἄζυμα τῶν ἑπτά ἡμερῶν καί, ὅταν μποῦν στή γῆ τῆς ἐπαγγελίας, τούς διατάζει νά διατηροῦν τή λατρεία. «Καί ὅταν σᾶς ἐρωτήσουν τά παιδιά σας», λέγει, «θά τούς ἀπαντήσετε· τό πάσχα αὐτό εἶναι θυσία στόν Κύριο»[6]. Ὅταν κατά τά μεσάνυχτα θανατώθηκαν τά πρωτότοκα τῶν Αἰγυπτίων, ἔδιωξαν τούς Ἰσραηλίτες ἀπό τήν Αἴγυπτο. Αὐτοί ἔφυγαν παίρνοντας μαζί τους τά ἀργυρά καί χρυσά σκεύη, καί πολύ ἀνάμικτο λαό, καί πρόβατα, βόδια καί ζῶα. Ἡ παραμονή τῶν Ἰσραηλιτῶν, πού ἔμειναν αὐτοί καί οἱ πατέρες τους στήν Αἴγυπτο, καί στή Χαναάν, ἦταν τετρακόσια τριάντα χρόνια.

«Καί εἶπε ὁ Θεός· Νά προσφέρεις καί ν' ἀφιερώσεις σέ μένα κάθε πρωτότοκο ἀπό ἄνθρωπο μέχρι ζῶο»[7], ἐπειδή θανάτωσε τά πρωτότοκα τῶν Αἰγυπτίων. Δέν ὁδήγησε αὐτούς μέσα ἀπό τούς Φιλισταίους, γιά νά μή μετανοήσουν, ἄν συναντήσουν πόλεμο, καί ἐπιστρέψουν στήν Αἴγυπτο, ἀλλά μέσα ἀπό τήν Ἐρυθρά θάλασσα. Κατά τήν πέμπτη γενεά οἱ Ἰσραηλίτες ἀνέβηκαν ἀπό τήν Αἴγυπτο. Ὁ Μωυσῆς πῆρε μαζί του τά κόκκαλα τοῦ Ἰωσήφ. Καί ὁ Θεός ὁδηγοῦσε τούς Ἰσραηλίτες στέλνοντας φωτιά τή νύχτα καί σύννεφο τήν ἡμέρα. Ὅταν μετανόησε ὁ Φαρώ καί τούς κυνήγησε, ὁ Μωυσῆς κτύπησε μέ τό ραβδί του τή θάλασσα, καί χωρίστηκε στά δύο αὐτή. Ἀφοῦ πέρασαν οἱ Ἰσραηλίτες, ἑνώθηκε ἐναντίον τῶν Αἰγυπτίων καί τούς βύθισε ὅλους. Καί ἔψαλε ὁ Μωυσῆς τόν ὕμνο, ἔψαλε καί ἡ Μαριάμ[8] μαζί μέ τίς γυναῖκες. Ἦρθαν στή Μερρά, ὅπου τό νερό ἦταν πικρό καί τό γλύκανε ὁ Μωυσῆς μέ τό ξύλο. Ἦρθαν ἐκεῖ πού ὑπῆρχαν οἱ δώδεκα πηγές καί οἱ ἑβδομήντα φοίνικες. Ὁ τόπος αὐτός λεγόταν Ἐλείμ. Ἦρθαν ἀπό ἐκεῖ στήν ἔρημο πού βρίσκεται ἀνάμεσα στήν Ἐλείμ καί τό Σινά. Τότε γόγγυζαν οἱ Ἰσραηλίτες ζητώντας κρέας. Τότε ὁ Θεός ἔβρεξε σ' αὐτούς τό μάννα. Ἔπειτα τούς πρόσφερε

8. Ἡ Μαριάμ ἦταν ἀδελφή τοῦ Ἀαρών.

τραν. Ἐνταῦθα ἐπὶ τοῦ μάννα, ὃ τὸ πολὺ οὐκ ἐπλεόνασε, καὶ ὃ τὸ ὀλίγον οὐκ ἠλαττόνησε, παρήγγειλε μὴ ὑπολείπεσθαι εἰς τὴν αὔριον. Οἱ δὲ παρήκουσαν, καὶ γέγονε τὸ καταλειφθὲν σκωλήκων πλῆρες. Εἶπε· Μὴ ἐξέλθητε συλλέξαι τῷ σαββάτῳ· οἱ
5 δὲ καὶ ἐν τούτῳ παρήκουσαν, καὶ ἐξελθόντες οὐχ εὗρον. Κελεύει Μωϋσῆς ἐν στάμνῳ χρυσῇ ἀποθέσθαι ἀπὸ τοῦ μάννα εἰς τὰς μετὰ ταῦτα γενεάς. Τὸ δὲ μάννα ἔφαγον τεσσαράκοντα ἔτη. Τότε ἐγόγγυζον διὰ τὸ δίψος. Καὶ ἐπάταξε Μωϋσῆς τὴν πέτραν, καὶ ἐξῆλθεν τὸ ὕδωρ. Ἔρχεται Ἀμαλὴκ πολεμῶσαι τὸν Ἰσραήλ· καὶ ἐτρέψατο αὐτὸν Ἰησοῦς ὁ τοῦ Ναυῆ· καὶ ἕως ἦσαν αἱ χεῖρες Μωϋσῆ μετέωροι, ἴσχυσεν ὁ Ἰσραήλ, ὅτε δὲ καθῆκεν αὐτάς, ἡττῶντο. Τοῦτο δὲ τύπος ἦν τοῦ σταυροῦ. Εἱστήκεισαν γὰρ Ἀαρὼν καὶ Ὢρ, στηρίζοντες τὰς χεῖρας Μωϋσῆ. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν· "Κατάγραψον τοῦτο
15 εἰς μνημόσυνον ἐν βιβλίῳ". Ἀπαντᾷ Ἰοθὸρ ὁ πενθερὸς Μωϋσῆ μετὰ τῆς γυναικὸς (γαμβρὸν δὲ αὐτὸν καλεῖ καταχρηστικῶς ἡ Γραφή) τῷ τε Μωϋσῆ καὶ τῷ λαῷ.

Διηγεῖται τὰ θαυμάσια Μωϋσῆς τῷ πενθερῷ· ὁ δὲ ἐθαύμασεν. Ὡς δὲ εἶδε πάντα τὸν λαὸν παρεστηκότα Μωϋσῆ, τὸν
20 δὲ οὐκ ἀρκοῦντα πᾶσι κρίνειν, φησὶν αὐτῷ ὁ πενθερός· Ἐπίλεξαι ἄνδρας δυνατούς, θεοσεβεῖς, δικαίους, μισοῦντας ὑπερηφανίαν, καὶ κατάστησον αὐτοὺς χιλιάρχους, ἑκατοντάρχους, πεντηκοντάρχους, δεκάρχους. Ἐποίησε Μωϋσῆς οὕτως, καὶ ἀνῆλθεν εἰς τὸ ὄρος. Καὶ προσέταξεν αὐτῷ ὁ Θεὸς
25 εἰπεῖν τῷ λαῷ, ὅτι ἔσονται τοῦ Θεοῦ βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, ἐὰν ὑπακούσωσι. Οἱ δὲ εἶπον· "Ἅπαντα, ὅσα εἶπεν ὁ Θεός, ποιήσομεν καὶ ἀκουσόμεθα". Τότε προστάσσει τῷ λαῷ ἁγνισθῆναι ἕως τρίτης ἡμέρας, πλῦναι τὰ ἱμάτια αὐτῶν. Ἐνταῦθα εἴρηται καὶ τὸ παρὰ τῷ Ἀποστόλῳ ἐν τῇ πρὸς
30 Ἑβραίους· "Κἂν θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται". Τότε ἐκαπνίζετο τὸ ὄρος, φωναὶ σαλπίγγων ἤχουν. Τότε τὰς ἐντολὰς τοῦ νόμου λαμβάνει Μωϋσῆς, τὴν Δεκάλογον, καὶ τὰ λοιπὰ δικαιώματα. Τὸ δέ, "Θεοὺς οὐ κακολογήσεις", οὐ περὶ εἰδώλων εἴρηται, ἀλλὰ περὶ τῶν ἀρχόντων· ἐπάγει γάρ,
35 "Ἄρχοντι τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς".

Ἐπαγγέλλεται, εἰ ὑπακούσειαν, πολλὰ αὐτοῖς ἀγαθά·

---

9. Ἐξ. 17, 14. 10. Ἐξ. 18, 21. 11. Ἐξ. 19, 8.
12. Ἑβρ. 12, 20. 13. Ἐξ. 22, 28.

τά ὀρτύκια. Ἐδῶ στήν περίπτωση τοῦ μάννα, πού τό πολύ δέν ἔγινε περισσότερο καί τό λίγο δέν ἔγινε λιγότερο, παράγγειλε ὁ Μωυσῆς νά μήν ἀφήσει κανείς τό ὑπόλοιπο γιά τήν ἑπόμενη ἡμέρα. Αὐτοί ὅμως δέν τόν ἄκουσαν, καί αὐτό πού ἄφηναν γέμισε σκουλήκια. Εἶπε· Νά μή βγεῖτε νά μαζέψετε κατά τό Σάββατο. Οἱ Ἰσραηλίτες ὅμως καί σ' αὐτό δέν τόν ἄκουσαν, καί, ὅταν βγῆκαν, δέ βρῆκαν. Διατάζει ὁ Μωυσῆς νά βάλουν ἀπό τό μάννα μέσα σέ χρυσή στάμνα, γιά νά διατηρηθεῖ στίς ἑπόμενες γενεές· ἔφαγαν τό μάννα σαράντα χρόνια. Τότε γόγγυζαν γιά τή δίψα. Κτύπησε ὁ Μωυσῆς τήν πέτρα καί βγῆκε τό νερό. Ἔρχονται οἱ Ἀμαληκίτες γιά νά πολεμήσουν τούς Ἰσραηλίτες. Ὁ Ἰησοῦς τοῦ Ναυῆ τούς ἔτρεψε σέ φυγή. Καί ὅσο τά χέρια τοῦ Μωυσῆ ἦταν ὑψωμένα, νικοῦσαν οἱ Ἰσραηλίτες, ὅταν ὅμως τά κατέβαζε, νικοῦνταν. Αὐτό ἦταν τύπος τοῦ σταυροῦ. Γιατί στέκονταν ὁ Ἀαρών καί ὁ Ὥρ καί στήριζαν τά χέρια τοῦ Μωυσῆ. Εἶπε ὁ Κύριος πρός τό Μωυσῆ· «Γράψε τό γεγονός αὐτό σέ βιβλίο γιά νά μένει πάντοτε σέ ἀνάμνηση»[9]. Συναντᾶ τό Μωυσῆ καί τό λαό ὁ πεθερός τοῦ Μωυσῆ Ἰοθόρ μαζί μέ τή γυναίκα του (ἡ Γραφή τόν ὀνομάζει καταχρηστικά γαμβρό).

Ὁ Μωυσῆς ἀναφέρει τά θαυμαστά ἔργα στόν πεθερό του. Αὐτός θαύμασε. Ὅταν εἶδε ὁ Ἰοθόρ ὅτι ὅλος ὁ λαός στεκόταν γύρω ἀπό τό Μωυσῆ, πού δέν ἦταν ἀρκετός νά δικάσει ὅλους, λέγει σ' αὐτόν ὁ πεθερός του· «Διάλεξε ἄνδρες δυνατούς, θεοσεβεῖς, δίκαιους, πού μισοῦν τήν ὑπερηφάνεια, καί διόρισε αὐτούς ἀρχηγούς ἄλλους σέ χίλιους ἀνθρώπους, ἄλλους σ' ἑκατόν, ἄλλους σέ πενήντα καί ἄλλους σέ δέκα»[10]. Ἔκανε ὁ Μωυσῆς ἔτσι καί ἀνέβηκε στό βουνό. Καί τόν πρόσταξε ὁ Θεός νά πεῖ στό λαό, ὅτι θά εἶναι βασίλειο ἱερέων τοῦ Θεοῦ, ἔθνος ἅγιο, ἐάν ὑπακούσουν στίς ἐντολές του. Αὐτοί εἶπαν· «Ὅλα ὅσα εἶπε ὁ Θεός θά κάνουμε καί θά ὑπακούσουμε»[11]. Τότε διατάζει νά καθαρισθοῦν τρεῖς ἡμέρες καί νά πλύνουν τά ροῦχα τους. Ἐδῶ λέγεται καί αὐτό πού ἀναφέρει ὁ Ἀπόστολος στήν πρός Ἑβραίους ἐπιστολή του· «Καί ἄν ἀκόμη κανείς ἀγγίσει τό βουνό, θά λιθοβοληθεῖ»[12]. Τότε κάπνιζε τό βουνό, ἀντηχοῦσαν οἱ φωνές τῶν σαλπίγγων. Τότε ὁ Μωυσῆς παίρνει τίς ἐντολές τοῦ νόμου, τό Δεκάλογο, καί τίς ὑπόλοιπες ἐντολές. Τό «Νά μήν κακολογεῖς τούς θεούς»[13], δέν ἔχει εἰπωθεῖ γιά τά εἴδωλα, ἀλλά γιά τούς ἄρχοντες, γιατί προσθέτει· «Στόν ἄρχοντα τοῦ λαοῦ σου νά μή μιλήσεις ἄσχημα».

Ὁ Θεός ὑπόσχεται σ' αὐτούς, ἐάν ὑπακούσουν, πολλά ἀγαθά· νά

κρατήσειν τῶν ἐθνῶν, τῆς γῆς κληρονομίαν, τό ὕδωρ αὐτῶν εὐλογήσειν καὶ τόν ἄρτον, πάσης μαλακίας αὐτοὺς ἀπαλλάξειν, μὴ ἔσεσθαι στεῖραν ἐν αὐτοῖς, μηδὲ ἄγονον, μηδὲ θάνατον ἄωρον, τὰ ὅρια αὐτῶν θήσειν ἀπὸ τῆς Ἐρυθρᾶς 5 *θαλάσσης ἕως τῆς Φυλιστιείμ, ἀπὸ τῆς ἐρήμου ἕως τοῦ Εὐφράτου. Τότε θύει Μωϋσῆς, καὶ τὸ ἥμισυ τοῦ αἵματος προσέχεε πρὸς τὸ θυσιαστήριον· καὶ λαβὼν τὸ αἷμα κατεσκέδασε τοῦ λαοῦ. Μέμνηται τούτων ὁ Παῦλος ἐν τῇ πρὸς Ἑβραίους λέγων, ὅτι "Οὐδὲ ἡ πρώτη διαθήκη χωρὶς αἵματος* 10 *ἐγκεκαίνισται". Κελεύεται Μωϋσῆς ἀνελθὼν λαβεῖν τὰ πυξία. Καὶ ἦν ἐκεῖ τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας. Ἤκουσε δὲ τὴν διάταξιν τῆς σκηνῆς καὶ τῶν ἐν αὐτῇ, καὶ τῆς ἱερατικῆς στολῆς, καὶ τῆς χρίσεως τῶν ἱερέων, καὶ τῶν λύτρων. Ταῦτα δὲ ἦν τὸ ἥμισυ τοῦ διδράχμου ἕκαστον διδόναι,* 15 *τουτέστιν, ὀβολοὺς δέκα. Καὶ περὶ τῆς συνθέσεως τοῦ ἐλαίου παραινεῖ καὶ ὑπὲρ τῆς φυλακῆς τοῦ Σαββάτου.*

Ἐκκλησιάζουσιν οἱ Ἰσραηλῖται κατὰ Ἀαρὼν καὶ εἰδωλολατροῦσι. Τότε φησὶν ὁ Θεὸς τῷ Μωϋσῇ· "Ἔασόν με, καὶ ἐξαλείψω αὐτούς, καὶ ποιήσω σε εἰς ἔθνος μέγα". Ὡς δὲ 20 *κατελθὼν ὁ Μωϋσῆς εἶδε τὸν μόσχον καὶ τὸν λαὸν παίζοντας, ἔῤῥιψε τὰς πλάκας, καὶ συνέτριψεν, ἐπετίμησε τῷ Ἀαρών, ἐκέλευσε τοῖς υἱοῖς Λευῒ ἐλθοῦσιν, εἶπε· "Εἴ τις πρὸς Κύριον, ἴτω πρός με, σφάξειν ἕκαστον τὸν ἀδελφὸν αὐτοῦ καὶ τὸν πλησίον αὐτοῦ. Καὶ ἔπεσον τρισχίλιοι ἄνδρες". Τότε δὲ* 25 *ἀνελθὼν Μωϋσῆς λέγει τῷ Θεῷ· "Εἰ μὲν ἀφιεῖς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες, εἰ δὲ μή, ἐξάλειψόν με ἐκ τῆς βίβλου, ἧς ἔγραψας". Τότε ἐπένθησεν ὁ λαός, καὶ ἐκελεύσθη περιελεῖν τὸν κόσμον αὐτοῦ. Ἐνταῦθα εἴρηται· "Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, ὡς εἴ τις λαλήσει πρὸς τὸν ἑαυτοῦ φίλον".* 30 *Ἰησοῦς δὲ ὁ τοῦ Ναυῆ οὐκ ἐξεπορεύετο τῆς σκηνῆς. Τότε παρακαλεῖ Μωϋσῆς τὸν Θεόν, ὥστε μὴ καταλιπεῖν τὸν λαόν· καὶ λαξεύσας δύο πλάκας, λαμβάνει τὴν Δεκάλογον, ποιήσας πάλιν τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας.*

Ἐντέλλεται δὲ αὐτῷ πάλιν περὶ τοῦ Πάσχα, περὶ τοῦ 35 *Σαββάτου, περὶ τοῦ ἐξολοθρεῦσαι τοὺς θεοὺς τῶν ἐθνῶν, ὑπὲρ τοῦ ἁγιάσαι αὐτῷ τὰ πρωτότοκα. Ἐνταῦθα κεῖται, ὅτι μετὰ*

14. Ἑβρ. 9, 18.
15. Ἐξ. 32, 10.
16. Ἐξ. 32, 26.27.28.
17. Ἐξ. 32, 31.32.
18. Ἐξ. 33, 11.

νικήσουν λαούς, νά κληρονομήσουν τή χώρα, νά εὐλογήσει τό νερό καί τό ψωμί τους, ν' ἀπαλλάξει αὐτούς ἀπό κάθε ἀδιαθεσία, νά μήν ὑπάρχει ἀνάμεσά τους στείρα γυναίκα, οὔτε ἄγονος ἄνδρας, οὔτε πρόωρος θάνατος, νά ὁρίσει τά σύνορά τους ἀπό τήν Ἐρυθρά θάλασσα μέχρι τή θάλασσα τῶν Φιλισταίων, ἀπό τήν ἔρημο μέχρι τόν Εὐφράτη. Τότε θυσιάζει ὁ Μωυσῆς καί τό μισό αἷμα τό ἔχυσε κοντά στό θυσιαστήριο. Παίρνοντας τό αἷμα ράντισε τό λαό. Θυμίζει αὐτά ὁ Παῦλος στήν πρός Ἑβραίους ἐπιστολή λέγοντας, ὅτι «Οὔτε ἡ πρώτη διαθήκη δέν ἐγκαινιάσθηκε χωρίς αἷμα»[14]. Διατάζεται ὁ Μωυσῆς ν' ἀνεβεῖ στό βουνό γιά νά πάρει τίς πλάκες τοῦ νόμου. Καί ἦταν ἐκεῖ σαρτάντα ἡμέρες καί σαράντα νύχτες. Ἄκουσε γιά τή διάταξη τῆς Σκηνῆς τοῦ μαρτυρίου καί τῶν πραγμάτων πού θά τοποθετοῦσε μέσα σ' αὐτή, γιά τή στολή καί τή χειροτονία τῶν ἱερέων, καί γιά τά λύτρα. Αὐτά ἦταν μισό δίδραχμο πού ἔπρεπε νά δώσει ὁ καθένας, δηλαδή δέκα ὀβολούς. Καί συμβουλεύει γιά τή σύνθεση τοῦ ἁγίου μύρου καί γιά τήν τήρηση τῆς ἀργίας τοῦ Σαββάτου.

Συγκεντρώνονται οἱ Ἰσραηλίτες γύρω ἀπό τόν Ἀαρών καί προσκυνοῦν τά εἴδωλα. Τότε ὁ Θεός λέγει στό Μωυσῆ· «Ἄφησέ με νά τούς καταστρέψω αὐτούς καί νά σέ κάμω ἐσένα ἔθνος μεγάλο»[15]. Ὅταν κατέβηκε ὁ Μωυσῆς καί εἶδε τό μοσχάρι καί τό λαό νά παίζει, πέταξε τίς πλάκες καί τίς κομμάτιασε, ἐπέκρινε τόν Ἀαρών, διέταξε ὅλους πού ἀνῆκαν στή φυλή τοῦ Λευΐ νά πλησιάσουν καί εἶπε· «Ὅποιος εἶναι μέ τόν Κύριο, ἄς ἔρθει κοντά μου καί νά σφάξει καθένας τόν ἀδελφό του καί τό συγγενή του. Καί θανατώθηκαν τρεῖς χιλιάδες ἄνδρες»[16]. Τότε ὁ Μωυσῆς, ἀφοῦ ἀνέβηκε στό βουνό, λέγει στό Θεό· «Ἐάν βέβαια τούς συγχωρήσεις τήν ἁμαρτία, συγχώρησέ τους. Ἐάν ὅμως δέν τούς συγχωρήσεις, ἐξάλειψε καί μένα ἀπό τό βιβλίο, στό ὁποῖο μ' ἔγραψες»[17]. Τότε ὁ λαός πένθησε καί διατάχθηκαν νά βγάλουν τά κοσμήματά τους. Ἐδῶ εἶναι εἰπωμένο· «Καί μίλησε ὁ Κύριος πρός τό Μωυσῆ, ὅπως μιλάει κανείς πρός τό φίλο του»[18]. Ὁ Ἰησοῦς τοῦ Ναυῆ δέν ἔβγαινε ἀπό τή σκηνή. Τότε παρακαλεῖ ὁ Μωυσῆς τό Θεό νά μήν ἐγκαταλείψει τό λαό. Ὅταν πελέκησε δύο πλάκες, παίρνει τό Δεκάλογο, ἀφοῦ ἔκανε πάλι σαράντα ἡμέρες καί σαράντα νύχτες.

Πάλι ὁ Θεός ἔδωσε στό Μωυσῆ ἐντολές γιά τό Πάσχα, γιά τό Σάββατο, γιά τό ὅτι θά ἐξοντώσει τούς θεούς τῶν ἐθνῶν, γιά τό ὅτι θά προσφέρουν σ' αὐτόν τά πρωτότοκα. Ἐδῶ εἶναι γραμμένο, ὅτι ὁ

καλύμματος ἐλάλει Μωϋσῆς τῷ λαῷ· ὃ ἐν τῇ δευτέρᾳ πρὸς Κορινθίους φησὶν ὁ Παῦλος. Τότε αὐτοῖς παραγγέλλεται περὶ τοῦ Σαββάτου, καὶ περὶ τῆς ὕλης τῆς ὀφειλούσης προχωρῆσαι εἰς τὴν τῆς σκηνῆς ἐργασίαν, τουτέστι, περὶ τοῦ χρυσοῦ, τοῦ 5 χαλκοῦ, τῶν τριχῶν, καὶ τῆς λοιπῆς ὕλης. Καὶ οἱ μὲν ἔφερον πολλῇ τῇ προθυμίᾳ, ὡς καὶ περισσεύειν· ἐργάζεται δὲ Βεσελεὴλ ἐκ τῆς φυλῆς Ἰούδα, καὶ Ἐλιὰβ ἐκ τῆς φυλῆς Δὰν ἅπαντα τὰ πρὸς τὴν κατασκευήν, καὶ ἔστη ἡ σκηνή, καὶ ἐκάλυψεν αὐτὴν ἡ νεφέλη. Τὸ δὲ ἀναλωθὲν εἰς τὰ ἔργα 10 χρυσίου μὲν τάλαντα κθ΄ καὶ σίκλοι ψ΄, ἀργυρίου δὲ τάλαντα ρ΄, σίκλοι ψοβ΄, καὶ χαλκοῦ τάλαντα ο΄, καὶ σίκλοι, ͵βφ΄.

3. ΣΥΝΟΨΙΣ ΤΟΥ ΛΕΥΪΤΙΚΟΥ

Λευϊτικὸν καλεῖται τοῦτο τὸ βιβλίον, ἐπειδὴ ἰδικῶς πᾶσαν τῆς τε Λευϊτικῆς λειτουργίας τὴν διατύπωσιν περιέχει, καὶ πῶς 15 Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ ἐκλέγονται ἐκ τῆς φυλῆς Λευΐ, καὶ χρίονται ἱερέας, πᾶσάν τε τὴν διαφορὰν τῶν θυσιῶν· καὶ τὴν ποιότητα πᾶσαν τῆς ἐν τῷ ἱερῷ λατρείας καὶ ἱερατικῆς λειτουργίας. Διηγεῖται καὶ τὸν νόμον ἑκάστης θυσίας, περί τε τοῦ σωτηρίου καὶ τοῦ ἑκουσίου καὶ ἀκουσίου πλημμελήματος, 20 καὶ πῶς ἑκάστῳ τῶν προσφερομένων διαιρεῖσθαι καὶ ἀναφέρεσθαι ὀφείλει διηγεῖται. Ἔστι δὲ ἐν τούτῳ τῷ βιβλίῳ ἡ χρῖσις τοῦ ἀρχιερέως καὶ τῶν ἱερέων, καὶ ἡ διάκρισις καὶ ἡ γνῶσις τῶν σημείων, περὶ λέπρας ἀνθρώπων καὶ ἱματίων καὶ τοίχου οἰκίας, καὶ ὁ νόμος ὁ περὶ καθαρισμοῦ αὐτῶν. Νόμος τε καὶ 25 διαστολὴ περὶ νομικῶν γάμων, καὶ τίνες εἰσὶ παράνομοι. Καὶ πάλιν διαστολὴ καθαρῶν καὶ ἀκαθάρτων κτηνῶν καὶ πετεινῶν καὶ ἰχθύων καὶ ἑρπετῶν, καὶ τίνων μὲν ἐκ τούτων ἀπογεύεσθαι ὀφείλουσιν Ἑβραῖοι, τίνων δὲ ἀπέχεσθαι προσετάχθησαν.

Καὶ τὴν μὲν ἡμέραν τῶν σαλπίγγων τῇ νεομηνίᾳ τῇ ἑβδόμῃ 30 μηνὸς δηλοῖ· τὸ δὲ παράγγελμα τῆς μεγάλης νηστείας, ἵν' ἐν αὐτῷ τῷ ἑβδόμῳ μηνὶ δεκάτῃ τοῦ μηνὸς ποιῶσι ταύτην, ἥντινα Σάββατα σαββάτων καὶ ἄφεσιν ἁμαρτίας καλεῖ. Περιέχει τὴν

---

19. Β΄ Κορ. 3, 13.

20. Σίκλος· ἑβραϊκὴ μονάδα βάρους καὶ νομίσματος.

Μωυσῆς μιλοῦσε στό λαό ἔχοντας στό πρόσωπό του κάλυμμα, πράγμα πού λέει ὁ Παῦλος στή δεύτερη πρός Κορινθίους ἐπιστολή του[19]. Τότε τούς δίνει ἐντολές γιά τό Σάββατο καί γιά τά ὑλικά πού χρειάζονταν γιά νά προχωρήσουν στήν κατασκευή τῆς σκηνῆς, δηλαδή, γιά τό χρυσό, τό χαλκό, τίς τρίχες καί τά ὑπόλοιπα ὑλικά. Καί ἄλλοι ἔφεραν μέ πολλή προθυμία, ὥστε νά περισσεύουν, ἐνῶ ὅλες τίς ἐργασίες γιά τήν κατασκευή της ἔκαναν ὁ Βεσελεήλ ἀπό τή φυλή τοῦ Ἰούδα καί ὁ Ἐλιάβ ἀπό τή φυλή τοῦ Δάν, καί στήθηκε ἡ σκηνή, καί τή σκέπασε τό σύννεφο. Ὁ χρυσός πού ξοδεύτηκε στά ἔργα ἦτα εἴκοσι ἐννέα τάλαντα καί ἑπτακόσιοι σίκλοι[20], ὁ ἄργυρος ἑκατό τάλαντα καί ἑπτακόσιοι ἑβδομήντα δύο σίκοι, καί ὁ χαλκός ἑβδομήντα τάλαντα καί δυό χιλιάδες πεντακόσιοι σίκλοι.

3. ΠΕΡΙΛΗΨΗ ΤΟΥ ΛΕΥΪΤΙΚΟΥ

Τό βιβλίο αὐτό ὀνομάζεται Λευϊτικό, ἐπειδή κάνει λόγο εἰδικά καί γιά τήν ὑπηρεσία τῶν Λευϊτῶν, καί πῶς ὁ Ἀαρών καί οἱ υἱοί του ἐκλέγονται ἀπό τή φυλή τοῦ Λευΐ καί χρίονται ἱερεῖς, καί γιά ὅλα τά εἴδη τῶν θυσιῶν πού προσφέρεται στό ναό καί γιά ὅλη τή φύση τῆς λατρείας καί τῆς ἱερατικῆς ὑπηρεσίας. Ἀναφέρει καί τό νόμο κάθε θυσίας, καί γιά τή σωτηρία καί γιά τό ἑκούσιο καί ἀκούσιο ἁμάρτημα, ἀκόμη ἀναφέρει τόν τρόπο πού κάθε προσφορά πρέπει νά ξεχωρίζεται καί νά προσφέρεται. Ὑπάρχει στό βιβλίο αὐτό ἡ χρίση τοῦ ἀρχιερέα καί τῶν ἱερέων, ἡ διάκριση καί ἡ γνώση τῶν σημείων, γιά τή λέπρα τῶν ἀνθρώπων, τῶν ρούχων καί τῶν τοίχων τοῦ σπιτιοῦ, καί ὁ νόμος γιά τόν καθαρισμό τους. Νόμος καί διάκριση γιά τούς νόμιμους γάμους, καί ποιοί εἶναι παράνομοι. Καί πάλι διάκριση καθαρῶν καί ἀκάθαρτων ζώων καί πτηνῶν καί ψαριῶν καί ἑρπετῶν, καί ποιά ἀπ᾽ αὐτά πρέπει νά τρώγουν οἱ Ἑβραῖοι καί ἀπό ποιά διατάχθηκαν ν᾽ ἀπέχουν.

Καί τήν ἡμέρα τῶν σαλπίγγων[1] τήν τοποθετεῖ στήν πρώτη τοῦ ἕβδομου μήνα, ἐνῶ τήν ἐντολή γιά νά κάμουν τή μεγάλη νηστεία στή δέκατη ἡμέρα τοῦ ἴδιου ἕβδομου μήνα, πού τήν ὀνομάζει Σάββατα σαββάτων καί συγχώρηση ἀπό τίς ἁμαρτίες[2]. Περιέχει τήν ἑορτή τῆς

1. Πρόκειται γιά ἀργία πού ἀναγγελλόταν στό λαό μέ σάλπιγγες.

2. Εἶναι ἡ ἑορτή τοῦ ἐξιλασμοῦ.

σκηνοπηγίαν τῇ ιε΄ τοῦ αὐτοῦ μηνός. Καὶ περὶ ἑορτῶν, καὶ τῶν ἐν αὐταῖς ὀφειλόντων προσφέρεσθαι. Καὶ περὶ ἀφέσεως τῶν πιπρασκομένων Ἑβραίων, καὶ χρεῶν ἀποκοπῆς, καὶ περὶ ἀναπαύσεως τῆς γῆς κατὰ ζ΄ ἔτη ὀφειλούσης γίνεσθαι. Ἐξηγεῖται πάλιν τε ὑπόμνησιν νομίμων καὶ προσταγμάτων καὶ μαρτυριῶν. Περιέχει καὶ ἐπαγγελίας μὲν τοῖς φυλάσσουσιν αὐτήν, ἀπειλὰς δὲ τοῖς παραβαίνουσι δεινοτάτας. Τὴν δὲ διαστολὴν καὶ τὴν αἰτίαν τῶν καθαρῶν καὶ ἀκαθάρτων βρωμάτων οὕτω ποιεῖται. Καὶ τὰ μὲν ἀπὸ κτηνῶν καθαρὰ τὰ τοιαῦτα λέγει, τὰ διχηλοῦντα ὁπλὴν καὶ ὀνυχιστῆρας, ὀνυχίζοντα δύο χηλῶν, καὶ ἀνάγοντα μηρυκισμόν· οἷά ἐστι μόσχος, πρόβατον, αἴξ, ἔλαφος, βούβαλος, δορκάς, ὄρυξ, πύγαργος, τραγέλαφος, καμηλοπάρδαλις, καὶ τὰ τοιαῦτα. Εἰ δέ τινα ἀπὸ τούτων ἐνέλιπε, ἀκάθαρτόν ἐστιν· οἷά ἐστιν ὁ κάμηλος καὶ ὁ δασύπους καὶ ὁ χοιρόγρυλλος· ταῦτα γὰρ μηρυκᾶται μέν, οὐ διχηλεῖ δὲ ὁπλήν· καὶ ὁ ὗς· καὶ οὗτος διχηλεῖ μὲν καὶ ὀνυχίζει, οὐ μηρυκᾶται δέ.

Ἀπὸ δὲ τῶν πετεινῶν, ἃ κελεύει μὴ ἐσθίειν, ταῦτά ἐστιν· τὸν ἀετόν, τὸν γρῦπα, τὸν ἁλιέα, τὸν γῦπα, τὸν ἰκτῖνον, τὸν κόρακα, καὶ τὰ ὅμοια αὐτῶν, καὶ ἱέρακα καὶ τὰ ὅμοια αὐτῶν, καὶ τὸν νυκτικόρακα, καὶ καταράκτην, καὶ ἶβιν, καὶ πορφυρίωνα, καὶ πελεκᾶνα, καὶ κύκνον, καὶ ἐρωδιόν, καὶ χαράδριον, καὶ τὰ ὅμοια αὐτοῖς, καὶ ἔποπα καὶ νυκτερίδα. Τῶν δὲ ἑρπετῶν πετεινῶν ἀκάθαρτα ἅπαντα εἶναι λέγει, τὰ πορευόμενα ἐπὶ τεσσάρων, ἔχοντα δὲ ἀνωτέρω τῶν ποδῶν σκέλη, ὥστε ἐν αὐτοῖς πηδᾶν ἀπὸ τῆς γῆς, οἷά ἐστιν ὁ βροῦχος, ὁ πίτtακος, ὁ ἀτταγός, καὶ ἡ ἀκρίς, καὶ τὰ ὅμοια αὐτοῖς, καὶ ὁ ὀφιοῦχος. Τὰ δὲ ἐν τοῖς ὕδασιν, ἔν τε τῇ θαλάσσῃ καὶ τοῖς ποταμοῖς καὶ χειμάῤῥοις γινόμενα, ταῦτα λέγει εἶναι καθαρά, ὅσα ἔχει πτερύγια καὶ λεπίδας, οἷά ἐστι τρίγλα, σκάρος, γλαῦκος, κεστρεύς, καὶ τὰ ὅμοια αὐτοῖς. Τὰ δὲ λειπόμενα ἔν τινι τούτων, ἀκάθαρτα καὶ οὐ βρωτέα, οἷόν ἐστι σ πτερύγια μὲν γὰρ ἔχει, λεπίδας δὲ οὔ. Τῶν δὲ ἑρπετῶν τῶν ἐπὶ τῆς γῆς ἀκάθαρτα ταῦτα λέγει εἶναι, τὴν γαλῆν, τὸν μῦν, τὸν χερσαῖον κροκόδειλον, τὴν μυγαλῆν, καὶ τὸν χαμαιλέοντα, τὸν ἀσκαλαβώτην, τὴν σαῦραν καὶ ἀσπάλακα. Περὶ γὰρ τοῦ ὄφεως καὶ τῶν

3. Εἶδος ζαρκαδιοῦ. 4. Εἶδος ζαρκαδιοῦ ἢ ἐλαφιοῦ. 5. Θαλασσινό πουλί.

Σκηνοπηγίας στίς δεκαπέντε τοῦ ἴδιου μήνα. Καί γιά τίς ἑορτές καί τίς προσφορές πού πρέπει νά κάνουν σ' αὐτές. Καί γιά τήν ἀπελευθέρωση τῶν 'Εβραίων πού εἶχαν πουληθεῖ, καί γιά τήν ἀπόσβεση τῶν χρεῶν, καί γιά τήν ξεκούραση τῆς γῆς πού πρέπει νά γίνεται κάθε ἑπτά χρόνια. 'Υπενθυμίζει πάλι τίς ὑποχρεώσεις τοῦ νόμου καί τίς ἐντολές καί τίς ἀποδείξεις. Περιέχει καί ὑποσχέσεις γιά ἐκείνους πού φυλάγουν αὐτά καί φοβερότατες ἀπειλές γιά ἐκείνους πού τά παραβαίνουν. Τή διάκριση καί τήν αἰτία τῶν καθαρῶν καί ἀκάθαρτων φαγητῶν κάνει ὡς ἑξῆς. 'Από τά ζῶα λέγει καθαρά αὐτά πού εἶναι δίχηλα, αὐτά πού ἔχουν σχισμένη στά δύο τήν ὁπλή τους, καί εἶναι μηρυκαστικά, ὅπως εἶναι τό μοσχάρι, τό πρόβατο, ἡ γίδα, τό ἐλάφι, τό βουβάλι, τό ζαρκάδι, ἡ ἀντιλόπη, ὁ πύγαργος[3], ὁ τραγέλαφος[4], ἡκαμηλοπάρδαλη, καί τά παρόμοια. 'Εάν ὅμως παρέλειψε μερικά ἀπ' αὐτά, εἶναι ἀκάθαρτα. Τέτοια εἶναι ἡ καμήλα, ὁ λαγός καί όσκαντζόχοιρος, γιατί αὐτά εἶναι μηρυκαστικά βέβαια, ἀλλά δέν εἶναι δίχηλα, ἀκόμη καί ὁ χοῖρος, πού εἶναι δίχηλο καί ἔχει σχιστά νύχια, ἀλλά δέν εἶναι μηρυκαστικό.

Από τά πτηνά ἐκεῖνα πού διατάζει νά μήν τρώγουν εἶναι τά ἑξῆς· όάετός, ὁ γρυπάετος, ὁ θαλασσινός ἀετός, ὁ γύπας, τό γεράκι, όκόρακας καί τά ὅμοια μ' αὐτά, καί τό γεράκι μέ τά ὅμοιά του, καί ονυχτοκόρακας, ὁ καταρράκτης[5], ἡ ἴβη[6], ἡ νερόκοττα, ὁ πελεκάνος, όκύκνος, ὁ ἐρωδιός[7], ὁ χαραδριός[8] καί τά ὅμοια μ' αὐτά, καί ότσαλαπετεινός καί ἡ νυχτερίδα. 'Από τά ἑρπετά-πτηνά λέγει πώς ὅλα εἶναι ἀκάθαρτα, ὅσα βαδίζουν μέ τά τέσσερα καί ἔχουν τά πίσω πόδια ψηλότερα ἀπό τά μπροστινά, γιά νά πηδοῦν στό ἔδαφος, ὅπως εἶναι όβροῦχος, ὁ πίτταχος, ὁ ἀτταγός καί ἡ ἀκρίδα, καί τά ὅμοια μ' αὐτά, καί ὁ ὀφιομάχος[9]. Αὐτά πού ζοῦν στά νερά, καί στή θάλασσα καί τά ποτάμια καί τούς χειμάρρους, αὐτά λέγει πώς εἶναι καθαρά, ὅσα ἔχουν πτερύγια καί λέπια, ὅπως εἶναι τό μπαρμπούνι, ὁ σκάρος, ὁ γλαῦκος, όκεστρίνος καί τά ὅμοια μ' αὐτά. Τά ὑπόλοιπα ἀπ' αὐτά εἶναι ἀκάθαρτα καί δέν πρέπει νά τρώγονται, ὅπως εἶναι ἡ σουπιά, γιατί ἔχει βέβαια πτερύγια, ἀλλά δέν ἔχει λέπια. 'Από τά ζῶα πού περπατοῦν στό ἔδαφος λέγει πώς εἶναι ἀκάθαρτα αὐτά, ἡ γάτα, όποντικός, ὁ κροκόδειλος τῆς ξηρᾶς, ὁ ἀρουραῖος, ὁ χαμαιλέοντας, ἡπαρδαλή σαύρα, ἡ σαύρα καί ὁ τυφλοπόντικας. Σχετικά μέ τό φίδι

6. Λιμνόβιο πουλί. 7. 'Ελόβιο πουλί, ὁ ψαροφάγος.

8. Πουλί πού ζεῖ στίς χαράδρες καί εἶναι πολύ λαίμαργο.

9. Βροῦχος, πίτταχος, ἀτταγός, ὀφιομάχος· εἴδη ἀκρίδας.

ὁμοίων αὐτῷ περιττὸν ἐν αὐτῷ μνημονεῦσαι· φανερὸν μὲν γὰρ ἦν πᾶσι ταῦτα βδελυκτὰ εἶναι καὶ μισητά. Ὁμοίως δὲ καὶ περὶ αὐτῶν ἐμνημόνευσεν ἐν τῷ Δευτερονομίῳ.

Ἔτι δὲ περιέχει περί τε τῶν θνησιμαίων ὡς ἀπηγο-
5 *ρευμένων, καὶ τοῦ αἵματος ὁμοίως, καὶ περὶ γυναικῶν τικτουσῶν. Καὶ εἰ σπερτικὴ ᾖ, ἀκάθαρτος ἔσται ἑπτὰ ἡμέρας. Καὶ περὶ τῆς ὀκτοημέρου περιτομῆς τοῦ βρέφους. Καὶ περὶ τῆς ἀφέδρου, καὶ περὶ διαφορᾶς τικτουσῶν ἄῤῥεν ἢ θῆλυ καθαρισμοῦ. Καὶ νόμος περὶ λέπρας καὶ καθαρισμοῦ αὐτῆς,*
10 *καὶ περὶ γονοῤῥέων καὶ σπερμογονείας. Περί τε εὐλαβείας, καὶ περὶ ἀποπομπαίου καὶ περὶ νηστείας· καὶ περὶ τοῦ μὴ δεῖν ἀτάκτους ποιεῖσθαι συζυγίας, καὶ περὶ γάμων νομίμων καὶ ἀθέσμων, καὶ ὅτι οὐ χρὴ χήραν ἢ ἐκβεβλημένην τὸν ἱερέα λαμβάνειν, ἀλλὰ παρθένον καὶ ἐκ πάντων ἀκολήτων. Καὶ περὶ*
15 *ἐκπορνευούσης θυγατρὸς ἱερέως. Καὶ περὶ τοῦ ἄμωμον εἶναι τὸν ἱερέα. Καὶ περὶ τῶν προσφερομένων δώρων. Περί τε Σαββάτων, καὶ ἑορτῶν, καὶ τῆς ἑορτῆς τοῦ Πάσχα, καὶ τῶν σκηνοπηγιῶν καὶ τῶν σαλπίγγων. Καὶ περὶ τοῦ ἐλαίου, τοῦ φωτός, καὶ τῶν ἄρτων τῆς προθέσεως, καὶ περὶ τοῦ ἐνιαυτοῦ*
20 *τῆς ἀφέσεως. Εἶτα περὶ δούλων Ἰουδαίων καὶ ἐθνικῶν.*

Καὶ περὶ ἀπαγορεύσεως εἰδώλων οὕτω διαλαμβάνων· "Ἐγὼ γὰρ ὁ Θεὸς ὑμῶν· οὐ ποιήσετε ὑμῖν αὐτοῖς χειροποίητα, οὐδὲ γλυπτά, οὐ στήλην ἀναστήσετε ὑμῖν, οὐδὲ λίθον σκοπὸν θήσετε ἐν τῇ γῇ ὑμῶν· προσκυνῆσαι αὐτῷ". Πρὸς τούτοις
25 *ἀπειλὰς τῶν παραβαινόντων οὕτως· "Ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, ὁ ἐξαγαγὼν ἐκ γῆς Αἰγύπτου ὑμᾶς, ὄντων ὑμῶν δούλων, καὶ συνέτριψα τὸν δεσμὸν τοῦ ζυγοῦ ὑμῶν, καὶ ἤγαγον ὑμᾶς μετὰ παῤῥησίας. Ἐὰν δὲ μὴ ὑπακούσητέ μου, μηδὲ ποιήσητε τὰ προστάγματά μου ταῦτα, ἀλλ' ἀπειθήσετε αὐτοῖς, καὶ τοῖς*
30 *κρίμασί μου προσοχθίσῃ ἡ ψυχὴ ὑμῶν, ὥστε ὑμᾶς μὴ ποιεῖν πάσας τὰς ἐντολάς μου, ὥστε διασκεδάσαι τὴν διαθήκην μου, καὶ ἐγὼ ποιήσω οὕτως ὑμῖν, καὶ ἐπιστήσω ἐφ' ὑμᾶς τὴν ἀπορίαν, τήν τε ψώραν, καὶ τὸν ἴκτερον σφακελίζοντα τοὺς ὀφθαλμοὺς ὑμῶν· καὶ σπερεῖτε διακενῆς τὰ σπέρματα ὑμῶν,*
35 *καὶ ἔδονται ταῦτα οἱ ὑπεναντίοι ὑμῶν". Καὶ οὕτω περιέχον τὸ βιβλίον ταῦτα μετὰ τῶν λοιπῶν προσταγμάτων καὶ ἐντολῶν τελειοῦται ἐν τούτοις.*

καί τά ὅμοιά του ἦταν περιττό νά τ' ἀναφέρει σ' αὐτό, γιατί σ' ὅλους ἦταν φανερό πώς αὐτά εἶναι ἀκάθαρτα καί μισητά. Ἐπίσης ἔκανε λόγο γι' αὐτά καί στό Δευτερονόμιο.

Ἀκόμη περιέχει γιά τά πτώματα πού εἶναι ἀπαγορευμένα, ἐπίσης γιά τό αἷμα καί γιά τίς γυναῖκες πού γεννοῦν. Καί ἐάν κάποια γυναίκα μείνει ἔγκυος, θά εἶναι ἀκάθαρτη γιά ἑπτά ἡμέρες. Καί γιά τήν περιτομή τοῦ βρέφους κατά τήν ὄγδοη ἡμέρα. Καί γιά τήν ἔμμηνη ρύση, καί γιά τή διαφορά στόν καθαρισμό τῶν γυναικῶν πού γεννοῦν ἀρσενικό ἤ θηλυκό παιδί. Καί νόμος γιά τή λέπρα καί τόν καθαρισμό της, καί γι' αὐτούς πού παθαίνουν ρεύση καί τήν ἐκσπερμάτωση. Καί γιά τήν εὐλάβεια, τόν ἀποπομπαῖο τράγο καί τή νηστεία. Καί γιά τό ὅτι δέν πρέπει νά ἔρχονται σέ δεσμό γάμου παραβαίνοντας τήν τάξη, καί γιά τούς νόμιμους καί παράνομους γάμους, καί ὅτι δέν πρέπει ὁ ἱερέας νά παίρνει γυναίκα του χήρα ἤ διαζευγμένη, ἀλλά παρθένο καί ἀπ' ὅλα ἀκηλίδωτη. Καί γιά τή θυγατέρα τοῦ ἱερέα πού γίνεται πόρνη. Καί γιά τό ὅτι πρέπει νά εἶναι χωρίς ἐλαττώματα ὁ ἱερέας. Καί γιά τά προσφερόμενα δῶρα. Γιά τά Σάββατα, τίς ἑορτές, τήν ἑορτή τοῦ Πάσχα, τή σκηνοπηγία καί τίς σάλπιγγες. Καί γιά τό λάδι τῆς λυχνίας, τό φῶς, τούς ἄρτους τῆς πρόθεσης καί γιά τό χρόνο τῆς ἐλευθερίας[10]. Ἔπειτα γιά τούς δούλους τούς Ἰουδαίους καί τούς ἐθνικούς.

Καί γιά τήν ἀπαγόρευση τῶν εἰδώλων λέγει τά ἑξῆς· «Ἐγώ εἶμαι ὁΘεός σας. Δέ θά κάνετε γιά τόν ἑαυτό σας εἴδωλα χειροποίητα, οὔτε γλυπτά ἀγάλματα, οὔτε θά στήσετε εἰδωλολατρική στήλη, οὔτε θά βάλετε στή χώρα σας πέτρινο σημεῖο γιά νά τό προσκυνήσετε»[11]. Κοντά σ' αὐτά ἀπειλές γιά τούς παραβάτες ἔτσι· «Ἐγώ εἶμαι Κύριος ὁ Θεός σας, πού σᾶς ἔβγαλα ἀπό τήν Αἴγυπτο, ὅταν ἤσαστε δοῦλοι καί ἔσπασα τό ζυγό τῆς δουλείας σας καί σᾶς ὁδήγησα μέ δύναμη. Ἐάν ὅμως δέ μέ ὑπακούσετε καί δέν ἐφαρμόσετε τίς ἐντολές μου αὐτές, ἀλλά τίς παραβεῖτε καί ἀηδιάσει ἡ ψυχή σας στίς ἀποφάσεις μου, ὥστε ἐσεῖς νά μήν ἐφαρμόσετε ὅλες τίς ἐντολές μου καί νά διαλύσετε τή συμφωνία μου, καί ἐγώ θά σᾶς κάνω τό ἴδιο, καί θά σᾶς στείλω τή φτώχεια, τήν ψώρα καί τόν ἴκτερο πού ἀδυνατίζει τά μάτια σας. Θά σπείρετε στά χαμένα τούς σπόρους σας καί θά τρώγουν αὐτούς οἱ ἐχθροί σας»[12]. Καί περιέχοντας αὐτά τό βιβλίο τοῦτο μαζί μέ τά ὑπόλοιπα προστάγματα καί ἐντολές τελειώνει σ' αὐτά.

10. Πρόκειται γιά τό ἰωβηλαῖο ἔτος κατά τό ὁποῖο γινόταν ἡ ἀπελευθέρωση τῶν δούλων. Ἑορτάζόταν κάθε πενήντα χρόνια.

11. Λευϊτ. 26, 1. 12. Λευϊτ. 26, 13-16.

4. ΣΥΝΟΨΙΣ ΤΩΝ ΑΡΙΘΜΩΝ

Κελεύεται Μωϋσῆς ἀριθμῆσαι τὸν λαὸν ἀπὸ εἰκοσαέτους καὶ ἐπάνω, καὶ ἦσαν ἑξακόσιαι χιλιάδες καὶ τρισχίλιοι, καὶ ἑξακόσιοι καὶ πεντήκοντα χωρὶς τῶν Λευϊτῶν. Γενεαλογοῦνται 5 οἱ Λευῖται, καὶ ἀριθμοῦνται, καὶ ἦσαν εἴκοσι δύο χιλιάδες ἀπὸ μηνιαίου καὶ ἐπάνω. Ἐπειδὴ δὲ οἱ πρωτότοκοι Ἰσραὴλ εἰκοσιδύο χιλιάδες ἦσαν καὶ τρεῖς καὶ διακόσιοι καὶ ἑβδομήκοντα, ἀντὶ τῶν περισσῶν ἔλαβε λύτρα Μωϋσῆς, καὶ δίδωσιν Ἀαρών. Τὰ δὲ λύτρα ἦν χίλιοι τριακόσιοι ἑξήκοντα πέντε 10 σίκλοι κατὰ κεφαλήν. Διατάσσει τίνα λειτουργεῖν δεῖ, τίνες Λευῖται ὀφείλουσιν εἶναι· οὐ γὰρ πάντες τῆς αὐτῆς ἠξίωντο τιμῆς. Ἄλλοι μὲν τὰ τιμιώτερα τῶν σκευῶν τῆς σκηνῆς, οἱ δὲ τὰ ἐλάττω ἐνεχειρίζοντο. Ἐγενήθησαν δὲ οἱ Λευῖται οἱ ἀπὸ εἰκοσαέτους καὶ ἐπάνω, οἳ καὶ ἐλειτούργουν, ἕως πεντη- 15 κονταέτους, ὀκτακισχίλιοι πεντακόσιοι ὀγδοήκοντα τρεῖς.

Τότε κελεύει πάντα ἀκάθαρτον ἐξαποστεῖλαι τῆς παρεμβολῆς, καὶ περὶ θυσίας τῆς ὑπὲρ πλημμελείας διαλέγεται, καὶ τὸν τῆς ζηλοτυπίας διατάττει νόμον, ὥστε μὴ συκοφαντεῖσθαι γυναῖκα ἐπὶ μοιχείᾳ, μήτε μοιχευθεῖσαν δύνασθαι λαθεῖν. Περὶ 20 τῆς εὐχῆς τοῦ ἁγιασμοῦ διατάττεται, καὶ πῶς δεῖ τὸν ἱερέα εὐλογεῖν τοὺς υἱοὺς Ἰσραήλ. Ὡς δὲ ἔστη ἡ σκηνή, περιῆγον οἱ ἄρχοντες δῶρα πολλά τε καὶ μεγάλα. Κελεύεται Μωϋσῆς ἁγνίσαι τοὺς Λευΐτας, καὶ ἀκούει ὅτι ἀπὸ εἰκοσαέτους δεῖ αὐτοὺς λειτουργεῖν καὶ ἐπάνω, ἀπὸ δὲ πεντηκονταέτους ἀφίστασθαι τῆς λειτουργίας. Κελεύει αὐτοῖς ὁ Θεὸς διὰ Μωϋσέως ποιῆσαι τὸ Πάσχα. "Εἰπὲ" γάρ, φησί, "καὶ ποιείτωσαν υἱοὶ Ἰσραὴλ τὸ Πάσχα".[1] Ἦν γὰρ πρῶτος μὴν τοῦ δευτέρου ἔτους. Προσῆλθον δὲ οἱ ἀκάθαρτοι Μωϋσεῖ, καὶ ἀνήνεγκε περὶ αὐτῶν τῷ Θεῷ. Καὶ προσέταξεν ὁ Θεὸς τὸν μὴ 30 δυνάμενον ἐν τῷ πρώτῳ μηνὶ θύειν τὸ Πάσχα, ἢ διὰ τὸ ἀκάθαρτον εἶναι, ἢ διὰ τὸ ἐν ὁδῷ μακρᾷ τυγχάνειν, τῷ δευτέρῳ μηνὶ ποιεῖν, τῇ τεσσαρεσκαιδεκάτῃ. Εἰ δέ τις καὶ καθαρὸς ὤν, καὶ οὐκ ὢν ἐν μακρᾷ ὁδῷ, μὴ βούλοιτο ποιεῖν τὸ Πάσχα ἐν τῷ πρώτῳ μηνί, ὑπὸ ἁμαρτίαν ἔσται. Νόμος, φησίν, 35 εἷς ἔστω τῷ προσηλύτῳ καὶ τῷ αὐτόχθονι.[2]

---

1. Ἀριθμ. 9, 2. 2. Ἀριθμ. 9, 14.

4. ΠΕΡΙΛΗΨΗ ΤΩΝ ΑΡΙΘΜΩΝ

Διατάζεται ὁ Μωυσῆς νά μετρήσει ὅλους τούς Ἰσραηλίτες ἀπό εἴκοσι χρονῶν καί πάνω, καί ἦταν ἑξακόσιες τρεῖς χιλιάδες ἑξακόσιοι πενήντα χωρίς τούς Λευῖτες. Ἀναφέρεται ἡ γενεαλογία τῶν Λευϊτῶν, γίνεται ἡ ἀπογραφή τους· καί ἦταν εἴκοσι δύο χιλιάδες ἀπό ἡλικία ἑνός μήνα καί πάνω. Ἐπειδή τά πρωτότοκα ἀρσενικά παιδιά τῶν Ἰσραηλιτῶν βρέθηκαν εἴκοσι δύο χιλιάδες διακόσια ἑβδομήντα τρία, γι' αὐτά πού πλεονάζουν πῆρε λύτρα ὁ Μωυσῆς καί τά δίνει στόν Ἀαρών. Τά λύτρα ἦταν χίλιοι τριακόσιοι ἑξήντα πέντε σίκλοι γιά κάθε ἄτομο. Διατάζει ὁ Θεός ποιά πρέπει νά εἶναι τά ἱερατικά καθήκοντα, ποιοί πρέπει νά εἶναι οἱ Λευῖτες, γιατί δέν κρίθηκαν ὅλοι ἄξιοι γιά τήν ἴδια τιμή. Ἄλλοι ἀνέλαβαν τά πιό πολύτιμα σκεύη τῆς Σκηνῆς τοῦ μαρτυρίου καί ἄλλοι τά πιό ἀσήμαντα. Ὅλοι οἱ Λευῖτες ἀπό εἴκοσι χρονῶν καί πάνω, αὐτοί δηλαδή πού εἶχαν ἱερατικά καθήκοντα, ἦταν ὀκτώ χιλιάδες πεντακόσιοι ὀγδόντα τρεῖς.

Τότε διατάζει ν' ἀπομακρύνουν ἀπό τήν κατασκήνωσή τους κάθε ἀκάθαρτο, καί μιλάει γιά τή θυσία πού γίνεται γιά ἐξιλέωση ἀπό τήν ἁμαρτία, καί διατάζει τό νόμο τῆς ζηλοτυπίας, ὥστε νά μή συκοφαντοῦν γυναίκα γιά μοιχεία, οὔτε νά μποροῦν νά πάρουν γυναίκα μοιχαλίδα. Ὁρίζεται ἡ εὐχή τοῦ ἁγιασμοῦ, καί πῶς πρέπει ὁ ἱερέας νά εὐλογεῖ τούς Ἰσραηλίτες. Μόλις στήθηκε ἡ Σκηνή, πρόσφεραν οἱ ἀρχηγοί δῶρα πολλά καί μεγάλα. Παίρνει ἐντολή ὁ Μωυσῆς νά κάνει καθαρμό στούς Λευῖτες καί πληροφορεῖται πώς ἀπό ἡλικία εἴκοσι ἐτῶν καί πάνω πρέπει νά προσφέρουν αὐτοί τήν ἱερατική ὑπηρεσία, ἐνῶ ἀπό τό πεντηκοστό ἔτος ν' ἀποχωροῦν ἀπό τήν ὑπηρεσία αὐτή. Τούς διατάζει ὁ Θεός μέ τό στόμα τοῦ Μωυσῆ νά τελέσουν τό Πάσχα. Γιατί λέγει, «Πές νά τελέσουν οἱ Ἰσραηλίτες τό Πάσχα»[1]. Ἦταν ὁ πρῶτος μήνας τοῦ δεύτερου χρόνου. Παρουσιάστηκαν οἱ ἀκάθαρτοι στό Μωυσῆ, καί ἀνέφερε γι' αὐτούς στό Θεό. Καί πρόσταξε ὁ Θεός, ἐκεῖνος πού δέν μπορεῖ νά κάμει τό Πάσχα στόν πρῶτο μήνα, ἤ γιατί εἶναι ἀκάθαρτος ἤ βρίσκεται μακριά, θά κάμει καί αὐτός τό Πάσχα στίς δεκατέσσερις τοῦ δεύτερου μήνα. Ἐάν ὅμως κάποιος, ἐνῶ εἶναι καθαρός καί δέ βρίσκεται μακριά, δέ θέλει νά ἑορτάσει τό Πάσχα στόν πρῶτο μήνα, θά κάμει παράπτωμα. Ὁ νόμος, λέγει, θά εἶναι ὁ ἴδιος γιά τόν ξένο καί γιά τόν ντόπιο[2].

Ἡνίκα ἀνέβαινεν ἡ νεφέλη, ἀπῆρον οἱ υἱοὶ Ἰσραήλ, καὶ οὗ ἂν ἔστη, ἐκεῖ παρενέβαλλον. Κελεύεται Μωϋσῆς ποιῆσαι σάλπιγγας ἀργυρᾶς, ὥστε δι' αὐτῶν σημαίνειν τῷ λαῷ, ἡνίκα ἀπᾶραι δέοι, ἡνίκα συναγαγεῖν τὸν λαὸν ἐν πολέμοις, ἐν θυσίαις, χρήσασθαι ταῖς σάλπιγξι ταύταις ἐν ἑορταῖς, ἐν νεομηνίαις, ἐν ὁλοκαυτώμασιν. Ὡς δὲ ἐξῆραν οἱ υἱοὶ Ἰσραήλ, παρεκάλει τὸν Ἰωβάρ Μωϋσῆς υἱὸν Ῥαγουὴλ τὸν καὶ Ἰοθόρ, ὥστε αὐτῷ καὶ τῆς ὁδοῦ κοινωνῆσαι, καὶ τῶν ἐπαγγελθέντων ἀγαθῶν αὐτοῖς· καὶ ἐν τῷ ἐξαίρειν τὴν κιβωτόν, εἶπε Μωϋσῆς· "Ἐξεγέρθητι, Κύριε, διασκορπισθήτωσαν οἱ ἐχθροί σου, φυγέτωσαν πάντες οἱ μισοῦντές σε". Καὶ ἐγόγγυζεν ὁ λαός, καὶ κατεκάη μέρος τῆς παρεμβολῆς, καὶ ἐκλήθη ὁ τόπος ἐμπυρισμός. Καὶ ηὔξατο Μωϋσῆς, καὶ ἐπαύσατο ἡ τιμωρία. Καὶ ἐζήτουν κρέα, καὶ ἔλεγον· "Ἐμνήσθημεν τοὺς ἰχθῦς, οὓς ἠσθίομεν ἐν Αἰγύπτῳ, τοὺς σικύους, καὶ τοὺς πέπονας, τὰ πράσα, τὰ κρόμμυα, τὰ σκόροδα. Νῦν δὲ ἡ ψυχὴ ἡμῶν κατάξηρος· οὐδὲν πλὴν εἰς τὸ μάννα οἱ ὀφθαλμοὶ ἡμῶν".

Ὡς δὲ ἐβαρύνετο τὴν ἀντιστασίαν αὐτῶν, καὶ ἐνετύγχανε τῷ Θεῷ, προστίθησιν αὐτῷ ἑβδομήκοντα πρεσβυτέρους, ὥστε συλλαμβάνεσθαι αὐτῷ ἐν τῇ ἀρχῇ. Τότε τοῦ Ἰησοῦ τοῦ Ναυῆ εἰπόντος· Κώλυσον τὸν υἱὸν Ἐλδὰδ καὶ Μωδὰδ τοῦ προφητεύειν, φησὶν ὁ Μωϋσῆς· "Ζηλοῖς σύ μοι; Καὶ τίς δῷ ἅπαντα τὸν λαὸν Κυρίου προφήτας;" Τότε ἀνέβη ὀρτυγομήτρα παρὰ Κυρίου, καὶ ἔφαγον. Καὶ τὰ κρέα ἦν ἐν τοῖς ὀδοῦσιν αὐτῶν, πρὶν ἢ ἐκλιπεῖν. Τοῦτο τὸ ἐν ψαλμῷ εἰρημένον· "Ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν, καὶ ὀργὴ τοῦ Θεοῦ ἀνέβη ἐπ' αὐτούς· καὶ ἀπέκτεινεν ἐν τοῖς πλείοσιν αὐτῶν". Ἐκλήθη δὲ ὁ τόπος οὗτος μνήματα ἐπιθυμίας. Τότε κατελάλησε τῷ Μωϋσεῖ Μαρία, λέγουσα· "Μὴ αὐτῷ μόνῳ ἐλάλησεν ὁ Θεός;" Εἰπὼν δὲ ὁ Θεός, ὅτι αὐτῷ μόνῳ προφητῶν ἐλάλησεν οὕτως, ἐπέβαλεν ἐπὶ τὴν Μαριὰμ λέπραν, καὶ Μωϋσέως δεηθέντος ὑπὲρ αὐτῆς, οὐ πρότερον αὐτὴν ἀφῆκε καθαρισθῆναι, ἕως ἐποίησεν ἑπτὰ ἡμέρας ἔξω τῆς παρεμβολῆς.

Πέμπει γοῦν τινας ἐκ τοῦ λαοῦ κατασκέψασθαι τὴν γῆν Χαναάν. Καὶ κατασκεψάμενοι, βότρυν ἤνεγκαν ἐκεῖθεν, καὶ τὴν γῆν ἐθαύμαζον. Ἐφοβοῦντο γὰρ τὸν λαόν, ὡς μαχίμων

3. Ἀριθμ. 10, 34. 4. Ἀριθμ. 11, 5-6. 5. Ἀριθμ. 11, 29.

Ὅταν σηκωνόταν τό σύννεφο, ἀναχωροῦσαν οἱ Ἰσραηλίτες, καί ἐκεῖ πού θά σταματοῦσε, ἐκεῖ στρατοπέδευαν. Προστάζεται ὁ Μωυσῆς νά κάμει ἀσημένιες σάλπιγγες, γιά νά εἰδοποιεῖ μ' αὐτές τό λαό, ὅταν πρέπει ν' ἀναχωρήσουν, ὅταν πρέπει νά συγκεντρώνει τό λαό στούς πολέμους, στίς θυσίες, νά χρησιμοποιοῦν τίς σάλπιγγες αὐτές στίς ἑορτές, στίς νουμηνίες, στά ὁλοκαυτώματα. Μόλις ἀναχώρησαν οἱ Ἰσραηλίτες, παρακαλοῦσε ὁ Μωυσῆς τόν Ἰωβάρ τόν υἱό τοῦ Ραγουήλ, ὁ ὁποῖος λεγόταν καί Ἰοθόρ, γιά νά ἔρθει μαζί τους καί νά συμμετάσχει στά ἀγαθά πού τούς ὑποσχέθηκε ὁ Κύριος. Καί ὅταν ἐπρόκειτο ν' ἀναχωρήσει ἡ κιβωτός, εἶπε ὁ Μωυσῆς· «Σήκω, Κύριε, καί ἄς σκορπισθοῦν οἱ ἐχθροί σου, ἄς τραποῦν σέ φυγή ὅλοι ἐκεῖνοι πού σέ μισοῦν»[3]. Ὁ λαός γόγγυζε, καί κάηκε ἕνα μέρος ἀπό τό στρατόπεδό τους, καί ὀνομάστηκε ὁ τόπος αὐτός «Ἐμπυρισμός». Προσευχήθηκε ὁ Μωυσῆς καί σταμάτησε ἡ τιμωρία. Ζητοῦσαν κρέας καί ἔλεγαν· «Θυμηθήκαμε τά ψάρια πού τρώγαμε στήν Αἴγυπτο, τά ἀγγούρια, τά πεπόνια, τά πράσα, τά κρεμμύδια, τά σκόρδα. Τώρα ἡψυχή μας εἶναι κατάξηρη· τίποτε ἄλλο δέ βλέπουμε ἐκτός ἀπό τό μάννα»[4].

Ἐπειδή ὁ Μωυσῆς κουράστηκε ἀπό τήν ἀντίστασή τους καί προσευχήθηκε στό Θεό, τοῦ προσθέτει ἑβδομήντα ἄνδρες ἀπό τούς γεροντότερους, γιά νά τόν βοηθοῦν στήν ἐξουσία. Ὅταν ὁ Ἰησοῦς τοῦ Ναυῆ τοῦ εἶπε τότε, ἐμπόδισε τόν Ἐλδάδ καί τό Μωδάδ νά προφητεύουν, λέγει ὁ Μωυσῆς· «Μέ ζηλεύεις ἐσύ; Εἴθε ὅλοι νά γίνουν προφῆτες τοῦ Κυρίου!»[5]. Τότε ἔστειλε ὁ Κύριος ὀρτύκια, καί ἔφαγαν. Καί τά κρέατα ἦταν ἀκόμη στά δόντια τους, προτοῦ νά σταματήσουν νά τρώγουν. Αὐτό εἶναι γραμμένο στούς ψαλμούς· «Ἐνῶ ἡ τροφή ἦταν ἀκόμη στό στόμα τους, ἡ ὀργή τοῦ Θεοῦ ξέσπασε ἐναντίον τους καί θανάτωσε πάρα πολλούς ἀπ' αὐτούς»[6]. Ὀνομάστηκε ὁ τόπος αὐτός «Μνήματα τῆς ἐπιθυμίας». Τότε ἡ Μαρία κακολόγησε τό Μωυσῆ, λέγοντας· «Μήπως σ' αὐτόν μόνο μίλησε ὁ Θεός;»[7]. Ἀφοῦ ἀπάντησε ὁ Θεός, ὅτι σ' αὐτόν μόνο ἀπό τούς προφῆτες μίλησε ἔτσι, τιμώρησε τή Μαριάμ μέ λέπρα, καί ὅταν ὁ Μωυσῆς παρακάλεσε γι' αὐτή, δέν ἄφησε νά καθαρισθεῖ αὐτή προτοῦ νά μείνει ἑπτά ἡμέρες ἔξω ἀπό τήν κατασκήνωση.

Στέλνει ὁ Μωυσῆς μερικούς ἀπό τό λαό νά κατασκοπεύσουν τή χώρα τῆς Χαναάν. Καί ἀφοῦ κατασκόπευσαν, ἔφεραν ἀπό ἐκεῖ σταφύλια, καί θαύμαζαν τή χώρα. Γιατί φοβοῦνταν τό λαό της, ἐπειδή

6. Ψαλμ. 77, 30.31. 7. Ἀριθμ. 12, 2.

όντων τῶν ἐκεῖ ἀνδρῶν. Χαλὲβ δὲ ὁ τοῦ Ἰεφονεί, καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ, καὶ αὐτοὶ ἐκ τῶν κατασκόπων ὄντες, παρεθάῤῥυνον τὸν λαόν. Οἱ δὲ ἦλθον λιθοβολῆσαι αὐτούς· ὁ δὲ Θεὸς ὀργισθεὶς εἶπε μὴ ἀνελθεῖν τοὺς γογγύσαντας εἰς τὴν γῆν τῆς ἐπαγγελίας, εἰ μὴ τὰ τέκνα αὐτῶν, καὶ Χαλὲβ υἱὸν Ἰεφονεί, καὶ Ἰησοῦν. Τεσσαράκοντα δὲ ἔτη, φησίν, ἔσονται ἐν τῇ ἐρήμῳ, ἕως ἂν αὐξηθῇ τὰ παιδία, κατὰ ἀριθμὸν τῶν ἡμερῶν, ὧν ἐπεσκέψαντο τὴν γῆν. Τότε οἱ κατάσκοποι πάντες ἀπέθανον, πλὴν Χαλὲβ καὶ Ἰησοῦ τοῦ Ναυῆ, καὶ ἐπένθησεν ὁ λαός. Ἀνῆλθον ἐπὶ τὸν Ἀμαλὴκ παρὰ τὸ δοκοῦν τῷ Θεῷ, καὶ ἡ κιβωτὸς ἀνέμεινεν ἐν τῇ παρεμβολῇ μετὰ Μωϋσέως. Καὶ ἐξῆλθεν Ἀμαλήκ, καὶ κατέκοψεν αὐτούς. Ἐντέλλεται περὶ ὁλοκαυτωμάτων, περὶ ἀπαρχῶν, περὶ θυσιῶν τῶν ὑπὲρ πλημμελείας. Ἑάλω τις ξύλα συλλέξας ἐν Σαββάτῳ, καὶ ἐλιθοβολήθη. Προστάσσονται κράσπεδα ἐπὶ τὰ πτερύγια ποιῆσαι.

Τὰ περὶ Κορὲ καὶ Δαθὰν καὶ Ἀβηρών· ἡ ἐπανάστασις αὐτῶν, ἡ τιμωρία ἣν ἔδοσαν. Οἱ δὲ λοιποὶ τοῦ λαοῦ, τούτων γενομένων, οὐκ ἐσωφρονίσθησαν, ἀλλὰ πάλιν ἐπανέστησαν τῷ Μωϋσῇ, καὶ ἀποθνήσκουσι τεσσαρεσκαίδεκα χιλιάδες καὶ ἑπτακόσιοι. Τότε ἤνθησεν ἡ ῥάβδος Ἀαρών. Λέγει καὶ διατάσσεται ὃ λαμβάνειν δεῖ τοὺς Λευΐτας καὶ τὸν ἱερέα τὸν μέγαν. Καὶ νομοθετεῖ περὶ τῆς σποδοῦ τῆς δαμάλεως, ἐξ ἧς τὸ ὕδωρ τοῦ ῥαντισμοῦ ἐγίνετο. Τὴν δὲ δάμαλιν αὐτὴν ἔδοξέ τισι τύπον εἶναι τοῦ πάθους τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀπὸ δὲ τῆς σποδοῦ τῆς δαμάλεως ἐκαθαίρετο ὁ ὢν ἐπὶ νεκροῦ ἀκάθαρτος. Ἦλθε δὲ ὁ λαὸς εἰς Καδής, καὶ ἐκεῖ ἀπέθανε Μαρία, καὶ ἐτάφη. Οὐκ ὄντος ὕδατος πάλιν γογγύζουσιν οἱ Ἰουδαῖοι· ὁ δὲ Μωϋσῆς καὶ Ἀαρὼν κελεύονται ἐκ τῆς πέτρας ἐξαγαγεῖν ὕδωρ. Ἐπάταξεν αὐτὴν ὁ Μωϋσῆς λέγων· "Μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξομεν ὕδωρ ὑμῖν;" Καὶ ἐξῆλθεν ὕδωρ. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρών· "Ὅτι οὐκ ἐπιστεύσατέ μοι ἁγιάσαι με ἐναντίον τῶν υἱῶν Ἰσραήλ, διὰ τοῦτο οὐκ εἰσάξετε ὑμεῖς τὴν συναγωγὴν ταύτην εἰς τὴν γῆν, ἣν ἔδωκα αὐτοῖς".

Πρεσβεύεται Μωϋσῆς πρὸς τὸν βασιλέα Ἐδώμ, ἵνα ἀφῇ αὐτούς· ὁ δὲ οὐ συνεχώρησε· καὶ ἐξέκλιναν ἀπ' αὐτοῦ υἱοὶ

8. Ἀριθμ. 20, 10. 9. Ἀριθμ. 20, 12.

οἱ ἄνδρες ἐκεῖ ἦταν φιλοπόλεμοι. Ὁ Χαλέβ ὁ υἱός τοῦ Ἰεφονεί καί ὁ Ἰησοῦς τοῦ Ναυῆ, πού ἦταν καί αὐτοί ἀνάμεσα στούς κατασκόπους, ἔδιναν θάρρος στό λαό. Οἱ Ἰσραηλίτες ὅμως ἦρθαν νά τούς λιθοβολήσουν. Ὁ Θεός ὀργίσθηκε καί εἶπε πώς δέ θ' ἀνεβοῦν στή γῆ τῆς ἐπαγγελίας αὐτοί πού γόγγυσαν, ἐκτός ἀπό τά τέκνα τους, τό Χαλέβ τόν υἱό τοῦ Ἰεφονεί καί τόν Ἰησοῦ. Σαράντα χρόνια, λέγει, θά εἶναι στήν ἔρημο, μέχρι πού θά μεγαλώσουν τά παιδιά, σύμφωνα μέ τόν ἀριθμό τῶν ἡμερῶν, πού κατασκόπευσαν τή χώρα. Τότε ὅλοι οἱ κατάσκοποι πέθαναν, ἐκτός ἀπό τό Χαλέβ καί τόν Ἰησοῦ τοῦ Ναυῆ, καί πένθησε ὁ λαός. Ἀνέβηκαν στούς Ἀμαληκίτες ἀντίθετα πρός τή θέληση τοῦ Θεοῦ, καί ἡ κιβωτός περίμενε στό στρατόπεδό τους μαζί μέ τό Μωυσῆ. Βγῆκαν οἱ Ἀμαληκίτες καί τούς κατέκοψαν. Ὁρίζονται τά σχετικά μέ τά ὁλοκαυτώματα, τίς ἀπαρχές καί τίς θυσίες γιά ἐξιλέωση ἀπό τίς ἁμαρτίες. Ἔσπασε κάποιος ξύλα πού μάζεψε τό Σάββατο, καί λιθοβολήθηκε. Προστάζονται νά ράψουν ταινία στίς κάτω ἄκρες τῶν ρούχων τους.

Τά σχετικά μέ τόν Κορέ, Δαθάν καί Ἀβηρών, ἡ ἐπανάστασή τους καί ἡ τιμωρία τους. Οἱ ὑπόλοιποι Ἰσραηλίτες, ἀφοῦ ἔγιναν αὐτά, δέ σωφρονίσθηκαν, ἀλλά πάλι ἐπαναστάτησαν ἐναντίον τοῦ Μωυσῆ, καί πεθαίνουν δεκατέσσερις χιλιάδες ἑπτακόσιοι. Τότε βλάστησε τό ραβδί τοῦ Ἀαρών. Λέγει καί ὁρίζεται αὐτό πού πρέπει νά παίρνουν οἱ Λευῖτες καί ὁ ἀρχιερέας. Νομοθετεῖ γιά τή στάχτη τῆς δαμαλίδας, ἀπό τήν ὁποία γινόταν τό νερό γιά τό ραντισμό. Ἡ δαμαλίδα αὐτή φάνηκε σέ μερικούς πώς εἶναι τύπος τοῦ πάθους τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ. Ἀπό τή στάχτη τῆς δαμαλίδας καθαριζόταν αὐτός πού ἦταν ἀκάθαρτος γιατί ἔπιασε νεκρό. Ἦρθαν οἱ Ἰσραηλίτες στήν Καδής· ἐκεῖ πέθανε ἡ Μαρία καί θάφτηκε. Ἐπειδή δέν ὑπῆρχε νερό, πάλι οἱ Ἰουδαῖοι γόγγυζαν. Ὁ Μωυσῆς καί ὁ Ἀαρών διατάζονται νά βγάλουν ἀπό τήν πέτρα νερό. Τή χτύπησε ὁ Μωυσῆς λέγοντας· «Μήπως εἶναι δυνατό νά βγάλουμε νερό γιά σᾶς ἀπό τήν πέτρα αὐτή;»[8]. Καί βγῆκε νερό. Τότε εἶπε ὁ Κύριος στό Μωυσῆ καί Ἀαρών· «Ἐπειδή δέ μέ πιστέψατε γιά νά μέ δοξάσετε μπροστά στούς Ἰσραηλίτες, γι' αὐτό δέ θά ὁδηγήσετε ἐσεῖς τό λαό αὐτόν στή γῆ, πού ἔδωσα σ' αὐτούς»[9].

Στέλνει πρεσβεία ὁ Μωυσῆς στό βασιλιά τῆς Ἐδώμ, γιά νά τούς ἀφήσει νά περάσουν ἀπό τή χώρα του. Αὐτός ὅμως δέν τούς

Ἰσραήλ. Ὡς δὲ ἦλθον εἰς Ὢρ τὸ ὄρος, κελεύσαντος τοῦ Θεοῦ, λαβὼν Μωϋσῆς τὸν Ἀαρὼν καὶ Ἐλεάζαρ τὸν υἱὸν αὐτοῦ, ἀνήγαγεν εἰς τὸ ὄρος· καὶ ἐνέδυσε τὸν Ἐλεάζαρ τὰ ἱμάτια αὐτοῦ. Ὁ δὲ Ἀαρὼν ἀπέθανε ἐν τῷ ὄρει. Καὶ ἔκλαυσεν 5 ὁ λαὸς τριάκοντα ἡμέρας. Εἷλον τὸν Χαναναῖον, καὶ ἀνεθεμάτισαν αὐτόν. Ἐλθόντες δὲ ἐπὶ θάλασσαν Ἐρυθράν, ἐκύκλουν τὴν γῆν Ἐδώμ, καὶ ὠλιγοψύχουν, καὶ κατεγόγγυζον Μωϋσῇ· καὶ ἀπέστειλεν ὁ Θεὸς ἐπ' αὐτοὺς ὄφεις θανατοῦντας. Καὶ ηὔξατο Μωϋσῆς· καὶ ἐποίησε χαλκοῦν ὄφιν, προστα-10 χθεὶς ὑπὸ τοῦ Θεοῦ. Καὶ ὁ δακνόμενος, ἡνίκα ἀνέβλεψεν εἰς τὸν ὄφιν, ἔζη. Περὶ τούτου τοῦ ὄφεως εἴρηται ἐν τῷ Εὐαγγελίῳ· "Καθὼς ὕψωσε Μωϋσῆς τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτω δεῖ ὑψωθῆναι τὸν Υἱὸν τοῦ ἀνθρώπου".

Πρεσβεύεται Μωϋσῆς πρὸς τὸν βασιλέα τῶν Ἀμοῤῥαίων 15 τὸν Σηών. Οὗτος δὲ ὁ Σηὼν πολεμήσας πρότερον τὸν βασιλέα Μωάβ, ἔλαβε τὴν γῆν αὐτοῦ. Ὡς δὲ καὶ τοῖς Ἰσραηλίταις συνέμιξεν εἰς πόλεμον, ἡττήθη κατὰ κράτος, καὶ τὰς πόλεις αὐτοῦ πάσας ἔλαβον οἱ Ἰσραηλῖται. Συμβαλόντες δὲ καὶ τῷ Ὢγ βασιλεῖ τῆς Βασάν, τοῖς αὐτοῖς περιέβαλον αὐτὸν κακοῖς, 20 οἷς καὶ τὸν Σηών, καὶ τὴν γῆν καὶ τὰς πόλεις αὐτοῦ πάσας ἔλαβον. Πέμπει βασιλεὺς Βαλὰκ πρὸς Βαλαὰμ τὸν μάντιν, ἵνα ἀράσηται τὸν λαόν. Ὁ δὲ Θεὸς τὸ μὲν πρῶτον ἐκώλυσεν. Ὡς δὲ ἐνέκειτο τῷ μάντει, συνεχώρησεν ἀπελθεῖν μέν, οὐ μὴν ἀράσασθαι, ἀλλ' ἔτρεψε τὰς κατάρας εἰς εὐλογίας. Οὐκ 25 ἐπειδὴ ἴσχυόν τι αἱ ἀραὶ τοῦ μάντεως, ἀλλ' ἐπειδὴ ταλαίπωρος ἦν ὁ λαός, ἤμελλεν αὐτοῦ πιστεύειν ταῖς κατάραις, καὶ κατακρίνεσθαι ἐκεῖ διὰ τὴν ἰδίαν ἀσθένειαν. Οὗτος προφητεύει περὶ τοῦ Χριστοῦ λέγων· "Ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ, καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραήλ". Πνεῦμα γὰρ Θεοῦ 30 ἐγενήθη ἐπὶ τῷ μάντει.

Ὡς δὲ ἀπῆλθεν ὁ Βαλαάμ, ἐκπορνεύουσιν οἱ υἱοὶ Ἰσραὴλ εἰς τὰς θυγατέρας Μωάβ, καὶ τελοῦνται τῷ Βεελφ· Τότε κελεύει Μωϋσῆς ἕκαστον, ἀποκτεῖναι τὸν ἀδελφὸν εἰδωλολατρήσαντα. Τότε καὶ Φινεὲς υἱὸς Ἐλεάζαρ ἐξεκέντησε τὸν 35 Ζαμβρὶν τὸν Ἰσραηλίτην, καὶ τὴν Χασβὶ τὴν Μαδιανῖτιν μετ' αὐτοῦ· "Καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην". Τότε ἀριθμοῦν-

---

10. Ἰω. 3, 14. 11. Ἀριθμ. 24, 17.

ἐπέτρεψε, καί παρέκαμψαν τή χώρα του οἱ Ἰσραηλίτες. Μόλις ἦρθαν στό ὄρος Ὤρ, μέ ἐντολή τοῦ Θεοῦ, ὁ Μωυσῆς πῆρε μαζί του τόν Ἀαρών καί τόν υἱό του Ἐλεάζαρ καί τούς ἀνέβασε στό βουνό· τότε ἔντυσε τόν Ἐλεάζαρ μέ τή στολή του. Καί ὁ Ἀαρών πέθανε πάνω στό βουνό. Ὁ λαός ἔκλαψε τριάντα ἡμέρες. Συνέλαβαν τό Χαναναῖο βασιλιά καί τόν ἀφιέρωσαν στό Θεό. Ὅταν ἦρθαν πρός τήν Ἐρυθρά θάλασσα, περικύκλωσαν τή χώρα τῆς Ἐδώμ, λιγοψύχησαν καί γόγγυζαν ἐναντίον τοῦ Μωυσῆ. Ὁ Θεός ἔστειλε ἐναντίον τους φίδια θανατηφόρα. Τότε προσευχήθηκε ὁ Μωυσῆς καί κατασκεύασε τό χάλκινο φίδι, γιατί πρόσταξε ὁ Θεός. Καί ἐκεῖνος πού εἶχε δαγκωθεῖ ὅταν ἔβλεπε στό χάλκινο φίδι, ζοῦσε. Γιά τό φίδι αὐτό ἔχει γραφεῖ στό Εὐαγγέλιο· «Ὅπως ὕψωσε ὁ Μωυσῆς τό φίδι στήν ἔρημο, ἔτσι πρέπει νά ὑψωθεῖ ὁ Υἱός τοῦ ἀνθρώπου»[10].

Ὁ Μωυσῆς στέλνει πρέσβεις στό βασιλιά τῶν Ἀμορραίων τό Σηών. Αὐτός ὁ Σηών κάνοντας προηγουμένως πόλεμο ἐναντίον τοῦ βασιλιᾶ τῆς Μωάβ, κυρίεψε ὅλη τή χώρα του. Ὅταν ὅμως πολέμησε μέ τούς Ἰσραηλίτες, νικήθηκε ὁλοσχερῶς, καί ὅλες του τίς πόλεις τίς πῆραν οἱ Ἰσραηλίτες. Ὅταν συγκρούστηκαν καί μέ τόν Ὤγ, τό βασιλιά τῆς Βασάν, προξένησαν σ' αὐτόν τά ἴδια κακά, πού προξένησαν καί στό Σηών, καί πῆραν τή χώρα καί ὅλες του τίς πόλεις. Στέλνει καί προσκαλεῖ ὁ βασιλιάς Βαλάκ τό μάντη Βαλαούμ, γιά νά καταρασθεῖ τό λαό. Ὁ Θεός ἐμπόδισε τό πρῶτο. Καθώς ὅμως ἐπέμενε στό μάντη, ἐπέτρεψε νά ἔρθει, ὄχι βέβαια νά καταρασθεῖ ἀλλά μετέτρεψε τίς κατάρες σέ εὐλογίες. Ὄχι ἐπειδή εἶχαν κάποια δύναμη οἱ κατάρες τοῦ μάντη, ἀλλ' ἐπειδή ὁ λαός ἦταν ταλαίπωρος, ἐπρόκειτο νά πιστέψουν στίς κατάρες του καί νά κατακριθεῖ ἐκεῖ γιά τή δική του ἀδυναμία. Ὁ Βαλαάμ προφητεύει γιά τό Χριστό λέγοντας· «Θά ἀνατείλει ἄστρο ἀπό τούς ἀπογόνους τοῦ Ἰακώβ καί θά ἀναδειχθεῖ ἄνθρωπος ἀπό τούς Ἰσραηλίτες»[11]. Βέβαια τό Πνεῦμα τοῦ Θεοῦ ἦρθε στό μάντη.

Ὅταν ἔφυγε ὁ Βαλαάμ, οἱ Ἰσραηλίτες πέφτουν σέ πορνεία μέ τίς θυγατέρες τῶν Μωαβιτῶν καί παίρνουν μέρος στίς τελετές τοῦ Βεελφεγώρ. Τότε ὁ Μωυσῆς διατάζει νά σκοτώσει ὁ καθένας τό συγγενή του πού προσκύνησε στά εἴδωλα. Τότε καί ὁ Φινεές, ὁ υἱός τοῦ Ἐλεάζαρ, χτύπησε μέ τή λόγχη του τόν Ἰσραηλίτη Ζαμβρίν καί μαζί του τή Μαδιανίτισσα Χασβί, «καί ἡ πράξη του αὐτή λογαριάστηκε

ται οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ εἰκοσαέτους καὶ ἐπάνω, καὶ εὑρέθησαν ἑξακόσιαι χιλιάδες, καὶ τρισχίλιοι ἄνδρες καὶ τριάκοντα· οἱ δὲ Λευῖται τρεῖς καὶ εἴκοσι χιλιάδες ἀπὸ μηνιαίου καὶ ἐπάνω. Αὕτη ἡ ἐπίσκεψις ἐν Ἀραβὼθ Μωὰβ ἐγένετο, πέραν τοῦ Ἰορδάνου. Καὶ οὐκ ἦν ἐν αὐτοῖς ἄνθρωπος, ἐξ ὧν ἐπεσκέψατο Μωϋσῆς πρότερον ἐν τῇ ἐρήμῳ Σινᾶ, πλὴν Ἰησοῦς ὁ τοῦ Ναυῆ, καὶ Χαλὲβ ὁ τοῦ Ἰεφονεί. Προσέρχονταί τινες θυγατέρες Σαλπαὰδ τῆς φυλῆς Μανασσῆ, ἀξιοῦσαι, ἐπειδὴ ἄπαις ἀῤῥένων παίδων ἀπέθανεν ὁ πατὴρ αὐτῶν, εἰς αὐτὰς ἐλθεῖν τὴν κληρονομίαν, καὶ τὴν κατάσχεσιν. Προσέταξεν ὁ Θεὸς λαβεῖν αὐτάς. Κἄν τις ἀποθάνῃ μὴ ἔχων υἱόν, ἡ θυγάτηρ κληρονομείτω· θυγατρὸς δὲ οὐκ οὔσης, ἀδελφός· ἀδελφοῦ δὲ οὐκ ὄντος, ἀδελφὸς τοῦ πατρός.

Δείκνυσιν ὁ Θεὸς Μωϋσῇ ἀπὸ τοῦ ὄρους τοῦ Ναυὼ τὴν γῆν τῆς ἐπαγγελίας, καὶ χειροτονεῖται Ἰησοῦς ὁ τοῦ Ναυῆ εἰς τὴν αὐτοῦ τάξιν. Τότε ἐντέλλεται τοῖς υἱοῖς Ἰσραὴλ περὶ ὁλοκαυτωμάτων, θυσιῶν τῶν καθ' ἡμέραν, τῶν ἐν σαββάτοις, τῶν ἐν νεομηνίαις, τῶν ἐν τῷ πάσχα, τῶν ἐν τῇ ἡμέρα τῶν ἑβδομάδων, τῶν ἐν τῷ ἑβδόμῳ μηνί. Διατάσσει καὶ περὶ εὐχῶν, τουτέστιν, ὧν ἄν τις τάξηται. Τότε ἐξοπλίζονται δώδεκα χιλιάδες ἐκ τῶν Ἰσραηλιτῶν κατὰ Μαδιανιτῶν, καὶ Φινεὲς μετ' αὐτῶν, καὶ ἀναιροῦσιν αὐτούς, καὶ πέντε βασιλεῖς Μαδιάμ, καὶ τὸν Βαλαὰμ τὸν μάντιν. Καὶ ἀπήρξαντο τῷ Θεῷ τῶν σκύλων, καὶ τὰ λοιπὰ διένειμαν ἑαυτοῖς. Προσελθόντες ἡ φυλὴ Ῥουβὶμ καὶ Γάδ, καὶ τὸ ἥμισυ τῆς φυλῆς Μανασσῆ, ᾔτουν παρὰ Μωϋσέως τὴν πέραν τοῦ Ἰορδάνου χώραν. Ὁ δὲ ἔδωκε, πρότερον συνομολογησάντων ἐκείνων συμμαχήσειν τοῖς λοιποῖς Ἰσραηλίταις, καὶ διαβήσεσθαι τὸν Ἰορδάνην μεθ' ὅπλων, ὥστε πολεμῆσαι ὑπὲρ τῶν ἀδελφῶν αὐτῶν.

Ἐνταῦθα διηγεῖται Μωϋσῆς ἀπὸ Αἰγύπτου ἕως ἦλθον ἀντικρὺ Ἰεριχώ. Ἐντέλλεται αὐτοῖς ὥστε ἐξολοθρεῦσαι πάντα τὰ εἴδωλα τῶν ἐθνῶν. Λέγει αὐτοῖς καὶ περὶ τῶν ὁρίων τῆς γῆς, πόθεν ἄρχονται, καὶ ποῦ πληροῦνται. Παραγγέλλει δὲ καὶ περὶ τῆς γῆς, ἧς ἔδει τοὺς Λευΐτας λαβεῖν, καὶ περὶ τῶν ἓξ πόλεων τῶν φυγαδευτηρίων, ὥστε τὸν ἀκουσίως ἀνελόντα ἐκεῖ καταφεύγειν, καὶ ἀπαλλάσεσθαι κινδύνου, μένοντι ἐκεῖ, ἕως

12. Ψαλμ. 105, 31. 13. Πρόκειται γιά τήν ἑορτή τῆς Πεντηκοστῆς.

σάν δίκαιη»[12]. Ὕστερα γίνεται ἀρίθμηση τῶν Ἰσραηλιτῶν ἀπό ἡλικία εἴκοσι χρονῶν καί πάνω, καί βρέθηκαν πώς εἶναι ἑξακόσιες τρεῖς χιλιάδες τριάντα οἱ ἄνδρες, ἐνῶ οἱ Λευίτες εἴκοσι τρεῖς χιλιάδες ἀπό ἡλικία ἑνός μήνα καί πάνω. Αὐτή ἡ καταμέτρηση ἔγινε στήν Ἀραβώθ τῆς Μωάβ, ἀπέναντι ἀπό τόν Ἰορδάνη. Καί δέν ὑπῆρχε κανείς ἀνάμεσα σ' αὐτούς, πού ἀρίθμησε τήν προηγούμενη φορά ὁ Μωυσῆς στήν ἔρημο τοῦ Σινᾶ, παρά μόνο ὁ Ἰησοῦς τοῦ Ναυῆ καί ὁ Χαλέβ ὁυἱός τοῦ Ἰεφονεί. Ἔρχονται στό Μωυσῆ μερικές θυγατέρες τοῦ Σαλπαάδ ἀπό τή φυλή Μανασσῆ, παρακαλώντας, ἐπειδή ὁ πατέρας τους πέθανε χωρίς ν' ἀποκτήσει ἀρσενικά παιδιά, νά ἔρθει σ' αὐτές ἡκληρονομία καί ἡ ἰδιοκτησία. Πρόσταξε ὁ Θεός νά πάρουν αὐτές. Καί ἐάν ἀκόμη πεθάνει ἕνας ἄνθρωπος χωρίς ν' ἀποκτήσει υἱό, νά τόν κληρονομεῖ ἡ θυγατέρα του, ἄν ὅμως δέν ὑπάρχει θυγατέρα, νά τόν κληρονομεῖ ὁ ἀδελφός του, καί ἄν δέν ὑπάρχει ἀδελφός, νά τόν κληρονομεῖ ὁ ἀδελφός τοῦ πατέρα του.

Ὁ Θεός δείχνει στό Μωυσῆ ἀπό τό βουνό Ναυώ τή γῆ τῆς ἐπαγγελίας καί χειροτονεῖται ὁ Ἰησοῦς τοῦ Ναυῆ στή δική του θέση. Τότε δίνεται ἡ ἐντολή στούς Ἰσραηλίτες γιά τά ὁλοκαυτώματα, τίς θυσίες δηλαδή πού θά γίνονται κάθε ἡμέρα, τό Σάββατο, τήν πρώτη κάθε μήνα, τό Πάσχα, τήν ἑορτή τῶν ἑβδομάδων[13], τόν ἕβδομο μήνα. Διατάζει καί γιά τά ταξίματα, δηλαδή, γι' αὐτά πού θά ἔκανε τάξιμο ἕνας ἄνθρωπος. Τότε ἐξοπλίζονται δώδεκα χιλιάδες Ἰσραηλίτες ἐναντίον τῶν Μαδιανιτῶν καί ὁ Φινεές μαζί μ' αὐτούς, καί τούς σκότωσαν ὅλους αὐτούς, μαζί καί τούς πέντε βασιλεῖς τῆς Μαδιάμ καί τό μάντη Βαλαάμ. Καί πρόσφεραν στό Θεό τά λάφυρα καί τά ὑπόλοιπα τά μοίρασαν μεταξύ τους. Ἦρθαν ὅλοι ἀπό τή φυλή Ρουβήμ καί Γάδ, καί οἱ μισοί ἀπό τή φυλή Μανασσῆ καί ζητοῦσαν ἀπό τό Μωυσῆ τή χώρα, πού ἦταν πέρα ἀπό τόν Ἰορδάνη. Αὐτός τήν ἔδωσε, ἀφοῦ πρῶτα συμφώνησαν αὐτοί νά βοηθήσουν τούς ἄλλους Ἰσραηλίτες καί νά περάσουν τόν Ἰορδάνη μέ τά ὅπλα τους, γιά νά πολεμήσουν στό πλευρό τῶν ἀδελφῶν τους.

Ἐδῶ διηγεῖται ὁ Μωυσῆς τήν πορεία τους ἀπό τήν Αἴγυπτο μέχρι πού ἦρθαν ἀπέναντι ἀπό τήν Ἰεριχώ. Διατάζει αὐτούς νά καταστρέψουν ὅλα τά εἴδωλα τῶν ἐθνῶν. Λέγει σ' αὐτούς καί γιά τά σύνορα τῆς γῆς τῆς ἐπαγγελίας, ἀπό ποῦ ἀρχίζουν καί ποῦ τελειώνουν. Παραγγέλνει καί γιά τή χώρα, πού ἔπρεπε νά πάρουν οἱ Λευίτες καί γιά τίς ἕξι πόλεις πού θά εἶναι καταφύγια, γιά νά καταφεύγει ἐκεῖ ἐκεῖνος πού σκότωσε ἀκούσια, καί νά ξεγλυτώνει τόν κίνδυνο, ὅταν μένει σ' αὐτές,

ἂν ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας. Ἐὰν δὲ ἁλῷ ἔξω τῶν ὅρων τῆς πόλεως, καὶ φονεύσῃ αὐτὸν ὁ συγγενὴς τοῦ πεφονευμένου, οὐ δώσει δίκην. Καὶ διαλέγεται βραχέα περὶ τῶν νόμων τῶν περὶ φόνων κειμένων. Προσέρχονται οἱ ἄρχοντες τῆς φυλῆς Μα- 5 *νασσῆ λέγοντες τῷ Μωϋσῇ· Ἐπειδὴ ἔδοξε τὰς θυγατέρας Σαλπαὰδ λαβεῖν κλῆρον, εἰ συμβαίη αὐτὰς γαμηθῆναι ἀνδρὶ ἐξ ἑτέρας φυλῆς, τί ἵνα γίνηται; ἀπελεύσεται γὰρ ὁ κλῆρος τῆς ἡμετέρας φυλῆς εἰς ἐκείνην τὴν φυλήν. Τότε προσέταξε Μωϋσῆς, ἐκ τῆς ἰδίας φυλῆς γυναῖκα λαμβάνειν ἄνδρα, ἵνα μὴ* 10 *μεταφέρωνται αἱ κληρονομίαι ἀπὸ φυλῆς εἰς φυλήν.*

5. ΣΥΝΟΨΙΣ ΤΟΥ ΔΕΥΤΕΡΟΝΟΜΙΟΥ

Ὡς ἐν κεφαλαίῳ διηγεῖται πάντα τὰ πρῶτα Μωϋσῆς, εἰς ὑπόμνησιν αὐτοὺς ἄγων τῆς τε τοῦ Θεοῦ εὐεργεσίας, καὶ τῆς αὐτῶν κακίας. Περὶ τοῦ μὴ εἰδωλολατρεῖν παραίνεσις. Ἐν- 15 *ταῦθα κεῖται καὶ τό, "Μὴ προσκυνήσῃς τοῖς ἄστροις, ἃ ἀπένειμε Κύριος ὁ Θεός σου πᾶσι τοῖς ἔθνεσι τοῖς ὑποκάτω τοῦ οὐρανοῦ". Τὸ δέ, "Ἀπένειμε", οὐχ ὅτι αὐτὸς προσέταξεν· ἄπαγε· ἀλλὰ καθώς φησιν ὁ μακάριος Παῦλος· "Παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν", οὐχ ὅτι παρέδωκεν, ἀλλ'* 20 *ὅτι ἑλομένους αὐτοὺς καὶ ἐνεπιστρόφως ἔχοντας ἀφῆκεν. Οὕτως ἐνταῦθα τό, "Ἀπένειμεν αὐτοῖς", τουτέστιν, ἑλομένους τὴν πλάνην, καὶ μὴ βουλομένους ἐπιστρέψαι, ἀφῆκεν. Ἐνταῦθα μικρὸν προελθὼν λέγει· "Διαμαρτύρομαι ὑμῖν τὸν οὐρανὸν καὶ τὴν γῆν, ὅτι ἀπωλείᾳ ἀπολεῖσθε, ἐὰν ἀποστῆτε* 25 *ἀπὸ τοῦ Θεοῦ". Εἶτα δείκνυσιν ὅτι οὐδενὶ ταῦτα παρέσχεν ὁ Θεὸς ἅπερ ἐκείνοις. Καὶ ἀφορίζει τρεῖς πόλεις τοῦ Ἰορδάνου εἰς φυγαδευτήριον. Ἔτι τῶν προτέρων αὐτοὺς ὑπομιμνήσκει, καί, "Ἔφαψαι αὐτὰ ἐπὶ τῶν χειρῶν σου", φησί, "καὶ ἐπὶ τῶν φλιῶν σου γράψεις, καὶ διδάξεις τὸν υἱόν σου". Εἰπὼν δὲ ἃ* 30 *συμβήσεται κακὰ ἐὰν παρακούσωσι, παραθαῤῥύνει πρὸς τὸ μὴ δεδοικέναι τοὺς πολεμίους.*

Πάλιν ἀναμιμνήσκει τῶν προτέρων. Ἐνταῦθα κεῖται τό, "Πρόσεχε σεαυτῷ", ὃ πολλάκις αὐτοῖς καὶ προϊὼν ἐπιλέγει,

---

1. Δευτ. 4, 19. 2. Ρωμ. 1, 28. 3. Δευτ. 4, 26.

μέχρι πού θά πεθάνει ὁ ἀρχιερέας. Ἐάν ὅμως συναντήσει αὐτόν ἔξω ἀπό τά σύνορα τῆς πόλης καί τόν σκοτώσει ὁ συγγενής τοῦ θύματος, δέ θά τιμωρηθεῖ. Καί λέγει λίγα λόγια γιά τούς νόμους σχετικά μέ τούς φόνους. Ἔρχονται οἱ ἀρχηγοί τῆς φυλῆς Μανασσῆ καί λέγουν στό Μωυσῆ· «Ἐπειδή θεωρήθηκε καλό νά πάρουν κλῆρο οἱ θυγατέρες τοῦ Σαλπαάδ, ἐάν συμβεῖ νά παντρευθοῦν αὐτές ἄνδρα ἀπό ἄλλη φυλή, τί θά γίνει; γιατί θά φύγει ὁ κλῆρος τῆς δικῆς μας φυλῆς στήν ἄλλη φυλή. Τότε πρόσταξε ὁ Μωυσῆς νά παίρνουν ἄνδρα ἀπό τήν ἴδια φυλή, γιά νά μήν μεταβιβάζονται οἱ κλῆροι ἀπό φυλή σέ φυλή.

5. ΠΕΡΙΛΗΨΗ ΤΟΥ ΔΕΥΤΕΡΟΝΟΜΙΟΥ

Περιληπτικά διηγεῖται ὅλα τά προηγούμενα ὁ Μωυσῆς, γιά νά ὑπενθυμίσει στούς Ἰσραηλίτες καί τήν εὐεργεσία τοῦ Θεοῦ καί τή δική τους κακία. Συμβουλή γιά νά μήν προσκυνοῦν τά εἴδωλα. Ἐδῶ βρίσκεται καί τό, «Νά μήν προσκυνήσεις τά ἀστέρια, τά ὁποῖα Κύριος ὁ Θεός σου ἔδωσε σ' ὅλα τά ἔθνη πού ζοῦν κάτω ἀπό τόν οὐρανό»[1]. Τό «ἔδωσε» λέγεται, ὄχι γιατί πρόσταξε ὁ Θεός, μακριά μιά τέτοια σκέψη, ἀλλά καθώς λέγει ὁ μακάριος Παῦλος· «Παρέδωσε αὐτούς ὁΘεός σ' ἀνίκανο νοῦ»[2], ὄχι γιατί τούς παρέδωσε, ἀλλά γιατί τούς ἄφησε, ἐπειδή οἱ ἴδιοι τό προτίμησαν καί δέν ἤθελαν νά ἐπιστρέψουν στήν ἀλήθεια. Μέ τήν ἔννοια αὐτή βρίσκεται ἐδῶ τό «ἔδωσε σ' αὐτούς», δηλαδή ἄφησε, ἐπειδή προτίμησαν τήν πλάνη καί δέν ἤθελαν νά ἐπιστρέψουν. Ἐδῶ, λίγο παρακάτω, λέγει· «Βάζω μάρτυρες ἐναντίον σας τόν οὐρανό καί τή γῆ, ὅτι θά καταστραφεῖτε ὁπωσδήποτε, ἐάν ἀπομακρυνθεῖτε ἀπό τό Θεό»[3]. Ἔπειτα δείχνει ὅτι σέ κανένα δέν ἔδωσε ὁ Θεός αὐτά, πού ἔδωσε σ' αὐτούς. Καί ξεχωρίζει τρεῖς πόλεις τοῦ Ἰορδάνη γιά ἄσυλο. Ἀκόμη τούς θυμίζει τά προηγούμενα, καί, «Νά τά δέσεις αὐτά ἐπάνω στά χέρια σου», λέγει, «καί νά τά γράφεις στούς παραστάτες τῶν σπιτιῶν σας καί νά τά διδάξεις στόν υἱό σου»[4]. Ἀφοῦ εἶπε ποιά κακά θά τούς συμβοῦν, ἐάν παρακούσουν τό Θεό, τούς δίνει θάρρος γιά νά μή φοβοῦνται τούς ἐχθρούς.

Πάλι ὑπενθυμίζει τά προηγούμενα. Ἐδῶ βρίσκεται τό, «Πρόσεχε τόν ἑαυτό σου»[5], πού .τολλές φορές στό λόγο του τό λέγει σ' αὐτούς,

4. Δευτ. 6, 8-9. 5. Δευτ. 6, 12.

καὶ παραινεῖ τὰς νίκας μὴ τῇ οἰκείᾳ δυνάμει ἐπιγράφειν, ἀλλὰ τῇ τοῦ Θεοῦ χάριτι. Ἐνταῦθα κεῖται, ὅτι "Ὁ Θεὸς πῦρ καταναλίσκον ἐστίν", ὅπερ ὁ Παῦλος ἐν τῇ πρὸς Ἑβραίους ἔθηκε. Παραινεῖ δὲ ἐν ταὐτῷ Μωϋσῆς μὴ ἐπαίρεσθαι αὐτούς.
5 *"Οὐ γὰρ διὰ τὴν δικαιοσύνην σου", φησίν, "Ἰσραήλ, ἐξολοθρευθήσεται τὰ ἔθνη, ἀλλὰ διὰ τὴν ἀσέβειαν αὐτῶν". Ὑπομιμνήσκει δὲ αὐτοὺς καὶ τῆς μοσχοποιίας. Ἐνταῦθα δὲ κεῖται "Περιτέμνεσθε τὴν σκληροκαρδίαν ὑμῶν, καὶ τὸν τράχηλον ὑμῶν οὐ σκληρυνεῖτε". Ἐγκωμιάζει τὴν γῆν τῆς ἐπαγγελίας.*
10 *Ἐνταῦθα κεῖται "Φαγὼν καὶ πιὼν καὶ ἐμπλησθεὶς πρόσεχε σεαυτῷ"· καὶ προλέγει τὰ κακὰ παρακούουσι, καὶ τὰ ἀγαθὰ εἰ ὑπακούσειαν. Καὶ κελεύει ἐπ' ὄρος Γαριζὶν δοῦναι τὴν εὐλογίαν, καὶ τὴν κατάραν ἐπ' ὄρος Γεβάλ· ἀπολέσαι τὰ εἴδωλα καὶ τοὺς τόπους αὐτῶν. Κελεύει μὴ πανταχοῦ θυσίας*
15 *ἀναφέρειν τῷ Θεῷ, ἀλλ' εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται.*

Περὶ τοῦ μὴ ζηλοῦν τὰ ἔθνη, μηδέ τινι πείθεσθαι συμβουλεύοντι εἰδωλολατρεῖν. Κἂν σημεῖα ποιῇ, μήτε φίλῳ, μήτε ἄλλῳ τινί, ἀλλὰ λιθοβολεῖν τὸν παραινοῦντα, κἂν ἀδελφὸς ᾖ, κἂν πόλις εἰδωλολατρεύσῃ, πανώλεθρον αὐτὴν ποιεῖν. Τίνα δεῖ
20 *ἐσθίειν, καὶ τίνα παραιτεῖσθαι παραινεῖ. Περὶ ἀφέσεως χρεῶν νομοθετεῖ, περὶ ἀφέσεως καὶ ἐλευθερίας τῶν δουλευόντων, περὶ πρωτοτόκων, περὶ τοῦ πάσχα. Ἐνταῦθα κεῖται τό, "Οὐ δυνήσῃ τὸ πάσχα ποιεῖν ἐν οὐδεμιᾷ τῶν πόλεων ὧν Κύριος ὁ Θεός σου δίδωσί σοι, ἀλλ' εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται*
25 *Κύριος ὁ Θεός σου". Περὶ τῆς τῶν ἑβδομάδων, περὶ τῆς τῶν σκηνοπηγιῶν, περὶ κριτῶν, περὶ βασιλέων, εἴ ποτε ἔλθοιεν εἰς ἐπιθυμίαν τοῦ βασιλεῦσαί τινα. Περὶ Λευϊτῶν, καὶ ὧν ὀφείλουσι λαμβάνειν. Περὶ τοῦ μὴ δεῖν τοῖς λεγομένοις καθαρισταῖς κεχρῆσθαι, ἢ ἐπαοιδοῖς, ἢ μαντείαις ἢ κληδόσιν, ἢ τοῖς*
30 *τοιούτοις. Ἐνταῦθα κεῖται τό, "Προφήτην ὑμῖν ἀναστήσει ὁ Θεὸς ὡς ἐμέ". Καὶ περὶ τῶν φυγαδευτηρίων πόλεων διατάττεται.*

Ἐνταῦθα κεῖται, "Ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα". Καὶ περὶ τῶν ψευδομαρτυρούντων, τί

---

6. Δευτ. 4, 24. 7. Ἑβρ. 12, 29. 8. Δευτ. 9, 5. 9. Δευτ. 10, 16.

10. Δευτ. 6, 12.13. 11. Δευτ. 16, 5-6. 12. Δηλ. τὴν Πεντηκοστή.

καί συμβουλεύει νά μήν ἀποδίδουν τίς νίκες στή δική τους δύναμη, ἀλλά στή χάρη τοῦ Θεοῦ. 'Εδῶ λέγεται, ὅτι «ὁ Θεός εἶναι φωτιά πού καίει καί ἐξαφανίζει»[6], πού ὁ Παῦλος τό ἔγραψε στήν πρός 'Εβραίους ἐπιστολή του[7]. Συμβουλεύει συγχρόνως ὁ Μωυσῆς νά μήν ὑπερηφανεύονται οἱ 'Ισραηλίτες. «Γιατί δέ θά ἐξολοθρεύσει τά ἔθνη γιά τίς ἀρετές σας, 'Ισραηλίτες, ἀλλά γιά τήν ἀσέβειά τους»[8], λέγει. Τούς θυμίζει καί τήν κατασκευή τοῦ χρυσοῦ μοσχαριοῦ. 'Εδῶ βρίσκεται τό, «Νά μαλακώσετε τή σκληροκαρδία σας καί νά μήν κρατᾶτε σκληρό τόν τράχηλό σας»[9]. 'Εγκωμιάζει τή γῆ τῆς ἐπαγγελίας. 'Εδῶ βρίσκεται τό, «Θά φάγεις καί θά πιεῖς καί θά χορτάσεις, πρόσεχε ὅμως τόν ἑαυτό σου»[10], καί προλέγει τά κακά σ' αὐτούς πού δέν ὑπακούουν στίς ἐντολές τοῦ Θεοῦ, καί τά ἀγαθά ἐάν θά ὑπακούσουν. Καί δίνει ἐντολή ν' ἀπαγγέλλουν τίς εὐλογίες στό ὄρος Γαριζίν καί τίς κατάρες στό ὄρος Γεβάλ, καί νά καταστρέψουν τά εἴδωλα καί τούς τόπους τους. Προστάζει νά μήν προσφέρουν σ' ὅλα τά μέρη τίς θυσίες τους στό Θεό, ἀλλά στόν τόπο πού θά διαλέξει αὐτός.

Νά μή μιμοῦνται τά ἔθνη, οὔτε νά πείθονται σ' ὅποιον τούς συμβουλεύει νά προσκυνήσουν τά εἴδωλα, καί ἄν ἀκόμη κάνει θαύματα, οὔτε σέ φίλο, οὔτε σέ κάποιον ἄλλο, ἀλλά νά λιθοβολοῦν αὐτόν πού τούς συμβουλεύει, ἔστω καί ἄν εἶναι ἀδελφός τους, καί ἄν ἀκόμη μία πόλη προσκυνήσει τά εἴδωλα, νά τήν καταστρέψουν ἐντελῶς. Συμβουλεύει ποιά ζῶα πρέπει νά τρώγουν καί ποιά ν' ἀποφεύγουν. 'Ορίζει γιά τήν ἄφεση τῶν χρεῶν, γιά τήν ἀπόλυση καί τήν ἀπελευθέρωση τῶν δούλων, γιά τά πρωτότοκα ζῶα, γιά τό Πάσχα. 'Εδῶ λέγεται τό, «Δέ θά μπορέσεις νά κάνεις τό Πάσχα σέ καμιά ἀπό τίς πόλεις, πού σοῦ δίνει Κύριος ὁ Θεός σου, ἀλλά στόν τόπο πού θά διαλέξει Κύριος ὁ Θεός σου»[11]. Γιά τήν ἑορτή τῶν ἑβδομάδων[12], γιά τήν ἑορτή τῆς Σκηνοπηγίας, γιά τούς κριτές, γιά τούς βασιλεῖς, μήπως ποτέ ἐπιθυμήσει κανείς νά γίνει βασιλιάς. Γιά τούς Λευῖτες καί γι' αὐτά πού πρέπει νά παίρνουν. Γιά τό ὅτι δέν πρέπει νά χρησιμοποιοῦν τούς λεγόμενους καθαριστές[13] ἤ τούς μάγους ἤ τίς μαντεῖες ἤ νά λέγουν μαντεῖες, ἤ τά παρόμοια. 'Εδῶ βρίσκεται τό, «'Ο Θεός θ' ἀναδείξει προφήτη ἀνάμεσά σας ὅπως ἐμένα»[14]. Καί ὁρίζονται τά σχετικά μέ τίς πόλεις πού θά εἶναι ἄσυλα.

'Εδῶ λέγεται, «Κάθε ἀπόφαση πρέπει νά στηρίζεται στή μαρτυρία δύο καί τριῶν μαρτύρων[15]. Καί γιά τούς ψευδομάρτυρες, τί πρέπει νά

---

13. Αὐτοί πού κάνουν ἐξαγνισμό. 14. Δευτ. 18, 15. 15. Δευτ. 19, 15.

δεῖ πάσχειν αὐτούς. Ἐπιστάντος πολέμου, λέγει τίνα δεῖ ἐκπέμπειν, καὶ μὴ ἀφιέναι συμπολεμεῖν αὐτοῖς. Παραινεῖ μὴ ἀναιρεῖσθαι τοὺς πολεμίους ὑποπίπτοντας, πλὴν τῶν ἑπτὰ ἐθνῶν. Καὶ τὰς μὲν πόλεις ἁπάσας, ἐπειδὰν ἕλητε, φησί,
5 *σκυλεύετε, τὰ ἄῤῥενα μόνα ἀναιροῦντες. Ἐκ δὲ τούτων, ὧν τὴν γῆν κληρονομεῖτε, μηδένα ζωγρήσητε ἐμπνέοντα. Καρποφόρα ξύλα μὴ τέμνετε, φησίν, εἰς τὸ πῆξαι χάρακα ἐν πολιορκίᾳ. Εἴ τις εὑρεθῇ πεφονευμένος, ὁ δὲ φονεύσας μὴ φαίνοιτο, νομοθετεῖ τί δεῖ γίνεσθαι. Ἐὰν δέ τις δύο ἔχων*
10 *γυναῖκας, τὴν μὲν μισήσῃ, ἀγαπήσῃ δὲ τὴν ἑτέραν, καὶ συμβῇ τὸν τῆς μισουμένης εἶναι πρωτότοκον, μὴ προτιμείσθω αὐτοῦ ὁ τῆς ἠγαπημένης. Περὶ υἱοῦ ἀπειθοῦς. Ἐνταῦθα κεῖται, "Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου". Ἐπεὶ οὖν ἔκειτο κατάρα τοῖς μὴ φυλάσσουσι τὸν νόμον, "Ἐπικατάρα-*
15 *τος πᾶς ὃς οὐκ ἐμμένει πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τούτῳ"· περὶ τοῦ νόμου λέγω Μωϋσῆς καὶ τὴν κατάραν ἐκείνην οὐκ ἐνῆν λαβεῖν τὸν Χριστόν· ἐπλήρωσε γὰρ τὸν νόμον, κατάραν κατάρας ἀντηλλάξατο κρεμασθεὶς ἐπὶ ξύλου.*

Περὶ τοῦ μὴ δεῖν μηδὲ τῶν ἐχθρῶν τὰ ἄλογα παρορᾶν, καὶ
20 *ἕτερα νομοθετεῖ, καὶ περὶ γαμικῶν διαλέγεται νόμων, καὶ τιμωρίας τίθησι κατὰ τῶν ὑβριζόντων εἰς παρθένους. Τίνας κωλύει μὴ εἰσιέναι εἰς ἐκκλησίαν, καὶ περὶ ἑτέρων νομοθετεῖ, καὶ περὶ τοῦ μὴ λαβεῖν τόκον. Περὶ τοῦ μὴ χρονίζειν ἐν ταῖς τῶν εὐχῶν ἀποδόσεσι, ἀλλ' ὅπερ ἂν τις εὔξηται, εὐθέως*
25 *ἀποτελεῖν. Περὶ τῆς γυναικὸς τῆς λαμβανούσης βιβλίον ἀποστασίου, περὶ ἐνεχύρων, περὶ κλοπῆς, περὶ μισθοῦ μισθωτοῦ, περὶ ὀρφανοῦ, περὶ χήρας, περὶ τοῦ καταλιμπάνειν σταχυολογεῖν καὶ ῥαγολογεῖν τοῖς πένησιν. Ἐνταῦθα κεῖται περὶ τοῦ μὴ δεῖν πλέον τεσσαράκοντα λαμβάνειν τὸν ἐγκαλού-*
30 *μενον περὶ ἀδικίας τινός. Καὶ περὶ τοῦ μὴ φιμοῦν βοῦν ἀλοῶντα, καὶ περὶ τοῦ ἐγείρειν σπέρμα τῷ τεθνεῶτι ἀδελφῷ τὸν ὑπολειπόμενον, καὶ τί πείσεται εἰ μὴ βούλοιτο ἐγεῖραι.*

16. Οἱ λαοί αὐτοί εἶναι· οἱ Χετταῖοι, Ἀμορραῖοι, Χαναναῖοι, Φερεζαῖοι, Εὐαῖοι, Ἰεβουσαῖοι καί οἱ Γεργεσαῖοι.

παθαίνουν. Όταν γίνει πόλεμος, λέγει ποιόν πρέπει νά στέλνουν μακριά καί νά μήν τόν άφήνουν νά πολεμᾶ μαζί τους. Συμβουλεύει νά μή σκοτώνουν τούς ἐχθρούς πού ὑποτάσσονται, ἐκτός ἀπό τούς ἑπτά λαούς[16]. Καί ὅλες τίς πόλεις, λέγει, ὅταν τίς κυριεύσετε, νά τίς λαφυραγωγεῖτε καί νά σκοτώνετε μόνο τούς ἄνδρες. Ἀπ' αὐτούς, πού θά κληρονομήσετε τή χώρα τους, δέ θά συλλάβετε ζωντανό κανέναν αἰχμάλωτο. Τά καρποφόρα δένδρα νά μήν τά κόβετε, λέγει, γιά νά κάμουν χαράκωμα σέ περίπτωση πολιορκίας. Ἐάν βρεθεῖ κάποιος νεκρός, ἀλλά δέν εἶναι γνωστός ὁ φονιάς, ὁρίζει τί πρέπει νά γίνεται. Ἐάν κάποιος πού ἔχει δύο γυναῖκες, μισήσει τή μία καί ἀγαπήσει τήν ἄλλη, καί ἐάν συμβεῖ νά εἶναι πρωτότοκος ὁ Υἱός τῆς γυναίκας πού μισεῖ, νά μήν προτιμήσει τόν υἱό τῆς γυναίκας πού ἀγαπάει. Γιά τόν ἀνυπάκουο υἱό. Ἐδῶ βρίσκεται τό, «Εἶναι καταραμένος κάθε ἄνθρωπος πού κρέμεται καί πεθαίνει πάνω στό σταυρό»[17]. Ἐπειδή λοιπόν ὑπῆρχε ἡ ἀπειλή τῆς κατάρας γι' αὐτούς πού δέν τηροῦσαν τό νόμο λέγει· «Εἶναι καταραμένος κάθε ἄνθρωπος πού δέ μένει σταθερός σ' ὅλα τά γραμμένα στό βιβλίο αὐτό»[18], ἐννοώντας ὁ Μωυσῆς τό νόμο. Καί τήν κατάρα αὐτή δέν ἦταν δυνατό νά τή δεχθεῖ ὁ Χριστός, γιατί τήρησε τό νόμο καί ἄλλαξε τήν κατάρα μέ κατάρα ἀφοῦ κρεμάστηκε πάνω στό σταυρό.

Γιά τό ὅτι δέν πρέπει ν' ἀδιαφοροῦν οὔτε γιά τά ζῶα τῶν ἐχθρῶν, ὁρίζει καί ἄλλες διατάξεις, μιλάει γιά τούς νόμους τοῦ γάμου καί ὁρίζει τιμωρίες ἐναντίον ἐκείνων πού κατηγοροῦν παρθένους. Ποιούς δέν ἀφήνει νά ἔρχονται στίς συγκεντρώσεις λατρείας, ὁρίζει νόμους γιά ἄλλα πράγματα καί γιά τό ὅτι δέν πρέπει νά παίρνουν τόκο. Νά μήν καθυστεροῦν νά ἐκπληρώνουν τά ταξίματα, ἀλλά τό τάξιμο πού ἔκανε κάποιος, νά τό ἐκπληρώνει ἀμέσως. Γιά τή γυναίκα πού παίρνει διαζύγιο, γιά τά ἐνέχυρα, τήν κλοπή, τό μισθό τοῦ ὑπηρέτη, τό ὀρφανό, τή χήρα, γιά νά ἐπιτρέπουν τούς φτωχούς νά μαζεύουν τά στάχυα καί τά σταφύλια πού ἀπέμειναν στά χωράφια καί τά ἀμπέλια. Ἐδῶ βρίσκεται τό ὅτι δέν πρέπει νά μαστιγώνεται μέ περισσότερο ἀπό σαράντα μαστιγώσεις αὐτός πού κατηγορεῖται γιά κάποιο ἀδίκημα. Καί γιά τό ὅτι δέν πρέπει νά βάζουν φίμωτρο στό βόδι πού ἀλωνίζει, γιά τήν ὑποχρέωση τοῦ ἀδελφοῦ πού εἶναι στή ζωή νά κάνει παιδί στόν ἀδελφό πού πέθανε, καί τί θά πάθει, ἐάν δέ θελήσει νά

17. Δευτ. 21, 23· Γαλ. 3, 13.

18. Δευτ. 27, 26.

Περὶ σταθμῶν, περὶ μέτρων. Περὶ τοῦ ἐξολοθρεῦσαι τὸν Ἀμαλήκ. Περὶ ἀπαρχῶν, περὶ φιλανθρωπίας τῆς εἰς χήρας καὶ ὀρφανούς.

Ἐντεῦθεν λοιπὸν αἱ κατάραι καὶ εὐλογίαι, αἱ μὲν παρακούουσιν, αἱ δὲ πειθομένοις. Καὶ μακρὸν ἀποτείνει λόγον περὶ τῶν μελλόντων αὐτοὺς διαδέχεσθαι κακῶν. Τοῦτο συνέβη ἐπὶ Ἀσσυρίων καὶ Βαβυλωνίων. Τὸ δὲ τοὺς υἱοὺς φαγεῖν, ἐν πολιορκίαις ἐξέβη. Καὶ αὐτοῦ μέμνηται ἐνταῦθα περὶ τοῦ Χριστοῦ. "Ἔσται", φησίν, "ἡ ζωή σου κρεμαμένη πρὸ ὀφθαλμῶν σου". Ἐνταῦθα κεῖται, "Μή τις ῥίζα πικρίας", οὗ καὶ ὁ Παῦλος ἐμνημόνευσεν ἐν τῇ πρὸς Ἑβραίους. Ἐνταῦθα κεῖται, "Τὰ κρυπτὰ Κυρίῳ τῷ Θεῷ, τὰ δὲ φανερὰ ὑμῖν καὶ τοῖς τέκνοις ὑμῶν". "Ὅτι ἡ ἐντολὴ αὐτοῦ", φησίν, "οὐκ ἔσται ὑπέρογκος. Οὐκ ἐν τῷ οὐρανῷ, ἵνα εἴπῃς, Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; οὐδὲ πέραν τῆς θαλάσσης, ἀλλ' ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου". Ταῦτα περὶ τῆς νομικῆς ἐντολῆς εἰρημένα εἵλκυσεν εἰς τὴν πίστιν τὴν εἰς Χριστὸν ὁ Παῦλος· "Διαμαρτύρομαι ὑμῖν", φησί, "τὸν οὐρανὸν καὶ τὴν γῆν, ὥστε ἀγαπᾶν τὸν Θεόν".

Τότε καλεῖ τὸν Ἰησοῦν τὸν Ναυῆ, καὶ ἐντέλλεται ἡγεῖσθαι τοῦ λαοῦ, καὶ μὴ φοβεῖσθαι τοὺς πολεμίους, Θεὸν ἔχοντας βοηθόν. Καὶ παραινεῖ, ὥστε ἐν ταῖς σκηνοπηγίαις παντὶ τῷ λαῷ τὸν νόμον ἀναγινώσκεσθαι. Προλέγει τῷ Μωϋσῇ ὁ Θεός, ὅτι μετὰ θάνατον αὐτοῦ ὁ λαὸς εἰδωλολατρήσει, καὶ κολασθήσεται. Ἔστω οὖν, φησίν, ἡ ᾠδὴ αὕτη καταμαρτυροῦσα αὐτῶν. Οὐ γάρ ποτε λήσονται αὐτῆς. Καὶ ἔγραψε Μωϋσῆς τὴν ᾠδήν, καὶ προεῖπεν αὐτοῖς, ὅτι ἀνομήσουσιν. Ἐνταῦθα κεῖται· "Αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ Θεῷ, κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει". Κελεύεται Μωϋσῆς ἀνελθεῖν εἰς τὸ ὄρος τὸ Ἀβαρεὶμ, ὃ καὶ Ναβαὶ ἐλέγετο, καὶ ἰδεῖν τὴν γῆν ἐπαγγελίας· καὶ εὐλογήσας ἑκάστην φυλήν, ἐτελεύτησε· καὶ οὐκ εἶδεν οὐδεὶς τὴν ταφὴν αὐτοῦ ἕως τῆς ἡμέρας ταύτης.

---

19. Δευτ. 28, 66. 21. Ἑβρ. 12, 15. 23. Δευτ. 30, 11.12.14.14.
20. Δευτ. 29, 18. 22. Δευτ. 29, 29. 24. Βλ. Ρωμ. 10, 6-8.

κάνει *παιδί*. Γιά τά σταθμά καί τά μέτρα. Γιά νά ἐξαλείψουν τούς 'Αμαληκίτες. Γιά τίς ἀπαρχές, γιά τή φιλανθρωπία στίς χῆρες καί τά ὀρφανά.

Στή συνέχεια ἀναφέρονται οἱ κατάρες καί οἱ εὐλογίες, οἱ πρῶτες γι' αὐτούς πού θά παρακούσουν τίς ἐντολές τοῦ Θεοῦ καί οἱ δεύτερες γι' αὐτούς πού θά τίς τηρήσουν. Καί ἀπευθύνει μακρύ λόγο γιά τίς συμφορές πού πρόκειται νά τούς διαδεχθοῦν. Αὐτό ἔγινε μέ τούς 'Ασσύριους καί τούς Βαβυλώνιους. Καί τό ὅτι θά φάγουν τά παιδιά τους, *πραγματοποιήθηκε* κατά τίς *πολιορκίες*. Καί ἀκριβῶς ἐδῶ θυμίζει γιά τό Χριστό. «'Η ζωή σου», λέγει, «θά εἶναι ἐνώπιόν σου ἀβέβαιη»[19]. 'Εδῶ βρίσκεται τό, «Μήπως ὑπάρχει καμιά ρίζα ἀπό τήν ὁποία φυτρώνει πικρία»[20], πού καί ὁ Παῦλος ἀνέφερε στήν πρός 'Εβραίους ἐπιστολή του[21]. 'Εδῶ λέγεται· «Τά κρυφά ἀνήκουν στόν Κύριο τό Θεό, ἐνῶ τά φανερά σέ σᾶς καί τά παιδιά σας»[22]. «Γιατί ἡ ἐντολή του», λέγει, «δέ θά εἶναι ὑπερβολική. Δέν εἶναι πάνω στόν οὐρανό γιά νά πεῖς· Ποιός θ' ἀνεβεῖ στόν οὐρανό; οὔτε πέρα ἀπό τή θάλασσα, ἀλλά πολύ κοντά σου εἶναι ὁ λόγος τοῦ Κυρίου, στό στόμα σου»[23]. Αὐτά πού εἶναι γραμμένα γιά τήν ἐντολή τοῦ νόμου τά προσάρμοσε ὁ Παῦλος γιά τήν πίστη στό Χριστό[24]. «'Επικαλοῦμαι ἐνώπιόν σας μάρτυρες», λέγει, «τόν οὐρανό καί τή γῆ, γιά ν' ἀγαπᾶτε τό Θεό»[25].

Τότε ὁ Μωυσῆς καλεῖ τόν 'Ιησοῦ τοῦ Ναυῆ καί τοῦ δίνει ἐντολή νά γίνει ἀρχηγός τοῦ λαοῦ καί νά μή φοβᾶται τούς ἐχθρούς, ἀφοῦ βοηθό τους ἔχουν τό Θεό. Καί συμβουλεύει, νά διαβάζεται ὁ νόμος κατά τήν ἑορτή τῆς Σκηνοπηγίας ἐνώπιον ὅλου τοῦ λαοῦ. 'Ο Θεός προλέγει στό Μωυσῆ, ὅτι μετά τό θάνατό του ὁ λαός θά προσκυνήσει τά εἴδωλα καί θά τιμωρηθεῖ. Ἄς εἶναι λοιπόν, λέγει, ἡ ᾠδή αὐτή μιά καταμαρτυρία ἐναντίον τους[26]. Γιατί δέ θά τήν ξεχάσουν ποτέ. Καί ἔγραψε ὁ Μωυσῆς τήν ᾠδή[27] καί προεῖπε σ' αὐτούς ὅτι θά παρανομήσουν. 'Εδῶ βρίσκεται τό, «Αὐτοί μ' ἔκαναν νά ζηλοτυπήσω γιατί λάτρεψαν ἀνύπαρκτο Θεό, καί ἐγώ θά τούς κάμω νά ζηλοτυπήσουν παραδίνοντας αὐτούς σέ εἰδωλολατρικούς λαούς»[28]. Παίρνει διαταγή ὁ Μωυσῆς ν' ἀνεβεῖ στό βουνό 'Αβαρείμ, τό ὁποῖο λέγεται καί Ναβαί, γιά νά δεῖ τή γῆ τῆς ἐπαγγελίας, καί ἀφοῦ εὐλόγησε κάθε φυλή, πέθανε. Κανείς δέν εἶδε τόν τάφο του μέχρι τήν ἡμέρα αὐτή[29].

25. Δευτ. 30, 19.20.
26. Δευτ. 31, 19.
27. Βλ. Δευτ. 32, 1-43.
28. Δευτ. 32, 21.
29. Δευτ. 34, 6.

Ἐνταῦθα ἐτελειώθησαν τὰ πέντε βιβλία Μωϋσέως, ἃ μόνα ἐδέξαντο οἱ Σαμαρῖται.

6. ΣΥΝΟΨΙΣ ΤΟΥ ΙΗΣΟΥ ΤΟΥ ΝΑΥΗ

*Κελεύεται Ἰησοῦς διατάττειν τῷ λαῷ, τῷ τε νόμῳ τοῦ
5 Θεοῦ προσέχειν. Πέμπει κατασκόπους· εἰσῆλθον εἰς τὴν Ἱεριχώ. Ἀκούσας ὁ βασιλεὺς τῆς πόλεως, ἔπεμψε, ζητῶν τοὺς ἄνδρας παρὰ Ῥαὰβ τῇ πόρνῃ τῇ ὑποδεξαμένῃ. Ἡ δὲ ἔκρυψε τοὺς κατασκόπους. Καὶ ἀντὶ ταύτης τῆς χάριτος ᾔτησε τὴν σωτηρίαν τῆς οἰκίας αὐτῆς, ὅταν ἡ πόλις ληφθῇ· οἱ δὲ
10 ἐπένευσαν. Καὶ ἀπελθόντες ἀπήγγειλαν τὰ γενόμενα. Παραγγέλλει τῷ λαῷ, ὥστε διαβῆναι τὸν Ἰορδάνην, καὶ διέβησαν ἐπὶ ξηρᾶς, καὶ λίθους ἔστησαν ἐν τῇ στρατοπεδείᾳ δώδεκα. Ἀκούσαντες οἱ βασιλεῖς τῶν Ἀμοῤῥαίων οἱ πέραν τοῦ Ἰορδάνου, καὶ οἱ βασιλεῖς τῆς Φοινίκης, ὅτι διὰ ξηρᾶς
15 διέβησαν τὸν Ἰορδάνην, κατετάκησαν, καὶ κατεπλάγησαν. Τότε Ἰησοῦς προσταχθεὶς μαχαίραις πετρίναις περιτέμνει τοὺς Ἰουδαίους. Ἐπεὶ τεσσαράκοντα ἔτη ἀνέστραπτο Ἰσραὴλ ἐν τῇ ἐρήμῳ, καὶ διὰ τοῦτο ἀπερίτμητοι ἦσαν αὐτῶν οἱ πλεῖστοι τῶν μαχίμων, οἳ καὶ ἀπώλοντο· ἀντὶ δὲ τούτων ἀντικατέστησε
20 τοὺς υἱοὺς αὐτῶν, οὓς ὁ Ἰησοῦς περιέτεμε, διὰ τὸ γενέσθαι αὐτοὺς ἀπεριτμήτους ἐν τῇ ὁδῷ.*

*Τότε ἐποίησε τὸ πάσχα. Καὶ ἐν τῇ ἡμέρᾳ ᾗ ἔφαγον ἄζυμα ἀπὸ τοῦ σίτου τῆς γῆς ἐκείνης, ἐξέλιπε τὸ μάννα. Κελεύεται ὁ Ἰησοῦς λῦσαι τὸ ὑπόδημα αὐτοῦ, καὶ κυκλῶσαι τὴν Ἱεριχὼ
25 μετὰ σαλπίγγων καὶ τῆς κιβωτοῦ ἡμέρας ἑπτά. Οὗ γενομένου αὐτόματα ἔπεσον τὰ τείχη. Δῆλον οὖν ὅτι ἔκτοτε ἀρχὴν ἔλαβε λύεσθαι τὸ σάββατον· ὅθεν γὰρ ἂν ἄρξηταί τις, ἀνάγκη τὸ σάββατον ἐμπεσεῖν ἐν ταῖς ἓξ ἡμέραις. Τότε σώζεται μὲν ἡ Ῥαὰβ μετὰ τῆς συγγενείας αὐτῆς, καὶ οἰκεῖ ἐν τῷ Ἰσραήλ,
30 ἐμπιπρᾶται δὲ ἡ πόλις καὶ ἀναθεματίζεται, καὶ κατηράσατο Ἰησοῦς τῷ οἰκοδομοῦντι αὐτήν. Ἔκλεψεν ἐκ τοῦ ἀναθέματος Ἄχαρ, καὶ ἡττᾶται ὁ λαὸς προσβαλὼν ἑτέρᾳ πόλει. Δεῖται τοῦ Θεοῦ Ἰησοῦς, κελεύει ὁ Θεὸς ἐξαρθῆναι τὸ ἀνάθεμα.*

30. Τά πέντε πρῶτα αὐτά βιβλία, δηλ. ἡ Γένεση, ἡ Ἔξοδος, οἱ Ἀριθμοί, τό Λευϊτικό καί τό Δευτερονόμιο, ἀποτελοῦν τήν Πεντάτευχο.

'Εδῶ συμπληρώθηκαν τά πέντε βιβλία τοῦ Μωυσῆ[30], πού μόνο αὐτά δέχθηκαν οἱ Σαμαρίτες.

6. ΠΕΡΙΛΗΨΗ ΤΟΥ ΙΗΣΟΥ ΤΟΥ ΝΑΥΗ

'Ο 'Ιησοῦς παίρνει τήν ἐντολή νά γίνει ἀρχηγός τοῦ λαοῦ καί νά ἐφαρμόζει τό νόμο τοῦ Θεοῦ. Στέλνει κατασκόπους καί μπῆκαν στήν 'Ιεριχώ. Ὅταν τό ἔμαθε ὁ βασιλιάς τῆς πόλης, ἔστειλε ἀνθρώπους του γιά νά ζητήσουν τούς ἄνδρες ἀπό τήν πόρνη Ραάβ πού τούς ὑποδέχτηκε. Αὐτή ἔκρυψε τούς κατασκόπους. Καί γι' ἀντάλλαγμα αὐτῆς τῆς χάρης ζήτησε τή σωτηρία τοῦ σπιτιοῦ της, ὅταν κυριευθεῖ ἡ πόλη· αὐτοί ὑποσχέθηκαν. Καί ὅταν ἔφυγαν, πληροφόρησαν τά γεγονότα. Παραγγέλνει ὁ 'Ιησοῦς στό λαό νά περάσει τόν 'Ιορδάνη, καί πέρασαν ἐπάνω σέ ξηρά καί ἔστησαν στό στρατόπεδό τους δώδεκα πέτρες. Ὅταν ἄκουσαν οἱ βασιλεῖς τῶν 'Αμορραίων, πού κατοικοῦσαν πέρα ἀπό τόν 'Ιορδάνη, καί οἱ βασιλεῖς τῆς Φοινίκης, ὅτι πέρασαν τόν 'Ιορδάνη πάνω σέ ξηρά, ἔλειωσαν ἀπό τό φόβο τους καί τά ἔχασαν. Τότε ὁ 'Ιησοῦς, πού τόν πρόσταξε ὁ Θεός, κάνει περιτομή στούς 'Ιουδαίους μέ πέτρινα μαχαίρια. 'Επειδή περιπλανοῦνταν οἱ 'Ισραηλίτες στήν ἔρημο σαράντα χρόνια, γι' αὐτό ἦταν ἀπερίτμητοι οἱ περισσότεροι ἀπό τούς μάχιμους ἄνδρες, οἱ ὁποῖοι καί χάνονταν. Στή θέση τους ὁ 'Ιησοῦς ἔβαλε τά παιδιά τους, στά ὁποῖα ἔκανε περιτομή, γιατί γεννήθηκαν στή διάρκεια τῆς πορείας τους καί ἔμειναν ἀπερίτμητα.

Τότε ἔκαμε τό Πάσχα. Καί κατά τήν ἡμέρα πού ἔφαγαν ἄζυμό ψωμί ἀπό τό σιτάρι τῆς χώρας ἐκείνης, χάθηκε τό μάννα. Διατάζεται ὁ 'Ιησοῦς νά λύσει τά παπούτσια του καί νά περικυκλώσουν τήν 'Ιεριχώ μέ σάλπιγγες καί τήν κιβωτό ἑπτά ἡμέρες. Ὅταν ἔγινε αὐτό, ἀμέσως ἔπεσαν τά τείχη τῆς πόλης. Εἶναι φανερό λοιπόν ὅτι ἀπό τότε ἄρχισε νά παραβιάζεται ἡ ἀργία τοῦ Σαββάτου, γιατί ἀπ' ὅπου καί ἄν ἀρχίσει κανείς, τό Σάββατο θά πέσει ἀναγκαστικά μέσα στίς ἕξι ἡμέρες. Τότε σώζεται ἡ Ραάβ μαζί μέ τούς συγγενεῖς της καί ἐγκαταστάθηκε ἀνάμεσα στούς 'Ισραηλίτες, ἐνῶ ἡ πόλη κάηκε καί γίνεται ἀφιέρωμα στό Θεό, καί ὁ 'Ιησοῦς καταράστηκε ἐκεῖνον πού θά τήν ξανακτίσει. Ἔκλεψε ἀπό τά ἀφιερώματα ὁ Ἄχαρ καί νικήθηκαν οἱ 'Ισραηλίτες, ὅταν πολιόρκησαν ἄλλη πόλη. Παρακαλεῖ τό Θεό ὁ 'Ιησοῦς, προστάζει ὁ Θεός νά βγεῖ ἀπό ἀνάμεσά τους

Ἀνεδείχθη ὁ Ἄχαρ, ἠλέγχθη τὸ κλέμμα, ἐλιθοβολήθη μετὰ τῶν υἱῶν καὶ θυγατέρων ὁ Ἄχαρ. Ἀνεμαχέσατο Ἰησοῦς τὴν μάχην, καὶ εἷλε τὴν Γάζαν, καὶ ἐνεπύρισε· καὶ ἔπεσον ἐν αὐτῇ δώδεκα χιλιάδες· καὶ τὸν βασιλέα τῆς πόλεως ἐκρέμασαν ἐπὶ ξύλου.

Συνέρχονται πολεμῆσαι τὸν Ἰσραὴλ οἱ βασιλεῖς τῶν Ἀμοῤῥαίων καὶ Χαναναίων, καὶ οἱ λοιποί. Οἰκοδομεῖ Ἰησοῦς θυσιαστήριον ἐκ λίθων ὁλοκλήρων καὶ γράφει τὸ Δευτερονόμιον ἐκεῖ. Καὶ αἱ ἡμίσεις ἵστανται πλησίον τοῦ ὄρους Γεβάλ, καὶ αἱ ἡμίσεις πλησίον τοῦ ὄρους Γαριζίν. Ἐντεῦθεν τὰ κατὰ τοὺς Γαβαωνίτας. Οὗτοι γὰρ ἀκούσαντες περὶ τῶν Ἰσραηλιτῶν καὶ φοβηθέντες αὐτοὺς ἐξ ὧν ἤδη κατώρθωσαν ἐν τοῖς πολεμίοις, ἔρχονται πρὸς αὐτούς, παλαιὰ περιθέμενοι ἱμάτια, ἄρτους ἐπιφερόμενοι ξηρούς, σανδάλια πεπαλαιωμένα, καί φασι πρὸς τὸν λαόν, ὅτι ἐκ γῆς πόῤῥωθεν ἥκουσι, καὶ σημεῖον τοῦ πόῤῥω οἰκεῖν, τὰ ἱμάτια, καὶ τοὺς ἄρτους, καὶ τὰ σανδάλια ἐποιοῦντο. Ἐν γὰρ τῇ ὁδῷ αὐτὰ πεπαλαιῶσθαι ἔλεγον· ἥκειν δὲ ἐπὶ τῷ συνθήκας ποιήσασθαι πρὸς αὐτοὺς εἰρήνης. Οἱ δὲ μὴ ἐρόμενοι τὸν Θεόν, ἐποιήσαντο συνθήκας. Ὡς δὲ ἔγνωσαν ἠπατημένοι, καὶ ὅτι οὐ πόῤῥω, ἀλλὰ πλησίον οἰκοῦσι, μὴ δυνάμενοι αὐτοὺς καταπολεμῆσαι διὰ τοὺς ὅρκους, δούλους ἐποιήσαντο ξυλοκόπους τε καὶ ὑδροφόρους. Ἐνταῦθα ἐκβαίνει ἡ πρόῤῥησις τοῦ Νῶε, ἣν εἶπε· "Χαναὰν παῖς οἰκέτης"· ἐξ ἐκείνου γάρ εἰσιν οὗτοι.

Ἤκουσεν Ἀδωνιβεζὲκ βασιλεὺς Ἱερουσαλήμ, ὅτι ἑάλω Ἱεριχὼ καὶ Γάζα, καὶ ὅτι ηὐτομόλησαν οἱ Γαβαωνῖται, καὶ ἐπιστρατεύει ἐπ' αὐτοὺς μετὰ καὶ ἑτέρων βασιλέων. Οἱ δὲ ἐκάλουν εἰς συμμαχίαν τὸν Ἰησοῦν. Ἦλθε δὲ καὶ συνέβαλε, καὶ ἐτρέψατο αὐτούς· καὶ ἄνωθεν ἐπ' αὐτοὺς χάλαζα κατηνέχθη· καὶ πλείους ἀνεῖλεν ἡ χάλαζα, ἢ οἱ υἱοὶ Ἰσραὴλ ἐν μαχαίρᾳ. Τότε ἔστη ὁ ἥλιος κατὰ Γαβαών, καὶ ἡ σελήνη κατὰ φάραγγα Ἐλώμ· καὶ πάντα τῶν ἐχθρῶν τὸν λαὸν ἀπέκτεινεν Ἰησοῦς, καὶ πέντε βασιλεῖς. Εἷλε δὲ καὶ τὴν Μακηλά, καὶ τὴν Λοβνά, καὶ τὴν Λαχίς, καὶ τὴν Ὀδολάν, καὶ τὴν Χεβρών, καὶ τὴν Δαβήρ, καὶ τὴν ὀρεινήν, καὶ τὴν πεδινήν. Συνῆλθον ἕτεροι βασιλεῖς πολλοὶ μετὰ στρατοπέδων μεγάλων, καὶ τούτους εἷλεν Ἰησοῦς. Ἔγκειται δὲ αὐτῶν ἐνταῦθα καὶ τὰ ὀνόματα καὶ αἱ πόλεις, καὶ ὁ ἀριθμός.

όάναθεματισμένος. 'Αποδείχθηκε πώς ήταν ό "Αχαρ, βρέθηκαν αύτά πού έκλεψε, λιθοβολήθηκε ό "Αχαρ μαζί μέ τούς υἱούς καί τίς θυγατέρες του. Ξανακέρδισε ό 'Ιησοῦς τή μάχη, κυρίευσε τή Γάζα καί τήν πυρπόλησε. "Οσοι σκοτώθηκαν τήν ήμέρα αύτή ήταν δώδεκα χιλιάδες, καί τό βασιλιά τῆς πόλης τόν κρέμασαν σέ ξύλο.

Κάνουν συμμαχία οἱ βασιλεῖς τῶν 'Αμοραίων, τῶν Χαναναίων καί οἱ ὑπόλοιποι, γιά νά πολεμήσουν τούς 'Ισραηλίτες. Χτίζει ό 'Ιησοῦς θυσιαστήριο άπό άκατέργαστες πέτρες καί γράφει έκεῖ τό Δευτερονόμιο. Καί οἱ μισοί στέκονταν κοντά στό ὄρος Γεβάλ καί οἱ ἄλλοι μισοί κοντά στό ὄρος Γαριζίν. Στή συνέχεια τά σχετικά μέ τούς Γαβαωνίτες. 'Επειδή λοιπόν ἔμαθαν αύτοί γιά τούς 'Ισραηλίτες καί τούς φοβήθηκαν άπό τά κατορθώματά τους έναντίον τῶν έχθρῶν, ἔρχονται νά τούς συναντήσουν, φορώντας παλιά ροῦχα, φέροντας μαζί τους ξερά ψωμιά, παλιά σανδάλια, καί λέγουν στούς 'Ισραηλίτες, ὅτι ἔχουν ἔρθει άπό μακριά καί γι' άπόδειξη πώς ζοῦν μακριά ἔδειχναν τά ροῦχα, τά ψωμιά καί τά σανδάλια τους. Γιατί ἔλεγαν πώς ἔχουν παλιώσει αύτά στό δρόμο καί ἦρθαν νά κάνουν μ' αύτούς συνθήκη είρήνης. Αύτοί χωρίς νά ρωτήσουν τό Θεό, ἔκαμαν συνθήκη. Μόλις ὅμως ἔμαθαν ὅτι έξαπατήθηκαν καί ὅτι δέ μένουν μακριά, άλλά κοντά, έπειδή δέν μποροῦσαν νά τούς κατακτήσουν έξ αίτίας τῶν ὅρκων, τούς ἔκαμαν δούλους ξυλοκόπους καί νεροκουβαλητές τους. 'Εδῶ πραγματοποιεῖται ή προφητεία τοῦ Νῶε, πού εἶπε· «'Ο Χαναάν θά γίνει ὑπηρέτης καί δοῦλος»[1], γιατί οἱ Γαβαωνίτες κατάγονται άπ' αύτόν.

"Εμαθε ό βασιλιάς τῆς 'Ιερουσαλήμ 'Αδωνιβεζέκ, ὅτι ἔπεσε ή 'Ιεριχώ καί ή Γάζα, καί ὅτι αύτομόλησαν οἱ Γαβαωνίτες, καί έκστρατεύει έναντίον τους μαζί καί μέ ἄλλους βασιλεῖς. Αύτοί κάλεσαν σέ βοήθεια τόν 'Ιησοῦ, ό όποῖος ἦρθε καί βοήθησε καί τούς ἔτρεψε σέ φυγή. 'Από τόν ούρανό ἔπεσε έναντίον τους χαλάζι, καί σκότωσε περισσότερους άπ' αύτούς πού ἔσφαξαν οἱ 'Ισραηλίτες στή μάχη. Τότε στάθηκε ό ἥλιος έπάνω άπό τή Γαβαών καί τό φεγγάρι έπάνω άπό τήν κοιλάδα 'Ελώμ. "Ολους τούς έχθρούς τούς σκότωσε ό 'Ιησοῦς, ὅπως καί τούς πέντε βασιλεῖς. Κατέλαβε καί τίς πόλεις Μακηλά, Λοβνά, Λαχίς, 'Οδολά, Χεβρών καί Δαβήρ, τήν όρεινή καί τήν πεδινή χώρα. Συμμάχησαν πολλοί ἄλλοι βασιλεῖς μέ μεγάλα στρατεύματα, άλλά καί αύτούς τούς νίκησε ό 'Ιησοῦς. Τά όνόματα, οἱ πόλεις καί ό άριθμός τους βρίσκονται έδῶ[2].

---

1. Γεν. 9, 25. 2. 'Ιησ. Ναυῆ κεφ. 12.

Προστάσσεται δὲ Ἰησοῦς διαδοῦναι τὴν γῆν τοῖς Ἰσραηλίταις. Καὶ διαγράφει τίς φυλὴ τίνας κλήρους ἔλαβε, καὶ τοῖς Λευΐταις τί δοθῇ. Ἐκπέμπεται Ἰησοῦς τὴν φυλὴν Ῥουβὶμ καὶ τὴν Γὰδ καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ εἰς τοὺς κλήρους αὐτῶν,
5 *οὓς ἔλαβον ἔτι ζῶντος Μωϋσέως. Οἱ δὲ ἀπελθόντες, παρὰ τὸν Ἰορδάνην ᾠκοδόμησαν βωμόν. Ἐτάραξε τοῦτο τὰς ἄλλας φυλάς. Ὤοντο γὰρ ἀποστασίας ἕνεκεν τοῦτο πεποιηκέναι αὐτούς. Πέμπουσι πρὸς αὐτοὺς ἐγκαλοῦντες· οἱ δὲ ἀπελογοῦντο λέγοντες, οὐκ ἀποστασίας ἕνεκεν οἰκοδομῆσαι τὸν*
10 *βωμόν· ἀλλ' ἵνα μὴ ἔχωσιν οἱ μεθ' ὑμᾶς γενόμενοι τοὺς ἡμετέρους υἱοὺς ὡς ἀλλοτρίους τῆς ἑαυτῶν συγγενείας, διὰ τὸ τὸν Ἰορδάνην μέσον ἑκατέρων ῥεῖν· ἀλλ' ἵνα ᾖ ὁ βωμὸς εἰς μαρτύριον, καὶ μὴ ἔχωσι λέγειν τὰ τέκνα ὑμῶν τοῖς ἐγγόνοις ἡμῶν, "Οὐκ ἔστιν ὑμῖν μερὶς Κυρίου". Ἐπείσθησαν μηκέτι*
15 *πολεμῆσαι αὐτοὺς αἱ λοιπαὶ φυλαί. Τότε συγκαλεῖ τοὺς Ἰσραηλίτας Ἰησοῦς, καὶ ὑπομιμνήσκει αὐτοὺς τῶν τοῦ Θεοῦ εὐεργεσιῶν, καὶ παραινεῖ φυλάττειν τὸν νόμον, καὶ προλέγει τὰ διαδεξόμενα αὐτοὺς κακά, εἰ μὴ φυλάξειεν, καὶ τελευτᾷ. Τελευτᾷ δὲ καὶ Ἐλεάζαρ ὁ ἱερεύς, καὶ ἱεράτευσε Φινεὲς ὁ*
20 *υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. Καὶ εἰδωλολάτρησαν οἱ Ἰσραηλῖται, καὶ παρεδόθησαν τῷ Αἰγλὼμ βασιλεῖ Μωάβ, καὶ κατεκυρίευσαν αὐτῶν ἔτη δεκαοκτώ.*

7. ΣΥΝΟΨΙΣ ΤΩΝ ΚΡΙΤΩΝ

Ἐνταῦθα κεῖται ποΐας μὲν πόλεις εἷλον, ποίας δὲ ἀφῆκαν
25 *φόρου ἐπιτελεῖς αὐτοῖς εἶναι οἱ Ἰσραηλῖται. Καταμαλακισθέντες γὰρ πρὸς τοὺς τοῦ πολέμου πόνους, παρέβησαν τὸ πρόσταγμα τοῦ Θεοῦ, κελεῦσαν πάντας παντελῶς ἄρδην ἀφανισθῆναι. Ἦλθεν ἄγγελος παρὰ Κυρίου πρὸς τοὺς Ἰσραηλίτας, καὶ ἤλεγξεν αὐτῶν τὴν παρανομίαν. Δέον γάρ, φησί,*
30 *πάντας ἀφανισθῆναι, ὑμεῖς δὲ καὶ συνθήκας ἔθεσθε πρὸς αὐτούς· διὰ τοῦτο οὐκ ἐξολοθρεύσει ὁ Θεὸς τὰ ὑπολειπόμενα ἔθνη. Ταῦτα ἀκούσαντες ἔκλαυσαν ὁμοθυμαδόν, καὶ Κλαυθμὸς ὁ τόπος ἐκλήθη. Καὶ παρηνόμουν καὶ εἰδωλολάτρουν συνεχῶς, καὶ παρεδίδοντο τοῖς ἐχθροῖς, καὶ ἀπηλλάσσοντο*
35 *τῆς δουλείας, καὶ πάλιν τοῖς αὐτοῖς ἐπέμενον κακοῖς. Παρε-*

Προστάζεται ὁ 'Ιησοῦς νά μοιράσει τή χώρα στούς 'Ισραηλίτες. Καί περιγράφει τήν κληρονομία κάθε φυλῆς καί τί θά δοθεῖ στούς Λευΐτες. Στέλνει ὁ 'Ιησοῦς τίς φυλές Ρουβήμ καί Γάδ καί τούς μισούς ἀπό τή φυλή Μανασσῆ στίς κληρονομίες τους, πού πῆραν ὅταν ἀκόμη ζοῦσε ὁ Μωυσῆς. Αὐτοί, ὅταν ἔφυγαν, ἔκτισαν κοντά στόν 'Ιορδάνη βωμό. Αὐτό τό γεγονός προκάλεσε σύγχυση στίς ἄλλες φυλές. Γιατί θεώρησαν πώς ἔχουν κάνει αὐτό ἐπειδή ἀποστάτησαν ἀπό τό Θεό. Στέλνουν ἀντιπροσώπους σ' αὐτούς γιά νά τούς κατηγορήσουν. Αὐτοί ὅμως ἀπάντησαν λέγοντας ὅτι δέν ἔκτισαν τό βωμό, ἐπειδή ἀποστάτησαν, ἀλλά γιά νά μή θεωροῦν οἱ ἀπόγονοί σας τά δικά μας παιδιά σάν ξένα ἀπό τή συγγένειά τους, ἀφοῦ ὁ 'Ιορδάνης τρέχει ἀνάμεσα σ' αὐτούς. Γιά νά εἶναι λοιπόν ὁ βωμός μιά μαρτυρία καί νά μήν μποροῦν τά παιδιά σας νά λέγουν στούς ἀπογόνους μας, «Δέν ἔχετε μέρος ἐνώπιον τοῦ Κυρίου»[3]. Πείσθηκαν νά μήν τούς πολεμήσουν πιά οἱ ὑπόλοιπες φυλές. Τότε ὁ 'Ιησοῦς συγκεντρώνει τούς 'Ισραηλίτες, τούς θυμίζει τίς εὐεργεσίες τοῦ Θεοῦ, τούς συμβουλεύει νά τηροῦν τό νόμο καί τούς προλέγει τά κακά πού θά τούς διαδεχθοῦν, ἐάν δέν τόν φυλάξουν, καί πεθαίνει. Πεθαίνει ὅμως καί ὁ ἱερέας 'Ελεάζαρ καί ἔγινε ἱερέας ὁ υἱός του Φινεές στή θέση του πατέρα του. Καί οἱ 'Ισραηλίτες προσκύνησαν τά εἴδωλα καί παραδόθηκαν στό βασιλιά τῆς Μωάβ Αἰγλώμ, καί τούς ὑποδούλωσε δεκαοχτώ χρόνια.

7. ΠΕΡΙΛΗΨΗ ΤΩΝ ΚΡΙΤΩΝ

'Εδῶ λέγεται ποιές πόλεις κατέλαβαν οἱ 'Ισραηλίτες καί ποιές ἄφησαν νά εἶναι φόρου ὑποτελεῖς σ' αὐτούς. 'Επειδή φοβήθηκαν τούς κόπους τοῦ πολέμου, παρέβηκαν τήν προσταγή τοῦ Θεοῦ, πού ἔλεγε νά ἐξοντωθοῦν ὁλοσχερῶς ὅλοι μαζί. Ἦρθε στούς 'Ισραηλίτες ἄγγελος ἀπό τόν Κύριο καί τούς ἔκανε ἔλεγχο γιά τήν παρανομία τους. Γιατί ἔπρεπε, λέγει, νά τούς ἐξοντώσετε ὅλους, ἐσεῖς ὅμως κάνατε συμφωνίες μαζί τους· γι' αὐτό δέ θά ἐξαφανίσει ὁ Θεός τά ὑπόλοιπα ἔθνη. Ὅταν ἄκουσαν αὐτά, ἔκλαψαν ὅλοι μαζί καί ὁ τόπος ὀνομάστηκε «Κλαυθμός». Καί παρέβαιναν τό νόμο καί προσκυνοῦσαν τά εἴδωλα συνέχεια, καί παραδίνονταν στούς ἐχθρούς, καί ἐλευθερώνονταν ἀπό τή δουλεία, καί πάλι ἐπέμεναν στά ἴδια κακά.

3. 'Ιησ. Ναυῆ 22, 27.

δόθησαν Χουσὰρ Σαθὼν βασιλεῖ Συρίας ἔτη η', καὶ ἔσωσεν αὐτοὺς Κύριος διὰ Γοθονοὴλ τοῦ κριτοῦ. Καὶ παρεδόθησαν τῷ Ἐγλὼμ βασιλεῖ Μωάβ, καὶ ἔκραξαν πρὸς τὸν Θεόν, καὶ ἤγειρεν αὐτοῖς Ἀώδ, ὅστις δόλῳ ἀνεῖλε τὸν Ἐγλώμ καὶ τὸν 5 Μωάβ.

Μετὰ τοῦτον ἔκρινε Σομεγάρ, Δεβώρα, γυνὴ προφῆτις. Δουλευόντων δὲ τῷ βασιλεῖ Χαναὰν τῶν Ἰσραηλιτῶν, κελεύει τῷ Βαρὰκ ἡ Δεβώρα στρατηγῆσαι τὸν πόλεμον. Ὁ δὲ οὐκ ἠνείχετο, εἰ μὴ καὶ αὐτὴ συνεξέλθοι αὐτῷ· καὶ συνεξῆλθεν ἡ 10 γυνή. Γενομένου δὲ τοῦ πολέμου, φεύγουσιν οἱ πολέμιοι, καὶ ὁ στρατηγὸς Ἰαβὶς Σισάρα ἐλθὼν πρός τινα γυναῖκα λεγομένην, ᾔτει πιεῖν· ἡ δὲ γάλα ἔδωκεν αὐτῷ ἀντὶ ὕδατος. Ὡς δὲ ἐκοιμήθη πιών, πάσσαλον λαβοῦσα ἡ γυνή, διήλασεν διὰ τοῦ κροτάφου αὐτοῦ. Καὶ οὕτως ἀπέθανε Σισάρα· καὶ ἐπελθὼν 15 Βαρὰκ εἶδεν αὐτὸν τεθνηκότα. Τότε ᾖσεν ᾠδὴν Δεβώρα ἐπινίκιον. Πάλιν παραδίδονται εἰς χεῖρας Μαδιὰμ οἱ Ἰσραηλῖται· συνεχῶς γὰρ παρώργιζον τὸν Θεόν. Τότε τῷ Γεδεὼν ὤφθη ἄγγελος, καὶ παρώρμησεν εἰς πόλεμον. Εἶτα ὁ Κύριος κελεύει αὐτὸν θῦσαι τὸν μόσχον τὸν σιτευτὸν τοῦ πατρὸς 20 αὐτοῦ, καὶ ἀνενεγκεῖν ὁλοκαύτωμα, καὶ τὸ θυσιαστήριον κατασκάψαι τοῦ Βάαλ. Ἐποίησεν οὕτως, καὶ ἀνήνεγκεν ὁλοκαύτωμα τῷ Θεῷ. Καὶ αἰτεῖ σημεῖον ὁ Γεδεὼν ὁ καὶ Ἱεροβαὰλ τὸ ἐπὶ τοῦ πόκου γενόμενον. Καὶ κελεύεται ἅπαν ἀποπέμψαι τὸ στρατόπεδον, τριακοσίους δὲ μόνον κατασχεῖν. 25 Καὶ ἐποίησεν οὕτω, καὶ συμβαλὼν μετὰ λαμπάδων καὶ σαλπίγγων, εἷλε τοὺς πολεμίους. Τότε ἀνῃρήθησαν Ὠρὴβ καὶ Ζὴβ οἱ ἄρχοντες Μαδιάμ, καὶ Ζεβεὲ καὶ Σαλμανὰ οἱ βασιλεῖς.

Ἀποθανὼν Γεδεὼν κατέλιπεν υἱοὺς ἑβδομήκοντα, καὶ ἀπὸ παλλακίδος ἕνα τὸν Ἀβιμέλεκ. Οὗτος τοὺς ἑβδομήκοντα 30 ἀνελών, ἐκράτησε τὴν βασιλείαν· καὶ μετ' οὐ πολὺ δίκην ἔδωκε τῆς ἀδελφοκτονίας. Προσελθὼν γὰρ ἐν πολέμῳ τινὶ πόλει, κλάσματι μύλου ἐθλάσθη τὴν κεφαλὴν ὑπὸ γυναικός, καὶ ἀπέθανε. Μετὰ τὸν Ἀβιμέλεκ ἔκρινε Θωλά, μετὰ τὸν Θωλὰ Ἰαείρ. Καὶ παρώργισαν τὸν Θεὸν υἱοὶ Ἰσραήλ, καὶ παρεδό-35 θησαν εἰς χεῖρας Ἀμμών. Τότε τὸν Ἰεφθάε, υἱὸν ὄντα γυναικὸς πόρνης, καὶ ὑπὸ τῶν ἀδελφῶν ἀπελαθέντα τῆς

1. Πόκος· τό σύνολο τοῦ ἀκατέργαστου μαλλιοῦ ἀπό τό κούρεμα τοῦ προβάτου.

Παραδόθηκαν στό Χουσάρ Σαθών, τό βασιλιά τῆς Συρίας, ὀχτώ χρόνια καί τούς ἔσωσε ὁ Κύριος μέ τόν κριτή Γοθονοήλ. Παραδόθηκαν στόν 'Εγλώμ, τό βασιλιά τῆς Μωάβ, ζήτησαν βοήθεια ἀπό τό Θεό καί ἀνέδειξε σ' αὐτούς τόν 'Αώδ, πού μέ δόλο σκότωσε τόν 'Εγλώμ καί τούς Μωαβίτες.

Ἀμὼς ὁ υἱὸς αὐτοῦ ἔτη β', καὶ ἐποίησε τὸ πονηρόν, ὡς ὁ πατὴρ αὐτοῦ Μανασσῆς, καὶ ἀνεῖλον αὐτὸν οἱ παῖδες αὐτοῦ, καὶ ἐτάφη ἐν κήπῳ Ὀζᾶ, ἔνθα καὶ ὁ πατὴρ αὐτοῦ. Ἰωσίας ὁ υἱὸς αὐτοῦ ἔτη λα'. Τοῦτον ὁ λαὸς ἤγειρε βασιλέα, ὄντα ἐτῶν η', καὶ ἐποίησε τὸ εὐθὲς ἐν πάσῃ ὁδῷ Δαυῒδ, καὶ οὐκ ἀπέστη δεξιᾷ, οὐδὲ ἀριστερᾷ. Καὶ γὰρ καὶ τὰ ἄλση ἐξέκοψε, καὶ τὰ εἴδωλα πάντα καθεῖλε. Γενόμενος δὲ ἐτῶν ις', τόν τε νόμον ζητήσας, καὶ εὑρὼν ἀμεληθέντα, ἀναγνωσθῆναι πεποίηκε, καὶ τὸ πάσχα ἐποίησε, καὶ ἐκήρυξεν, ὡς γέγραπται. Τοῦτον δὲ ἀνεῖλε Φαραὼ Νεχαὼ ἐπὶ τοῦ Εὐφράτου φιλονεικήσαντα πρὸς αὐτόν. Ἐπὶ τούτου Ἱερεμίας καὶ Σοφονίας ἦσαν οἱ προφῆται. καὶ Ὀλδὰ ἡ προφῆτις γυνὴ Σελλῆ. Ἰωάχαζ υἱὸς αὐτοῦ μῆνας τρεῖς, καὶ ἐποίησε τὸ πονηρόν, καὶ μετέστησεν αὐτὸν Φαραὼ Νεχαώ· καὶ ἐπὶ τούτου ἦν Ἱερεμίας. Ἐλιακεὶμ ἕτερος υἱὸς Ἰωσίου, ὃς μετωνομάσθη Ἰωακείμ, ἔτη ια', καὶ ἐποίησε τὸ πονηρόν. Ἰωακεὶμ ὁ καὶ Ἰεχονίας, ὁ υἱὸς αὐτοῦ, μῆνα γ', καὶ ἐποίησε τὸ πονηρὸν καὶ ἀπήχθη εἰς Βαβυλῶνα. Ματθὰν ὁ υἱὸς αὐτοῦ. Τοῦτον Ναβουχοδονόσορ ἐποίησε βασιλέα, καὶ μετωνόμασε αὐτὸν Σεδεκίαν. Καὶ ἐβασίλευσεν ἔτη ιβ', καὶ ἐποίησε τὸ πονηρόν. Καὶ ἐπὶ τούτου ἦν Ἱερεμίας. Ἕως τούτου ἡ βασιλεία τοῦ Ἰούδα, καὶ κατελύθη, ὥσπερ καὶ τῆς Σαμαρείας. Καὶ γὰρ ἡ πόλις ἑάλω, καὶ πάντες ἀπήχθησαν αἰχμάλωτοι εἰς Βαβυλῶνα μετὰ σκευῶν. Εἰσὶ δὲ βασιλεῖς κα', ἐκτὸς Γοδολίας.

Ὀνόματα τῶν βασιλέων τῶν γενομένων ἐν Σαμαρείᾳ, καὶ ποῖον τῆς ἑκάστου πράξεως γέγονε τέλος, καὶ πόσα ἔτη

---

5. Δ' Βασ. 21, 11.

6. Βλ. Β' Παραλ. 33, 1-20.

Ὅσα γκρέμισε ὁ Ἐζεκίας, αὐτός τά ἔκτισε, καί ἔγινε ἄλλος Ἰεροβοάμ στό βασίλειο τοῦ Ἰούδα, ὥστε ἐξ αἰτίας του νά πάθει ἡ Ἰερουσαλήμ, ὅπως ἔπαθε ἡ Σαμάρεια. Γιατί γι' αὐτόν ἔχει εἰπωθεῖ, «Αὐτός παρακίνησε τόν ἰουδαϊκό λαό στήν ἁμαρτία»[5]. Γι' αὐτό καί ὁδηγήθηκε αἰχμάλωτος στή Βαβυλώνα. Στήν αἰχμαλωσία ὅμως, ἀφοῦ μετανόησε ὅπως ἔχει γραφεῖ στό βιβλίο τῶν Παραλειπομένων[6], τόν ἔφερε πίσω ὁ Θεός στήν Ἰερουσαλήμ καί πῆρε πάλι τή βασιλεία. Μετανοώντας καί διδάσκοντας τό λαό νά ὑπηρετεῖ τό Θεό, πέθανε. Δέ θάφτηκε ὅμως στήν πόλη τοῦ Δαυΐδ, ἀλλά στόν κῆπο του, στόν κῆπο τοῦ Ὀζά.

Ὁ Ἀμώς, υἱός τοῦ Μανασσῆ, βασίλευσε δύο χρόνια καί ἔπραξε τό πονηρό, ὅπως ὁ πατέρας του, καί τόν σκότωσαν τά παιδιά του, καί θάφτηκε στόν κῆπο τοῦ Ὀζά, ὅπου θάφτηκε καί ὁ πατέρας του. Ὁ υἱός του Ἰωσίας βασίλευσε τριάντα ἕνα χρόνια. Αὐτόν ὁ λαός τόν ἔκαμε βασιλιά, ὅταν ἦταν ὀκτώ χρονῶν, καί ἔπραξε τό σωστό βαδίζοντας σέ ὅλα τό δρόμο τοῦ Δαυΐδ, καί δέν ξέφυγε οὔτε δεξιά οὔτε ἀριστερά. Γιατί καί τά ἄλση ἔκοψε καί ὅλα τά εἴδωλα κατέστρεψε. Ὅταν ἔγινε δεκαέξι χρονῶν καί βρῆκε τό βιβλίο τοῦ νόμου καί διαπίστωσε ὅτι εἶχε παραμεληθεῖ, ἔδωσε ἐντολή νά διαβασθεῖ, καί ἑόρτασε τό Πάσχα, καί κήρυξε, ὅπως εἶναι γραμμένα. Τόν Ἰωσία σκότωσε ὁ Φαραώ Νεχαώ στόν Εὐφράτη ποταμό, ὅταν πολέμησε ἐναντίον του. Στήν ἐποχή του ὁ Ἰερεμίας καί ὁ Σοφονίας ἦταν οἱ προφῆτες καί ἡ Ὀλδά, ἡ γυναίκα τοῦ Σελλή, προφήτισσα. Ὁ υἱός του Ἰωάχαζ βασίλευσε τρεῖς μῆνες, καί ἔπραξε τό πονηρό, καί τόν μετέφερε αὐτόν ὁ Φαραώ Νεχαώ· καί στίς ἡμέρες του ἦταν ὁ Ἰερεμίας. Ὁ Ἐλιακείμ, ἕνας ἄλλος υἱός τοῦ Ἰωσία, ὁ ὁποῖος ὀνομάστηκε Ἰωακείμ, βασίλευσε ἕνδεκα χρόνια καί ἔπραξε τό πονηρό. Ὁ Ἰωακείμ, ὁ ὁποῖος λεγόταν καί Ἰεχονίας, υἱός τοῦ προηγούμενου, βασίλευσε τρεῖς μῆνες, καί ἔπραξε τό πονηρό καί ὁδηγήθηκε στή Βαβυλώνα. Ὁ Ματθάν ἦταν υἱός του. Αὐτόν ὁ Ναβουχοδονόσορας τόν ἔκαμε βασιλιά καί τόν ὀνόμασε Σεδεκία. Βασίλευσε δώδεκα χρόνια καί ἔπραξε τό πονηρό. Καί στά δικά του χρόνια ἦταν ὁ Ἰερεμίας. Μέχρις αὐτόν ἦταν τό βασίλειο τοῦ Ἰούδα, ἔπειτα καταλύθηκε, ὅπως ἀκριβῶς καί τό βασίλειο τῆς Σαμάρειας. Γιατί καί ἡ πόλη ἔπεσε, καί ὅλοι ὁδηγήθηκαν αἰχμάλωτοι στή Βαβυλώνα μέ τίς ἀποσκευές τους. Οἱ βασιλεῖς αὐτοί εἶναι εἴκοσι ἕνας, ἐκτός ἀπό τή Γοθολία.

Τά ὀνόματα τῶν βασιλέων πού ἔγιναν στή Σαμάρεια, ποιό ὑπῆρξε τό τέλος τοῦ καθενός καί πόσα χρόνια βασίλευσε καθένας, ἔχουν ὡς

ἕκαστος ἐβασίλευσεν, οὕτως. Ἱεροβοὰμ υἱὸς Ναβὰθ ἔτη κδ΄. Οὗτος σχισθείσης τῆς βασιλείας ἀνελθὼν ἀπ' Αἰγύπτου πρῶτος ἐβασίλευσεν ἐν Σαμαρείᾳ, καὶ ἐποίησε τὸ πονηρὸν ὡς οὐδεὶς ἕτερος. Φοβούμενος γὰρ μὴ καταληφθῇ, ἐποίησε
5 *δαμάλεις χρυσᾶς δύο, καὶ ἠπάτησε τὸν λαὸν λέγων· "Οὗτοί εἰσιν οἱ θεοί, οἱ ἀναγαγόντες ἡμᾶς ἐκ τῆς Αἰγύπτου". Ἐπλάσατο καὶ ἑορτὰς καὶ ἱερέας· "Καὶ οὗτος ἐξήμαρτε τὸν Ἰσραήλ". Αὐτῷ γὰρ πάντες οἱ μετ' αὐτὸν κατηκολούθησαν. Ἐπὶ τούτου ἦν προφήτης Ἀχίας ὁ Σιλονίτης, καὶ ὁ ἐπικαλε-*
10 *σάμενος ἐπὶ τὸ θυσιαστήριον κατ' αὐτοῦ. Ναβὰθ υἱὸς αὐτοῦ ἔτη β΄, καὶ ἐποίησε τὸ πονηρόν, καὶ οὐκ ἔτι τις ἐκ γένους αὐτοῦ ἐβασίλευσε. Ζαμβρὶ ἑτέρου γένους ἔτη ιβ΄. Βαασᾶ ἔτη κδ΄, καὶ ἐποίησε τὸ πονηρόν. Ἐπὶ τούτου προφῆται ἦσαν Ἠλίας, καὶ Ἐλισσαῖος, καὶ Μιχαίας, καὶ ὁ προφητεύσας τῷ*
15 *Ἀχαὰβ περὶ τῆς Συρίας καὶ τοῦ υἱοῦ Ἀδέρ, καὶ ὁ πατάξας αὐτὸν τραύματι, καὶ ἐλέγξας τὸν Ἀχαάβ, καὶ πολλοὶ καθ' ἑαυτοὺς υἱοὶ τῶν προφητῶν.*

Ὀχοζίας υἱὸς αὐτοῦ ἔτη β΄, καὶ ἐποίησε τὸ πονηρόν. Καὶ ἐπὶ τούτου ἦσαν Ἠλίας καὶ Ἐλισσαῖος· αὐτοῦ γὰρ τοὺς
20 *πεντηκοντάρχους ἐπάταξεν ἐν πυρὶ Ἠλίας ἐν ῥήματι Κυρίου. Ἰωρὰμ υἱὸς Ἀχαὰβ ἔτη ιβ΄, καὶ ἐποίησε τὸ πονηρόν, καὶ οὐκέτι τις τοῦ γένους αὐτοῦ ἐβασίλευσε. Καὶ ὁ μὲν Ἠλίας ἀνελήφθη ἐπὶ τούτου· ὁ δὲ Ἐλισσαῖος διέμεινεν ἕως Ἱεροβοάμ, υἱὸν Ἰωὰς βασιλέως Ἰσραήλ. Ἦσαν δὲ καὶ ἐπὶ τούτου*
25 *οἱ υἱοὶ τῶν προφητῶν. Ἰοῦ ἑτέρου γένους, υἱὸς Ναμεσσῆ, ἔτη κβ΄. Οὗτος ἀνεῖλε τὸ γένος Ἀχαὰβ καὶ τοὺς προφήτας τοῦ Βάαλ ἐν τῷ πτερνισμῷ, καὶ τὴν στήλην αὐτοῦ συνέτριψε. Καὶ ἐν τούτοις ποιήσας τὸ εὐθές, ἔσχε ἐπαγγελίαν, ὅτι "Υἱοὶ τέταρτοι καθίσονταί σοι ἐπὶ θρόνου". Ἰοαχὰζ υἱὸς αὐτοῦ ἔτη*
30 *ιζ΄, καὶ ἐποίησε τὸ πονηρὸν, καὶ ἐπολέμησε τὴν Ἱερουσαλήμ, καὶ ἔλαβε τὸ χρυσίον καὶ τὰ σκεύη. Ἱεροβοὰμ υἱὸς αὐτοῦ ἔτη μα΄, καὶ ἐποίησε τὸ πονηρόν. Ζαχαρίας υἱὸς αὐτοῦ μῆνας ς΄, καὶ ἐποίησε τὸ πονηρὸν. Ἕως τούτου γεγόνασι τοῦ γένους Ἰοῦ υἱοί τέταρτοι.*

35 *Σελλοὺμ ἑτέρου γένους, υἱὸς Ἰαβίς, ἡμέρας λ΄, καὶ ἐποίησε τὸ πονηρόν. Μαναὴμ ἄλλου γένους, υἱὸς Γαδδή, ἔτη*

---

7. Γ΄ Βασ. 12, 28. 8. Γ΄ Βασ. 14, 16. 9. Δ΄ Βασ. 10, 30.

ἑξῆς. Ὁ Ἱεροβοάμ, ὁ υἱός τοῦ Ναβάθ, βασίλευσε εἴκοσι τέσσερα χρόνια. Αὐτός, ὅταν χωρίστηκε τό βασίλειο καί ἦρθε ἀπό τήν Αἴγυπτο, βασίλευσε πρῶτος στή Σαμάρεια καί ἔπραξε τό πονηρό ὅσο κανείς ἄλλος. Ἐπειδή φοβόταν μήπως τόν συλλάβουν καί διαλύσουν τό βασίλειό του, ἔκαμε δύο χρυσές δαμάλες καί ἐξαπάτησε τό λαό λέγοντας· «Αὐτοί εἶναι οἱ θεοί, οἱ ὁποῖοι μᾶς ἔβγαλαν ἀπό τήν Αἴγυπτο»[7]. Καθιέρωσε ἑορτές καί ἔκαμε ἱερεῖς. «Καί αὐτός παρέσυρε τούς Ἰσραηλίτες στήν ἁμαρτία»[8]. Γιατί ὅλοι οἱ ἑπόμενοι τόν ἀκολούθησαν πιστά. Στήν ἐποχή του ἦταν προφήτης ὁ Ἀχίας ὁ Σηλονίτης, ὁ ὁποῖος μίλησε στό θυσιαστήριο ἐναντίον τοῦ Ἱεροβοάμ. Ὁ υἱός του Ναβάθ βασίλευσε δύο χρόνια καί ἔπραξε τό πονηρό καί στό ἑξῆς δέ βασίλευσε κανείς ἀπό τήν οἰκογένειά του. Ὁ Ζαμβρί ἦταν ἀπό ἄλλη οἰκογένεια καί βασίλευσε δώδεκα χρόνια. Ὁ Βαασά εἴκοσι τέσσερα χρόνια καί ἔπραξε τό πονηρό. Στήν ἐποχή του προφῆτες ἦταν ὁ Ἠλίας, ὁ Ἐλισσαῖος, ὁ Μιχαίας, ἐκεῖνος πού προφήτεψε στόν Ἀχαάβ γιά τή Συρία καί τόν υἱό του Ἄδερ, ἐκεῖνος πού προξένησε σ' αὐτόν καταστροφή καί ἔλεγξε τόν Ἀχαάβ καί πολλοί ἄλλοι προφῆτες.

Ὁ Ὀχοζίας, υἱός τοῦ Ἀχαάβ, βασίλευσε δύο χρόνια καί ἔπραξε τό πονηρό. Καί στήν ἐποχή του ἦταν ὁ Ἠλίας καί ὁ Ἐλισσαῖος. Τούς δικούς του πεντηκοντάρχους χτύπησε μέ φωτιά ὁ Ἠλίας μέ λόγο τοῦ Κυρίου. Ὁ Ἰωράμ, ὁ υἱός τοῦ Ἀχαάβ, βασίλευσε δώδεκα χρόνια καί ἔπραξε τό πονηρό καί κανείς ἀπό τήν οἰκογένειά του δέ βασίλευσε στό ἑξῆς. Καί ὁ Ἠλίας ἀναλήφθηκε στόν οὐρανό στίς ἡμέρες του, ἐνῶ ὁ Ἐλισσαῖος ἔμεινε μέχρι τόν Ἱεροβοάμ, τόν υἱό τοῦ Ἰωάς πού ἦταν βασιλιάς τοῦ Ἰσραήλ. Στά χρόνια του ἦταν ἐπίσης προφῆτες. Ὁ Ἰού πού ἦταν ἀπ' ἄλλο γένος, υἱός τοῦ Ναμεσσῆ, βασίλευσε εἴκοσι δύο χρόνια. Αὐτός ἐξόντωσε τό γένος τοῦ Ἀχαάβ καί τούς προφῆτες τοῦ Βάαλ μέ πανουργία καί ἔσπασε τό ἄγαλμά του. Καί ἀφοῦ σ' αὐτά ἔπραξε τό σωστό, πῆρε τήν ὑπόσχεση ἀπό τό Θεό, ὅτι «Τέσσερις ἀπόγονοί σου θά καθήσουν στό βασιλικό θρόνο»[9]. Ὁ Ἰωαχάζ, υἱός τοῦ Ἰού, βασίλευσε δεκαεπτά χρόνια, ἔπραξε τό πονηρό, πολέμησε τήν Ἱερουσαλήμ καί πῆρε τό χρυσό καί τά σκεύη. Ὁ υἱός του Ἱεροβοάμ βασίλευσε σαράντα ἕνα χρόνια καί ἔπραξε τό πονηρό. Ὁ Ζαχαρίας, υἱός τοῦ Ἱεροβοάμ βασίλευσε ἔξι μῆνες καί ἔπραξε τό πονηρό. Μέχρι τό Ζαχαρία ἔγιναν τέσσερις βαιλεῖς ἀπόγονοι τοῦ γένους Ἰού.

Ὁ Σελλούμ πού ἦταν ἀπ' ἄλλο γένος, υἱός τοῦ Ἰαβίς, βασίλευσε σαράντα ἡμέρες καί ἔπραξε τό πονηρό. Ὁ Μαναήμ, ἀπ' ἄλλο γένος,

κ΄, καὶ ἐποίησε τὸ πονηρόν. Ἐπὶ τούτου Ἡσαΐας καὶ Ὠσηὲ ἦσαν προφητεύοντες. Φακεὲ ἄλλου γένους, υἱὸς Ῥωμελίου ἔτη κ΄. Οὗτος ἔσφαξε τὸν Φακείαν, καὶ ἐποίησε τὸ πονηρόν. Ἐπὶ τούτου ἦσαν Ἡσαΐας καὶ Ὠσηὲ οἱ προφῆται. Ὠσηὲ 5 *ἑτέρου γένους, υἱὸς Ἠλᾶ, ἔτη θ΄. Οὗτος ἔσφαξε τὸν Φακεέ, καὶ ἐποίησε τὸ πονηρόν, πλὴν οὐχ ὡς οἱ πρὸ αὐτοῦ. Ὕστερος Ὠσηὲ γέγονε βασιλεὺς Σαμαρείας. Ἐπ' αὐτοῦ γὰρ πέπαυται, καὶ ἀπώλετο ἡ Σαμάρεια, καὶ λοιπὸν Ἀσσύριοι κατῴκησαν ἐν αὐτῇ. Ἐξ ὧν αἱρετικοὶ Σαμαρεῖται γεγόνασι,* 10 *καλούμενοι Σαδδουκαῖοι. Ἐν τούτοις οὖν καὶ τελευτᾷ ὁ πᾶς σκοπὸς τῶν βιβλίων τῶν Βασιλειῶν.*

5. ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ Α΄

Παραλειπόμενα καλεῖται, ἐπειδὴ πολλὰ ἐν ταῖς Βασιλείαις παραλειφθέντα περιέχεται ἐν τούτοις τοῖς βιβλίοις. 15 *Ἔστι δὲ ἐν τούτῳ τῷ πρώτῳ γενεαλογία πασῶν φυλῶν ἀπὸ Ἀδὰμ ἕως τῶν βασιλέων κατὰ φυλὰς καὶ κατὰ δήμους καὶ κατὰ πατριὰς καὶ κατ' οἶκον. Τίνας τε ἔταξε τῶν Λευϊτῶν Δαυῒδ ἐν αὐλοῖς καὶ κινύραις ᾄδειν τῷ Θεῷ, καὶ τίνας ἔταξεν ἐν τοῖς ἔργοις τοῦ ναοῦ. Πρότερος γὰρ αὐτὸς τὸν ναὸν κτίζειν* 20 *ἤρξατο. Καὶ ἕτερά τινα λεπτομερῶς βασιλέων καὶ τῶν γενεῶν διέρχεται. Οἷς συναπτέον καὶ ταῦτα, ὅτι γίνεται ὁμοῦ τῶν ἐν Ἱερουσαλὴμ βασιλευσάντων ἀπὸ τοῦ Δαυῒδ τὰ πάντα ἔτη υοδ΄. Οἱ δὲ βασιλεῖς πάντες γεγόνασιν ἐξ ἑνὸς γένους τοῦ Δαυῒδ, καὶ οἱ μὲν ἐποιήσαντο τὸ εὐθές, εἰσὶ θ΄· οἱ δὲ τὸ* 25 *πονηρὸν ἐποιήσαντο, ιβ΄, χωρὶς μέντοι Γοδολίας. Τῶν δὲ ἐν Σαμαρείᾳ βασιλευσάντων γίνονται ὁμοῦ τὰ πάντα ἔτη σξθ΄ καὶ ἡμέραι λ΄· βασιλεῖς μὲν ιβ΄ ἐκ διαφόρων ὀκτὼ γενεῶν γεγόνασιν· οἱ δὲ πάντες ἐποιήσαντο τὸ πονηρόν, κατὰ τὴν ἁμαρτίαν Ἱεροβοάμ.*

10. Σαδδουκαῖοι· ἱερατική ἀριστοκρατία τοῦ ἰουδαϊσμοῦ. Ἀπέρριπταν τήν παράδοση, δέν πίστευαν στήν ἀνάσταση τῶν νεκρῶν, ἀρνοῦνταν τήν ὕπαρξη ἀγγέλων καί γενικά τῶν πνευμάτων, καί δέ συμμερίζονταν τίς προσδοκίες τῶν ὑπόλοιπων Ἰουδαίων γιά ἔλευση Μεσσία ἐλευθερωτῆ. Στήν Κ.Δ. ἀναφέρονται νά πειράζουν τόν Ἰησοῦ ἤ νά ζητοῦν σημεῖο ἀπό τόν οὐρανό ἤ νά καταδιώκουν τούς μαθητές τοῦ Ἰησοῦ.

υἱός τοῦ Γαδδή, βασίλευσε εἴκοσι χρόνια καί ἔπραξε τό πονηρό. Στήν ἐποχή του προφῆτες ἦταν ὁ Ἡσαΐας καί ὁ Ὠσηέ. Ὁ Φακεέ, ἀπ' ἄλλος γένος, υἱός τοῦ Ρωμελίου, βασίλευσε εἴκοσι χρόνια. Αὐτός ἔσφαξε τόν Φακεία καί ἔπραξε τό πονηρό. Στά χρόνια του ἦταν ὁ Ἡσαΐας καί ὁ Ὠσηέ οἱ προφῆτες. Ὁ Ὠσηέ, ἀπ' ἄλλο γένος, υἱός τοῦ Ἠλά, ἐννιά χρόνια. Αὐτός ἔσφαξε τόν Φακεέ καί ἔπραξε τό πονηρό, ὄχι ὅμως ὅπως οἱ προηγούμενοι ἀπ' αὐτόν. Τελευταῖος ἔγινε ὁ Ὠσηέ βασιλιάς τῆς Σαμάρειας. Γιατί στίς ἡμέρες του ἔπεσε καί καταστράφηκε ἡ Σαμάρεια καί οἱ Ἀσσύριοι κατοίκησαν στή συνέχεια σ' αὐτήν. Ἀπ' αὐτούς ἔγιναν αἱρετικοί οἱ Σαμαρεῖτες, πού ὀνομάζονται Σαδουκαῖοι[10]. Σ' αὐτά λοιπόν τελειώνει ὅλος ὁ σκοπός τῶν βιβλίων τῶν Βασιλειῶν.

5. ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ Α΄

Παραλειπόμενα ὀνομάζονται, ἐπειδή στά βιβλία αὐτά περιέχονται πολλά πού παραλείφθηκαν στά βιβλία τῶν Βασιλειῶν. Στό πρῶτο βιβλίο ὑπάρχει ἡ γενεαλογία ὅλων τῶν φυλῶν ἀπό τόν Ἀδάμ μέχρι τούς βασιλεῖς κατά φυλές καί κατά δήμους καί κατά πατριές καί κατά οἰκογένεια. Ποιούς ὅρισε ἀπό τούς Λευΐτες ὁ Δαυΐδ νά ψάλλουν τό Θεό μέ αὐλούς καί κιθάρες καί ποιούς ὅρισε νά ὑπηρετοῦν στό ναό. Γιατί πρῶτος αὐτός ἄρχισε νά κτίζει τό ναό. Περιέχει καί μερικά ἄλλα λεπτομερειακά στοιχεῖα γιά τούς βασιλεῖς καί τίς γενεές. Σ' αὐτά πρέπει νά προσθέσουμε καί αὐτά, ὅτι ὅλα μαζί τά χρόνια τῶν διαδόχων τοῦ Δαυΐδ πού βασίλευσαν στήν Ἱερουσαλήμ εἶναι τετρακόσια ἑβδομήντα τέσσερα. Ὅλοι οἱ βασιλεῖς ἦταν μόνο ἀπό τό γένος τοῦ Δαυΐδ, καί αὐτοί πού ἔπραξαν τό σωστό εἶναι ἐννέα, ἐνῶ αὐτοί πού ἔπραξαν τό πονηρό εἶναι δώδεκα, χωρίς ὅμως τή Γοθολία. Καί ὅλα μαζί τά χρόνια αὐτῶν πού βασίλευσαν στή Σαμάρεια εἶναι διακόσια ἑξήντα ἐννέα καί τριάντα ἡμέρες. Οἱ δώδεκα βασιλεῖς ἦταν ἀπό ὀκτώ διάφορα γένη καί ὅλοι ἔπραξαν τό πονηρό, ἐξ αἰτίας τῆς ἁμαρτίας τοῦ Ἱεροβοάμ.

6. ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ Β΄

Ἐν τῇ δευτέρᾳ βίβλῳ τῶν Παραλειπομένων παράγονται πράξεις βασιλέων. Εἰσὶ δὲ οἱ ταύτας ἀναγράψαντες οἱ κατὰ καιροὺς ὄντες προφῆται. Ὑπὲρ δὲ τοῦ γινώσκειν ἐκ μέρους 5 τοὺς συγγράψαντας, σημειωτέον ὅτι μὲν πράξεις ἔγκεινται ἐνταῦθα πάντων τῶν βασιλέων Ἰσραὴλ καὶ Ἰούδα· ἤτοι αἱ παραλειφθεῖσαι τῆς ἱστορίας τῶν βασιλέων. Οἱ δὲ τὰς ἁπάσας αὐτῶν πράξεις ἱστορήσαντες, εἰσὶν οὗτοι· τὰ περὶ τοῦ Δαυῒδ ἔγραψε Σαμουήλ, καὶ Ναθὰν καὶ Γὰδ οἱ προφῆται· τὰ περὶ 10 Σολομῶντος, Ναθὰν καὶ Ἀχίας προφῆται· τὰ περὶ Σολομῶντος, Ναθὰν καὶ Ἀχίας προφῆται· τὰ περὶ Ἱεροβοάμ, Σαμέας καὶ Ἀδδὼ προφῆται· τὰ περὶ Ἀβιά, Ἀδδὼ ὁ προφήτης. Τὰ περὶ Ἀσά, ἐν τῷ βιβλίῳ λόγων περὶ τῶν βασιλέων Ἰούδα· τὰ περὶ Ἰωσαφάτ, Ἰοὺ ὁ προφήτης, τοῦ Ἀναμή, ὃς κατέγραψε 15 βιβλίον λόγων τῶν βασιλέων Ἰσραήλ. Τὰ περὶ Ἰωάς, ἐπὶ τὴν γραφὴν τῶν βασιλέων. Τὰ περὶ Ἀμεσία, ἐπὶ βιβλίου βασιλέων Ἰούδα καὶ Ἰσραήλ. Τὰ περὶ Ὀζίου, Ἰεσίας ὁ προφήτης. Τὰ περὶ Ἰωθάμ, ἐπὶ βιβλίου βασιλέων Ἰούδα καὶ Ἰσραήλ. Τὰ περὶ Ἄχαζ, ἐπὶ βιβλίου βασιλέων Ἰούδα καὶ Ἰσραήλ. Τὰ περὶ 20 Ἐζεκίου, Ἡσαΐας υἱὸς Ἀμὼς ὁ προφήτης. Τὰ περὶ Μανασσῆ, ἐπὶ λόγων τῶν ὁρώντων. Τὰ περὶ Ἰωσίου, ἐπὶ βιβλίου βασιλέων Ἰούδα καὶ Ἰσραήλ. Τὰ περὶ Ἰωακείμ, ἐπὶ βιβλίου βασιλέων Ἰούδα καὶ Ἰσραήλ. Ταῦτα ἔστιν εὑρεῖν οὕτω τεταγμένα ἐν τοῖς Παραλειπομένοις τῶν βασιλέων.

25 7. ΕΣΔΡΑΣ Α΄

Ἔσδρας καλεῖται τὸ βιβλίον, ἐπειδὴ αὐτὸς Ἔσδρας ἱερεὺς ὢν καὶ ἀναγνώστης, ἐξηγεῖται καὶ συγγράφει τὴν ἐπάνοδον τῶν υἱῶν Ἰσραὴλ ἐκ Περσίδος εἰς τὴν Ἱερουσαλὴμ γενομένην. Γέγονε δὲ ἡ ἐπάνοδος προτέρως μὲν ἐκ τοῦ προστάγμα- 30 τος, ἔπειτα δὲ κελεύσαντος Κύρου καὶ Δαρείου τῶν βασιλέων ἐν χειρὶ Ἰησοῦ τοῦ Ἰωσεδέκ, καὶ Ἔσδρα καὶ Ζοροβάβελ, οἳ ἤρισαν προβλήμασι, τεθείσης ἐπαγγελίας, αἰτῆσαι τὸν νικῶντα

6. ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ Β΄

Στό δεύτερο βιβλίο τῶν Παραλειπομένων ἀναφέρονται πράξεις τῶν βασιλέων. Τίς πράξεις ἔγραψαν αὐτοί πού ἦταν κατά καιρούς προφῆτες. Γιά τό ὅτι γνωρίζουμε μερικῶς τούς συγγραφεῖς, πρέπει νά σημειωθεῖ ὅτι ἐδῶ βρίσκονται οἱ πράξεις ὅλων τῶν βασιλέων τοῦ Ἰσραήλ καί τοῦ Ἰούδα. Αὐτοί λοιπόν πού ἔγραψαν ὅλες τίς πράξεις τους εἶναι οἱ ἑξῆς: τά σχετικά μέ τό Δαυΐδ ἔγραψαν ὁ Σαμουήλ, ὁ Νάθαν καί ὁ Γάδ οἱ προφῆτες· τά σχετικά μέ τό Σολομώντα οἱ προφῆτες Νάθαν καί Ἀχίας· τά σχετικά μέ τόν Ἱεροβοάμ οἱ προφῆτες Σαμέας καί Ἀδδώ· τά σχετικά μέ τόν Ἀβιά ὁ προφήτης Ἀδδώ. Τά σχετικά μέ τόν Ἀσά εἶναι γραμμένα στό βιβλίο τῶν πράξεων γιά τούς βασιλεῖς τοῦ Ἰούδα. Τά σχετικά μέ τόν Ἰωσαφάτ τά ἔγραψε ὁ προφήτης Ἰού, ὁ υἱός τοῦ Ἀναμή, ὁ ὁποῖος ἔγραψε βιβλίο γιά τίς πράξεις τῶν βασιλέων τοῦ Ἰσραήλ. Τά σχετικά μέ τόν Ἰωάς εἶναι γραμμένα στά ἀπομνημονεύματα τῶν βασιλέων. Τά σχετικά μέ τόν Ἀμεσία εἶναι γραμμένα στό βιβλίο τῶν βασιλέων τοῦ Ἰούδα καί τοῦ Ἰσραήλ. Τά σχετικά μέ τόν Ὀζία τά ἔγραψε ὁ προφήτης Ἰεσίας. Τά σχετικά μέ τόν Ἰωθάμ εἶναι γραμμένα στό βιβλίο τῶν βασιλέων τοῦ Ἰούδα καί τοῦ Ἰσραήλ. Τά σχετικά μέ τόν Ἄχαζ εἶναι γραμμένα στό βιλίο τῶν βασιλέων τοῦ Ἰούδα καί τοῦ Ἰσραήλ. Τά σχετικά μέ τόν Ἐζεκία τά ἔγραψε ὁ προφήτης Ἡσαΐας, ὁ υἱός τοῦ Ἀμώς. Τά σχετικά μέ τό Μανασσῆ εἶναι γραμμένα στά βιβλία τῶν προφητῶν. Τά σχετικά μέ τόν Ἰωσία εἶναι στό βιβλίο τῶν βασιλέων τοῦ Ἰούδα καί τοῦ Ἰσραήλ. Τά σχετικά μέ τόν Ἰωακείμ εἶναι γραμμένα στό βιβλίο τῶν βασιλέων τοῦ Ἰούδα καί τοῦ Ἰσραήλ. Αὐτά εἶναι δυνατό νά τά βροῦμε μέ τή σειρά αὐτή στά βιβλία τῶν Παραλειπομένων.

7. ΕΣΔΡΑΣ Α΄

Ἔσδρας ὀνομάζεται τό βιβλίο, ἐπειδή ὁ ἴδιος ὁ Ἔσδρας, πού ἦταν ἱερέας καί ἀναγνώστης, διηγεῖται καί γράφει τήν ἐπιστροφή τῶν Ἰσραηλιτῶν ἀπό τήν Περσία στήν Ἰερουσαλήμ. Ἡ ἐπιστροφή ἔγινε πρῶτα μέ τό διάταγμα καί ἔπειτα ὅταν διέταξε ὁ Κύρος καί ὁ Δαρεῖος, οἱ βασιλεῖς, διά μέσου τοῦ Ἰησοῦ τοῦ Ἰωσεδέκ, τοῦ Ἔσδρα καί τοῦ Ζοροβάβελ, οἱ ὁποῖοι πῆραν μέρος στή λύση προβλημάτων, ἐνῶ ὑπῆρχε ὑπόσχεση, νά ζητήσει ὁ νικητής ὅ,τι θελήσει ἀπό τό βασιλιά.

ὅπερ ἐὰν θελήσῃ παρὰ τοῦ βασιλέως. Τοῦ τοίνυν ἑνὸς εἰπόντος νικᾶν τὸν οἶνον, καὶ τοῦ ἑτέρου εἰπόντος νικᾶν τὸν βασιλέα, ὁ Ζοροβάβελ εἶπεν νικᾶν τὰς γυναῖκας, ὑπὲρ δὲ πάντα τὴν ἀλήθειαν. Καὶ ἐπειδὴ ταῦτα εἰρηκὼς νενίκηκε, καὶ ἤκουσε αἰτήσασθαι ὃ βούλεται, ἠξίωσε αὐτὸς ἀφεθῆναι τὴν αἰχμαλωσίαν, καὶ οἰκοδομηθῆναι τὴν Ἱερουσαλήμ. Καὶ γέγονεν ὡς ἠξίωσε, καὶ ἀφείθη ἡ αἰχμαλωσία. Τότε γὰρ ἐπληρώθη καὶ τὰ ο´ ἔτη τῆς ὀργῆς.

Εἰσὶ τοίνυν οἱ ἀναβάντες ἀπὸ τῆς αἰχμαλωσίας ἀπὸ Ἰούδα καὶ Βενιαμὶν, καὶ οἱ Λευῖται, τὸν ἀριθμὸν μυριάδες δ´ καὶ δισχίλιοι, ἵπποι τλ´, ἡμίονοι σμε´, κάμηλοι υλε´, παῖδες αὐτῶν καὶ παιδίσκαι ,ζτλδ´, οἱ ᾄδοντες σ´, ὄνοι ,σψκ´, καὶ οἱ μὲν οἰκοδομοῦντες ἦσαν Ζοροβάβελ καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδέκ, καὶ Νεεμίας. Ὁ δὲ Ἔσδρας εὐφυὴς ἐν τῷ νόμῳ, αὐτὸς προσεκόμισε τὸν νόμον, καὶ ἀνέγνω, καὶ διετύπωσε πάντα τὰ κατὰ τὸ ἱερὸν καὶ τοὺς Λευΐτας. Αὐτὸς ἔδειξε τὸν νόμον, καὶ πεποίηκε ἐκβληθῆναι τὰς ἀλλογενεῖς γυναῖκας τοὺς λαβόντας ἐν καιρῷ τῆς αἰχμαλωσίας. Καὶ ἐξέβαλον πάντες, καὶ ἐκαθαρίσθησαν, καὶ ἐποίησε τὸ πάσχα νομίμως, ὡς γέγραπται, καὶ τὴν νηστείαν, καὶ οὕτω τελειοῦται τὸ πρῶτον βιβλίον Ἔσδρα.

8. ΕΣΔΡΑΣ Β´

Ἐν τούτῳ τῷ βιβλίῳ τὰ αὐτὰ μὲν τῷ πρώτῳ λέγει ὁ Ἔσδρας περὶ τῆς ἐπανόδου, χωρὶς τῶν προβληθέντων. Καὶ τὰ πλείω δὲ ἐξηγεῖται περὶ Νεεμίου τοῦ εὐνούχου· ὅτι αὐτὸς ἠξίωσε περὶ τῆς οἰκοδομῆς τοῦ ἱεροῦ· καὶ ὅτι μὲν Ἔσδρας ἀνεγίνωσκε, Ἰησοῦς δὲ καὶ Βανέας καὶ Σαραβίας ἦσαν συνετίζοντες τὸν λαόν. Καὶ ὁ μὲν Ἔσδρας ἀναγινώσκων διέστειλεν ἐν ἐπιστήμῃ Κυρίου· ὁ δὲ λαὸς συνῆκε ἐν τῇ ἀναγνώσει, καὶ ἐποίησε τὸ πάσχα, καὶ ἐν τῷ ἑβδόμῳ μηνὶ ἐποίησε τὴν νηστείαν καὶ τὴν σκηνοπηγίαν, ὡς γέγραπται· "Ὅτι", φησίν, "οὐκ ἐποίησαν

1. Τό βιβλίο αὐτό ἦταν ἑνωμένο στήν ἀρχή μέ τό βιβλίο τοῦ Νεεμία. Ἡ διαίρεσή του ἔγινε στούς μεταχριστιανικούς χρόνους.

῞Οταν λοιπόν ὁ ἕνας εἶπε πώς ἰσχυρότερο εἶναι τό κρασί καί ὁ ἄλλος εἶπε πώς ἰσχυρότερος εἶναι ὁ βασιλιάς, ὁ Ζοροβάβελ εἶπε πώς ἰσχυρότερες εἶναι οἱ γυναῖκες καί πάνω ἀπ' ὅλα νικάει ἡ ἀλήθεια. Καί ἐπειδή νίκησε λέγοντας αὐτά καί τοῦ εἶπε ὁ βασιλιάς νά ζητήσει ὅ,τι θέλει, ἀξίωσε νά σταματήσει ἡ αἰχμαλωσία καί νά ἀνοικοδομήσει τήν ᾿Ιερουσαλήμ. Καί ἔγινε ὅπως ἀξίωσε, καί σταμάτησε ἡ αἰχμαλωσία. Γιατί τότε συμπληρώθηκαν καί τά ἑβδομήντα χρόνια τῆς ὀργῆς.

῾Ο ἀριθμός τῶν ᾿Ισραηλιτῶν πού ἐπέστρεψαν ἀπό τήν αἰχμαλωσία ἀπό τή φυλή τοῦ ᾿Ιούδα καί τοῦ Βενιαμίν, καθώς καί οἱ Λευῖτες, ἦταν σαράντα δύο χιλιάδες, τά ἄλογά τους τριακόσια τριάντα, τά μουλάρια τους διακόσια σαράντα πέντε, οἱ καμῆλες τους τετρακόσιες τριάντα πέντε, τά γαϊδούρια τους ἕξι χιλιάδες ἑπτακόσια εἴκοσι, οἱ δοῦλοι καί οἱ δοῦλες τους ἑπτά χιλιάδες τριακόσιοι τριάντα τέσσερις, οἱ ψάλτες διακόσιοι, καί αὐτοί πού ἀνοικοδομοῦσαν τήν πόλη ἦταν ὁ Ζοροβάβελ, ὁ ᾿Ιησοῦς, ὁ υἱός τοῦ ᾿Ιωσεδέκ, καί ὁ Νεεμίας. ῾Ο ῎Εσδρας, πού ἦταν γνώστης τοῦ νόμου, ἔφερε τό νόμο καί τόν διάβασε σ' ὅλους καί ὅρισε ὅλα τά σχετικά μέ τό ἱερό καί τούς Λευῖτες. Αὐτός ἔδειξε τό νόμο καί ἔκανε νά διώξουν τίς ξένες γυναῖκες τους αὐτοί πού τίς πῆραν στόν καιρό τῆς αἰχμαλωσίας. Καί τίς ἔδιωξαν ὅλοι, καί καθαρίστηκαν, καί ἑόρτασε τό Πάσχα σύμφωνα μέ τό νόμο, ὅπως εἶναι γραμμένο, καί τή νηστεία, καί ἔτσι τελειώνει τό πρῶτο βιβλίο τοῦ ῎Εσδρα.

8. ΕΣΔΡΑΣ Β΄

Στό βιβλίο αὐτό[1] ὁ ῎Εσδρας λέγει τά ἴδια μέ τό πρῶτο γιά τήν ἐπιστροφή τῶν ᾿Ισραηλιτῶν, χωρίς ν' ἀναφέρει τά προηγούμενα. Καί τά περισσότερα τά διηγεῖται γιά τόν εὐνοῦχο Νεεμία, ὅτι αὐτός ἀξίωσε γιά τήν ἀνοικοδομή τοῦ ναοῦ καί ὅτι ὁ ῎Εσδρας διάβαζε τό νόμο, ἐνῶ ὁ ᾿Ιησοῦς, ὁ Βανέας καί ὁ Σαραβίας ἦταν αὐτοί πού καθοδηγοῦσαν τό λαό. Καί ὁ ῎Εσδρας διαβάζοντας τό νόμο τόν ἀνέλυε σύμφωνα μέ τή γνώση πού τοῦ εἶχε δώσει ὁ Κύριος καί ὁ λαός κατανοοῦσε αὐτά πού διάβαζε, καί ἑόρτασε τό Πάσχα, καί στόν ἕβδομο μήνα ἔκανε τή νηστεία και τή Σκηνοπηγία, ὅπως εἶναι γραμμένο. «Γιατί», λέγει, «δέν ἑόρτασαν ἔτσι ἀπό τήν ἐποχή τοῦ ᾿Ιησοῦ τοῦ Ναυῆ»[2]. Βλέποντας ὁ

2. Νεεμία 8, 17.

οὕτως ἀπὸ τῶν ἡμερῶν Ἰησοῦ τοῦ Ναυῆ". Ἔσδρας δὲ ἑωρακὼς ἐπιμιγείσας γυναῖκας Ἀζωτίους τοῖς Ἑβραίοις, ἔπεισε πάντας ἐπαγγείλασθαι φυλάττειν τὸν νόμον τοῦ Θεοῦ. Καὶ οὕτως ἁγιασθέντες καὶ καθαρισθέντες εὐφράνθησαν, καὶ 5 ἀπῆλθε ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ. Ἱστορεῖται δὲ καὶ τοῦτο περὶ τοῦ Ἔσδρα, ὅτι ἀπολλυμένων τῶν βιβλίων ἐξ ἀμελείας τοῦ λαοῦ διὰ τὴν πολυχρόνιον αἰχμαλωσίαν, αὐτὸς Ἔσδρας, φιλόκαλος ὢν καὶ εὐφυής, καὶ ἀναγνώστης, ἐφύλαξε πάντα, καὶ λοιπὸν προήνεγκε, καὶ πάλιν ἐκδέδωκε· καὶ οὕτω διασώζε-10 ται τὰ βιβλία.

9. ΕΣΘΗΡ

Ἐσθὴρ καλεῖται τὸ βιβλίον, ἐπειδὴ διὰ τῆς Ἐσθὴρ ὁ Θεὸς μέλλοντας ἀπολέσθαι παγγενῆ τοὺς Ἰουδαίους, αὐτοὺς μὲν διέσωσε, τὸν δὲ Ἀμὰν ἐπιβουλεῦσαι θελήσαντα ἐπάταξεν. 15 Ἀρταξέρξης γὰρ ὁ βασιλεὺς τὴν ἰδίαν ἐκβαλὼν γυναῖκα, ἐζήτησεν ἐν τῇ βασιλείᾳ αὐτοῦ τὴν πάντων καλλίστην οὖσαν καὶ ὡραιοτέραν λαβεῖν ἑαυτῷ γυναῖκα· καὶ εὑρέθη Ἐσθὴρ τὸ γένος Ἰουδαία τυγχάνουσα. Ἦν δὲ καὶ Μαρδοχαῖος συγγενὴς αὐτῆς ἀπὸ τῆς αἰχμαλωσίας τῆς γενομένης ἐπὶ Σεδεκίου 20 ἐν αὐτῇ τῇ χώρᾳ. Ὁ οὖν βασιλεὺς μέγαν ποιήσας τὸν λεγόμενον Ἀμάν, ἐκέλευσε πάντας αὐτὸν προσκυνεῖν. Ἀλλὰ τοῦ Μαρδοχαίου τῇ πρὸς Θεὸν λατρείᾳ μὴ προσκυνοῦντος τὸν ἄνθρωπον, ὠργίσθη ὁ Ἀμάν, καὶ μαθὼν ὅτι Ἰουδαῖός ἐστι, πείθει τὸν βασιλέα Ἀρταξέρξην, καὶ γράφει ὥστε πάντας τοὺς 25 ἐν τῇ βασιλείᾳ αὐτοῦ Ἰουδαίους ὁλοῤῥίζους ἀπολέσθαι ἐν μιᾷ ἡμέρᾳ τῷ δωδεκάτῳ μηνί. Τοῦτο τοίνυν μαθὼν ὁ Μαρδοχαῖος, ἐπένθει, καὶ νηστεύων, προὔπεμψε τὴν Ἐσθὴρ ἀξιῶν παρὰ αὐτῆς βοήθειαν γενέσθαι. Ἡ τοίνυν Ἐσθὴρ νηστεύσασα, καὶ εὐξαμένη τῷ Θεῷ, ἐκόσμησεν ἑαυτὴν τῷ γυναικείῳ κόσμῳ, καὶ 30 μὴ κληθεῖσα (οὐκ ἦν γὰρ ἐξὸν μὴ κληθεῖσαν εἰσελθεῖν), ὅμως εἰσῆλθε παρὰ τὸν καιρὸν πρὸς τὸν βασιλέα, ἀντὶ τοῦ καιροῦ τῇ εὐχῇ θαῤῥοῦσα. Εἶτα τοῦ βασιλέως θαυμάζοντος τὸ ξένον, ἔπεσεν ἐκείνη ἀπὸ τοῦ φόβου.

Ἔσδρας ὅτι οἱ Ἑβραῖοι εἶχαν πάρει γυναῖκες ἀπό τήν Ἄζωτο τούς ἔπεισε ὅλους νά ὑποσχεθοῦν πώς θά τηροῦν τό νόμο τοῦ Θεοῦ. Καί ἔδιωξε τίς γυναῖκες, σάν παράνομο γάμο, καί ὁρκίστηκαν τή τηρήσουν τό νόμο. Καί ἔτσι, ἀφοῦ ἁγιάστηκαν καί καθαρίστηκαν, εὐφράνθηκαν καί ἐπέστρεψε ὁ καθένας στό σπίτι του. Ἀναφέρεται καί αὐτό γιά τόν Ἔσδρα, ὅτι δηλαδή, ἀφοῦ χάθηκαν τά βιβλία τοῦ νόμου ἀπό τήν ἀμέλεια τοῦ λαοῦ ἐξ αἰτίας τῆς πολυχρόνιας αἰχμαλωσίας, ὁ ἴδιος ὁ Ἔσδρας, ἐπειδή ἀγαποῦσε τό καλό, ἦταν εὐφυής καί ἀναγνώστης τοῦ νόμου, φύλαξε ὅλα τά βιβλία, καί τότε τά παρουσίασε καί πάλι τά παρέδωσε. Καί ἔτσι σώζονται τά βιβλία τοῦ νόμου.

9. ΕΣΘΗΡ

Τό βιβλίο αὐτό ὀνομάζεται Ἐσθήρ, ἐπειδή μέ τήν Ἐσθήρ ὁ Θεός ἔσωσε τούς Ἰουδαίους, τή στιγμή πού ἐπρόκειτο νά καταστραφοῦν ὁλοκληρωτικά, καί τιμώρησε τόν Ἀμάν πού θέλησε νά κάμει αὐτό τό κακό. Ὁ Βασιλιάς λοιπόν Ἀρταξέρξης, ἀφοῦ ἔδιωξε τή γυναίκα του, ζήτησε νά πάρει γυναίκα του αὐτήν πού θά ἦταν ἡ πιό καλή καί ἡ πιό ὄμορφη ἀπ᾿ ὅλες μέσα στό βασίλειό του. Βρέθηκε ἡ Ἐσθήρ πού ἦταν Ἰουδαία. Ἦταν στή χώρα αὐτή[1] καί ὁ Μαρδοχαῖος, συγγενής τῆς Ἐσθήρ, ἀπό τήν αἰχμαλωσία πού ἔγινε στήν ἐποχή τοῦ Σεδεκία. Ὁ βασιλιάς λοιπόν τίμησε πολύ τόν Ἀμάν καί διέταξε νά τόν προσκυνοῦν ὅλοι. Ἐπειδή ὅμως ὁ Μαρδοχαῖος δέν προσκυνοῦσε τόν ἄνθρωπο ἐξ αἰτίας τῆς λατρείας του στό Θεό, ὀργίστηκε ὁ Ἀμάν καί, μαθαίνοντας ὅτι εἶναι Ἰουδαῖος, πείθει τό βασιλιά Ἀρταξέρξη καί γράφει ὥστε ὅλοι οἱ Ἰουδαῖοι πού ζοῦν στό βασίλειό του νά ἐξαφανισθοῦν καί νά ξερριζωθοῦν ὅλοι τήν ἴδια μέρα τοῦ δωδέκατου μήνα. Μαθαίνοντας λοιπόν αὐτό ὁ Μαρδοχαῖος, πενθοῦσε καί νηστεύοντας είδοποίησε τήν Ἐσθήρ καί ζήτησε ἀπ᾿ αὐτή βοήθεια. Ἡ Ἐσθήρ λοιπόν, ἀφοῦ νήστευσε καί προσευχήθηκε στό Θεό, φόρεσε τά κοσμήματα καί στολίστηκε, καί χωρίς νά τήν καλέσει (γιατί δέν ἦταν δυνατό χωρίς νά τήν καλέσει ὁ βασιλιάς νά πάει σ᾿ αὐτόν), πῆγε σ᾿ ἀκατάλληλη ὥρα στό βασιλιά, ἀντί νά περιμένει τήν κατάλληλη ὥρα, ἐπειδή πῆρε θάρρος ἀπό τήν προσευχή της. Ἔπειτα, ἐπειδή ὁ βασιλιάς παραξενεύτηκε, ἔπεσε ἀπό τό φόβο της.

1. Δηλαδή τήν Περσία.

Ὁ δὲ Θεὸς μετέβαλε τὸν θυμὸν τοῦ βασιλέως εἰς διάθεσιν καὶ πραότητα· καὶ ἀναστὰς ἐβάστασε τὴν γυναῖκα, καὶ παρεκάλει αὐτὴν μὴ φοβεῖσθαι, ἀλλὰ καὶ ἠξίωσεν αὐτὴν αἰτεῖσθαι, εἴ τι βούλοιτο. Ἡ δὲ ἐπὶ δεῖπνον ἠξίωσεν ἐλθεῖν
5 αὐτόν τε τὸν βασιλέα καὶ τὸν Ἀμάν, οὐχ ἅπαξ, ἀλλὰ καὶ δεύτερον. Ὁ μὲν οὖν Ἀμὰν διαχυθεὶς καὶ γανωθείς, ὡς ὑπὸ τῆς βασιλίδος ἀξιωθεὶς κληθῆναι, ἔτι μᾶλλον ἐπήρετο κατὰ τοῦ Μαρδοχαίου, καὶ ἐποίησε ξύλον κοπῆναι μέγα, βουλόμενος τὸν Μαρδοχαῖον τῇ ἑξῆς ἡμέρᾳ ἐν αὐτῷ κρεμάσαι. Ὁ δὲ
10 βασιλεὺς κατά τινα πρόνοιαν ἀγαθήν, ἀγρυπνήσας ἐκείνην τὴν νύκτα, καὶ μὴ δυνάμενος ὑπνῶσαι, ἐκέλευσεν ἀναγινώσκεσθαι αὐτῷ τῶν πράξεων αὐτοῦ τὰ ὑπομνήματα. Ἀναγινωσκομένων δὲ αὐτῶν, εὗρε πρᾶξιν ἀγαθὴν εἰς αὐτὸν γενομένην ὑπὸ τοῦ Μαρδοχαίου. Δύο γὰρ εὐνούχους μέλλοντας ἐπιβου-
15 λεύειν τῷ βασιλεῖ κατήνεγκεν αὐτῷ τῷ βασιλεῖ καὶ ἤλεγξεν. Ὁ τοίνυν βασιλεὺς ἀποδεξάμενος τὴν προαίρεσιν τοῦ Μαρδοχαίου, ἐζήτει τιμὴν ἀξίαν τῷ τοιούτῳ παρασχεῖν. Ὡς δὲ εἰσῆλθε πρωῒ πρὸς αὐτὸν ὁ Ἀμάν, ἐπυνθάνετο ὁ βασιλεὺς αὐτοῦ, ὁποίας καὶ πηλίκης τιμῆς ἄξιός ἐστιν ὁ τὸν βασιλέα
20 εὐεργετήσας. Ὁ δὲ Ἀμὰν νομίζων περὶ αὐτοῦ πυνθάνεσθαι τὸν βασιλέα, εἶπεν ἄξιον εἶναι τὸν τοιοῦτον δεύτερον βασιλέα καλεῖσθαι. Ὁ μὲν οὖν βασιλεὺς κελεύει τὸν Μαρδοχαῖον τῆς τοιαύτης ἀξιωθῆναι τιμῆς, καὶ τὸν Ἀμὰν ἔμπροσθεν αὐτοῦ περιπατεῖν.

25 Ἡ δὲ Ἐσθὴρ πρόφασιν εὑροῦσα, ἠξίωσε περὶ τῶν Ἰουδαίων. Εἶτα τοῦ βασιλέως λυπηθέντος ἐπὶ τῷ παρανόμῳ προστάγματι τῷ κατὰ τῶν Ἰουδαίων, καὶ ὀργισθέντος κατὰ τοῦ Ἀμάν, αὐτὸς ὁ Ἀμὰν παρεκάλει τὴν Ἐσθήρ, ἀπόντος τοῦ βασιλέως, ἐπικύπτων καὶ προσκυνῶν τὰ γόνατα αὐτῆς. Ὁ
30 δὲ βασιλεὺς καὶ ἑωρακὼς τὸν Ἀμὰν ἁπτόμενον τῶν ἰχνῶν τῆς βασιλίσσης, ὑπονοήσας αἰσχρῶς αὐτὸν τοῦτο ποιεῖν, ἐκέλευσεν αὐτὸν μὲν τὸν Ἀμὰν εἰς τὸ ξύλον, ὅπερ ἦν ἑτοιμάσας τῷ Μαρδοχαίῳ, κρεμασθῆναι· γράφει δὲ ἄνεσιν μὲν ἔχειν πάντας τοὺς Ἰουδαίους, τοὺς δὲ ἐχθροὺς αὐτῶν ἀναιρεθῆναι παρ'
35 αὐτῶν. Καὶ οἱ μὲν ἀναιρεθέντες εἰσὶ μύριοι πεντακισχίλιοι. Γέγονε δὲ ἑορτὴ τῇ ιδ´ καὶ ιε´ ἐν τῷ μηνὶ τῷ δωδεκάτῳ, ὅστις καλεῖται Ἄδαρ. Καλεῖται δὲ ἡ ἡμέρα αὕτη τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν Φουρά. Διὰ τοῦτο κατὰ τὴν ἡμέραν ταύτην καίουσιν οἱ

'Ο Θεός ὅμως ἄλλαξε τήν ὀργή τοῦ βασιλιᾶ σέ καλή διάθεση καί πραότητα. 'Αφοῦ σηκώθηκε ἀπό τό θρόνο του, βάσταξε τή γυναίκα του καί τήν παρακαλοῦσε νά μή φοβᾶται, ἀλλά καί τῆς εἶπε νά ζητήσει ὅ,τι θέλει. 'Η 'Εσθήρ ζήτησε νά ἔρθουν στό δεῖπνο ὁ βασιλιάς καί ὁ 'Αμάν, ὄχι μία φορά, ἀλλά καί δεύτερη. 'Ο 'Αμάν λοιπόν γεμάτος διάθεση καί χαρά, ἐπειδή κρίθηκε ἄξιος νά τόν προσκαλέσει ἡ βασίλισσα, ἀκόμη περισσότερο ὀργιζόταν ἐναντίον τοῦ Μαρδοχαίου, καί ἔδωσε ἐντολή νά κόψουν ἕνα μεγάλο ξύλο, γιατί ἤθελε νά κρεμάσει σ' αὐτό τό Μαρδοχαῖο τήν ἑπόμενη ἡμέρα. 'Ο βασιλιάς ἀπό κάποια πρόνοια ἀγαθή, ἐπειδή ἔμεινε ξάγρυπνος ἐκείνη τή νύχτα καί δέν μπόρεσε νά κοιμηθεῖ, διέταξε νά τοῦ διαβάσουν τά ἀπομνημονεύματα τῶν πράξεών του. Καθώς διαβάζονταν τά ἀπομνημονεύματά του, βρῆκε τήν καλή πράξη πού τοῦ ἔκαμε ὁ Μαρδοχαῖος. Γιατί, ὅταν δύο εὐνοῦχοι ἐπρόκειτο νά κάνουν κακό στό βασιλιά, ὁ Μαρδοχαῖος τό φανέρωσε στό βασιλιά καί τούς τιμώρησε. 'Ο βασιλιάς λοιπόν δέχτηκε τήν καλή διάθεση τοῦ Μαρδοχαίου καί ζητοῦσε νά τοῦ δώσει ἀμοιβή ἰσάξια μ' αὐτό πού ἔκαμε. Ὅταν ἦρθε τό πρωί σ' αὐτόν ὁ Αμάν, ζήτησε ὁ βασιλιάς νά μάθει ἀπ' αὐτόν, τί εἴδους καί πόσο μεγάλη τιμή ἀξίζει ἐκεῖνος πού εὐεργέτησε τό βασιλιά. 'Ο 'Αμάν, νομίζοντας ὅτι γιά τόν ἴδιο ἐρωτοῦσε νά μάθει ὁ βασιλιάς, εἶπε πώς ἀξίζει νά ὀνομάζεται αὐτός δεύτερος βασιλιάς. 'Ο βασιλιάς λοιπόν διατάζει νά τιμηθεῖ ἔτσι ὁ Μαρδοχαῖος καί ὁ 'Αμάν νά βαδίζει μπροστά ἀπ' αὐτόν.

'Η 'Εσθήρ βρίσκοντας ἀφορμή, ζήτησε τή σωτηρία τῶν 'Ιουδαίων. 'Επειδή στή συνέχεια ὁ βασιλιάς λυπήθηκε γιά τό παράνομο διάταγμα ἐναντίον τῶν 'Ιουδαίων καί ὀργίστηκε ἐναντίον τοῦ 'Αμάν, ὁ ἴδιος ὁ 'Αμάν παρακαλοῦσε τήν 'Εσθήρ, ὅταν ἀπουσίαζε ὁ βασιλιάς, σκύβοντας καί φιλώντας τά γόνατά της. 'Ο βασιλιάς, ἐπειδή εἶδε τόν 'Αμάν νά πιάνει τά πόδια τῆς βασίλισσας καί ὑποψιάστηκε πώς τό ἔκανε αὐτό μέ αἰσχρό σκοπό, διέταξε νά κρεμάσουν τόν 'Αμάν στό ξύλο πού εἶχε ἑτοιμάσει γιά τό Μαρδοχαῖο καί γράφει νά ἔχουν ὅλοι οἱ 'Ιουδαῖοι ἐλευθερία, ἐνῶ οἱ ἐχθροί τους νά ἐξοντωθοῦν ἀπ' αὐτούς. Καί αὐτοί πού ἐξοντώθηκαν εἶναι δεκαπέντε χιλιάδες. Ἔγινε ἡ ἑορτή στίς δεκατέσσερις καί δεκαπέντε τοῦ δωδέκατου μήνα, πού ὀνομάζεται Ἄδαρ. Στή δική τους διάλεκτο ἡ ἡμέρα αὐτή ὀνομάζεται Φουρά[2].

2. 'Εβραϊκά Πουρίμ (= ἑορτή τῶν κλήρων). 'Ονομάστηκε ἔτσι ἡ ἑορτή, ἐπειδή θά καταστρέφονταν μέ κλῆρο.

Ἰουδαῖοι τὸν Ἀμάν, καὶ ἑορτάζουσι, μνημόσυνον οὖσαν τῆς σωτηρίας αὐτῶν. Καὶ ἐν τούτοις τέλος ἔχει τὸ βιβλίον.

10. ΤΩΒΙΤ

Τωβὶτ καλεῖται τὸ βιβλίον, ἐπειδὴ τὴν περὶ αὐτοῦ τοῦ Τωβὶτ ἱστορίαν περιέχει. Ἔστι δὲ ὁ Τωβὶτ ἀπὸ μὲν φυλῆς Νεφθαλεὶμ, γέγονε δὲ ἐν τῇ αἰχμαλωσίᾳ, καὶ ἦν ἐν τῇ Νινευΐ ἐλεήμων καὶ θεοσεβής. Καὶ γὰρ ἐν τῇ αἰχμαλωσίᾳ γενόμενος, οὐκ ἤσθιε κοινὸν ἄρτον ἀπὸ τῶν ἐθνῶν, ἀλλ' ἑαυτὸν συνετήρησε. Ἦν δὲ καὶ ἀγοραστὴς τοῦ βασιλέως Ἐνεμασάρου, καὶ παρέθετο ἐν τῇ Μηδείᾳ Γαβαὴλ τάλαντα ι'. Οὗτος οὖν ὁ Τωβὶτ σπουδὴν εἶχε θάπτειν τοὺς ἀποθνήσκοντας τῶν Ἰουδαίων. Διαβληθεὶς δὲ τῷ βασιλεῖ Ἀχειρήλ, ἔφυγε. Καὶ ἐπανελθὼν, καὶ θάψας τινὰ τῶν ἀποθανόντων, ἐκοιμήθη ἔξω τοῦ τείχους, καὶ ὡς εἴωθε κοιμώμενος, ἀνεῳγμένους εἶχε τοὺς ὀφθαλμούς, στρουθίων δὲ ἀφοδευσάντων ἄνωθεν εἰς τοὺς ὀφθαλμοὺς αὐτοῦ, λευκώματα ἔσχε, καὶ οὐκέτι ἔβλεπεν. Ἦν δὲ καὶ ἐν Ἐκβατάνοις θυγάτηρ τοῦ Ῥαγουὴλ συγγενοῦς αὐτοῦ Σάῤῥα ὀνόματι. Ταύτην γαμηθῆναι οὐκ ἐπέτρεπεν ὁ δαίμων Ἀσμοδαῖος· ἑπτὰ γοῦν ἑξῆς λαβόντας αὐτὴν ἀπέκτεινε (καὶ πάνυ λυπηθεῖσα· ἑπτὰ γὰρ λαβόντας ἑξῆς αὐτὴν ἀπέκτεινε). Καὶ πάνυ λυπηθεῖσα ἡ παῖς ηὔξατο· καὶ ἀπέστειλεν αὐτῇ βοηθὸν ὁ Θεὸς τὸν ἀρχάγγελον Ῥαφαήλ.

Ὁ τοίνυν Τωβὶτ παραγγείλας τῷ υἱῷ αὐτοῦ Τωβίᾳ μὴ λαβεῖν ἀλλαχόθεν γυναῖκα, εἰ μὴ ἐκ τῆς φυλῆς αὐτοῦ καὶ τοῦ γένους, δίδωσιν αὐτῷ τὸ χειρόγραφον τῶν δέκα ταλάντων, καὶ ἐντέλλεται αὐτῷ ἀπελθεῖν καὶ ἀπαιτῆσαι. Ἀγνοῶν δὲ ὁ παῖς τὴν ὁδὸν καὶ τὸν ἄνθρωπον, ἐξέρχεται ζητῆσαι συνοδοιπόρον. Κατὰ Θεοῦ πρόνοιαν εὑρίσκει τὸν Ῥαφαήλ, ὡς ἄνθρωπον ἑστῶτα ἔξω, καὶ μισθοῦται αὐτὸν λέγοντα εἰδέναι τὴν ὁδόν. (Καὶ συνοδεύει αὐτῷ ὁ ἄγγελος ὡς ἄνθρωπον λέγοντα εἰδέναι τὴν ὁδόν.) Καὶ συνοδεύει αὐτῷ ὁ ἀρχάγγελος Ῥαφαὴλ ὡς ἄνθρωπος λεγόμενος Ἀζαρίας. Ἐλθόντων δὲ αὐτῶν εἰς τὸν Τίγρην ποταμόν, ἠθέλησεν ὁ παῖς εἰς αὐτὸν καταβῆναι καὶ

1. Ἀσμοδαῖος· τό πονηρό δαιμόνιο τῆς ἡδυπάθειας στήν Π.Δ.

Γι' αὐτό τήν ἡμέρα αὐτή οἱ 'Ιουδαῖοι καίουν τόν 'Αμάν καί ἑορτάζουν, ἐπειδή ἀποτελεῖ ἀνάμνηση τῆς σωτηρίας τους. Καί μ' αὐτά τελειώνει τό βιβλίο.

10. ΤΩΒΙΤ

Τό βιβλίο ὀνομάζεται Τωβίτ, ἐπειδή περιέχει τήν ἱστορία γιά τόν Τωβίτ. Κατάγεται ὁ Τωβίτ ἀπό τή φυλή τοῦ Νεφθαλείμ, ἔγινε αἰχμάλωτος καί ἦταν στή Νινευΐ ἀγαθοεργός καί εὐσεβής. Γιατί, καί ὅταν βρέθηκε στήν αἰχμαλωσία, δέν ἔτρωγε ἀπό τίς κοινές τροφές τῶν εἰδωλολατρικῶν ἐθνῶν, ἀλλά συγκρατήθηκε. Ἦταν καί προμηθευτής τοῦ βασιλιᾶ 'Ενεμασάρου καί κατέθεσε στό Γαβαήλ στή Μήδεια δέκα τάλαντα. Αὐτός λοιπόν ὁ Τωβίτ φρόντιζε νά θάβει τούς 'Ιουδαίους πού πέθαιναν. Ὅταν κατηγορήθηκε στό βασιλιά 'Αχειρήλ, ἔφυγε. Καί ὅταν ἐπέστρεψε καί ἔθαψε κάποιο νεκρό, κοιμήθηκε ἔξω ἀπό τό τεῖχος, καί ὅπως συνήθως κοιμόταν, εἶχε ἀνοιχτά τά μάτια του, καί ὅταν σπουργίτες ἄφησαν ἀπό ψηλά νά πέσουν στά μάτια του τά περιττώματά τους, ἔπαθε λεύκωμα καί δέν ἔβλεπε πιά. Ἦταν στά 'Εκβάτανα καί ἡ θυγατέρα τοῦ Ραγουήλ, πού ἦταν συγγενής του, ἡ Σάρρα. Τό δαιμόνιο 'Ασμοδαῖος[1] δέν ἄφηνε τή Σάρρα νά παντρευθεῖ· θανάτωσε λοιπόν τούς ἑπτά ἄνδρες πού τήν πῆραν διαδοχικά· (αὐτή λυπήθηκε ὑπερβολικά, γιατί θανάτωσε τούς ἑπτά ἄνδρες πού τήν πῆραν διαδοχικά). Καί ἐπειδή ἦταν ὑπερβολικά λυπημένη, ἡ κόρη προσευχήθηκε, καί ὁ Θεός τῆς ἔστειλε βοηθό τόν ἀρχάγγελο Ραφαήλ.

'Ο Τωβίτ λοιπόν παράγγειλε τόν υἱό του Τωβία νά μήν πάρει ἀπ' ἀλλοῦ γυναίκα, παρά μόνο ἀπό τή φυλή καί τό γένος του, καί τοῦ ἔδωσε τήν ἀπόδειξη τῶν δέκα ταλάντων καί τήν ἐντολή νά πάει καί νά τά ζητήσει. 'Επειδή ὁ νέος δέ γνώριζε τό δρόμο καί τόν ἄνθρωπο, βγῆκε νά ζητήσει συνοδό του. Σύμφωνα μέ τήν πρόνοια τοῦ Θεοῦ συναντάει τό Ραφαήλ, πού στεκόταν ἔξω σάν ἄνθρωπος, καί τόν μισθώνει, ἐπειδή τοῦ εἶπε πώς γνωρίζει τό δρόμο. (Καί τόν συνοδεύει ὁ ἄγγελος σάν ἄνθρωπος πού εἶπε πώς γνωρίζει τό δρόμο). Καί τόν συνοδεύει ὁ ἀρχάγγελος Ραφαήλ σάν ἄνθρωπος μέ τό ὄνομα 'Αζαρίας. Ὅταν ἦρθαν στόν Τίγρη ποταμό, θέλησε ὁ Τωβίας νά κατεβεῖ καί νά πλυθεῖ σ' αὐτόν, καί ἀμέσως ἀναπήδησε στό παιδί ἕνα

λούσασθαι, καὶ εὐθὺς ἰχθὺς ἐπεπήδησε τῷ παιδαρίῳ μέγας. Ὁ δὲ ἄγγελος εἶπεν αὐτῷ ἐπιλαβέσθαι τοῦ ἰχθύος καὶ τεμεῖν αὐτὸν καὶ λαβεῖν τό τε ἧπαρ καὶ τὴν καρδίαν αὐτοῦ καὶ τὴν χολήν, καὶ ταῦτα τηρεῖν. Εἶτα πυνθανομένου τοῦ παιδός, εἰς τί χρήσιμα ταῦτα, ἐκεῖνος ἔφη· Τὸ ἧπαρ καὶ ἡ καρδία θυμιώμενα διώξει τὸν δαίμονα, ἡ δὲ χολὴ καθαρίσει τὰ λευκώματα.

Ὁ μὲν οὖν παῖς συμβουλίᾳ καὶ συνεργίᾳ τοῦ ἀγγέλου λαμβάνει τὴν τοῦ Ῥαγουὴλ θυγατέρα τὴν Σάῤῥαν γυναῖκα, διωχθέντος τοῦ δαιμονίου ἐν τῷ θυμιάματι τούτῳ, καὶ δεθέντος εἰς τὰ ἀνώτερα μέρη Αἰγύπτου ὑπὸ τοῦ ἀγγέλου. Μείνας δὲ μετὰ τῆς γυναικὸς ὁ Τωβίας, ἀποστέλλει τὸν Ἀζαρίαν, ὡς ἄνθρωπον ὄντα, εἰς τὴν Μηδίαν, καὶ ἀπαιτήσας ἐκεῖνος τὰ δέκα τάλαντα ὑπέστρεψε μετὰ τῆς γυναικὸς καὶ αὐτοῦ τοῦ ἀγγέλου πρὸς τὸν πατέρα. Ὑποστρέψας δὲ ὁ παῖς, ἐγχρίει τῇ χολῇ τοῦ ἰχθύος τοὺς ὀφθαλμοὺς τοῦ πατρός, καὶ ἀποπίπτουσιν αἱ λεπίδες, καὶ εὐθὺς ἀνέβλεψε. Ὅτε μὲν ἐτυφλώθη ὁ Τωβίτ, ἦν ἐτῶν νη΄, ὅτε δὲ ἀνέβλεψε, ἦν ἐτῶν ξς΄. Καὶ λοιπὸν βλέψαντος αὐτοῦ, ἐφανέρωσεν ἑαυτὸν ὁ ἄγγελος, ὅτι οὐκ ἄνθρωπος ἦν, ἀλλὰ παρὰ τοῦ Θεοῦ ἀπεστάλη εἰς βοήθειαν αὐτῶν τε καὶ τῆς Σάῤῥας. Γηράσας δὲ ὁ Τωβίτ, παρήγγειλε τῷ υἱῷ αὐτοῦ Τωβίᾳ, ἀπελθεῖν εἰς τὴν Μηδίαν διὰ τὴν ἐσομένην καταστροφὴν τῆς Νινευῒ κατὰ τὸ ῥῆμα Ἰωνᾶ τοῦ προφήτου, καὶ ἐκλιπὼν ἀπέθανε ἐτῶν ὢν ρνε΄. Ὁ δὲ υἱὸς αὐτοῦ Τωβίας ἀπελθὼν εἰς τὴν Μηδίαν, καὶ θάψας τοὺς πενθεροὺς αὐτοῦ, καὶ ἀκούσας περὶ τῆς καταστροφῆς Νινευῒ, ἀπέθανε καὶ αὐτὸς ρζ΄ ἐτῶν ὤν. Καὶ ἐν τούτοις τέλος ἔχει καὶ τοῦτο τὸ βιβλίον.

11. ΙΟΥΔΙΘ

Ἰουδὶθ καλεῖται τὸ βιβλίον, ἐπειδὴ πολεμουμένους καὶ πολιορκουμένους ὑπὸ τοῦ Ὀλοφέρνου τοὺς υἱοὺς Ἰσραὴλ ὁ Θεὸς διὰ τῆς Ἰουδὶθ τοὺς μὲν λαοὺς ἔσωσε, τὸν δὲ Ὀλοφέρνην ἐπάταξεν. Ἡ δὲ ἱστορία αὕτη· Ναβουχοδονόσορ ὁ βασιλεὺς τῶν Ἀσσυρίων, πόλεμον ἔχων πρὸς Ἀρφάξαδ βασιλέα Μήδων, ᾔτησε συμμαχίαν παρὰ τῶν ἐθνῶν πάντων ἕως Αἰγύπτου. Μὴ δεδωκότων δὲ αὐτῶν, ἀλλ' ἀντειρηκότων

μεγάλο ψάρι. Ὁ ἄγγελος τοῦ εἶπε νά πιάσουν τό ψάρι καί νά τό σχίσουν καί νά πάρουν τό συκώτι, τήν καρδιά καί τή χολή του καί νά τά φυλάξουν αὐτά. Ἔπειτα, ὅταν ζήτησε νά μάθει ὁ Τωβίας, σέ τί θά εἶναι χρήσιμα αὐτά, ἐκεῖνος ἀπάντησε· Τό συκώτι καί ἡ καρδιά, ὅταν καίονται σάν θυμίαμα, θά διώξουν τό δαιμόνιο, ἐνῶ ἡ χολή θά καθαρίσει τό λεύκωμα.

Ὁ Τωβίας λοιπόν μέ τή συμβουλή καί τή βοήθεια τοῦ ἀγγέλου παίρνει γυναίκα τή θυγατέρα τοῦ Ραγουήλ Σάρρα, ἀφοῦ διώχθηκε τό δαιμόνιο μέ τό θυμίαμα αὐτό καί δέθηκε ἀπό τόν ἄγγελο στά ἀνώτερα μέρη τῆς Αἰγύπτου. Ὁ Τωβίας ἔμεινε μέ τή γυναίκα του καί στέλνει τόν Ἀζαρία, ἀφοῦ ἦταν σάν ἄνθρωπος, στή Μηδία, καί, ἀφοῦ ζήτησε ἐκεῖνος τά δέκα τάλαντα, ἐπέστρεψε μαζί μέ τή γυναίκα του καί τόν ἄγγελο στόν πατέρα του. Ὅταν ἐπέστρεψε ὁ Τωβίας, ἀλείφει μέ τή χολή τοῦ ψαριοῦ τά μάτια τοῦ πατέρα του καί πέφτουν τά λέπια καί ἀμέσως εἶδε. Ὅταν τυφλώθηκε ὁ Τωβίτ ἦταν πενήντα ὀκτώ χρονῶν, ἐνῶ ὅταν εἶδε πάλι ἦταν ἑξήντα ἕξι. Στή συνέχεια, ὅταν εἶδε ὁ Τωβίτ, ὁ ἄγγελος φανερώθηκε, ὅτι δέν ἦταν ἄνθρωπος, ἀλλά τόν ἔστειλε ὁ Θεός νά βοηθήσει αὐτούς καί τή Σάρρα. Ἀφοῦ γέρασε ὁ Τωβίτ, παράγγειλε στόν υἱό του Τωβία νά πάει στή Μηδία ἐξ αἰτίας τῆς μελλοντικῆς καταστροφῆς τῆς Νινευΐ, σύμφωνα μέ τό λόγο τοῦ προφήτη Ἰωνᾶ, καί πέθανε σέ ἡλικία ἑκατόν πενήντα πέντε χρονῶν. Ἐνῶ ὁ υἱός του Τωβίας, ἀφοῦ πῆγε στή Μηδία καί ἔθαψε τούς πεθερούς του καί ἔμαθε γιά τήν καταστροφή τῆς Νινευΐ, πέθανε καί αὐτός σέ ἡλικία ἑκατόν ἑπτά χρόνων. Καί μ' αὐτά τελειώνει καί τό βιβλίο αὐτό.

11. ΙΟΥΔΙΘ

Ἰουδίθ ὀνομάζεται τό βιβλίο, ἐπειδή ὁ Θεός μέ τήν Ἰουδίθ ἔσωσε τούς λαούς καί θανάτωσε τόν Ὀλοφέρνη, ὅταν αὐτός πολεμοῦσε καί πολιορκοῦσε τούς Ἰσραηλίτες. Ἡ ἱστορία εἶναι ἡ ἑξῆς· Ὁ Ναβουχοδονόσορας, ὁ βασιλιάς τῶν Ἀσσυρίων, ἔχοντας πόλεμο μέ τόν Ἀρφάξαδ, τό βασιλιά τῶν Μήδων, ζήτησε βοήθεια ἀπ' ὅλα τά ἔθνη μέχρι τήν Αἴγυπτο. Ἐπειδή ὅμως δέν τοῦ ἔδωσαν, ἀλλ' ἀρνήθηκαν

πάντων, μετὰ τὸ νικῆσαι καὶ περιγενέσθαι τοῦ 'Αρφάξαδ, ἔθετο κατὰ τῶν μὴ δεδωκότων πόλεμον. Καὶ ἀπέστειλε τὸν 'Ολοφέρνην μετὰ δυνάμεως πολλῆς κατ' αὐτῶν. Τὰ μὲν οὖν ἄλλα πάντα ἔθνη ἔλαβε, καὶ τὰ εἴδωλα αὐτῶν συνέτριψεν. Οἱ
5 *δὲ υἱοὶ 'Ισραὴλ ἠσφαλίσαντο ἑαυτούς, καὶ οὐχ ὑπήκουσαν τῷ 'Ολοφέρνῃ, οὔτε ἐφοβήθησαν αὐτοῦ τὴν ἀπειλήν. 'Ο τοίνυν ἱερεὺς 'Ιωακεὶμ ἔγραψε τοῖς ἐν Βετυλούᾳ φράξαι τὴν ὁδὸν 'Ολοφέρνου, ἐπειδὴ ἐκεῖθεν ἦν αὐτοῦ ἡ ὁδός, καὶ ἔφραξαν. Καὶ ὁ μὲν 'Ολοφέρνης παρετάσσετο εἰς πόλεμον. 'Αχιὼρ δὲ ὁ*
10 *ἡγούμενος τῶν υἱῶν 'Αμμὼν συνεβούλευσε τῷ 'Ολοφέρνῃ μὴ πολεμεῖν τὸ ἔθνος τῶν 'Εβραίων διὰ τὸ ὑπερασπίζειν αὐτῶν τὸν Θεόν. Καὶ ὀργισθεὶς 'Ολοφέρνης ἀπέστρεψεν αὐτὸν εἰς Βετουλᾶ, ἀπειλήσας ἀναιρεῖν αὐτὸν εἰ περιγένοιτο τῶν 'Εβραίων. 'Ο μὲν οὖν 'Αχιὼρ ἦν Βετουλᾶ ἀναπαυόμενος. 'Ο δὲ*
15 *'Ολοφέρνης ἐπολιόρκει τὴν πόλιν, προκαταλαβὼν τὰ ὕδατα.*

Ἤδη δὲ τοῦ λαοῦ ἐκλυθέντος διὰ τὸ δίψος, καὶ μελλόντων ἐκδοῦναι τὴν πόλιν τῶν ἀρχόντων, 'Ιουδὶθ ἀποβαλοῦσα τὰ τῆς χηρείας ἱμάτια (ἐπένθει γὰρ τὸν ἄνδρα, καὶ δι' ὅλου νηστεύ-
20 *ουσα ἦν), ἐκόσμησεν ἑαυτὴν ὡς νύμφην, καὶ πολλὰ παρακαλέσασα, ὥστε μὴ ἐκδοῦναι τὴν πόλιν ἄχρις ἡμερῶν ε', ἐξῆλθεν αὐτὴ πρὸς τὸν 'Ολοφέρνην, καὶ τῇ σοφίᾳ αὐτῆς ἀπατήσασα αὐτόν, τῇ τρίτῃ ἡμέρᾳ ἀπεκεφάλισεν αὐτόν, ἀγνοοούντων στρατιωτῶν αὐτοῦ, καὶ οὕτω λοιπὸν ἀπὸ τοῦ τείχους οἱ πολῖται*
25 *ἀφάψαντες τὴν κεφαλὴν 'Ολοφέρνου, τοῖς αὐτοῦ στρατηγοῖς ὑπέδειξαν. 'Εντεῦθεν οἱ γὰρ 'Ασσύριοι ἔφυγον, οἱ δὲ υἱοὶ 'Ισραὴλ πανταχόθεν συνδραμόντες κατέκοψαν τοὺς 'Ασσυρίους. Σωθέντες δὲ καὶ σκυλεύσαντες τοὺς πολεμίους, δεδώκασι τῇ 'Ιουδὶθ πάντα τὰ τοῦ 'Ολοφέρνου. Αὐτὴ δὲ 'Ιουδὶθ*
30 *ἀπελθοῦσα εἰς 'Ιερουσαλὴμ ἀνέθηκε πάντα τῷ Κυρίῳ, καὶ ἐπιστρέψασα εἰς τὸν οἶκον αὐτῆς, τὴν αὐτὴν εἶχε ἄσκησιν, καὶ διέμεινεν ἕως θανάτου χήρα, μηδενὸς αὐτὴν ἰσχύοντος πεῖσαι πρὸς γάμον ἐλθεῖν. 'Απέθανε δὲ ζήσασα καλῶς ἐν τῇ χηρείᾳ αὐτῆς ἐτῶν ρε'. Καὶ ἐν τούτοις τέλος ἔχει τὸ βιβλίον.*

ὅλοι, μετά τή συντριπτική νίκη του ἐναντίον τοῦ 'Αρφάξαδ, κήρυξε πόλεμο ἐναντίον ἐκείνων πού δέν του ἔδωσαν βοήθεια. Καί ἔστειλε ἐναντίον τους τόν 'Ολοφέρνη μέ μεγάλη δύναμη. Ὅλους λοιπόν τούς ἄλλους λαούς τούς κατέλαβε καί συνέτριψε τά εἴδωλά τους. Οἱ 'Ισραηλίτες ὅμως ἐξασφάλισαν τούς ἑαυτούς τους καί δέν ὑπάκουσαν στόν 'Ολοφέρνη, οὔτε φοβήθηκαν τήν ἀπειλή του. 'Ο ἀρχιερέας λοιπόν 'Ιωακείμ ἔγραψε στούς κατοίκους τῆς Βετυλούα ν' ἀποκλείσουν τό δρόμο τοῦ 'Ολοφέρνη ἐπειδή ἀπό ἐκεῖ ἦταν ὁ δρόμος του, καί αὐτοί τόν ἀπέκλεισαν. Καί ὁ 'Ολοφέρνης ἑτοιμάστηκε γιά πόλεμο. 'Ο 'Αχιώρ ὅμως, ὁ ἀρχηγός τῶν 'Αμμωνιτῶν, συμβούλεψε τόν 'Ολοφέρνη νά μήν πολεμήσει τό ἔθνος τῶν 'Εβραίων, γιατί τούς ὑπερασπίζει αὐτούς ὁ Θεός. 'Ο 'Ολοφέρνης ὀργίστηκε καί ὁδήγησε τόν 'Αχιώρ στή Βετυλούα ἀπειλώντας τον νά τόν σκοτώσει, ἐάν νικήσει τούς 'Εβραίους. 'Ο 'Αχιώρ λοιπόν ἀναπαυόταν στή Βετυλούα. 'Ο 'Ολοφέρνης ὅμως πολιορκοῦσε τήν πόλη καί κατέλαβε τίς πηγές τοῦ νεροῦ.

'Αφοῦ πιά εἶχε παραλύσει ὁ λαός ἀπό τή δίψα καί οἱ ἄρχοντες ἐπρόκειτο νά παραδώσουν τήν πόλη, ἡ 'Ιουδίθ βγάζοντας τά ροῦχα τῆς χηρείας της (γιατί πενθοῦσε τόν ἄνδρα της καί νήστευε ὅλο τόν καιρό), στολίστηκε σάν νύφη καί, ἀφοῦ παρακάλεσε πολύ νά μήν παραδώσουν τήν πόλη μέχρι πέντε ἡμέρες, πῆγε στόν 'Ολοφέρνη καί μέ τή σοφία της τόν ἐξαπάτησε καί τήν τρίτη ἡμέρα τόν ἀποκεφάλισε, χωρίς νά γνωρίζουν οἱ στρατιῶτες του, καί ἀφοῦ στή συνέχεια οἱ πολίτες κρέμασαν ἀπό τό τεῖχος τό κεφάλι τοῦ 'Ολοφέρνη, τό παρουσίασαν στούς στρατηγούς του. 'Εξ αἰτίας αὐτοῦ τοῦ γεγονότος οἱ 'Ασσύριοι ἔφυγαν, ἐνῶ οἱ 'Ισραηλίτες ἔτρεξαν ἀπό παντοῦ καί ἐξόντωσαν τούς 'Ασσυρίους. 'Αφοῦ σώθηκαν καί λεηλάτησαν τούς ἐχθρούς, δίνουν στήν 'Ιουδίθ ὅλα τά πράγματα τοῦ 'Ολοφέρνη. 'Η 'Ιουδίθ ὅμως πῆγε στήν 'Ιερουσαλήμ καί τά ἀφιέρωσε ὅλα στόν Κύριο, καί ἐπιστρέφοντας στό σπίτι της, ἔκαμε τήν ἴδια ἄσκηση καί παρέμεινε μέχρι τό θάνατό της χήρα, χωρίς νά μπορέσει κανείς νά τήν πείσει γιά νά παντρευθεῖ. Καί πέθανε σέ ἡλικία ἑκατόν πέντε χρόνων, ἀφοῦ ἔζησε τίμια στή χηρεία της. Καί μ' αὐτά τελειώνει τό βιβλίο.

Β΄ ΠΟΙΗΤΙΚΑ Ή ΔΙΔΑΚΤΙΚΑ ΒΙΒΛΙΑ

1. Ι Ω Β

Ἰὼβ καλεῖται τὸ βιβλίον, ἐπειδὴ τὴν κατ' αὐτὸν ἱστορίαν περιέχει, πῶς τε πέπονθε πειρασθεὶς ὑπὸ τοῦ διαβόλου, καὶ νικήσας αὐτὸν ἐν τῷ ὑπομεῖναι εὐσεβῶς τὰς ἐπενεχθείσας αὐτῷ πληγάς· καὶ διπλᾶ πάντα ἀπέλαβε, καὶ γέγονεν ἐνδοξότερος ὑπὲρ ὃ ἦν. Πέπονθε δὲ ἐτῶν ὢν ο΄, ἐπέζησε δὲ μετὰ τὰς πληγὰς ἔτη ρο΄, ὡς εἶναι τὰ πάντα τῆς ζωῆς αὐτοῦ ἔτη σμ΄. Γέγονε δὲ Ἰὼβ πρὸ Μωϋσέως· ἀπὸ γὰρ Ἀβραὰμ πέμπτος ἦν, ἔγγονος Ἡσαῦ. Διὰ δὲ τὴν γενομένην κατ' αὐτοῦ πληγὴν ἦλθον πρὸς αὐτὸν φίλοι παρακαλεῖν αὐτόν, καὶ τοσοῦτον φιλονείκως καὶ ἀνηλεῶς πρὸς αὐτὸν διετέθησαν τοῖς λόγοις, ὥστε καὶ ἁμαρτίαν αὐτοῖς τὸ πρᾶγμα λογισθῆναι. Ὁ δὲ Ἰὼβ παρεκάλεσε τὸν Θεὸν ὑπὲρ αὐτῶν, καὶ συνεχωρήθη αὐτοῖς. Εἰσὶν οὖν τῷ Ἰὼβ διάλογοι πρὸς τοὺς φίλους η΄· τοῦ Ἐλιφὰζ πρὸς αὐτὸν τρεῖς· τοῦ Σωφὰρ πρὸς αὐτὸν δύο· καὶ τοῦ Βαλδὰδ τρεῖς· Ἔτι δὲ καὶ τοῦ Ἐλιοὺζ τοῦ Βαραχιὴλ τοῦ Βουζίτου. Καὶ λοιπὸν ὁ Κύριος χρηματίζει τῷ Ἰὼβ διὰ λαίλαπος καὶ νεφέλης. Ἀποκρίνεται δὲ καὶ Ἰὼβ τῷ Κυρίῳ διὰ λόγων δύο. Καὶ τοῦτο τέλος ἔχει τὸ βιβλίον.

Ἔστι δὲ ὁ σκοπὸς αὐτοῦ ἅπας πρὸς ὑπομονὴν ἐκκαλούμενος τοὺς ἐν πειρασμοῖς περιπίπτοντας, κἂν πάνυ ἐπ' εὐσεβείᾳ μεμαρτύρηνται, καὶ μὴ σκανδαλίζεσθαι, ἀλλ' ἐπιφωνεῖν· "Ὁ Κύριος ἔδωκε, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος"· ἔτι καὶ τό, "Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ"· καὶ ἐντεῦθεν λοιπὸν μανθάνειν πόση τῆς ὑπομονῆς ἡ ὠφέλεια· καὶ γὰρ ἐντεῦθεν κἀκεῖ τὴν μισθαποδοσίαν λήψοντ[illegible] Ἰώβ. Ἔτι δὲ καὶ ἀναδείξῃ ὁ Θεὸς ἀπείραστος κακῶν, πειράζει δὲ οὐδένα· παραχωροῦντος δὲ τοῦ Θεοῦ πειρασμοὶ τοῖς ἀνθρώποις ὑπὸ δαιμόνων ἐπέρχονται, διὰ τὴν ἑκάστου δοκιμὴν καὶ τελείωσιν. Φασὶ δὲ Σολομῶντα συντεταχέναι καὶ τοῦτο τὸ

*Ὅλες οἱ παραπομπές πού ἀκολουθοῦν ἀναφέρονται στό βιβλίο τοῦ Ἰώβ.

Β΄ ΠΟΙΗΤΙΚΑ Ἤ ΔΙΔΑΚΤΙΚΑ ΒΙΒΛΙΑ

1. ΙΩΒ

Ἰώβ ὀνομάζεται τό βιβλίο, ἐπειδή περιέχει τή δική του ἱστορία, πῶς ἔπαθε τούς πειρασμούς τοῦ διαβόλου καί, ὅταν τούς νίκησε, ὑπομένοντας μέ εὐσέβεια τίς συμφορές πού τόν χτύπησαν, ὅλα τά ἀπέκτησε διπλά καί ἔγινε πιό ἔνδοξος ἀπ' ὅ,τι ἦταν. Ἔπαθε ὅταν ἦταν ἑβδομήντα χρονῶν καί ἔζησε μετά τίς συμφορές του ἑκατόν ἑβδομήντα χρόνια, ὥστε ὅλα τά χρόνια τῆς ζωῆς του γίνονται διακόσια σαράντα. Ἔζησε ὁ Ἰώβ πρίν ἀπό τό Μωυσῆ, γιατί ἦταν πέμπτος μετά τόν Ἀβραάμ, ἐγγονός τοῦ Ἠσαῦ. Γιά τή συμφορά πού τοῦ ἔγινε ἦρθαν κοντά του νά τόν παρηγορήσουν οἱ φίλοι του καί μίλησαν τόσο ἐχθρικά καί σκληρά σ' αὐτόν, ὥστε νά λογαριασθεῖ τό πράγμα σάν ἁμαρτία σ' αὐτούς. Ὁ Ἰώβ ὅμως παρακάλεσε τό Θεό γι' αὐτούς καί τούς συγχώρησε. Ὑπάρχουν λοιπόν ὀκτώ διάλογοι τοῦ Ἰώβ μέ τούς φίλους του· τρεῖς μέ τόν Ἐλιφάζ, δύο μέ τόν Σωφάρ καί τρεῖς μέ τόν Βαλδάδ. Ἀκόμη ὑπάρχει καί ὁ λόγος τοῦ Ἐλιούζ, τοῦ υἱοῦ τοῦ Βαραχιήλ, τοῦ Βουζίτη. Στή συνέχεια ὁ Κύριος μιλάει στόν Ἰώβ μέ τήν καταιγίδα καί τά σύννεφα. Ἀπαντάει καί ὁ Ἰώβ στόν Κύριο μέ δύο λόγους. Καί αὐτό εἶναι τό τέλος τοῦ βιβλίου.

Ὁ σκοπός τοῦ βιβλίου εἶναι νά προτρέψει αὐτούς πού πέφτουν σέ πειρασμούς νά ἔχουν ὑπομονή, ἔστω καί ἄν διακρίνονται ὑπερβολικά γιά τήν εὐσέβειά τους, καί νά μή σκανδαλίζονται, ἀλλά νά λέγουν· «Ὁ Κύριος ἔδωσε, ὁ Κύριος ἀφαίρεσε· ὅπως φάνηκε καλό στόν Κύριο, ἔτσι καί ἔγινε· ἄς εἶναι τό ὄνομα τοῦ Κυρίου δοξασμένο ἀπό τώρα καί σ' ὅλους τούς αἰῶνες»· ἀκόμη καί τό, «Γυμνός βγῆκα ἀπό τήν κοιλιά τῆς μητέρας μου, γυμνός θά φύγω πάλι στήν ἄλλη ζωή»[1]. Καί ἀπό τή ζωή αὐτή λοιπόν νά μάθουν πόση εἶναι ἡ ὠφέλεια τῆς ὑπομονῆς, γιατί καί ἐδῶ καί ἐκεῖ θά πάρουν τήν ἀμοιβή τους ὅπως ὁ Ἰώβ. Ἀκόμη ν' ἀποδείξει πώς ὁ Θεός δέν εἶναι δυνατό νά πειρασθεῖ ἀπό κάτι κακό καί πώς δέν προκαλεῖ πειρασμό σέ κανένα. Μέ παραχώρηση τοῦ Θεοῦ ἔρχονται ἀπό τούς δαίμονες οἱ πειρασμοί στούς ἀνθρώπους, μέ σκοπό τή δοκιμασία καί τελείωση τοῦ ἀνθρώπου. Λέγουν ὅτι ὁ Σολομώντας

1. 1, 21.

βιβλίον, εἰ μὴ ἄρα Μωϋσέως ἐστὶ σύγγραμμα. Ἡ μὲν περιοχὴ τοῦ βιβλίου τοῦτον ἔχει τὸν τρόπον.

Ἡ δὲ ἀνακεφαλαίωσίς ἐστιν ἐν τούτοις. Ἐν προοιμίοις μέν, ὡς ἦν Ἰὼβ οἰκῶν ἐν χώρᾳ τῇ Αὐσίτιδι· εἶτα μαρτυρία τῆς
5 *Γραφῆς περὶ τῆς ἀγαθῆς αὐτοῦ πολιτείας· καὶ ὅτι ἦσαν οἱ υἱοὶ αὐτῷ ζ΄, καὶ θυγατέρες ϛ΄· καὶ περὶ ἀριθμοῦ τῶν κτηνῶν αὐτοῦ. Καὶ ὅτι πορευόμενοι οἱ υἱοὶ αὐτοῦ πρὸς ἀλλήλους, ἐποίουν πότον καθ' ἑκάστην ἡμέραν σὺν ταῖς τρισὶν ἀδελφαῖς αὐτῶν. Καὶ ἐπέστελλε Ἰὼβ καὶ ἐκαθάριζε τοὺς υἱοὺς αὐτοῦ,*
10 *προσφέρων περὶ αὐτῶν θυσίαν τῷ Κυρίῳ. Πρώτη μαρτυρία τοῦ Κυρίου περὶ τοῦ Ἰὼβ πρὸς τὸν διάβολον, πρώτη φθονολογία τοῦ διαβόλου περὶ Ἰὼβ πρὸς τὸν Κύριον. Ἔδωκεν ἐξουσίαν ὁ Κύριος τῷ διαβόλῳ, πάντα ὅσα ἦν τῷ Ἰώβ, ἐκτὸς αὐτοῦ μόνου. Πρῶτον εὐαγγελίζεται ὁ διάβολος τῷ Ἰὼβ περὶ τῆς αἰχμαλω-*
15 *σίας τῶν ἵππων καὶ τῶν ὄνων, καὶ τοῦ παταγμοῦ τῶν παίδων. Περὶ τοῦ δευτέρου ἀγγέλου, ὃς εἶπε πρὸς Ἰώβ· Ἐμπεπύρισταί σου τὰ πρόβατα, καὶ οἱ ποιμαίνοντες αὐτά. Περὶ τοῦ τρίτου ἀγγέλου, ὃς εἶπε πρὸς Ἰὼβ περὶ τῆς αἰχμαλωσίας τῶν καμήλων καὶ τοῦ παταγμοῦ τῶν παίδων. Τέταρτος ἄγγελος*
20 *ἔρχεται πρὸς αὐτόν, ὅτι Συνεπτώθη ἡ οἰκία, καὶ ἐθανατώθησαν πάντες οἱ υἱοί σου. Ἐν πᾶσι τούτοις τοῖς συμβεβηκόσιν αὐτῷ, οὐδὲν ἥμαρτε Ἰὼβ ἐναντίον Κυρίου.*

Καὶ δευτέρα μαρτυρία τοῦ Κυρίου πρὸς τὸν διάβολον, ἐγκωμιάζουσα τὸν Ἰώβ, καὶ δευτέρα φθονολογία τοῦ διαβό-
25 *λου περὶ Ἰὼβ πρὸς τὸν Κύριον. Καὶ ὡς ἀπέδοτο Κύριος τὸν Ἰώβ, φυλαττομένης τῆς ψυχῆς. Ἐξελθὼν δὲ ὁ διάβολος ἔπαισε τὸν Ἰὼβ ἀπὸ ποδῶν ἕως κεφαλῆς. Καὶ καθίσας Ἰὼβ ἐπὶ τῆς κοπρίας ἔξεε τὸν ἰχῶρα. Ἐντέλλεται τῷ Ἰὼβ ἡ γυνὴ αὐτοῦ εἰπεῖν εἰς Κύριον, καὶ τελευτῆσαι· καὶ ἐπιτιμᾷ αὐτῇ.*
30 *Ἤκουσαν οἱ τρεῖς φίλοι τοῦ Ἰώβ, Ἐλιφὰζ ὁ Θαιμανιτῶν βασιλεύς, Βαλδὰδ ὁ Σαυχέων τύραννος, Σωφὰρ ὁ Μηναίων βασιλεὺς πάντα τὰ ἐπελθόντα αὐτῷ. Καὶ παρεγένοντο πρὸς αὐτὸν ἕκαστος ἐκ τῆς ἰδίας χώρας, τοῦ ἐπισκέψασθαι αὐτόν, καὶ ἐπιγνόντες αὐτόν, διέῤῥηξεν ἕκαστος τὴν στολὴν αὐτοῦ*
35 *ἐπὶ τῷ πάθει. Μετὰ δὲ τὴν πληγὴν πρῶτον ἤνοιξεν Ἰὼβ τὸ στόμα αὐτοῦ, καὶ κατηράσατο τὴν ἡμέραν καὶ τὴν νύκτα ἐν ᾗ ἐγεννήθη. Περὶ τοῦ, "Ὥσπερ θεράπων δεδοικὼς τὸν κύριον,*

ἔχει γράψει καί τό βιβλίο αὐτό, ἐκτός ἐάν βέβαια εἶναι ἔργο τοῦ Μωυσῆ. Τό περιεχόμενο τοῦ βιβλίου ἔχει αὐτή τή δομή.

Ἡ περίληψη τοῦ βιβλίου εἶναι ἡ ἑξῆς. Στήν ἀρχή, ὅτι ὁ Ἰώβ ζοῦσε στήν Αὐσίτιδα χώρα. Ἔπειτα μαρτυρία τῆς Γραφῆς γιά τήν ἀγαθή πολιτεία του καί ὅτι εἶχε ἑπτά υἱούς καί ἕξι θυγατέρες· καί γιά τόν ἀριθμό τῶν ζώων του. Καί ὅτι πηγαίνοντας τά παιδιά του μέ τή σειρά στά σπίτια τους, παρέθεταν συμπόσιο καθημερινά μαζί μέ τίς τρεῖς ἀδελφές τους. Καί προσκαλοῦσε τά παιδιά του ὁ Ἰώβ καί τά καθάριζε, προσφέροντας γι' αὐτά θυσία στόν Κύριο. Πρώτη μαρτυρία τοῦ Κυρίου γιά τόν Ἰώβ στό διάβολο, πρώτη ζηλοτυπία τοῦ διαβόλου γιά τόν Ἰώβ στόν Κύριο. Παρέδωσε στήν ἐξουσία τοῦ διαβόλου ὁ Κύριος ὅλα ὅσα εἶχε ὁ Ἰώβ, ἐκτός ἀπό τόν ἑαυτό του μόνο. Πρῶτα ὁ διάβολος πληροφορεῖ τόν Ἰώβ γιά τήν αἰχμαλωσία τῶν ἀλόγων καί τῶν γαϊδουριῶν του, καί γιά τή θανάτωση τῶν δούλων. Γιά τό δεύτερο ἀγγελιαφόρο, πού εἶπε στόν Ἰώβ· «Ἔχουν καεῖ τά πρόβατα καί οἱ βοσκοί σου». Γιά τόν τρίτο ἀγγελιαφόρο, πού εἶπε στόν Ἰώβ γιά τήν αἰχμαλωσία τῶν καμηλῶν καί τή θανάτωση τῶν δούλων. Τέταρτος ἀγγελιαφόρος ἔρχεται στόν Ἰώβ καί λέγει, ὅτι «ἔπεσε τό σπίτι καί σκοτώθηκαν ὅλα τά παιδιά σου». Σ' ὅλα αὐτά πού συνέβηκαν στόν Ἰώβ, αὐτός δέν ἁμάρτησε καθόλου ἐνώπιον τοῦ Κυρίου.

Καί δεύτερη μαρτυρία τοῦ Κυρίου στό διάβολο, πού ἐπαινεῖ τόν Ἰώβ, καί δεύτερη ζηλοτυπία τοῦ διαβόλου γιά τόν Ἰώβ στόν Κύριο. Καί ὅτι παρέδωσε ὁ Κύριος τόν Ἰώβ, ἀφοῦ φύλαξε τή ζωή του. Βγῆκε ὁ διάβολος καί χτύπησε τόν Ἰώβ ἀπό τά πόδια μέχρι τό κεφάλι. Καί κάθισε ὁ Ἰώβ ἐπάνω στήν κοπριά καί ἔξυνε τό πύο ἀπό τίς πληγές του. Ἡ γυναίκα του λέγει στόν Ἰώβ νά πεῖ ἐναντίον τοῦ Κυρίου καί νά πεθάνει. Ὁ Ἰώβ τήν ἐπικρίνει. Ὅλα ὅσα ἔπεσαν στόν Ἰώβ τά ἔμαθαν οἱ τρεῖς φίλοι του, ὁ Ἐλιφάζ, ὁ βασιλιάς τῶν Θαιμανιτῶν, ὁ Βαλδάδ, ὁ τύραννος τῶν Σαυχέων, καί ὁ Σωφάρ, ὁ βασιλιάς τῶν Μηναίων. Αὐτοί ἦρθαν στόν Ἰώβ ὁ καθένας ἀπό τή δική του χώρα, γιά νά τόν ἐπισκεφθοῦν καί, ὅταν τόν ἀναγνώρισαν, ἔσχισε ὁ καθένας τή στολή του γιά τό πάθος τοῦ Ἰώβ. Μετά τή συμφορά πρῶτος ἄνοιξε τό στόμα του ὁ Ἰώβ καί καταράστηκε τήν ἡμέρα καί τή νύχτα πού γεννήθηκε. Σχετικά μέ τό, «Ὅπως ὁ ὑπηρέτης πού φοβᾶται τόν Κύριό του, ἔτσι ἔχει δοθεῖ τό φῶς σ' αὐτούς πού ζοῦν μέσα στήν

οὕτω δέδοται τοῖς ἐν πικρίᾳ φῶς, οἳ ἱμείρονται τοῦ θανάτου, καὶ οὐ τυγχάνουσι. Θάνατος γὰρ ἀνδρὶ ἀνάπαυσις".

Ὑπολαβὼν πρῶτος Ἐλιφὰζ ὁ Θαιμανίτης λέγει πρὸς Ἰώβ· "Μνήσθητι τίς καθαρὸς ὢν ἀπώλετο, ἢ πότε ἀληθινοὶ ὁλόρρι-
5 *ζοι ἀπώλοντο. Ὅτι γαυρίαμα δρακόντων ἐσβέσθη· μυρμηκολέων δὲ ὤλετο παρὰ τὸ μὴ ἔχειν βοράν· σκύμνοι λεόντων ἔλιπον ἀλλήλους. Ὡς οὐκ ἔστι βροτὸς καθαρὸς ἐναντίον Κυρίου, καὶ ἀπὸ τῶν ἔργων αὐτοῦ ἄμεμπτος ἀνήρ. Οἱ ἄφροντες", φησί, "κἂν ῥίζας βάλωσιν, εὐθέως βρωθήσεται ἡ*
10 *δίαιτα αὐτῶν, διότι ἃ ἐκεῖνοι συνήγαγον, δίκαιοι ἔδονται. Ἄνθρωπος", φησί, "γεννᾶται κόπῳ, καὶ νεοσσοὶ γυπῶν ὑψηλὰ πέτονται. Καταλαμβάνει δὲ Κύριος τοὺς σοφοὺς ἐν φρονήσει αὐτῶν, καὶ τὰς βουλὰς τῶν πολυπλόκων ἐξιστᾷ. Τὸν ἀθῷον ἐξ ἀναγκῶν ἐξελεῖται Κύριος, καὶ ἐν τῷ ἑβδόμῳ οὐ μὴ ἅψεται*
15 *αὐτοῦ κακόν. Σὺ δὲ γνῶθι σεαυτόν, εἴ τι ἔπραξας".*

Πρώτη πρὸς Ἐλιφὰζ τοῦ Ἰὼβ ἀντίλεξις· περὶ τοῦ, "Εἰ γάρ τις ἱστῶν στῆσαι μου τὴν ὀργήν, τὰς δὲ ὀδύνας μου ἆραι ἐν ζυγῷ ὁμοθυμαδόν, καὶ δὴ ἄμμου παραλίας βαρύτερα ἔσται". Περὶ τοῦ, "Μὴ γὰρ διακενῆς κεκράξεται ὄνος ἄγριος, ἀλλ' ἢ
20 *τὰ σιτία ζητῶν; Εἰ δὲ καὶ ῥήξει φωνὴν βοῦς ἐπὶ φάτνης ἔχων τὰ βρώματα; Μὴ ἰσχὺς λίθων καὶ ἰσχύς μου; αἱ σάρκες μοὺ εἰσι χάλκεαι;" Ὅτι, "Ὥσπερ πειρατήριόν ἐστιν ὁ βίος ἀνθρώπου ἐπὶ τῆς γῆς, καὶ ὥσπερ μισθίου αὐθημερινοῦ ἡ ζωὴ αὐτοῦ"· ὅτι, "Εἰ ἐγὼ ἥμαρτον, τί δυνήσομαι πρᾶξαι;". Ὅτι, "Ἐπιστάμενος*
25 *τὸν νοῦν τῶν ἀνθρώπων, διατί ἔθου με κατεντευκτήν;".*

Μετὰ δὲ Ἐλιφὰζ δεύτερος ὑπολαβὼν Βαλδὰδ ὁ Σαυχεώτης λέγει πρὸς Ἰώβ· "Μέχρι τίνος λαλήσεις; Πνεῦμα πολυρρῆμον ἐν τῷ στόματί σου. Μὴ ὁ Κύριος ἀδικήσει κρίνων; ἢ ὁ τὰ πάντα ποιήσας οὐ παρέξει τὸ δίκαιον;" Περὶ τοῦ, "Ὥσπερ οὐ
30 *θάλλει πάπυρος ἄνευ ὕδατος, ἢ ὑψοῦται βούτομος ἄνευ πότου· ἔτι γὰρ ὢν ἐπὶ ῥίζαν, οὐ μὴ θερισθῇ. Πρὸ τοῦ γὰρ πεσεῖν πᾶσαν βοτάνην ξηρανθήσεται· οὕτως ἔσται τὰ ἔσχατα πάντα τῶν ἐπιλανθανομένων τοῦ Θεοῦ".*

---

2. 3, 19.20.21.23.
3. 4, 7.10.11.17· 5, 3.5.
4. 6, 2.3.5.12· 7, 1.20.
5. 8, 2.3. 11-13.

πικρία, οἱ ὁποῖοι ἐπιθυμοῦν πολύ τό θάνατο καί δέν τόν βρίσκουν. Γιατί ὁ θάνατος εἶναι ἀνάπαυση γιά τόν ἄνθρωπο»[2].

Πρῶτος πῆρε τότε τό λόγο ὁ Ἐλιφάζ, ὁ Θαιμανίτης καί εἶπε στόν Ἰώβ· «Θυμήσου ποιός καθαρός ἄνθρωπος χάθηκε ἤ πότε οἱ ἀληθινά ἐνάρετοι ξερριζώθηκαν καί χάθηκαν. Ὅτι τό φοβερό σφύριγμα τῶν δρακόντων σβήστηκε, ὁ μυρμηκολέοντας χάθηκε γιατί δέν εἶχε τροφή, τά μικρά τῶν λεονταριῶν διασκορπίστηκαν. Ὅτι δέν ὑπάρχει ἄνθρωπος καθαρός ἐνώπιον τοῦ Κυρίου καί κανένας δέν εἶναι ἄμεμπτος στά ἔργα του. Οἱ ἀνόητοι», λέγει, «καί ἄν ἀκόμη βγάλουν ρίζες, ἀμέσως θά καταστραφεῖ ἡ κατοικία τους, γιατί ὅσα ἐκεῖνοι συγκέντρωσαν, θά τά φάγουν οἱ δίκαιοι. Ὁ ἄνθρωπος», λέγει, «γεννιέται γιά νά κοπιάζει καί οἱ νεοσσοί τοῦ γύπα πετοῦν ψηλά. Ὁ Κύριος συλλαμβάνει τούς σοφούς πού ὑπερηφανεύονται γιά τή σοφία τους καί ματαιώνει τίς σκέψεις τών πονηρῶν ἀνθρώπνω. Ὁ Κύριος θά γλυτώσει τόν ἀθῶο ἀπό τίς ἀνάγκες του καί τήν ἕβδομη φορά δέ θά τόν πλησιάσει κακό. Ἐσύ ὅμως ἐξέτασε τόν ἑαυτό σου, μήπως ἔκανες κάποιο κακό»[3].

Πρώτη ἀπάντηση τοῦ Ἰώβ στόν Ἐλιφάζ. Γιά τό ὅτι, «Ἐάν κανείς θλήσει νά ζυγίσει τήν ὀργή τοῦ Θεοῦ ἐναντίον μου καί μαζί μέ ὅλες τίς ὀδύνες μου τήν τοποθετήσει στή ζυγαριά, θά εἶναι βαρύτερα ἀπό τήν ἄμμο πού ὑπάρχει στήν παραλία τῆς θάλασσας». Γιά τό ὅτι, «Μήπως λοιπόν ὁ ἄγριος γάϊδαρος φωνάζει χωρίς αἰτία, παρά μόνο ὅταν ζητάει τροφή; Μήπως τό βόδι ἀφήνει τή φωνή του, ὅταν ἔχει τροφή στό παχνί του; Μήπως ἡ δύναμή μου ἔχει τήν ἀντοχή τῆς πέτρας; μήπως οἱ σάρκες μου εἶναι καμωμένες ἀπό χαλκό;» Ὅτι, «Σάν τόπος δοκιμασιῶν εἶναι ἡ ζωή τοῦ ἀνθρώπου ἐπάνω στή γῆ καί ἡ ζωή του εἶναι σάν τή ζωή τοῦ ἡμερομίσθιου ἐργάτη»· ὅτι, «Ἐάν ἐγώ ἁμάρτησα, τί θά μπορέσω νά κάνω;» Ὅτι, «Ἐσύ πού γνωρίζεις τίς καρδιές τῶν ἀνθρώπων, γιατί μέ κάνεις νά παίρνω θέση ἐναντίον σου;»[4].

Μετά τόν Ἐλιφάζ δεύτερος παίρνει τό λόγο ὁ Βαλδάδ ὁ Σαυχεώτης καί λέγει στόν Ἰώβ· «Μέχρι πότε θά μιλᾶς ἔτσι; Ἀέρας φλύαρος εἶναι στό στόμα σου. Μήπως ὁ Κύριος θά εἶναι ἄδικος στίς κρίσεις του; ἤ μήπως αὐτός πού δημιούργησε τά πάντα, δέ θά δώσει τό δίκαιο;» Γιά τό, «Ὅπως ὁ πάπυρος δέν ἀναπτύσσεται χωρίς νερό ἤ τό ψαθί δέν αὐξάνει χωρίς νά πίνει νερό, γιατί ὅταν ἀκόμη βρίσκεται στή ρίζα του, δέ θά θερισθεῖ καί πρίν πέσει κάθε χόρτο, θά ξεραθεῖ, ἔτσι θά εἶναι τά τελευταῖα ὅλων τῶν ἀνθρώπων πού λησμονοῦν τό Θεό»[5].

Πρώτη τοῦ Ἰὼβ πρὸς Βαλδὰδ ἀντίλεξις· ὅτι, "Ἐπ' ἀληθείας οἶδα, ὅτι οὕτως ἐστί· πῶς γὰρ ἔσται δίκαιος βροτὸς παρὰ Κυρίῳ;" Περὶ τοῦ, "Ὁ τανύσας τὸν οὐρανὸν μόνος, καὶ περιπατῶν ἐπὶ θαλάσσης ὡς ἐπ' ἐδάφους, ποιῶν Πλειάδα καὶ 5 *Ἕσπερον. Τίς κρίματος Θεοῦ ἀντιστήσεται; Ἐάν τε γὰρ ὦ δίκαιος, τὸ στόμα μου ἀσεβήσει· κἄν τε ὦ ἄμεμπτος, σκολιὸς ἀποβήσομαι". Περὶ τοῦ· "Ὁ βίος μού ἐστιν ἐλαφρότερος δρομέως. Εἰ καὶ ἐστὶ ναυσὶν ἴχνος ὁδοῦ, ἢ ἀετοῦ πετομένου ζητοῦντος βοράν; Μνήσθητι, ὅτι πηλόν με ἔπλασας, εἰς δὲ γῆν* 10 *με πάλιν ἀποστρέφεις. Ἢ οὐχ ὥσπερ γάλα με ἤμελξας», καὶ τὰ ἑξῆς. "Ὥσπερ ἐγινόμην οὐκ ὤν. Διατί ἐκ γαστρὸς εἰς μνῆμα οὐκ ἀπηλλάγην;".*

Μετὰ Ἐλιφὰζ Βαλδὰδ, μετὰ Βαλδὰδ Σωφὰρ ὁ Μηναῖος κατὰ τὴν οἰκείαν τάξιν, ὥσθ' ἕκαστον αὐτῶν περιμένειν τὰ 15 *κρείττονα λέγειν πρὸς τὸν Ἰώβ· "Ὁ τὰ πολλὰ λέγων, καὶ ἀντακούσεται". Περὶ τοῦ ὅτι "Ἀναλάμψει σου τὸ πρόσωπον ὥσπερ ὕδωρ καθαρόν. Ἐκδύσῃ δὲ ῥύπον, καὶ οὐ φοβηθήσῃ, καὶ τὸν κόπον ἐπιλήσῃ ὥσπερ κῦμα παρελθόν. Ἡ γὰρ εὐχή σου ὡς ἑωσφόρος".*

20 *Πρώτη τοῦ Ἰὼβ πρὸς Σωφὰρ ἀντίλεξις· ὅτι, "Ὑμεῖς μόνοι ἐστὲ ἄνθρωποι, ἢ μεθ' ὑμῶν τελευτήσει σοφία; Κἀμοὶ μὲν καρδία καθ' ὑμᾶς ἔσται". Περὶ τοῦ, "Τίς οὐκ ἔγνω ἐν πᾶσι τούτοις, ὅτι χεὶρ Κυρίου ἐποίησε ταῦτα; Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ ψυχὴ πάντων τῶν ζώντων, καὶ πνεῦμα παντὸς ἀνθρώπου".* 25 *"Ἐάν", φησί, "τὸ ὕδωρ κωλύσῃ, ξηρανεῖ τὴν γῆν· ἐὰν δὲ ἐπαφῇ, ἀπώλεσεν αὐτὴν καταστρέψας". Περὶ τοῦ, "Τίς καθαρὸς ἔσται ἀπὸ ῥύπου; Ἀλλ' οὐδείς, ἐὰν κἂν μία ἡμέρα ὁ βίος αὐτοῦ ἐπὶ τῆς γῆς". Καί, "Δένδρῳ ἐστὶν ἐλπίς· ἐὰν μὲν ἐκκοπῇ, καὶ πάλιν ἀνθήσει, καὶ ὁ ῥάδαμνος αὐτοῦ οὐ μὴ ἐκλίπῃ. Ἀνὴρ* 30 *δὲ τελευτήσας ᾤχετο· πεσὼν δὲ βροτός, οὐκέτι ἔνι".*

Δευτέρα ἀρχὴ πάλιν. Ἐλιφὰζ πρὸς Ἰώβ· ὅτι, "Πότερον σοφὸς ἀπόκρισιν δώσει συνέσεως πνεῦμα; Ἐλέγξαι σε γὰρ τὸ

---

6. 9, 2.8-9.19.20.25.26· 10, 9.10.19.

7. 11, 2.15-17.

8. 12, 2.3.9.10.15· 14, 4.5.7.10.

Πρώτη ἀπάντηση τοῦ ᾿Ιώβ στόν Βαλδάδ· ὅτι, «Γνωρίζω πολύ καλά, πώς ἔτσι ἔχουν τά πράγματα· γιατί πῶς μπορεῖ ἕνας θνητός ἄνθρωπος νά εἶναι δίκαιος ἐνώπιον τοῦ Κυρίου;». Γιά τό, «Αὐτός εἶναι πού ἅπλωσε μόνος του τόν οὐρανό καί βαδίζει πάνω στή θάλασσα, σάν νά βαδίζει πάνω στήν ξηρά, αὐτός εἶναι πού δημιούργησε τήν Πούλια καί τήν ᾿Αφροδίτη. Ποιός μπορεῖ ν᾿ ἀντισταθεῖ στήν κρίση τοῦ Θεοῦ; ᾿Εάν λοιπόν πῶ ὅτι εἶμαι δίκαιος, τό στόμα μου θ᾿ ἀσεβήσει· καί ἄν πῶ ὅτι εἶμαι ἄμεμπτος, θά φανῶ ἄδικος». Γιά τό, «῾Η ζωή μου εἶναι ἐλαφρότερη ἀπό τό δρομέα. Μήπως τά πλοῖα ἀφήνουν ἴχνη τοῦ δρόμου τους ἤ ὁ ἀετός πού πετάει στόν ἀέρα γιά νά βρεῖ τήν τροφή του; Θυμήσου, ὅτι ἀπό πηλό μ᾿ ἔπλασες καί μ᾿ ἐπιστρέφεις πάλι στή γῆ. Ἤ δέ μέ ἄρμεξες σάν τό γάλα», καί τά ἑπόμενα. «Ἔγινα σάν νά μήν ὑπῆρξα. Γιατί δέν πῆγα, ὅταν γεννήθηκα, ἀπό τήν κοιλιά στό μνῆμα;»[6].

Μετά τόν ᾿Ελιφάζ μίλησε ὁ Βαλδάδ, μετά τόν Βαλδάδ ὁ Σωφάρ ὁ Μηναῖος στή σειρά του, γιά νά περιμένει ὁ καθένας νά πεῖ τά καλύτερα λόγια στόν ᾿Ιώβ. «᾿Εκεῖνος πού λέγει πολλά καί θ᾿ ἀκούσει πολλά». Γιά τό ὅτι, «Θά λάμψει τό πρόσωπό σου σάν τό καθαρό νερό. Θ᾿ ἀπομακρύνεις ἀπό τήν ψυχή σου κάθε ρύπο καί δέ θά φοβηθεῖς, καί θά ξεχάσεις τίς θλίψεις σου σάν τό κύμα πού πέρασε. ῾Η εὐχή σου σάν τό ἀστέρι τῆς αὐγῆς»[7].

Πρώτη ἀπάντηση τοῦ ᾿Ιώβ στόν Σωφάρ· ὅτι «᾿Εσεῖς μόνο εἶστε ἄνθρωποι, ἤ μαζί σας θά πεθάνει καί ἡ σοφία; Καί σέ μένα βέβαια ὑπάρχει καρδιά ὅπως καί σέ σᾶς». Γιά τό, «Ποιός δέ γνωρίζει γιά ὅλα αὐτά, ὅτι ἡ δύναμη τοῦ Κυρίου τά δημιούργησε ὅλα αὐτά; Γιατί στό χέρι του εἶναι ἡ ψυχή καί ἡ ζωή ὅλων καί ἡ πνοή κάθε ἀνθρώπου». «᾿Εάν», λέγει, «ἐμποδίσει τό νερό, θά ξηράνει τή γῆ· ἐάν τό ἀφήσει, θά τήν καταστρέψει καί θά τήν καταποντίσει». Γιά τό, «Ποιός εἶναι καθαρός ἀπό τό ρύπο τῆς ἁμαρτίας; Κανείς βέβαια, ἔστω καί ἄν ἡ ζωή του πάνω στή γῆ εἶναι μία ἡμέρα». Καί, «Στό δένδρο ὑπάρχει ἐλπίδα· ἐάν κοπεῖ, μπορεῖ καί πάλι νά βλαστήσει καί ὁ βλαστός του νά μή χαθεῖ τελείως. ῾Ο ἄνθρωπος ὅμως φεύγει ὁριστικά, ὅταν πεθάνει. Ὅταν ὁ θνητός ἄνθρωπος πέσει νεκρός, δέν μπορεῖ πιά νά ὑπάρξει ἀνάμεσα στούς ζωντανούς»[8].

Δεύτερη ἀρχή πάλι. ῾Ο ᾿Ελιφάζ λέγει στόν ᾿Ιώβ, ὅτι «Τί λοιπόν, ὁ σοφός ἄνθρωπος θά δώσει κενή ἀπάντηση; Θά σέ καταδικάσουν τά λόγια σου καί ὄχι ἐγώ». Γιά τό, «Ποιός λοιπόν ἄνθρωπος, ἐνῶ εἶναι

στόμα σου, καὶ μὴ ἐγώ". Περὶ τοῦ, "Τίς γὰρ ὢν βροτός, ἔσται ἄμεμπτος; ἢ ἔσται δίκαιος γεννητὸς γυναικός;".

Δευτέρα ἀντίλεξις Ἰὼβ πρὸς Ἐλιφάζ. "Ἀκήκοα γὰρ τοιαῦτα πολλά. Παρακλήτορες γὰρ κακῶν πάντες. Ἰδοὺ ἐν 5 *οὐρανοῖς ὁ μάρτυς μου· ὁ δὲ συνίστωρ μου ἐν ὑψίστοις. Εἴη δὲ ἔλεγχος ἀνδρὶ ἐναντίον Κυρίου". Περὶ τοῦ, "Τὴν νύκτα εἰς ἡμέραν τέθεικε. Ἐὰν γὰρ ὑπομείνω, ᾅδης μου ὁ οἶκος. Θάνατον γὰρ ἐπεκάλεσα πατέρα μου εἶναι, μητέρα δὲ καὶ ἀδελφήν μου σαπρίαν".*

10 *Δεύτερος δὲ πάλιν ὑπολαβὼν Βαλδὰδ, λέγει πρὸς Ἰώβ· "Μέχρι τίνος οὐ παύσῃ; Τί γάρ, ἐὰν σὺ ἀποθάνῃς, ἀοίκητος ἡ ὑπ' οὐρανόν". Δευτέρα Ἰὼβ πρὸς Βαλδάδ· "Ἕως τίνος ἔγκοπον ποιήσετε τὴν ψυχήν μου, καί καθαιρεῖτέ με λογισμοῖς; καταλαλεῖτέ μου οὐκ αἰσχυνόμενοι;" Περὶ τοῦ, "Τὴν δόξαν* 15 *μου ἐξ ἐμοῦ ἐξεῖλε, ἀφεῖλε δὲ στέφανον ἀπὸ κεφαλῆς μου, ἐξέκοψε δὲ ὥσπερ δένδρον τὴν ἐλπίδα μου". Περὶ τοῦ, ὅτι "Ἀπ' ἐμοῦ ἀδελφοί μου ἀπέστησαν, ἔγνωσαν ἀλλοτρίους ἢ ἐμέ· φίλοι δέ μου ἀνελεήμονες γεγόνασι. Θεράποντά μου ἐκάλεσα, καὶ οὐχ ὑπήκουσε· καὶ ἱκέτευον τὴν γυναῖκά μου,* 20 *καὶ οὐ προσέσχε· προσεκαλούμην δὲ υἱοὺς παλλακίδων μου, εἰς τὸν αἰῶνα δὲ ἀπεποιήσαντό με. Ἐλεήσατέ με, ἐλεήσατε, ὦ φίλοι. Διατί με διώκετε, ὥσπερ ὁ Κύριος; Τίς γὰρ ἂν δοίη γραφῆναι τὰ ῥήματά μου; Παρὰ Κυρίου ταῦτά μοι συνετελέσθη. Ὁ γὰρ ὀφθαλμός μου ἑώρακε καὶ οὐκ ἄλλος. Ῥίζαν* 25 *λόγου εὑρήσομεν ἐν αὐτῷ. Εὐλαβήθητε καὶ ὑμεῖς ἀπὸ ἐπικαλύμματος".*

Δεύτερον πάλιν ὑπολαβὼν Σωφὰρ λέγει πρὸς Ἰώβ· "Οὐχ οὕτως ὑπελάμβανον ἀντερεῖν σε ταῦτα". Περὶ τοῦ, "Εὐφροσύνη ἀσεβῶν πτῶμα ἐξαίσιον· χαρμονὴ δὲ παρανόμων ἀπώλεια. 30 *Ὅτε δὲ δοκεῖ ἤδη ἐστηρίχθαι, τότε εἰς τέλος ἀπολεῖται". Περὶ τοῦ, "Ὀστᾶ αὐτοῦ ἀνεπλήσθησαν νεότητος αὐτοῦ". Καὶ ὅτι, "Ἂν γλυκανθῇ ἐν τῷ στόματι αὐτοῦ κακία, κρύψει αὐτὴν ὑπὸ τὴν γλῶσσαν αὐτοῦ. Ὥσπερ χολὴ ἀσπίδος ἐν γαστρὶ αὐτῆς, οὕτω πλοῦτος ἐξ ἀδίκων συναγόμενος ἐξεμεθήσεται". Ὅτι,* 35 *"Εἰς κενὰ καὶ μάταια ἐκοπίασε, συνάγων πλοῦτον ἐξ οὗ οὐ*

9. 15, 2.6.14. 10. 16, 2.19.22· 17, 12-14.
11. 18, 2.4. 12. 19, 2.3.10.13.14.16-18.21-23. 26-29.

θνητός, μπορεῖ νά εἶναι ἄμεμπτος; ἤ ποιός πού γεννήθηκε ἀπό μητέρα μπορεῖ νά εἶναι δίκαιος;»[9].

Δεύτερη ἀπάντηση τοῦ 'Ιώβ στόν 'Ελιφάζ. «Ἔχω ἀκούσει λοιπόν τέτοια πολλά. Γιατί ὅλοι σας εἶστε κακοί παρηγορητές. Νά, ὁ μάρτυράς μου εἶναι στούς οὐρανούς καί αὐτός πού γνωρίζει μαζί μέ μένα τίς πράξεις μου βρίσκεται πολύ ψηλά. Εἴθε νά κριθεῖ κανείς ἐνώπιον Κυρίου, ὅπως κρίνεται ἐνώπιον ἀνθρώπων». Γιά τό, «Τή νύχτα τήν ἄλλαξε σέ ἡμέρα. Ὅσο λοιπόν καί ἄν κάνω ὑπομονή, ὁ ἄδης θά εἶναι κατοικία μου. Γιατί τό θάνατο τόν ἐπικαλέστηκα σάν πατέρα μου, καί τή σαπίλα σάν μητέρα καί ἀδελφή μου»[10].

Παίρνοντας πάλι δεύτερος τό λόγο ὁ Βαλδάδ, λέγει στόν 'Ιώβ· «Μέχρι πότε δέ θά σταματήσεις; Τί λοιπόν, ἐάν πεθάνεις ἐσύ, θά μείνει ἀκατοίκητη ἡ γῆ;»[11]. Δεύτερη ἀπάντηση τοῦ 'Ιώβ στόν Βαλδάδ· «Μέχρι πότε θά κουράζετε τήν ψυχή μου καί θά μέ συντρίβετε μέ τά λόγια σας; Δέν ντρέπεστε νά μέ κατηγορεῖτε;». Γιά τό, «Μέ ξεγύμνωσε ἀπό τή δόξα μου, ἀφαίρεσε τό στεφάνι ἀπό τό κεφάλι μου, ἔκοψε σάν δένδρο τήν ἐλπίδα μου». Γιά τό ὅτι· «Οἱ ἀδελφοί μου ἔφυγαν μακριά ἀπό μένα, γνώρισαν ξένους καί ὄχι ἐμένα. Οἱ φίλοι μου ἔγιναν ἄσπλαχνοι ἀπέναντί μου. Κάλεσα τόν ὑπηρέτη μου καί δέν ὑπάκουσε. Παρακαλοῦσα τή γυναίκα μου καί δέν ἔδινε σημασία. Προσκαλοῦσα τά παιδιά τῶν παλλακίδων μου καί μέ ἀπαρνήθηκαν παντοτινά. Λυπηθῆτε με, λυπηθῆτε με, φίλοι. Γιατί μέ καταδιώκετε, ὅπως καί ὁ Κύριος; Ποιός λοιπόν θά βρεθεῖ νά γράψει τά λόγια μου; 'Από τόν Κύριο ἔγιναν αὐτά σέ μένα. Γιατί τό μάτι μου τά ἔχει δεῖ καί κανείς ἄλλος. Αἰτία κατηγορίας θά βροῦμε σ' αὐτόν. Φοβηθεῖτε καί ἐσεῖς ἀπό τό ἄγνωστο καί κρυμμένο»[12].

Γιά δεύτερη πάλι φορά παίρνοντας τό λόγο ὁ Σωφάρ λέγει στόν 'Ιώβ· «Δέν πίστευα ὅτι θ' ἀπαντοῦσες ἔτσι». Γιά τό, «Ἡ χαρά τῶν ἀσεβῶν καταλήγει σ' ἀπαίσια κατάπτωση καί ἡ χαρά τῶν παράνομων θά εἶναι ἡ καταστροφή τους. Ὅταν ὅμως νομίσει πώς εἶναι καλά στερεωμένος, τότε θά καταστραφεῖ ὁριστικά». Γιά τό, «Τά κόκκαλά του γέμισαν ἀπό τίς ἀσωτίες τῆς νεότητάς του». Καί ὅτι, «Ὅταν ἡ ἁμαρτία γλυκάνει τό στόμα του, θά τήν κρύψει κάτω ἀπό τή γλώσσα του. Ὅπως τό δηλητήριο τῆς ὀχιᾶς εἶναι μέσα στήν κοιλιά της, ἔτσι ὁ πλοῦτος πού συγκεντρώθηκε μέ ἀδικίες, θά γίνει ἐμετός». Ὅτι «Κούφια καί μάταια κουράστηκε, γιά νά συγκεντρώσει τόν πλοῦτο του πού δέ θά τόν ἀπολαύσει». Ὅτι, «Ἔσπασε τά σπίτια πολλῶν

γεύσεται". Ὅτι, "Πολλῶν ἀδυνάτων οἴκους ἔθλασε. Τρῶσαι αὐτὸν", φησί, "τόξον χάλκειον, καὶ διεξέλθοι διὰ στόματός αὐτοῦ βέλος. Ἄστρα δὲ ἐν διαίταις αὐτοῦ περιπατήσουσιν. Αὕτη γὰρ ἡ μερὶς ἀνθρώπου ἀσεβοῦς παρὰ Κυρίου".

5 *Δευτέρα τοῦ Ἰὼβ πρὸς Σωφὰρ ἀντίλεξις· "Ἀκούσατε, ἀκούσατέ μου τῶν λόγων, ἵνα ᾖ μὴ παρ᾽ ὑμῶν παράκλησις. Τί γάρ; μὴ ἀνθρώπῳ μου ἡ ἔλεγξις; Διὰ τί γὰρ ἀσεβεῖς ζῶσι, πεπαλαίωνται δὲ καὶ ἐν πλούτῳ καὶ εὐθηνίᾳ; Διεσώθη δὲ αὐτῶν ἐν γαστρὶ ἔχουσα". Ὅπου "Λέγει ὁ ἀσεβὴς τῷ Κυρίῳ·*
10 *Ἀπόστηθι ἀπ᾽ ἐμοῦ, ὁδούς σου εἰδέναι οὐ βούλομαι. Τί ἱκανὸς ὅτι δουλεύσομαι αὐτῷ; Πότερον οὐχὶ ὁ Κύριός ἐστιν ὁ διδάσκων σύνεσιν καὶ ἐπιστήμην; Αὐτὸς δὲ πόνους διακρίνει. Ὥστε οἶδα ὑμᾶς, ὅτι τόλμῃ ἔγκεισθέ μοι". Καὶ περὶ τοῦ, "Ποῦ ἐστιν οἶκος ἀρχόντων; Εἰς ἡμέραν ἀπωλείας κουφίζεται ὁ*
15 *πονηρός· καὶ ὀπίσω αὐτοῦ πᾶς ἄνθρωπος ἀπελεύσεται".*

Τρίτος πάλιν ὑπολαβὼν Ἐλιφὰζ λέγει· "Πότερον οὐχὶ ὁ Κύριός ἐστιν ὁ διδάσκων σύνεσιν καὶ ἐπιστήμην; Τί γὰρ μέλει τῷ Κυρίῳ, ἐὰν σὺ ἦσθα τοῖς ἔργοις ἄμεμπτος;" Ἐνταῦθα λέγει Ἐλιφὰζ πρὸς Ἰώβ, ὅτι "Χήρας ἐξαπέστειλας κενάς, ὀρφα-
20 *νοὺς δὲ ἐκάκωσας. Καὶ εἶπας, Τί ἔγνω ὁ ἰσχυρός; Οἱ λέγοντες, Τί ποιήσει ἡμῖν Κύριος; Καὶ τί ἐπάξεται ἡμῖν ὁ πάντων κρατῶν;" Περὶ τοῦ, "Καθαρὸν ἀποδώσει σε Κύριος ὥσπερ ἄργυρον πεπυρωμένον. Ἀνάβλεψον εἰς τὸν οὐρανὸν ἱλαρῶς. Εὐξαμένου δέ σου πρὸς αὐτόν, εἰσακούσεταί σου, καὶ δια-*
25 *σωθήσῃ ἐν καθαραῖς χερσί σου".*

Τρίτη τοῦ Ἰὼβ ἀντίλεξις πρὸς Ἐλιφάζ. "Καὶ δὴ οἶδα, ὅτι χειρός μου ἡ ἐλεημοσύνη μού ἐστι, καὶ ἡ χεὶρ αὐτοῦ βαρεῖα γέγονε ἐπ᾽ ἐμῷ στεναγμῷ. Εἰ ἐν πολλῇ ἰσχύϊ ἐπελεύσεταί μοι σκότος. Ἀσεβεῖς ὅρον ὑπερέβησαν, καὶ γυμνοὺς πολλοὺς
30 *ἐκοίμισαν ἄνευ ἱματίων. Ἀναφανείη τὰ φυτὰ αὐτῶν ἀπὸ γῆς ξηρά· ἀγκαλίδα γὰρ ὀρφανῶν ἥρπασαν".*

Τρίτος ὑπολαβὼν Βαλδὰδ λέγει· "Ὁ ποιῶν τὴν σύμπασαν ἐν ὑψίστῳ. Μὴ γάρ τις ὑπολάβοι, ὅτι ἐστὶ παρέλκυσις πειραταῖς. Πῶς δὲ δίκαιος βροτὸς ἔναντι Κυρίου; Ἐὰν δὲ ἄνθρω-
35 *πος σαπρία, καὶ εἰ υἱὸς ἀνθρώπου σκώληξ;".*

---

13. 20, 2.5.7.11.12.14.15.18.19.24.25.29. 15. 22, 2.3.9.13.17.25-27. 30.
14. 21, 2.4.7.10.14.15.22.27-28.30.33. 16. 23, 2.6.17· 24, 2.7.18.19.

ἀδύνατων. Θά τόν τραυματίσει αὐτόν», λέγει, «χάλκινο τόξο καί τό βέλος του θά περάσει ἀπό τή μία ἄκρη τοῦ στόματός του στήν ἄλλη. Θά πέσουν ἄστρα στήν κατοικία του. Γιατί αὐτό θά εἶναι τό μερίδιο πού θά πάρει ὁ ἀσεβής ἄνθρωπος ἀπό τόν Κύριο»[13].

Δεύτερη ἀπάντηση τοῦ 'Ιώβ στόν Σωφάρ· «'Ακοῦστε, ἀκοῦστε τά λόγια μου, γιά νά μήν εἶναι τέτοια ἡ παρηγοριά μου ἀπό σᾶς. Τί λοιπόν; Μήπως τά παράπονά μου ἀπευθύνονται σ' ἄνθρωπο; Γιατί λοιπόν οἱ ἀσεβεῖς ζοῦν πολύ καί φθάνουν σέ βαθιά γηρατειά μέσα σέ πλοῦτο καί ἄφθονα ἀγαθά; 'Η ἔγκυος σώζεται ἀπό κάθε κίνδυνο». Όπου, «'Ο ἀσεβής λέγει στόν Κύριο· Φύγε μακριά ἀπό μένα, δέ θέλω νά γνωρίσω τίς ἐντολές σου. Τί μπορεῖ νά μοῦ δώσει, γιά νά γίνω δοῦλος του; Λοιπόν δέν εἶναι ὁ Κύριος πού μᾶς διδάσκει σύνεση καί γνώση; Αὐτός ξεχωρίζει καί τούς πόνους. Ὥστε σᾶς ξέρω ἐσᾶς, γιατί μοῦ ἐπιτίθεστε μέ θρασύτητα». Καί γιά τό, «Ποῦ εἶναι ἡ κατοικία τῶν ἀρχόντων; 'Ο πονηρός ἀναπαύεται μέχρι τήν ἡμέρα τῆς καταστροφῆς του, καί ὕστερα ἀπ' αὐτόν θά πεθάνει κάθε ἄνθρωπος»[14].

Τρίτος πάλι παίρνει τό λόγο ὁ 'Ελιφάζ καί λέγει· «Λοιπόν δέν εἶναι ὁ Κύριος πού μᾶς διδάσκει τή σύνεση καί τή σοφία; Τί τόν ἐνδιαφέρει τόν Κύριο, ἐάν ἐσύ ἤσουν ἄμεμπτος στά ἔργα σου;» 'Εδῶ λέγει ὁ 'Ελιφάζ στόν 'Ιώβ, ὅτι «Ἔδιωξες τίς χῆρες μέ χέρια ἄδειανά καί ἔκαμες κακό στά ὀρφανά. Καί εἶπες· τί γνωρίζει ὁ παντοδύναμος; Αὐτοί λέγουν· τί θά μᾶς κάνει ὁ Κύριος; καί ποιά τιμωρία θά μᾶς δώσει ὁ Παντοκράτορας;». Γιά τό, «Θά σέ παραδώσει ὁ Κύριος καθαρό σάν τόν ἄργυρο πού καθαρίζεται στή φωτιά. Σήκωσε τό βλέμμα σου στόν οὐρανό χαρούμενα. Ὅταν προσεύχεσαι στόν Κύριο, θά σέ ἀκούσει, καί θά διασωθεῖς μέ καθαρά χέρια»[15].

Τρίτη ἀπάντηση τοῦ 'Ιώβ στόν 'Ελιφάζ. «Γνωρίζω λοιπόν καλά, ὅτι ἡ ἐλεημοσύνη μου εἶναι στό χέρι μου καί τό χέρι τοῦ Θεοῦ ἔπεσε βαρύ πάνω στό στεναγμό μου. 'Εάν ἔρθει σέ μένα μέ μεγάλη δύναμη, θά γίνει σκοτάδι. Οἱ ἀσεβεῖς ξεπέρασαν τά ὅρια, καί ἀνάγκασαν πολλούς νά κοιμηθοῦν γυμνοί, χωρίς ροῦχα. Εἴθε νά βγαίνουν ξηρά ἀπό τή γῆ τά φυτά τους, γιατί ἅρπαξαν τά δεμάτια τῶν ὀρφανῶν»[16].

Τρίτος παίρνει τό λόγο ὁ Βαλδάδ καί λέγει· «Αὐτός εἶναι πού δημιούργησε καί ἐξακολουθεῖ νά συγκρατεῖ τή δημιουργία στόν οὐρανό. Νά μή νομίσει κανείς, ὅτι θά ματαιωθεῖ ἡ τιμωρία στούς πειρατές. Πῶς εἶναι δυνατό νά ὑπάρξει δίκαιος θνητός ἐνώπιον τοῦ Κυρίου; 'Εάν ὁ ἄνθρωπος εἶναι σαπίλα καί ὁ ἀπόγονος τοῦ ἀνθρώπου σκουλήκι;»[17].

Τρίτη τοῦ Ἰὼβ πρὸς Βαλδὰδ ἀντίλεξις· "Τίνι μέλλεις βοηθεῖν; ἢ τίνι ἐπακολουθήσεις; Οὐχ ᾧ μεγίστη δύναμις; Γυμνὸς γὰρ ὁ ᾅδης ἐνώπιον αὐτοῦ. Ὁ κρεμάζων γῆν ἐπ' οὐδενός, δεσμεύων ὕδωρ ἐν νεφέλαις αὐτοῦ. Προστάγματι δὲ
5 *ἐθανάτωσε δράκοντα ἀποστάτην".*

Μηκέτι προσθέντος καὶ τοῦ Σωφὰρ τρίτως, ἀλλ' ὑποσιωπησάντων καὶ τῶν μειζόνων δύο, ὡς οὐκέτι λόγον ἐχόντων ἐν στόματι, διὰ τὸ θέσθαι δίκαιον τὸν Ἰώβ, ἐπισυνάπτει τὸ περὶ αὐτοῦ προοίμιον δεύτερον Ἰώβ· κἀκεῖνοι σιωπήσαντες ἀκού-
10 *ουσιν ὠφελούμενοι. "Ζῇ", φησί, "Κύριος, ὃς οὕτω με κέκρικε, καὶ ὁ παντοκράτωρ μου, ὁ πικράνας μου τὴν ψυχήν· ἦ μὴν ἔτι τῆς πνοῆς ἐνούσης, πνεῦμα δὲ θεῖον τὸ περιόν μοι ἐν ῥισί, μὴ λαλήσειν μου τὰ χείλη ἀνομίαν. Ἀναγγελῶ ὑμῖν, τί ἐστιν ἐν χειρὶ Κυρίου. Ἰδοὺ δὴ πάντες οἴδατε, ὅτι κενὰ κενοῖς*
15 *ἐπιβουλεύετε. Αὕτη ἡ μερὶς ἀνθρώπου ἀσεβοῦς παρὰ Κυρίου. Ὅτι ἐὰν πολλοὶ γένωνται οἱ υἱοὶ αὐτοῦ, εἰς σφαγὴν ἔσονται· χήρας δὲ αὐτῶν οὐδεὶς ἐλεήσει. Ἐὰν συνάγῃ ὁ ἀσεβὴς ἴσα γῇ ἀργύριον; τόπος ὅθεν γίνεται; τόπος δὲ χρυσίου ὅθεν διηθεῖται;/Σίδηρος μὲν ἐκ γῆς γίνεται, χαλκὸς δὲ ἴσα λίθῳ λατομεῖται. Πᾶν τίμιον", φησίν, "εἶδέ μου ὁ ὀφθαλμός. Ἡ δὲ σοφία αὐτοῦ πόθεν εὑρέθη; Ἄβυσσος εἶπε, Οὐκ ἔστιν ἐν ἐμοί· καὶ θάλασσα εἶπε, Οὐκ ἔστι μετ' ἐμοῦ. Ἕλκυσον σοφίαν ὑπὲρ τὰ ἐσώτατα. Οὐκ ἰσωθήσεται αὐτῇ τοπάζιον Αἰθιοπίας, καὶ χρυσίῳ καθαρῷ οὐ συμβασταχθήσεται. Ὁ Κύριος εὖ συνέστησε αὐτῆς τὴν ὁδόν· αὐτὸς γὰρ τὴν ὑπ' οὐρανὸν πᾶσαν ἐφορᾷ, εἰδὼς τὰ ἐν τῇ γῇ πάντα, ἀνέμων σταθμόν, ὑδάτων μέτρα. Εἶπεν ἀνθρώπῳ· Ἰδοὺ ἡ θεοσέβειά ἐστι σοφία".*

Ἀποσιωπησάντων δὲ τῶν τριῶν, προσθεὶς Ἰὼβ ἐν τῷ προοιμίῳ λέγει· "Τίς ἂν με θείη κατὰ μῆνα ἔμπροσθεν ἡμερῶν, ὧν με ὁ Θεὸς ἐφύλαξεν; Ὅτε ηὔγει ὁ λύχνος αὐτοῦ ὑπὲρ κεφαλῆς μου, ἐξεπορευόμην ὄρθριος ἐν πόλει, ἐν δὲ πλατείαις ἐτίθετό μου ὁ δίφρος. Διέσωσα γὰρ πτωχὸν ἐκ χειρὸς δυνατῶν. Εὐλογία ἀπολλυμένων ἐπ' ἐμὲ ἐπέλθοι. Ὀφθαλμός", φησίν, "ἤμην τυφλῶν, ποῦς δὲ χωλῶν, πατὴρ δὲ ἀδυνάτων. Συνέτριψα

17. 25. 2-4.6. 18. 26, 2.3.6-8.13.

19. 27, 2-4. 11-13. 14.15.16 καί 28, 1.2.10.12.14.18.19.23-25. 28.

Τρίτη ἀπάντηση τοῦ 'Ιώβ στό Βαλδάδ· «Ποιόν θέλεις νά βοηθήσεις; ἤ ποιόν ἀκολουθεῖς; Ὄχι ἐκεῖνον πού ἔχει τή μεγαλύτερη δύναμη; Γιατί ὁ ἅδης εἶναι γυμνός μπροστά του. Αὐτός κρεμάει τή γῆ στό κενό, συγκρατεῖ τό νερό στά σύννεφά του. Μέ τό πρόσταγμά του θανάτωσε τόν ἀποστάτη δράκοντα»[18].

'Επειδή δέ μίλησε καί ὁ Σωφάρ γιά τρίτη φορά, ἀλλά σιώπησαν καί οἱ δύο μεγαλύτεροι, ἀφοῦ δέν εἶχαν πιά λόγο νά ποῦν, γιατί ἔδωσαν στόν 'Ιώβ τό δίκαιο, προσθέτει ὁ 'Ιώβ τό δεύτερο πρόλογο γι' αὐτόν. Καί αὐτοί ἀφοῦ σιώπησαν, τόν ἀκοῦν καί ἔχουν ὠφέλεια. «Ζεῖ», λέγει, «ὁ Κύριος, ὁ ὁποῖος τόσο πολύ μέ κατέκρινε, ζεῖ καί ὁ παντοκράτοράς μου, ὁ ὁποῖος τόσο πολύ πίκρανε τή ζωή μου· πραγματικά, ἀφοῦ ὑπάρχει ἀκόμη μέσα μου ἀναπνοή, τό θεῖο φύσημα πού μπαίνει καί βγαίνει μέ τή μύτη μου, δέν πρόκειται τά χείλη μου νά ἐκστομήσουν τήν παρανομία. Θά σᾶς κάνω γνωστό, τί ὑπάρχει στό χέρι τοῦ Κυρίου. Νά, ὅλοι γνωρίζετε, ὅτι σχεδιάζετε κούφια πράγματα πάνω στά κούφια. Αὐτό εἶναι τό μερίδιο τοῦ ἀσεβῆ ἀνθρώπου ἀπό τόν Κύριο. Ὅτι ἐάν γίνουν πολλά τά παιδιά του, θά εἶναι προορισμένα γιά τή σφαγή, ἐνῶ τίς χῆρες τῶν ἀσεβῶν κανείς δέ θά τίς εὐσπλαχνισθεῖ. 'Εάν ὁ ἀσεβής συγκεντρώσει ἀργύριο σάν τό χῶμα τῆς γῆς· ὑπάρχει τόπος ἀπ' ὅπου βγαίνει ὁ ἄργυρος; Καί ὑπάρχει τόπος ἀπ' ὅπου καθαρίζεται ὁ χρυσός; 'Ο σίδηρος βγαίνει ἀπό τή γῆ καί ὁ χαλκός βγαίνει ἀπό τά λατομεῖα, ὅπως ἡ πέτρα. Κάθε πολύτιμο πράγμα», λέγει, «εἶδε τό μάτι μου. 'Η σοφία τοῦ Θεοῦ ὅμως ἀπό ποῦ βρέθηκε; 'Η ἄβυσσος εἶπε· Δέν εἶναι μέσα μου, καί ἡ θάλασσα εἶπε· Δέν εἶναι μαζί μου. Τράβηξε τή σοφία ἀπό τίς πιό βαθιές πηγές. Δέν μπορεῖ νά ἐξισωθεῖ μ' αὐτήν τό τοπάζι τῆς Αἰθιοπίας καί δέ συγκρίνεται αὐτή μέ τόν καθαρό χρυσό. 'Ο Κύριος κατασκεύασε καλά τό δρόμο της, γιατί αὐτός ἐπιβλέπει ὅλη τήν οἰκουμένη καί γνωρίζει ὅλα ὅσα ὑπάρχουν στή γῆ, αὐτός ζυγίζει τούς ἀνέμους καί μετρᾶ τά νερά. Εἶπε στόν ἄνθρωπο· Νά, σοφία εἶναι τό νά σέβεται ὁ ἄνθρωπος τό Θεό»[19].

'Αφοῦ σιώπησαν καί οἱ τρεῖς, λέγει ὁ 'Ιώβ προσθέτοντας σέ ὅσα εἶπε προηγουμένως· «Ποιός μπορεῖ νά μέ φέρει στίς περασμένες ἡμέρες κάποιου μήνα, κατά τίς ὁποῖες ὁ Θεός μέ φύλαξε ἀπό συμφορές; Ὅταν τό λυχνάρι τοῦ Θεοῦ ἔλαμπε πάνω στό κεφάλι μου, πήγαινα πολύ πρωί στήν πόλη, ἐνῶ στίς πλατεῖες της στηνόταν τό τιμητικό γιά μένα κάθισμα. Γιατί ἔσωσα τό φτωχό ἀπό τά χέρια τῶν δυνατῶν. 'Η εὐλογία αὐτῶν πού κινδύνευαν ἐρχόταν σέ μένα. Ἤμουν», λέγει, «τό μάτι τῶν τυφλῶν καί τό πόδι τῶν χωλῶν καί ὁ

δὲ μύλας ἀδίκων, ἐκ δὲ μέσου τῶν ὀδόντων αὐτῶν ἅρπαγμα ἐξέσπασα. Ὥσπερ γῆ διψῶσα προσδεχομένη τὸν ὑετόν, οὕτως οὗτοι τὴν ἐμὴν λαλιάν. Κατεσκήνουν ὡς βασιλεὺς ἐν μονοζώνοις. Ἀφρόνων υἱοί, καὶ ἄτιμοι ὄνομα· νυνὶ δὲ κιθάρα ἐγώ εἰμι
5 *αὐτῶν, καὶ ἐμὲ θρύλημα ἔχουσιν. Ἀπὸ δὲ προσώπου μου οὐκ ἐφείσαντο πτύελον. Ἥγησαι δέ με ἴσα πηλῷ, ἐν γῇ καὶ σποδῷ μου ἡ μερίς. Χειρὶ δὲ κραταιᾷ με ἐμαστίγωσας. Ἀδελφός", φησί, "γέγονα Σειρήνων, ἑταῖρος δὲ στρουθῶν. Εἰ ἐξηκολούθησε ἡ καρδία μου γυναικὶ ἀνδρὸς ἑτέρου, ἀρέσαι ἄρα καὶ ἡ*
10 *γυνή μου ἑτέρῳ. Θυμὸς γὰρ ἀνδρὸς ἀκατάσχετος τοῦ μιᾶναι αὐτοῖς γυναῖκα. Εἰ ὑπερεῖδον γυμνὸν ἀπολλύμενον, καὶ οὐκ ἠμφίασα, ἀπὸ δὲ κουρᾶς ἀμνῶν μου οὐκ ἐθερμάνθησαν οἱ ὦμοι αὐτῶν, ἀποσταίη ἄρα ὁ ὦμός μου ἀπὸ τῆς κλειδός μου. Εἰ γὰρ ἐπιχαρὴς ἐγενόμην πτώματι ἐχθρῶν μου, καὶ εἶπε ἡ*
15 *καρδία μου, Εὖγε, ἀκοῦσαι ἄρα τὸ οὖς μου τὴν κατάραν μου. Εἰ μὴ ῥήξας αὐτὴν ἀπέδωκα, οὐδὲν λαβὼν ἀπὸ χρεωφειλέτου, εἰ ἐπ' ἐμοὶ ἡ γῆ ἐστέναξε, ἀντὶ πυροῦ ἐξέλθοι μοι κνίδη.*

Τὰ περὶ Ἐλιοὺζ τοῦ Βαραχιὴλ τοῦ Βουζίτου· ὡς ὠργίσθη τῷ Ἰώβ, ὅτι ἀπέφηνεν ἑαυτὸν δίκαιον ἐναντίον Κυρίου.
20 *Ὑπολαβὼν Ἐλιοὺζ ὁ τοῦ Βαραχιὴλ ὁ Βουζίτης, εἶπε· "Νεώτερός εἰμι τῷ χρόνῳ· διὸ ἡσύχασα, φοβηθεὶς τοῦ ὑμῖν ἀναγγεῖλαι τὴν ἐμὴν ἐπιστήμην". Ἐξαναστὰς Ἐλιοὺζ ἐν ἀναιδείᾳ καταλέγει τοῦ Ἰώβ, τῶν τριῶν ἀποσιωπησάντων· "Πάλιν λαλήσω· πλήρης γάρ εἰμι ῥήματος". Εἶπε δὲ Ἐλιοὺζ πρὸς Ἰώβ·*
25 *"Πνεῦμα θεῖον τὸ ποιῆσάν με, πνοὴ δὲ Παντοκράτορος ἡ διδάσκουσά με. Ἐὰν δύνῃ, δός μοι ἀπόκρισιν. Ἀποστρέψαι ἄνθρωπον ἐξ ἀδικίας. Ἐφείσατο δὲ τῆς ψυχῆς αὐτοῦ ἀπὸ θανάτου, καὶ μὴ πεσεῖν αὐτὸν ἐν πολέμῳ. Ἤλεγξε δὲ αὐτὸν ἐν μαλακίᾳ ἐπὶ κοίτης. Ἀνανεώσει δὲ αὐτοῦ τὸ σῶμα, ὥσπερ*
30 *ἀλοιφὴν ἐπὶ τοίχου, τὰ δὲ ὀστᾶ αὐτοῦ ἐμπλήσει μυελοῦ. Τότε», φησίν, «ἀπομέμψεται αὐτὸς ἑαυτῷ λέγων· Οἷα συνετέλουν; Οὐκ ἄξια ἤτασέ με ὧν ἥμαρτον". Ἔτι ἐλάλησεν Ἐλιοὺζ πρὸς*

---

20. 29, 2.3.7.12.13.15-17.23.25· 30, 8-10.19.21.29 καί 31, 9-11.19.20.22.29. 30.37.38.40.

πατέρας τῶν ἀδύνατων ἀνθρώπων. Συνέτριψα τά σαγόνια τῶν ἄδικων ἀνθρώπων καί μέσα ἀπό τά δόντια τους ἅρπαξα, ὅσα ἐκεῖνοι εἶχαν ἁρπάξει. Ὅπως ἡ γῆ πού διψάει καί περιμένει τή βροχή, ἔτσι αὐτοί περίμεναν τήν ὁμιλία μου. Ἔμεινα ἀνάμεσά τους σάν βασιλιάς πού τόν περιστοιχίζουν ἐλαφρά ὁπλισμένοι στρατιῶτες. Εἶναι παιδιά ἀνθρώπων χωρίς φρόνηση καί δέν ἔχουν τιμή στό ὄνομά τους. Τώρα ὅμως ἐγώ εἶμαι ἡ κιθάρα τους καί μ᾽ ἔχουν θέμα κοινό στίς συζητήσεις τους. Δέ δίστασαν νά μέ φτύσουν στό πρόσωπό μου. Μέ θεώρησες σάν λάσπη, τό χῶμα καί ἡ στάχτη εἶναι ὁ τόπος μου. Μέ μαστίγωσες μέ δυνατό χέρι. Ἔγινα ἀδελφός», λέγει, «τῶν ᾠδικῶν πουλιῶν καί σύντροφος τῶν σπουργιτῶν. Ἐάν ἡ καρδιά μου ἀκολούθησε γυναίκα ξένου ἄνδρα, τότε ἄς ἀρέσει καί ἡ γυναίκα μου σέ ξένο ἄνδρα. Γιατί εἶναι ἀσυγκράτητη ἡ ἐπιθυμία τοῦ ἄνδρα γιά νά μολύνει σ᾽ αὐτούς τή γυναίκα τους. Ἐάν γύρισα ἀλλοῦ τά μάτια μου γιά νά μή δῶ κάποιο γυμνό πού κινδύνευε νά πεθάνει, καί δέν τόν ἔντυσα, καί δέ ζεστάθηκαν οἱ ὦμοι τους ἀπό τά μαλλιά τῶν προβάτων μου, εἴθε νά βγεῖ ὁ ὦμος μου ἀπό τήν κλείδωσή μου. Ἐάν βέβαια ἔγινα χαιρέκακος γιά τήν πτώση τῶν ἐχθρῶν μου καί εἶπε ἡ καρδιά μου, εὖγε, ἄς ἀκούσει τό αὐτί μου τή δική μου κατάρα. Ἐάν ἔδωσα πίσω στόν ὀφειλέτη μου κάποιο γραμμάτιο, ἀφοῦ πρῶτα τό ἔσχισα, δέν πῆρα τίποτε ἀπ᾽ αὐτόν, ἐάν ἡ γῆ στέναξε ἐξ αἰτίας μου, ἄς φυτρώσουν τσουκνίδες ἀντί γιά σιτάρι»[20].

Ἡ ἐπέμβαση τοῦ Ἐλιούζ τοῦ Βαραχιήλ τοῦ Βουζίτη, ἐπειδή ὀργίστηκε ἐναντίον τοῦ Ἰώβ, γιατί παρουσίασε τόν ἑαυτό του δίκαιο ἐνώπιον τοῦ Κυρίου. Παίρνοντας τό λόγο ὁ Ἐλιούζ, ὁ υἱός τοῦ Βαραχιήλ, ὁ Βουζίτης, εἶπε· «Εἶμαι πιό νέος στήν ἡλικία, γι᾽ αὐτό σιώπησα, ἐπειδή φοβήθηκε νά σᾶς παρουσιάσω τή γνώμη μου». Σηκώθηκε ὁ Ἐλιούζ καί μέ ἀναίδεια λέγει στόν Ἰώβ, ἐνῶ οἱ τρεῖς σιώπησαν· «Πάλι θά μιλήσω, γιατί εἶμαι γεμάτος ἀπό σκέψεις». Καί εἶπε ὁ Ἐλιούζ στόν Ἰώβ· «Τό Πνεῦμα τοῦ Θεοῦ μέ δημιούργησε καί ἡ ἔμπνευση τοῦ Παντοκράτορα εἶναι αὐτή πού μέ διδάσκει. Ἐάν μπορεῖς, ἀπάντησέ μου. Θέλει ὁ Θεός ν᾽ ἀπομακρύνει τόν ἄνθρωπο ἀπό τήν ἁμαρτία. Λυπήθηκε τή ζωή του ἀπό τό θάνατο καί τόν βοήθησε νά μήν πέσει στόν πόλεμο νεκρός. Τόν ἔλεγξε, ὅταν ἦταν ἄρρωστος ἐπάνω στό κρεβάτι του. Θά ἀνανεώσει τό σῶμα του, ὅπως ἀνανεώνεται ὁ τοῖχος πού ἀσπρίζεται, καί θά γεμίσει τά κόκκαλά του μέ μυελό. Τότε», λέγει, «ὁ ἄνθρωπος θά κατηγορήσει τόν ἑαυτό του λέγοντας· Πόσα ἔκαμα; Δέ μέ τιμώρησε, ὅπως ἄξιζε στίς ἁμαρτίες

Ἰώβ· "Ἐνωτίζου, Ἰώβ, καὶ ἄκουέ μου· κώφευσον καὶ λαλήσω. Εἰ ἔστι σοι λόγος, ἀποκρίθητί μοι· θέλω γὰρ δικαιολογηθῆναί σοι".

Ἔτι προσθεὶς Ἐλιοὺζ τρίτον λέγει· "Ἀκούσατέ μου,
5 *σοφοί, οἱ ἐπιστάμενοι ἐνωτίσασθαι καλόν· ὅτι οὖς λόγους δοκιμάζει". Ἔτι εἶπεν Ἐλιούζ· "Τίς ἀνὴρ ὥσπερ Ἰώβ, πίνων μυκτηρισμὸν ὥσπερ ὕδωρ; οὐχ ἁμαρτών, οὐδὲ ἀσεβήσας; Μή μοι εἴη καὶ ἔναντι Παντοκράτορος ταράξαι τὸ δίκαιον. Ἀλλ' ἀποδιδοῖ ἀνθρώπῳ καθὰ ποιεῖ ἕκαστος αὐτῶν. Ἀσεβὴς ὁ*
10 *λέγων βασιλεῖ, Παρανομεῖς παρανομῶν". Καὶ "Ὃς οὐκ ἐπαισχυνθῇ πρόσωπον. Ὅτι Κύριος πάντα ἐφορᾷ, καταλαμβάνων ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός. Ἀνὴρ σοφὸς ἀκήκοέ μου τὸ ῥῆμα· Ἰὼβ δὲ οὐκ ἐν συνέσει ἐλάλησε". Τέταρτον προσθεὶς Ἐλιοὺζ λέγει πρὸς*
15 *Ἰώβ· "Τί τοῦτο ἡγήσω ἐν κρίσει; Σὺ τίς εἶ, ὅτι εἶπας, Δίκαιός εἰμι ἐναντίον Κυρίου;". Τὸ πέμπτον προσθεὶς Ἐλιοὺζ τῷ λόγῳ, καὶ οὔτε Ἰώβ, οὔτε οἱ τρεῖς φίλοι προσποιοῦνται αὐτὸν ὡς ἄθεον. Δῆλον οὖν ἐκ τότε, ὅτι μετενόησαν οἱ τρεῖς. Καὶ λέγει πρὸς Ἰώβ· "Μεῖνόν με μικρὸν ἔτι, ἵνα διδάξω σε· ἔτι γὰρ ἐν*
20 *ἐμοί ἐστι λέγειν". Εἶπεν Ἐλιούζ· "Ἐνωτίζου ταῦτα, Ἰώβ. Στῆθι, νουθετοῦ δύναμιν Κυρίου. Μὴ βίβλος ἢ γραμματεύσας σοι παρέστηκε; ἢ ἀπὸ βοῤῥᾶ νέφη χρυσαυγίζοντα;".*

Ἐμφανισθεὶς ὁ Θεὸς δικαιοῖ τὸν Ἰώβ, καὶ διδάσκων τὸ μυστήριον τοῦ Χριστοῦ, εἶπε πρὸς Ἰώβ· "Τίς οὗτος ὁ κρύπτων
25 *μου βουλήν, συνέχων δὲ ῥήματα ἐν καρδίᾳ; Διάλογος Κυρίου, ὅτι "Ἔφραξα θάλασσαν πύλαις. Εἶπα δὲ αὐτῇ, Μέχρι τούτου ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ, ἀλλ' ἐν σεαυτῇ διατριβήσονταί σου τὰ κύματα". Λόγος Κυρίου, ὅτι "Σὺ λαβὼν πηλόν, ἔπλασας ζῶον; Ἀνοίγονταί σοι φόβῳ πύλαι θανάτου; πυλωροὶ δὲ ᾅδου*
30 *ἰδόντες σε ἔπτηξαν;" Ἔτι, "Ἦλθες ἐπὶ θησαυροὺς χιόνος, θησαυροὺς δὲ χαλάζης ἑώρακας; Πόθεν δὲ ἐκπορεύεται πάχνη; τίς δὲ ἡτοίμασε ὑετῷ λάβρῳ ῥύσιν;" Ἔτι, "Τίς ἐστιν ὑετοῦ πατήρ; Ἐκ γαστρὸς δὲ τίνος ἐκπορεύσεται κρύσταλλος; Πάχνην δὲ ἐν οὐρανῷ καὶ βώλους δρόσου τίς τέτοκε; Καλέσεις*

---

21. 32, 6. 17-18· 33, 4.5.17-19.24.27.31.32.

22. 34, 2.3.7-8. 10.11.18.19.24.34.35· 35, 2· 36, 2· 37, 14.20.22.

μου». 'Ακόμη εἶπε ὁ 'Ελιούζ στόν 'Ιώβ· «"Ανοιξε τά αὐτιά σου, 'Ιώβ, καί ἄκουσέ μου· σιώπησε σάν κουφός, ἐγώ θά μιλήσω. 'Εάν ἔχεις λόγο, ἀπάντησέ μου, γιατί θέλω νά δικαιολογηθεῖς»[21].

Συνεχίζοντας ὁ 'Ελιούζ λέγει γιά τρίτη φορά· «'Ακοῦστε μου, σοφοί, ἐσεῖς πού ξέρετε ν' ἀκοῦτε τό καλό, γιατί τό αὐτί ξεχωρίζει τά λόγια». 'Ακόμη εἶπε ὁ 'Ελιούζ· «Ποιός ἄνθρωπος εἶναι ὅπως ὁ 'Ιώβ, πού πίνει τήν περιφρόνηση σάν νερό; δέν ἁμάρτησε, οὔτε ἀσέβησε; Ποτέ νά μή συμβεῖ καί διαστρέψω τό δίκαιο ἀπέναντι στόν Παντοκράτορα. 'Αλλά θ' ἀνταποδώσει στόν κάθε ἄνθρωπο σύμφωνα μέ τά ἔργα πού κάνει αὐτός. Εἶναι ἀσεβής ἐκεῖνος πού λέγει στό βασιλιά, εἶσαι παράνομος παραβαίνοντας τούς νόμους». Καί, «Αὐτός πού δέ θά ντραπεῖ ἰσχυρό ἄνθρωπο ἐνώπιόν μου. Γιατί ὁ Κύριος ἐπιβλέπει τά πάντα, καταλαβαίνει τά ἀνεξιχνίαστα πράγματα, ἔνδοξα καί ἐξαιρετικά, τά ὁποῖα δέν μπορεῖ κανείς νά τά ἀριθμήσει. Κάθε σοφός ἄνθρωπος ἔχει ἀκούσει τά λόγια μου, ὁ 'Ιώβ ὅμως δέ μίλησε μέ σύνεση». Γιά τέταρτη φορά συνεχίζει ὁ 'Ελιούζ καί λέγει στόν 'Ιώβ· «Γιατί εἶχες αὐτό τό φρόνημα; Ποιός εἶσαι ἐσύ πού εἶπες, Εἶμαι δίκαιος ἐνώπιον τοῦ Κυρίου;» Συνεχίζει ὁ 'Ελιούζ γιά πέμπτη φορά τό λόγο, καί οὔτε ὁ 'Ιώβ, οὔτε οἱ τρεῖς φίλοι τόν προσεταιρίζονται σάν ἄθεο. Εἶναι λοιπόν φανερό ἀπό τότε, πώς μετανόησαν οἱ τρεῖς φίλοι. Καί λέγει στόν 'Ιώβ· «κάνε ἀκόμη λίγη ὑπομονή, γιά νά σέ διδάξω, γιατί ὑπάρχουν μέσα μου καί ἄλλες σκέψεις πού θά πῶ». Εἶπε ὁ 'Ελιούζ· «"Ακου αὐτά, 'Ιώβ. Στάσου, μάθε τή δύναμη τοῦ Κυρίου. Μήπως ἔχεις κανένα βιβλίο ἤ κάποιο γραμματέα ἤ μήπως ἀπό τό βορρά λάμπουν σάν χρυσάφι τά σύννεφα;»[22].

'Εμφανίσθηκε ὁ Θεός πού δικαιώνει τόν 'Ιώβ καί, γιά νά διδάξει τό μυστήριο τοῦ Χριστοῦ, εἶπε στόν 'Ιώβ· «Ποιός εἶναι αὐτός πού κρύβει τή θέλησή μου καί κρατάει στήν καρδιά του λόγια;». Διάλογος Κυρίου, ὅτι «"Εφραξα μέ πόρτες τή θάλασσα. Εἶπα σ' αὐτή· Μέχρι τό σημεῖο αὐτό θά ἔρθεις καί δέ θά τό ξεπεράσεις, ἀλλά τά κύματά σου θά συντριβοῦν μέσα σου». Λόγος Κυρίου, ὅτι «Μήπως ἐσύ πῆρες λάσπη καί δημιούργησες ζωντανό ὄν; 'Ανοίγονται γιά σένα μέ φόβο οἱ πόρτες τοῦ θανάτου; οἱ θυρωροί τοῦ ἄδη, ὅταν σέ εἶδαν, φοβήθηκαν;». 'Ακόμη, «'Ηρθες ἐσύ στίς ἀποθῆκες τοῦ χιονιοῦ, ἔχεις δεῖ τίς ἀποθῆκες πού εἶναι τό χαλάζι; 'Από ποῦ ἔρχεται ἡ πάχνη; ποιός ἑτοίμασε τή βροχή μέ τό ὁρμητικό νερό;» 'Ακόμη, «Ποιός εἶναι ὁ πατέρας τῆς βροχῆς; 'Από τήν κοιλιά τίνος βγαίνει ὁ πάγος; Ποιός ἔχει γεννήσει τήν πάχνη στόν οὐρανό καί τίς χονδρές σταγόνες τῆς

δὲ νέφος φωνῇ, καὶ τρόμῳ ὕδατος λάβρου ἐπακούσεταί σου; 'Αποστελεῖς κεραυνοὺς καὶ πορεύσονται; Τίς δέδωκε γυναιξὶν ὑφάσματος σοφίαν;" Ἔτι, "Τίς ἡτοίμασε κόρακι βοράν; Νεοσσοὶ γὰρ αὐτοῦ πρὸς Κύριον κεκράγασι πλανώμενοι, τὰ 5 *σῖτα ζητοῦντες". Ὅτι, "Πτέρυξ πετομένη ἐλάσει, ἐὰν συλλάβῃ ἄσιδα καὶ νῆσσα. 'Αφήσει εἰς γῆν τὰ ὠὰ αὐτῆς. Ὅτε κατεσιώπησε αὐτῇ ὁ Θεὸς σοφίαν, καὶ καταγελάσεται ἵππου". Καί, "'Εκ τῆς ἐπιστήμης ἕστηκεν ἱέραξ, γὺψ δὲ ἐπὶ νοσσιᾶς αὐτοῦ καθεσθεὶς αὐλίζεται".*

10 *Ἔτι ἐλάλησε Κύριος τῷ 'Ιώβ· "Μὴ κρίσιν μετὰ ἱκανοῦ κρίνῃς; ἐλέγχων δὲ Θεὸν ἀποκριθήσεται αὐτῇ;" 'Ελάλησε 'Ιὼβ τῷ Κυρίῳ, ὅτι, "'Εγὼ κρίνομαι νουθετούμενος, καὶ ἐλέγχων Κύριον, ἀκούων". 'Ελάλησε Κύριος πρὸς 'Ιὼβ ἐκ τοῦ νέφους δεύτερον ἐμφανισθεὶς αὐτῷ· "Ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν* 15 *σου. 'Ερωτήσω δέ σε, σὺ δέ μοι ἀπόκριναι", Λόγος Κυρίου· "'Ομολογήσω ἄρα ὅτι δύναται ἡ δεξιά σου σῶσαι. 'Αλλὰ δὴ ἰδοὺ θηρία παρὰ σοὶ χόρτον ἴσα βουσὶν ἐσθίουσιν. 'Η δὲ δύναμις αὐτῷ ἐπὶ ὀμφαλοῦ γαστρός. Ἔστησεν οὐρὰν ὡς κυπάρισσον. Αἱ πλευραὶ αὐτοῦ, πλευραὶ χάλκειαι· ἡ δὲ ῥάχις* 20 *αὐτοῦ σίδηρος χυτός. 'Υπὸ δὲ πάντα τὰ δένδρα κοιμᾶται. Ἄξεις δέ", φησί, "λέοντα ἐν ἀγκίστρῳ· περιθήσεις δὲ φορβαίαν περὶ τὴν ῥῖνα αὐτοῦ. Πᾶν δὲ πλωτὸν συνελθὸν οὐ μὴ ἐνέγκωσι βύρσαν μίαν οὐρᾶς αὐτοῦ. 'Ηγεῖται μὲν σίδηρον ἄχυρα, χαλκὸν δὲ ὥσπερ ξύλον σαθρόν. Οὐ μὴ τρώσῃ αὐτὸν* 25 *τόξον χάλκειον".*

Ἕως ὧδε, καὶ ἐπαύσατο λέγειν 'Ιώβ· "Οἶδα πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν. Τίς γάρ ἐστιν ὁ κρύπτων σε βουλήν; Ἥγημαι δὲ ἐμαυτὸν γῆν καὶ σποδόν". Ἤλεγξε Κύριος 'Ελιφὰζ τὸν Θαιμανίτην, ὅτι ἥμαρτε αὐτὸς καὶ οἱ δύο φίλοι 30 *αὐτοῦ, ὅτι οὐκ ἐλάλησεν ἐνώπιον Κυρίου ἀληθές, οὐδὲ ὥσπερ θεράπων αὐτοῦ 'Ιώβ. 'Ενταῦθα ἱλασμὸς τῶν τριῶν φίλων διὰ 'Ιὼβ τοῦ ἱερέως τοῦ Θεοῦ. 'Ως ηὔξησε Κύριος τὸν 'Ιώβ· εὐξαμένου δὲ αὐτοῦ καὶ περὶ τῶν φίλων αὐτοῦ, ἀφῆκεν αὐτοῖς Κύριος ἁμαρτίαν. 'Ως ἤκουσαν πάντες ἐκ τοῦ γένους 'Ιώβ,* 35 *καὶ ἦλθον πρὸς αὐτόν, καὶ ἔφαγον καὶ ἔπιον παρ' αὐτῷ, καὶ*

---

23. 38, 2.8.11.14.17.22.24.25.28.29.34.41· 39, 13.14.17.18.26.27.32.34.

24. 40, 2.4.7.14-15.16.17.18.21.25.31· 41, 19.20. 25. 42, 2.3.6.

δροσιᾶς; Θά καλέσεις τό σύννεφο μέ τή φωνή σου καί ἐκεῖνο θά σ' ἀκούσει μέ τρόμο καί θά γίνει ὁρμητική βροχή; Θά στείλεις τούς κεραυνούς καί ἐκεῖνοι θά πέσουν; Ποιός ἔδωσε στίς γυναῖκες σοφία νά κατασκευάζουν ὑφάσματα;» Ἀκόμη, «Ποιός ἑτοίμασε τροφή γιά τόν κόρακα; Γιατί καί τά μικρά πουλιά τοῦ κόρακα, καθώς πετοῦν ἀπό ἐδῶ καί ἀπό ἐκεῖ, φωνάζουν στόν Κύριο, γιά νά ζητήσουν τήν τροφή τους». Ὅτι, «Ἡ στρουθοκάμηλος θά φύγει πετώντας, ὅταν πιάσει λάσπη καί πάπια. Θ' ἀφήσει στή γῆ τά αὐγά της. Γιατί ὁ Θεός δέν τή δίδαξε αὐτήν σοφία, ἀλλά θά καταγελάσει τό ἄλογο». Καί, «Ἀπό τή σοφία του ἔμαθε νά στέκεται τό γεράκι, ἐνῶ ὁ γύπας περνᾶ τή νύχτα πάνω στή φωλιά του πού θά καθίσει»[23].

Ἀκόμη μίλησε ὁ Κύριος στόν Ἰώβ· «Μήπως θά ἐκφέρεις κρίση μαζί μέ τόν παντοδύναμο; ὅταν ἐλέγχει τό Θεό κανείς, μπορεῖ ν' ἀπαντήσει γιά τήν ἐπίκρισή του αὐτή;». Μίλησε ὁ Ἰώβ στόν Κύριο· «Ἐγώ κρίνομαι καί τώρα πού νουθετοῦμαι, καί ἐλέγχοντας τόν Κύριο, ἀκούω». Μίλησε ὁ Κύριος στόν Ἰώβ, ὅταν ἐμφανίστηκε σ' αὐτόν γιά δεύτερη φορά ἀπό τό σύννεφο· «Ζῶσε τή μέση σου σάν ἄνδρας. Θά σ' ἐρωτήσω καί ἐσύ νά μ' ἀπαντήσεις». Λόγος Κυρίου· «Θά ὁμολογήσω λοιπόν ὅτι μπορεῖ νά μέ σώσει ἡ δύναμή σου. Νά ὅμως ὅτι θηρία κοντά σου τρώγουν τό χορτάρι σάν βόδια. Ἡ δύναμη ἑνός ζώου βρίσκεται στόν ὀμφαλό τῆς κοιλιᾶς του. Σηκώνει τήν οὐρά του σάν κυπαρίσσι. Τά πλευρά του εἶναι σάν χαλκός καί ἡ ράχη του σάν χυτός σίδηρος. Κοιμᾶται κάτω ἀπ' ὅλα τά δένδρα. Μπορεῖς νά συλλάβεις τόν κροκόδειλο μέ ἀγκίστρι καί νά βάλεις γύρω ἀπό τή μύτη του χαλινάρι. Ὁποιοδήποτε πλοῖο καί ἄν ἔρθει, δέ θά μπορέσει οὔτε τό δέρμα τῆς οὐρᾶς του νά σηκώσει. Θεωρεῖ τά σιδερένια ὅπλα σάν ἄχυρα, καί τά χάλκινα σάν σάπιο ξύλο. Τό χάλκινο τόξο δέν μπορεῖ νά τόν πληγώσει»[24].

Μέχρι τό σημεῖο αὐτό μίλησε ὁ Ἰώβ καί σταμάτησε νά μιλάει· «Γνωρίζω ὅτι μπορεῖς τά πάντα, τίποτε δέν εἶναι ἀδύνατο γιά σένα. Ποιός μπορεῖ νά κρύψει ἀπό σένα τίς σκέψεις του; Θεωρῶ πραγματικά ὅτι εἶμαι χῶμα καί στάχτη»[25]. Ἔλεγξε ὁ Κύριος τόν Ἐλιφάζ τό Θαιμανίτη, γιατί ἁμάρτησε ὁ ἴδιος καί οἱ δύο φίλοι του, γιατί δέν εἶπε τήν ἀλήθεια μπροστά στόν Κύριο, οὔτε ὅπως ὁ δοῦλος του Ἰώβ. Ἐδῶ γίνεται ἡ ἐξιλέωση τῶν τριῶν φίλων μέ τόν Ἰώβ τόν ἱερέα τοῦ Θεοῦ. Ὅταν ὁ Κύριος δόξασε τόν Ἰώβ καί αὐτός προσευχήθηκε καί γιά τούς φίλους του, ὁ Κύριος τούς συγχώρησε τήν ἁμαρτία τους. Μόλις ἔμαθαν ὅλοι οἱ συγγενεῖς τοῦ Ἰώβ, ἦρθαν ὅλοι καί ἔφαγαν καί ἤπιαν

θαυμάσαντες αὐτὸν ἔδωκαν αὐτῷ ἕκαστος ἀμνάδα μίαν, καὶ τετράδραχμον χρυσοῦν. Ὡς γέγραπται αὐτὸν ἀναστήσεσθαι μεθ' ὧν ὁ Κύριος ἀνίστησιν. Ἐν οἷς καὶ ἡ δύναμις ἅπασα τοῦ βιβλίου Ἰώβ.

5 2. ΣΟΦΙΑΣ ΣΟΛΟΜΩΝΤΟΣ

Σοφία Σολομῶντος καλεῖται τὸ βιβλίον· καὶ γὰρ καὶ τοῦτο, φασί, Σολομών ἐστιν ὁ γράψας. Ἔστι δὲ ἐν αὐτῷ διδασκαλία δικαιοσύνης, καὶ τὸ γνωρίζειν τούς τε φαύλους ἄνδρας καὶ τοὺς σπουδαίους, καὶ προφητεία περὶ Χριστοῦ. Καὶ ὅτι πολλῷ
10 *πόνῳ καὶ πόθῳ κατορθοῦται σοφία. Ἔτι δὲ καὶ φυσιολογία μερική· καὶ κατὰ εἰδώλων καὶ τῶν αὐτὰ γλυφόντων, καὶ ἐν αὐτοῖς ἐλπιζόντων, καὶ λατρευόντων· καὶ ὕμνος σὺν ἐξομολογήσει τῶν γεγενημένων τοῖς Ἰσραηλίταις θαυμασίων ἐνώπιον τῶν ἐχθρῶν αὐτῶν, παρὰ τοῦ Θεοῦ. Ἡ μὲν οὖν περιοχὴ τοῦ*
15 *βιβλίου τοῦτον ἔχει τὸν τρόπον. Ἡ δὲ ἀνακεφαλαίωσίς ἐστιν ἐν τούτοις. Ἐν προοιμίοις μὲν προτροπὴ δικαίου εἰς θεοσέβειαν, καὶ ἔλεγχος ἀσεβοῦς βλασφήμου. "Μὴ ζήλου", γάρ, φησί, "τοὺς ἀντιχρίστους, οἵτινές εἰσι θάνατος". Πόθεν οἱ ἀσεβεῖς ἐπὶ τῷ σταυρῶσαι τὸν Κύριον τῆς δόξης ἦλθον, τὸν*
20 *αἰῶνα τοῦτον προκρίναντες. Ὅτι καὶ τοὺς ἀποστόλους ἐδίωξαν καὶ ἀπέκτειναν. Ὅτι τινὲς ἔσονται οἱ ἐξουθενοῦντες τὸν νόμον τοῦ Κυρίου, καὶ τινὲς οἱ ὑποταγέντες αὐτῷ.*

Ὅτι οὐδὲ πλήθους ἀσεβούντων εἰς Χριστὸν φείσεται ὁ Θεός. Ἑνὸς γὰρ δικαίου πιστεύοντος Χριστῷ μέλει τῷ Θεῷ,
25 *κἂν νέος ἀποθάνῃ. "Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον". Εἰ καὶ ἀσεβὴς τελευτὴν τοῦ πιστεύοντος Χριστῷ ἐξουθένωσεν, ἀλλ' ἐκλέγονται ἀπὸ Χριστοῦ. Οἱ ἀσεβεῖς ἀτίμῳ πτώματι παραδοθήσονται, καὶ μεγάλῃ κρίσει καταβληθήσονται οἱ διῶκται τῶν τοῦ Χριστοῦ δούλων, ἐν τῇ κρίσει, ἰδόντες τὴν*
30 *δόξαν αὐτοῦ καὶ αὐτῶν, καὶ ἑαυτοὺς εἰς κόλασιν. Ὅτι ὁ πλοῦτος μετὰ ἀλαζονείας συμβέβληται ἡμῖν. Τίς ὀργὴ τῶν ἀσεβούντων εἰς Χριστόν. Προτροπαὶ τοῖς ἄρχουσι τοῦ Ἰσραήλ, ὥστε πιστεύειν Χριστῷ· μᾶλλον δὲ παράθεσις τοῖς*

---

1. 4, 8.

κοντά του καί, ἐπειδή τόν θαύμασαν, τοῦ ἔδωσε ὁ καθένας ἕνα θηλυκό ἀρνί καί ἕνα χρυσό τετράδραχμο. Ὅπως ἔχει γραφεῖ ὅτι θά τόν ἀναστήσει ὁ Κύριος μαζί μ' ἐκείνους πού θ' ἀναστήσει. Σ' αὐτά τελειώνει καί τό περιεχόμενο ὅλο τοῦ βιβλίου τοῦ Ἰώβ.

2. ΣΟΦΙΑ ΣΟΛΟΜΩΝΤΑ

Τό βιβλίο ὀνομάζεται Σοφία Σολομώντα, γιατί καί τό βιβλίο αὐτό, λέγουν, ὅτι τό ἔγραψε ὁ Σολομώντας. Ὑπάρχει σ' αὐτό διδασκαλία ἀρετῆς καί τό πῶς νά γνωρίζει κανείς τούς φαύλους ἀνθρώπους καί τούς σπουδαίους καί προφητεῖες γιά τό Χριστό. Καί ὅτι μέ πολύ κόπο καί πόθο κατορθώνεται ἡ σοφία. Ἀκόμη καί λίγη φιλοσοφία τῆς φύσης, καί ἐναντίον τῶν εἰδώλων καί ἐκείνων πού τά κατασκευάζουν καί ἐλπίζουν σ' αὐτά καί τά λατρεύουν. Ὑπάρχει ἀκόμη ὕμνος καί ἀποκάλυψη τῶν θαυμαστῶν ἔργων πού ἔγιναν ἀπό τό Θεό γιά τή σωτηρία τῶν Ἰσραηλιτῶν μπροστά στούς ἐχθρούς τους. Τό περιεχόμενο λοιπόν τοῦ βιβλίου ἔχει αὐτή τη δομή. Ἡ περίληψή του εἶναι ἡ παρακάτω. Στήν ἀρχή ὑπάρχει προτροπή γιά τούς δίκαιους ἀνθρώπους νά ἀναζητοῦν τή θεοσέβεια καί ἔλεγχος γιά τούς ἀσεβεῖς βλάσφημους. «Νά μή ζηλεύεις τούς ἀντίχριστους», λέγει, πού οἱ ἴδιοι εἶναι θάνατος». Ἡ αἰτία πού ὁδήγησε τούς ἀσεβεῖς νά σταυρώσουν τόν Κύριο τῆς δόξας εἶναι αὐτή, ἐπειδή δηλαδή προτίμησαν τήν παρούσα ζωή. Ὅτι καί τούς ἀποστόλους καταδίωξαν καί θανάτωσαν. Ὅτι θά ὑπάρχουν μερικοί πού θά περιφρονοῦν τό νόμο τοῦ Κυρίου καί μερικοί πού ὑπάκουσαν σ' αὐτόν.

Ὅτι ὁ Θεός δέ θά λυπηθεῖ οὔτε τό πλῆθος αὐτῶν πού ἀσεβοῦν στό Χριστό. Ὁ Θεός φροντίζει γιά ἕνα δίκαιο ἄνθρωπο πού πιστεύει στό Χριστό, ἔστω καί ἄν πεθάνει νέος. «Γιατί τιμημένα γηρατειά δέν ἔχει αὐτός πού ἔζησε πολλά χρόνια»[1]. Ἄν καί ὁ ἀσεβής περιφρόνησε τό θάνατο ἐκείνου πού πιστεύει στό Χριστό, ὅμως ξεχωρίζονται ἀπό τό Χριστό. Οἱ ἀσεβεῖς θά καταντήσουν σέ περιφρονημένη δυστυχία καί οἱ διῶκτες τῶν δούλων τοῦ Χριστοῦ θά τρομάξουν πολύ, τήν ἡμέρα τῆς κρίσης, ὅταν δοῦν τή δόξα τοῦ Χριστοῦ καί τῶν δούλων του, καί αὐτούς νά βρίσκονται στήν κόλαση. Ὅτι ὁ πλοῦτος ἔχει ἑνωθεῖ μέ τήν ἀλαζονεία μας. Ποιά εἶναι ἡ ὀργή τοῦ Θεοῦ ἐναντίον αὐτῶν πού ἀσεβοῦν στό Χριστό. Προτροπές στούς ἄρχοντες τοῦ Ἰσραήλ, γιά νά πιστεύουν στό Χριστό, ἤ καλύτερα συμβουλές στούς ἄρχοντες τῆς

ἄρχουσι τῆς καθολικῆς Ἐκκλησίας, πῶς ἄρχειν δεῖ, ἀποστραφέντος ἐκείνου. Τίς ἡ σοφία, ὁ Υἱὸς τοῦ Θεοῦ. Καὶ πῶς ὁ Λόγος σὰρξ γέγονε, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. Ὅτι κἀγὼ ὁμοιοπαθὴς ὑμῖν ὢν ἄνθρωπος ἐκ κελεύσεως Θεοῦ πεπαίδευ-
5 *μαι. Περὶ Χριστοῦ· τῇ σοφίᾳ τοῦ Θεοῦ, ὅτι πάντων τὴν γνῶσιν ἐξ αὐτῆς ἔσχον· "Ἐν γὰρ χειρὶ αὐτοῦ καὶ ἡμεῖς οἱ λόγοι ἡμῶν". Τίς ἡ σοφία, καὶ πῶς εἰς ἀνθρώπους ἦλθε. "Μία γὰρ οὖσα πάντα δύναται, καὶ μένουσα ἐν αὐτῇ τὰ πάντα καινίζει". Τὴν σοφίαν, φησίν, ἐκ νεότητος φιλήσας, πάντα τὰ ἀγαθὰ ἐξ αὐτῆς*
10 *ἔσχον σαρκικὰ καὶ πνευματικά. Ὅτι τὸ μέγεθος τῆς σοφίας ἐγνωκὼς ἐνέτυχον τῷ Κυρίῳ, ὥστε μοι δοθῆναι τὸ ἅγιον Πνεῦμα τὸ φωτίζον με περὶ αὐτῆς. Καὶ ἐπέμφθη, ἵνα συγκοπιάζῃ μοι. "Λογισμοὶ γὰρ θνητῶν δειλοί".*

Περὶ τῶν ἔργων τῆς σοφίας. Πῶς τὸν πρωτόπλαστον
15 *διεφύλαξεν, ἐξ ὅσων κακῶν σώζει τοὺς πιστεύοντας αὐτῷ ὁ Θεός, καὶ ὅσα ἀγαθὰ παρέχει. Οἷον τὸν Νῶε, τὸν Ἀβραάμ, τὸν Λώτ, τὸν Ἰακώβ, τὸν Ἰωσήφ, τοὺς Ἰσραηλίτας, οὓς ἐκ χειρὸς τῶν αἰγυπτίων ἐξεῤῥύσατο διὰ Μωσέως, καὶ ἐκ πέτρας ἀκροτόμου ἐδόθη αὐτοῖς ὕδωρ. Ὡς τοῖς ζ΄ ἔθνεσιν ἀπέστειλε*
20 *σφῆκας, μακροθυμίᾳ δὲ χρώμενος, καὶ τούτοις ἐδίδου τόπον μετανοίας, παιδεύων διὰ τούτων τὸν λαὸν εἶναι φιλάνθρωπον. Κατὰ στοιχειολατρῶν, βατράχων, σφηκῶν, μυῶν, ἀκρίδων, σκνιφῶν, ὄφεων. Κατὰ εἰδωλολατρῶν, ἐκ χρυσοῦ καὶ ἀργύρου, ἢ λίθων, ἢ ξύλων εἰδώλων κατεσκευασμένων. Ὅτι ἐστὶ σωτηρία*
25 *διὰ ξύλου τοῖς πιστεύουσι. Τὰ περὶ τῶν εἰδωλοποιῶν, ἢ ζωγραφούντων εἴδωλα. Περὶ πάντων τῶν κακῶν τῶν ἐν εἰδωλολατρείᾳ. Περὶ ἀσεβοῦς θρησκείας, καὶ ὅσα ἐν αὐτῇ κακά. Περὶ τοῦ κεραμέως, καὶ τῶν κεραμικῶν εἰδώλων. Περὶ πάντων τῶν εἰδώλων τῆς τῶν ἐθνῶν λατρείας. Περὶ τῶν*
30 *ἐχθίστων ζώων, ὄφεων, αἰλούρων, καὶ τῶν ὁμοίων.*

Ὅτι εὐηργέτησεν ὁ Θεὸς τὸν Ἰσραὴλ ἀντὶ βατράχων ὀρτυγομήτραν. Ὅτι καὶ ἐπὶ δήγματος ὄφεων σωτηρία τοῦ λαοῦ σου δι' ὄφεως χαλκοῦ ἐσταυρωμένου· τοὺς δὲ ἐχθροὺς αὐτῶν δι' ὄφεων καὶ μυῶν ἀπέκτεινεν. Ὅτι ἀγγέλων τροφὴν ἐψώμισε
35 *τὸν λαὸν πρὸς πᾶσαν ἡδονὴν ἰσχύουσαν, καὶ πρὸς πᾶσαν ἁρμονίας γεῦσιν. Ὅτι χάλαζαν Αἰγυπτίοις μετὰ πυρὸς ἔπεμψε*

---

2. 7, 16. 3. 7, 27. 4. 9, 14.

καθολικῆς 'Εκκλησίας, πῶς πρέπει νά διοικοῦν, ὅταν φύγει ὁ Χριστός. Ποιά εἶναι ἡ σοφία, ὁ Υἱός τοῦ Θεοῦ. Καί πῶς ὁ Λόγος τοῦ Θεοῦ ἔγινε ἄνθρωπος καί ἔζησε ἀνάμεσά μας. Ὅτι καί ἐγώ πού εἶμαι ἄνθρωπος ὅμοιος μέ σᾶς, ἔχω διδαχθεῖ τή σοφία μέ διαταγή τοῦ Θεοῦ. Γιά τό Χριστό· στή σοφία τοῦ Θεοῦ, γιατί ἀπ' αὐτή ἀπέκτησα τή γνώση ὅλων· «Γιατί στό χέρι του βρισκόμαστε καί ἐμεῖς καί τά λόγια μας»[2]. Ποιά εἶναι ἡ σοφία καί πῶς ἦρθε στούς ἀνθρώπους. «Γιατί ἐνῶ εἶναι μία, μπορεῖ νά κάνει τά πάντα, καί ἐνῶ μένει ἡ ἴδια, ἀνακαινίζει τά πάντα»[3]. Τή σοφία, λέγει, τήν ἀγάπησα ἀπό τά παιδικά μου χρόνια καί ἀπ' αὐτή ἀπέκτησα ὅλα τά ὑλικά καί πνευματικά ἀγαθά. Ὅτι προσευχήθηκα στόν Κύριο, ἐπειδή γνώρισα τήν ἀξία τῆς σοφίας, γιά νά μοῦ δοθεῖ τό ἅγιο Πνεῦμα πού θά μέ φωτίζει γι' αὐτή. Καί στάλθηκε, γιά νά κοπιάζει μαζί μου. «Γιατί οἱ σκέψεις τῶν ἀνθρώπων εἶναι ταλαντευόμενες»[4].

Γιά τά ἔργα τῆς σοφίας. Πῶς διαφύλαξε τόν πρωτόπλαστο, ἀπό πόσα κακά σώζει ὁ Θεός ἐκείνους πού πιστεύουν σ' αὐτόν, καί πόσα ἀγαθά δίνει σ' αὐτούς. Ὅπως τό Νῶε, τόν 'Αβραάμ, τό Λώτ, τόν 'Ιακώβ, τόν 'Ιωσήφ, τούς 'Ισραηλίτες, τούς ὁποίους ἔσωσε ἀπό τά χέρια τῶν Αἰγυπτίων μέ τό Μωυσῆ, καί δόθηκε νερό σ' αὐτούς ἀπό πέτρα ἀπότομη. Ὅταν στά ἑπτά ἔθνη ἔστειλε σφῆκες καί μεταχειριζόταν μακροθυμία, ἔδινε καί σ' αὐτά εὐκαιρία γιά μετάνοια, διδάσκοντας ἔτσι τό λαό νά εἶναι φιλάνθρωπος. 'Εναντίον ἐκείνων πού λατρεύουν τά στοιχεῖα τῆς φύσης, τά βατράχια, τίς σφῆκες, τίς μύγες, τίς ἀκρίδες, τίς σκνίπες, τά φίδια. 'Εναντίον τῶν εἰδωλολατρῶν καί τῶν εἰδώλων πού εἶναι κατασκευασμένα ἀπό χρυσό καί ἄργυρο, ἤ ἀπό πέτρες καί ξύλα. Ὅτι ὑπάρχει σωτηρία γι' αὐτούς, πού ἐμπιστεύονται σ' ἕνα ξύλο. Τά σχετικά μέ τούς κατασκευαστές καί τούς ζωγράφους εἰδώλων. Γιά ὅλα τά κακά αὐτῶν πού ζοῦν στήν εἰδωλολατρεία. Γιά τήν ἀσεβή θρησκεία καί γιά τά κακά πού ὑπάρχουν σ' αὐτή. Γιά τόν κεραμοποιό καί τά πήλινα εἴδωλα. Γιά ὅλα τά εἴδωλα τῆς θρησκείας τῶν ἐθνῶν. Γιά τά πιό ἀπαίσια ζῶα, τά φίδια, τίς γάτες καί τά ὅμοια.

Ὅτι ὁ Θεός εὐεργέτησε τούς 'Ισραηλίτες καί τούς ἔστειλε ὀρτύκια ἀντί γιά βατράχια. Ὅτι καί ἀπό δάγκωμα τῶν φιδιῶν σωζόταν ὁ λαός σου μέ τό χάλκινο φίδι πού σταυρώθηκε, ἐνῶ τούς ἐχθρούς τους θανάτωνε μέ τά φίδια καί τίς μύγες. Ὅτι ἔθρεψε τό λαό μέ τήν τροφή τῶν ἀγγέλων, πού ἦταν ἱκανή γιά κάθε εὐχαρίστηση καί κατάλληλη γιά κάθε ὄρεξη. Ὅτι ἔστειλε στούς Αἰγυπτίους χαλάζι μαζί μέ φωτιά γιά

πρὸς διαφθορὰν γεννημάτων. Ὅτι τοῖς Αἰγυπτίοις ἔπεμψε ψηλαφητὸν σκότος, καὶ τὰ ἐν αὐτῷ κακά· τοῖς δὲ ὁσίοις αὐτοῦ φῶς ἐν Αἰγύπτῳ, καὶ ἐν τῇ ἐρήμῳ στῦλον πυρός· καὶ ἀντὶ μὲν θανάτου νηπίων Ἰσραήλ, τῶν Αἰγυπτίων πρωτοτόκων θάνατος 5 καὶ καταποντισμός, ἀντὶ δὲ θανάτου πρωτοτόκων, σωτηρία Ἰσραὴλ δι' αἵματος προβάτου. Καὶ ἐπὶ μὲν θανάτῳ δικαίων ἐν ἐρήμῳ, Ἀαρὼν ἐξιλάσατο, Κυρίῳ προσευξάμενος καὶ θυμιάσας, ἐπὶ δὲ θανάτῳ Αἰγυπτίων ἐν Ἐρυθρᾷ θαλάσσῃ, ἀνελεήμων θυμός, τοῦ δὲ λαοῦ παράδοξος ὁδοιπορία. Ὅτι διὰ 10 μισοξενίαν ἔπαθον ταῦτα οἱ Αἰγύπτιοι, ὡς καὶ οἱ Σοδομῖται. Ὅτι τὰ στοιχεῖα ὑπόκειται τῇ θείᾳ κρίσει Χριστοῦ, πρὸς ὃ βούλεται ῥυθμιζόμενα, ὡς χορδαὶ κιθάρας τῷ κιθαρίζοντι. Ἐν οἷς πᾶσα δύναμις τῆς σοφίας Σολομῶντος τῆς λεγομένης Παναρέτου.

15

3. ΠΑΡΟΙΜΙΑΙ ΣΟΛΟΜΩΝΤΟΣ

Παροιμίαι Σολομῶντος τὸ βιβλίον καλεῖται, ἐπειδὴ καὶ ταύτας Σολομών ἐστιν ὁ λαλήσας καὶ γράψας. Οὗτος δὲ διαδεξάμενος τὴν βασιλείαν Δαυῒδ τοῦ πατρὸς αὐτοῦ, ηὔξατο τῷ Θεῷ λαβεῖν σοφίαν ὑπὲρ πλοῦτον, καὶ ὑπὲρ ἄμυναν 20 ἐχθρῶν. Λαβὼν τοίνυν, καὶ γενόμενος σοφὸς ὑπὲρ πάντας τοὺς πρὸ αὐτοῦ καὶ μετα' αὐτὸν ἀνθρώπους, θαυμασθείς τε ἐπὶ πᾶσιν οἷς ἐποίησε καὶ ἐλάλησε, τρισχιλίας μὲν παραβολὰς καὶ πεντακισχιλίας ᾠδὰς ἐλάλησε· καὶ ἐφυσιολόγησε περὶ πάντων τῶν τε ἐκ γῆς φυομένων, καὶ περὶ πάντων τῶν ζώων. 25 Συνέγραψε δέ, ὡς μέν τινές φασι, τρία μόνα βιβλία. Τοῦτό τε, καὶ τὸν Ἐκκλησιαστήν, καὶ τὸ ᾆσμα τῶν ᾀσμάτων· ὡς δέ τινες, καὶ τὴν Σοφίαν τὴν ἀπογεγραμμένην καὶ λεγομένην Πανάρετον· γνησίαν γὰρ αὐτοῦ καὶ ταύτην λέγουσιν εἶναι. Καὶ τοῦτο μὲν Παροιμίαι ἐπέγραψεν. Εἰσὶ δὲ παροιμίαι λόγοι σοφοί, ὡς 30 αἰνίγματα, ἅτινα ἕτερον μέν τι αὐτόθεν δηλοῦντά ἐστιν, ἕτερον δὲ ἐν ὑπονοίᾳ ἐπαγγέλλονται. Τῶν δὲ τοιούτων εἶδός εἰσιν αἱ παροιμίαι. Οὕτω γὰρ καὶ οἱ μαθηταὶ τοῦ Κυρίου λέγουσιν ἐν τῷ

1. Βλ. Γ' Βασ. 3, 1-15.

νά τούς καταστρέψει τά σπαρτά. Ὅτι στούς Αἰγυπτίους ἔστειλε πυκνό σκοτάδι καί τά κακά πού ἦταν μέσα σ' αὐτό, ἐνῶ στούς ἐκλεκτούς του ἔστειλε φῶς στήν Αἴγυπτο καί μία στήλη φωτιᾶς στήν ἔρημο. Καί ἀντί γιά τό θάνατο στά νήπια τῶν Ἰσραηλιτῶν, ἦρθε ὁ θάνατος στά νήπια τῶν Αἰγυπτίων καί ὁ καταποντισμός τους· ἀντί γιά θάνατο στά πρωτότοκα, ἡ σωτηρία τῶν Ἰσραηλιτῶν μέ τό αἷμα τοῦ προβάτου. Καί γιά τό θάνατο τῶν δικαίων στήν ἔρημο, ὁ Ἀαρών τούς ἐξιλέωσε, ἀφοῦ προσευχήθηκε καί πρόσφερε θυμίαμα στόν Κύριο· στήν περίπτωση ὅμως τοῦ θανάτου τῶν Αἰγυπτίων στήν Ἐρυθρά θάλασσα ἔπεσε ἄσπλαχνος ὁ θυμός του, ἐνῶ ὁ λαός βάδιζε τήν παράξενη πορεία. Ὅτι οἱ Αἰγύπτιοι ἔπαθαν αὐτά, ἐπειδή ἔδειξαν μίσος ἐναντίον τῶν ξένων, ὅπως καί οἱ Σοδομίτες. Ὅτι τά στοιχεῖα τῆς φύσης ὑπακούουν στή θεία κρίση τοῦ Χριστοῦ, ρυθμιζόμενα ὅπως αὐτός θέλει, ὅπως ὑπακούουν οἱ χορδές τῆς κιθάρας στόν κιθαριστή. Μ' αὐτά ὁλοκληρώνεται τό περιεχόμενο τῆς Σοφίας Σολομώντα, πού λέγεται Πανάρετος σοφία.

3. ΠΑΡΟΙΜΙΕΣ ΣΟΛΟΜΩΝΤΑ

Τό βιβλίο αὐτό ὀνομάζεται Παροιμίες Σολομώντα, ἐπειδή ὁ Σολομώντας εἶναι αὐτός πού εἶπε καί ἔγραψε τίς παροιμίες. Ὁ Σολομώντας, ἀφοῦ διαδέχθηκε στή βασιλεία τόν πατέρα του Δαυΐδ, προσευχήθηκε στό Θεό νά λάβει σοφία περισσότερο ἀπό τά πλούτη καί ἀπό τήν ἐκδίκηση τῶν ἐχθρῶν[1]. Ἀφοῦ ἔλαβε λοιπόν σοφία καί ἔγινε σοφός περισσότερο ἀπ' ὅλους τούς ἀνθρώπους πού ἔζησαν πρίν καί μετά ἀπ' αὐτόν καί ἀφοῦ θαυμάστηκε γιά ὅλα τά ἔργα καί τά λόγια του, εἶπε τρεῖς χιλιάδες παραβολές καί πέντε χιλιάδες ᾠδές. Ἀκόμη φιλοσόφησε γιά ὅλα τά φυτά τῆς γῆς καί γιά ὅλα τά ζῶα. Ἔγραψε ὅμως, ὅπως λέγουν μερικοί, τρία μόνο βιβλία. Τίς Παροιμίες, τόν Ἐκκλησιαστή καί τό Ἆσμα τῶν ἀσμάτων. Ὅπως ὅμως λέγουν ἄλλοι, ἔγραψε καί τή σοφία πού ἔχει καταγραφεῖ σέ βιβλίο καί ὀνομάζεται Πανάρετος, γιατί λέγουν πώς εἶναι καί αὐτή γνήσιο ἔργο τοῦ Σολομώντα. Καί σ' αὐτό ἔδωσε τόν τίτλο Παροιμίες. Εἶναι ὅμως οἱ παροιμίες λόγια σοφά, ὅπως τά αἰνίγματα, πού ἄλλα φανερώνουν ἀπό τή φύση τους καί ἄλλα ὑπόσχονται στήν πραγματικότητα. Ἕνα εἶδος ἀπ' αὐτά εἶναι οἱ παροιμίες. Ἔτσι λοιπόν καί οἱ μαθητές τοῦ Κυρίου

κατὰ Ἰωάννην Εὐαγγελίῳ, ὅτε τοῦ Κυρίου πολλὰ εἰρηκότος, πρότερον ἐγκεκρυμμένῃ διανοίᾳ, ὕστερόν φασιν αὐτῷ· "Ἴδε νῦν παῤῥησίᾳ λαλεῖς, καὶ παροιμίαν οὐδεμίαν λέγεις"· ὡς τῶν παροιμιῶν μὴ ἐκ φανεροῦ, ἀλλὰ κεκρυμμένως λεγομένων.

5 *Ἐπεὶ οὖν ἐν τῷ βιβλίῳ τούτῳ πλεῖστοι λόγοι τοιοῦτοί εἰσιν, διὰ τοῦτο Παροιμίας ἐπέγραψε τὸ βιβλίον. Ὠνομάσθη δὲ παροιμία, ἐπειδὴ παρὰ πάσης ὁδοῦ ἐγράφησαν οἱ τοιοῦτοι λόγοι, πρὸς διόρθωσιν καὶ διδασκαλίαν τῶν ἐν ταῖς ὁδοῖς πορευομένων. Παρὰ τὰς ὁδοὺς δὲ ἐγράφοντο, ἐπεὶ μὴ πάντες* 10 *ἐχώρουν τοὺς τῆς ἀληθείας λόγους· ἵνα κἂν διερχόμενοι καὶ βλέποντες διερευνῶσι τὰ γεγραμμένα, καὶ οὕτω παιδεύωνται οἱ ἄνθρωποι. Τινές γοῦν ὁρίζονται αὐτὰς οὕτως, ῥῆμα παρόδιον ἀπό τινος ἑνός εἰς πολλὰ μεταλαμβανόμενον. Ἔστιν οὖν ἐν τῷ βιβλίῳ τούτῳ γνῶσις σοφίας καὶ παιδείας,* 15 *νόησις λόγων φρονήσεως, στροφαὶ λόγων, δικαιοσύνης ἀληθοῦς νόησις, κρίματα κατευθύνειν, καὶ ἐπαγγελία τοῦ γινώσκειν ἐκ τούτων παραβολάς, ῥήσεις σοφῶν, αἰνίγματα, σκοτεινοὺς λόγους. Καὶ εἰσὶ γνώσεις σοφίας καὶ παιδείας. Ἐπειδὴ γὰρ Ἕλληνες μὲν σοφίαν ἔχειν ἐπαγγέλλονται,* 20 *αἱρετικοὶ δὲ νομίζουσι παιδείαν ἔχειν, διὰ τοῦτο οὗτος τὴν ἀληθῆ σοφίαν καὶ παιδείαν διδάσκει, ἵνα μὴ τῇ ὁμωνυμίᾳ τῆς σοφίας εἰς τὰ σοφίσματα τῶν Ἑλλήνων καὶ τῶν αἱρετικῶν ἐμπέσῃ τις. Καὶ γὰρ Ἕλληνες μὲν οἰόμενοί τινες εἶναι, καὶ "Φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν". Αἱρετικοὶ δὲ παιδεύ-* 25 *εσθαι νομίζοντες ἐξεστράφησαν, καὶ ἁμαρτάνουσιν ὄντες αὐτοκατάκριτοι.*

Τῶν δὲ θείων λόγων ἀκούσας σοφός, σοφώτερος ἔσται. Τῶν γὰρ νομίμων τοῦ Θεοῦ ἀκούσας, καὶ ταῦτα φυλάξας, ἐπί τε τῇ παιδείᾳ Κυρίου μὴ ὀλιγωρήσας, μηδὲ ἑλκυσθεὶς ἀπάτῃ, 30 *υἱὸς σοφὸς γενήσεται, καὶ πεπαιδευμένος γενόμενος ταχέως καὶ τὴν παρὰ Θεοῦ γνῶσιν δέξεται. Ταύτῃ γὰρ οἱ σοφοὶ παιδεύονται. Νόησις δὲ λόγων φρονήσεως ἡ περὶ τοῦ μόνου καὶ ἀληθινοῦ ὄντος Θεοῦ διδασκαλία. Ἐπὶ γὰρ Ἑλλήνων οἱ μὲν σῶμα τὸν Θεὸν εἶπον, οἱ δὲ εἰδώλοις αὐτὸν ὁμοίως* 35 *ἐλάτρευσαν. Αἱρετικοὶ δὲ καὶ αὐτοὶ περὶ τοῦ ὄντος παρεφρόνησαν. Διὰ τοῦτο οὗτος τὴν ἀληθῆ περὶ Θεοῦ γνῶσιν ἐξηγεῖται,*

---

2. Ἰω. 16, 29. 3. Ρωμ. 1, 22.

λέγουν στό εὐαγγέλιο τοῦ Ἰωάννη, ἀφοῦ ὁ Κύριος εἶπε πολλά, πρῶτα μέ κρυφές σκέψεις καί ὕστερα λέγουν σ' αὐτόν· «Νά, τώρα μιλᾶς καθαρά καί δέ λέγεις καμιά παροιμία»[2], ἐπειδή οἱ παροιμίες δέ λέγονται μέ φανερό τρόπο, ἀλλά μέ κρυφό.

Ἐπειδή λοιπόν σ' αὐτό τό βιβλίο ὑπάρχουν πάρα πολλά τέτοια λόγια, γι' αὐτό τό ὀνόμασε Παροιμίες αὐτό τό βιβλίο. Ὀνομάστηκε ὅμως παροιμία, ἐπειδή γράφτηκαν αὐτά τά λόγια σέ κάθε δρόμο, γιά διόρθωση καί διδασκαλία αὐτῶν πού βαδίζουν στούς δρόμους. Γράφονταν αὐτά κατά μῆκος τῶν δρόμων, ἐπειδή ὅλοι δέ δέχονταν τά λόγια τῆς ἀλήθειας, ὥστε, καθώς βάδιζαν καί ἔβλεπαν νά ἐξετάζουν τουλάχιστο τά γραμμένα καί ἔτσι νά διδάσκονται οἱ ἄνθρωποι. Μερικοί μάλιστα δίνουν στίς παροιμίες τόν ἑξῆς ὁρισμό: λόγος πού λέγεται κατά μῆκος τοῦ δρόμου καί ἀπό μία σημασία ἀλλάζει σέ πολλές. Ὑπάρχει λοιπόν σ' αὐτό τό βιβλίο γνώση σοφίας καί παιδείας, κατανόηση λόγων σύνεσης, περιστροφές λόγων, κατανόηση τῆς ἀληθινῆς δικαιοσύνης, ἱκανότητα νά ἐκφέρει δίκαιες κρίσεις ὁ ἄνθρωπος καί ὑπόσχεση νά γνωρίζει ἀπ' αὐτές τίς παραβολές, τά λόγια τῶν σοφῶν, τά αἰνίγματα, τά ἀσαφή λόγια. Καί ὑπάρχουν γνώσεις σοφίας καί παιδείας. Ἐπειδή λοιπόν οἱ Ἕλληνες διακηρύσσουν ὅτι ἔχουν σοφία καί οἱ αἱρετικοί νομίζουν ὅτι ἔχουν παιδεία, γι' αὐτό ὁ Σολομώντας διδάσκει τήν ἀληθινή σοφία καί παιδεία, γιά νά μήν πέσει κανείς ἐξ αἰτίας τοῦ ἴδιου ὀνόματος τῆς σοφίας στά σοφίσματα τῶν Ἑλλήνων καί τῶν αἱρετικῶν. Γιατί πραγματικά οἱ Ἕλληνες, ἐνῶ νομίζουν πώς εἶναι κάτι καί «Ἰσχυρίζονται πώς εἶναι σοφοί, ἔγιναν μωροί καί ἀνόητοι»[3]. Καί οἱ αἱρετικοί, ἐνῶ νομίζουν πώς διδάσκονται, ἄλλαξαν τελείως καί ἁμαρτάνουν, καί εἶναι αὐτοκατάκριτοι.

Ὁ σοφός ὅμως, ὅταν ἀκούσει τά θεῖα λόγια, θά γίνει περισσότερο σοφός. Γιατί ὅταν ἀκούσει τίς ἐντολές τοῦ Θεοῦ καί τίς τηρήσει, χωρίς ν' ἀμελήσει γιά τήν παιδεία Κυρίου, οὔτε νά παρασυρθεῖ ἀπό τήν πλάνη, θά γίνει σοφός ἄνθρωπος καί, ἀφοῦ ἀποκτήσει τήν παιδεία, θά λάβει γρήγορα καί τή γνώση ἀπό τό Θεό. Γιατί μ' αὐτή διδάσκονται οἱ σοφοί. Ἡ κατανόηση λόγων σύνεσης εἶναι ἡ διδασκαλία γιά τό μόνο καί ἀληθινό Θεό. Γιατί στήν περίπτωση τῶν Ἑλλήνων ἄλλοι εἶπαν σῶμα τό Θεό, ἐνῶ ἄλλοι τόν λάτρεψαν ὅμοια μέ τά εἴδωλα. Καί οἱ αἱρετικοί ἐπίσης ἔγιναν παράφρονες γιά τό Θεό. Γι' αὐτό ὁ Σολομώντας ἐκθέτει τήν ἀληθινή γνώση γιά τό Θεό, γιά τό ὅτι εἶναι

τὸ μὲν ἀνέκφραστον αὐτοῦ λέγων, "Δόξα Θεοῦ κρύπτει λόγον"· τὸ δὲ προνοητικὸν αὐτοῦ φησιν· "Ἐν παντὶ τόπῳ ὀφθαλμοὶ Κυρίου σκοπεύουσι κακούς τε καὶ ἀγαθούς". Καὶ πάλιν, "Πλούσιος καὶ πτωχὸς συνήντησαν ἀλλήλοις, ἀμφοτέ-
5 *ρους δὲ ἐποίησεν ὁ Κύριος". Καὶ, "Δανειστοῦ καὶ χρεωφειλέτου ἀλλήλοις συνελθόντων ἐπισκοπὴν ποιεῖται ἀμφοτέρων ὁ Κύριος". Καὶ "Ἐνώπιον γάρ εἰσι τῶν τοῦ Θεοῦ ὀφθαλμῶν ὁδοὶ ἀνδρός· εἰς δὲ πάσας τροχιὰς αὐτοῦ σκοπεύει". Καὶ τὸ μὲν κριτικὸν αὐτοῦ φησι· "Θυσίαι ἀσεβῶν βδέλυγμα Κυρίου· εὐχαὶ*
10 *δὲ κατευθυνόντων δεκταὶ παρ' αὐτῷ". Καὶ πάλιν· "Οἴκους ὑβριστῶν κατασπᾷ Κύριος, ἔστησε δὲ ὅριον χήρας".*

Τὸ δὲ δημιουργικὸν αὐτοῦ οὐχ ἁπλῶς, ἀλλ' ὅτι διὰ τοῦ ἰδίου λόγου καὶ τῆς σοφίας πάντα ποιεῖ· ὃ μάλιστα χαρακτηρίζει τὸν ἀληθινὸν Θεόν, ὅτι Υἱοῦ Πατήρ ἐστι. Λέγει γοῦν· "Ὁ
15 *Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν". Καὶ πάλιν, "Ὁ Θεὸς ἐποίησε χώρας καὶ ἀοικήτους, καὶ ἄκρα οἰκούμενα τῆς ὑπ' οὐρανόν. Ἡνίκα ἡτοίμαζε τὸν οὐρανόν, συμπαρήμην αὐτῷ, καὶ ὅτε ἀφώριζε τὸν αὐτοῦ θρόνον ἐπ' ἀνέμων, ἡνίκα ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη, ἤμην παρ' αὐτῷ ἁρμόζουσα. Ἐγὼ ἤμην ᾗ*
20 *προσέχαιρε, καθ' ἡμέραν δὲ εὐφραινόμην ἐν προσώπῳ αὐτοῦ". Στροφαὶ λόγων εἴρηνται, ἐπειδὴ στρέφων τις αὐτοὺς τῇ διανοίᾳ, ἀνοίγει καὶ εὑρίσκει τὸν ἐν αὐτοῖς ἐγκείμενον νοῦν. Οἷά εἰσι· "Διεσώθη ἀπὸ τοῦ καύματος υἱὸς νοήμων· ἀνεμόφθορος γίνεται ἐν ἀμήτῳ υἱὸς παράνομος". Καὶ πάλιν,*
25 *"Ἐπιμελοῦ τῶν ἐν τῷ πεδίῳ χλωρῶν, καὶ κερεῖς πόαν, καὶ συνάγαγε χόρτον ὀρεινόν, ἵνα ἔχῃς πρόβατα εἰς ἱματισμόν". Καὶ πάλιν, "Ἐὰν καθίσῃς δειπνεῖν ἐπὶ τραπέζης δυναστῶν, νοητῶς νόει τὰ παρατιθέμενά σοι"· καὶ τὰ ὅμοια τούτοις.*

Δικαιοσύνης ἀληθοῦς νόησις εἴρηται, ἐπειδή τινες ἐξειλή-
30 *φασι τὸ δίκαιον· τῶν μὲν λεγόντων, Δίκαιόν ἐστι, τὸ ἀποδιδόναι ἅπερ ἔλαβέ τις φυλάξαι· τῶν δέ, τὸ διδόναι κακὸν ἀντὶ κακοῦ, καὶ ἀγαθὸν ἀντὶ ἀγαθοῦ. Συμβαίνει δὲ μὴ ἀκριβεῖς*

---

4. 25, 2.
5. 15, 3.
6. 22, 2· 29, 13· 5, 21.
7. 15, 8.25.
8. 3, 19· 8, 26-30.
9. 10, 5· 27, 25-26· 23, 1.

ἀνέκφραστος, λέγοντας· «Τά ἔνδοξα ἔργα τοῦ Θεοῦ εἶναι ἀνέκφραστα ἀπό ἀνθρώπινο λόγο»[4], ἐνῶ γιά τό ὅτι εἶναι προνοητικός λέγει· «Σέ κάθε τόπο τά μάτια τοῦ Κυρίου παρατηροῦν καί τούς κακούς καί τούς καλούς ἀνθρώπους»[5]. Καί πάλι λέγει· «Πλούσιοι καί φτωχοί πάντοτε θά ὑπάρχουν ὁ ἕνας κοντά στόν ἄλλο. Καί τούς δύο τούς ἔκαμε ὁ Κύριος». Ἐπίσης, «Ὅταν δανειστής καί ὀφειλέτης συναντηθοῦν μεταξύ τους, τούς παρακολουθεῖ καί τούς δύο ὁ Κύριος». Καί, «Γιατί οἱ πράξεις τοῦ ἀνθρώπου βρίσκονται μπροστά στά μάτια τοῦ Θεοῦ, πού παρατηρεῖ ὅλες τίς ἐνέργειές του»[6]. Γιά τό ὅτι ἔχει τήν ἰδιότητα νά διακρίνει, λέγει· «Οἱ θυσίες τῶν ἀσεβῶν εἶναι μισητές στόν Κύριο, ἐνῶ οἱ προσευχές καί τά τάματα τῶν εὐσεβῶν εἶναι δεκτά ἀπ' αὐτόν». Καί πάλι· «Τά σπίτια τῶν ἀλαζόνων γκρεμίζει ὁ Κύριος, ἐνῶ προστατεύει τά σύνορα τοῦ χωραφιοῦ τῆς χήρας»[7].

Γιά τή δημιουργία του ὅμως δέ λέγει ἁπλά, ἀλλά πώς κάνει τά πάντα μέ τό δικό του λόγο καί τή σοφία, πού ἰδιαίτερα χαρακτηρίζει τόν ἀληθινό Θεό, γιατί εἶναι ὁ Πατέρας τοῦ Υἱοῦ. Λέγει λοιπόν· «Ὁ Θεός μέ τή σοφία του θεμελίωσε τή γῆ». Καί πάλι· «Ὁ Θεός δημιούργησε τίς χῶρες πού κατοικοῦνται καί τίς ἀκατοίκητες, καί τά πέρατα τῆς οἰκουμένης, πού βρίσκεται κάτω ἀπό τόν οὐρανό. Ὅταν δημιουργοῦσε τόν οὐρανό, ἤμουν μαζί του, καί ὅταν ὅριζε τό θρόνο του ἐπάνω στούς ἀνέμους, ὅταν στερέωνε ψηλά τά σύννεφα, ἤμουν κοντά του καί τά διευθετοῦσα. Ἐγώ ὑπῆρξα ἡ μόνιμη χαρά του, καί πάντοτε ἀπολάμβανα τήν εὐφροσύνη τοῦ προσώπου του»[8]. Περιστροφές λόγων ἔχουν ὀνομασθεῖ, ἐπειδή, ὅταν περιστρέφει κανείς τούς λόγους αὐτούς μέ τή σκέψη του, ἀνοίγει καί βρίσκει τό νόημα πού ὑπάρχει μέσα τους. Ὅπως εἶναι· «Ὁ φρόνιμος υἱός γνωρίζει νά προφυλάγεται ἀπό τήν ὑπερβολική ζέστη τοῦ καλοκαιριοῦ. Ὁ παράνομος ὅμως καί ἀσύνετος υἱός γίνεται μαραμένος τήν ἐποχή τοῦ θερισμοῦ». Καί πάλι, «Φρόντιζε γιά τή βλάστηση τῆς πεδιάδας, κόψε τό χορτάρι της, μάζεψε τό χορτάρι ἀπό τά ὀρεινά μέρη, γιά νά θρέψεις πρόβατα καί νά ἔχεις ἀπ' αὐτά τά ροῦχα σου». Καί πάλι, «Ἐάν καθήσεις σέ τραπέζι μέ πλούσιους γιά νά φάγεις μαζί τους πρόσεξε πολύ στά φαγητά πού παραθέτουν σέ σένα»[9], καί τά ὅμοια μέ αὐτά.

Ἔχει εἰπωθεῖ κατανόηση τῆς ἀληθινῆς δικαιοσύνης, ἐπειδή μερικοί ἔχουν ἀντιληφθεῖ μέ ἐσφαλμένο τρόπο τό δίκαιο, ἀφοῦ ἄλλοι λέγουν, Δίκαιο εἶναι τό νά ἐπιστρέψει κανείς ἐκεῖνα πού πῆρε νά φυλάξει, ἐνῶ ἄλλοι, τό νά ἐπιστρέφει κακό ἀντί γιά κακό, καί καλό ἀντί γιά καλό. Συμβαίνει ὅμως νά μήν εἶναι σωστοί αὐτοί οἱ ὁρισμοί.

εἶναι τοὺς τοιούτους ὅρους. Μὴ εἴπῃς γάρ, Ὃν τρόπον ἐχρήσατό μοι, χρήσομαι αὐτῷ, τίσομαι δὲ αὐτὸν ἅ με ἠδίκησε. Διὰ τοῦτο οὗτος τὴν ἀληθῆ δικαιοσύνην διδάσκει τούτοις· τὸ ἀληθὲς δίκαιον, τὸ ἀποδιδόναι ἑκάστῳ τὸ ἴδιον. "Προηγουμέ-
5 *νως μὲν τίμα τὸν Κύριον ἀπὸ σῶν καρπῶν δικαιοσύνης". Ἔπειτα τίμα βασιλέα, καὶ τοῖς μὲν γονεῦσι τὸ καθῆκον ἀποδίδου, τοῖς δὲ πᾶσι τὸ ἴσον. Καὶ οὗτος μὲν εἷς τύπος. Δεύτερος δέ, δικαιοῦν τὴν ψυχὴν ἑαυτοῦ, τὴν ἰσότητα φυλάττειν, ὥστε μὴ κλίνειν εἰς ἀνισότητα· ἀλλὰ τῷ μὲν λογικῷ, "Μή*
10 *σε καταλάβῃ βουλὴ κακή, ἡ ἀπολείπουσα διδασκαλίαν νεότητος", ἀλλὰ μετὰ βουλῆς πάντα ποίει, καὶ οἱ λογισμοί σου ἔστωσαν κρίματα· ὥστε κρίνειν ἑαυτὸν ἕκαστον, καὶ τὴν μὲν ἐπιθυμίαν πᾶσαν ἔχειν ἀγαθήν· "Ἐπιθυμία γὰρ δικαίων πᾶσα ἀγαθή, καὶ ἐπιθυμία δικαίου δεκτή". Κατὰ δὲ τὸ θυμικόν, "Μή*
15 *ἴσθι ἑταῖρος ἀνδρὶ θυμώδει, φίλῳ δὲ ὀργίλῳ μὴ συναυλίζου. Ὅλον γὰρ τὸν θυμὸν ἐκφέρει αὐτοῦ ἄφρων· ὁ δὲ σοφὸς ταμιεύεται κατὰ μέρος". Οὕτω δὲ ἑαυτὸν ῥυθμίζων ἄνθρωπος, τὴν ἰδίαν ἑκάστου μέρους τῆς ψυχῆς πρᾶξιν ὑγιῆ καὶ ἀσινῆ φυλάττων, ἔσται γινώσκων τὴν ἀληθῆ δικαιοσύνην.*

20 *Κρίματα δὲ κατευθύνειν ἐστί, προηγουμένως μὲν κρίνειν δικαίως κατὰ τὸν τοῦ Θεοῦ νόμον, ὥς φησι· "Ἄνοιγε σὸν στόμα λόγῳ Θεοῦ, καὶ κρῖνε πάντας ὑγιῶς. Διάκρινε δὲ πένητα καὶ ἀσθενῆ. Ὁ γὰρ εἰπὼν τὸν ἀσεβῆ, δίκαιός ἐστιν, ἐπικατάρατος τοῖς λαοῖς καὶ μισητὸς εἰς ἔθνη. Αἰδεῖσθαι γὰρ*
25 *πρόσωπον ἐν κρίσει οὐ καλόν". Τοῦτο μὲν ἐκ τοῦ φανεροῦ ῥητέον· ἔπειτα δὲ ἵνα ὅπερ ἑτέρους κρίνει τις, τοῦτο καὶ εἰς ἑαυτὸν τὸ κρίμα κατευθύνῃ, καὶ ἑαυτὸν δοκιμάζῃ, ἐπιτιμῶν μὲν ἑαυτῷ, ἐὰν πλεονεκτῇ ὁ θυμός· ἐπέχων δέ, ἐὰν περισσεύῃ ἡ ἐπιθυμία· διεγείρων δέ, ἐὰν ἀφυπνοῖ τὸ λογιστικόν, λέγων·*
30 *"Ἕως πότε, ὀκνηρέ, κατάκεισαι;" Οὕτω γὰρ ἑαυτὸν δικαίως ἄγων, καὶ κατήγορος ἑαυτοῦ γινόμενος, κρίμα κατευθύνειν μαθήσεται, καὶ οὐκ ἀκούσεται παρ' ἑτέρου ... διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; ὁ λέγων, Μὴ μοιχεύσῃς,*

---

10. 3, 9. 11. 2, 17. 12. 11, 23· 10, 24.

13. Θυμικό· τό μέρος τῆς ψυχῆς πού ἔχει νά κάνει μέ τή δύναμη, τήν τιμή καί τή δόξα, ὑποστηρίζει τό δίκαιο καί ἀποκρούει τό ἄδικο (Πλάτων).

14. 22, 24· 29, 11. 15. 31, 8.9· 24, 24.23.

16. 6, 9. 17. Ρωμ. 2, 21.22.

Νά μήν πεῖς λοιπόν, «Ὅπως μέ συμπεριφέρθηκε, ἔτσι θά συμπεριφερθῶ σ' αὐτόν καί θά τόν ἐκδικηθῶ γιά τίς ἀδικίες πού μοῦ ἔκαμε». Γι' αὐτό τούς διδάσκει τήν ἀληθινή δικαιοσύνη. Τό ἀληθινό δίκαιο εἶναι τό νά ἀποδίδει στόν καθένα τό δικό του. «Πρῶτα τίμα τόν Κύριο μέ θυσίες ἀπό τούς δικούς σου δίκαιους κόπους καί δίνε σ' αὐτόν ἀπαρχές ἀπό τούς δικούς σου καρπούς πού ἀπέκτησες μέ δικαιοσύνη»[10]. Ἔπειτα τίμα τό βασιλιά, νά ἀποδίδεις στούς γονεῖς αὐτό πού πρέπει καί σ' ὅλους τό σωστό. Καί αὐτός βέβαια εἶναι ὁ πρῶτος κανόνας. Ὁ δεύτερος ὅμως εἶναι νά δικαιώνει τή δική του ψυχή, νά φυλάγει τήν ἰσότητα, ὥστε νά μή στρέφεται στήν ἀνισότητα. Καί ὡς πρός τό λογικό, «Νά μή σέ κυριεύσει κακή θέληση, πού ἔχει ἐγκαταλείψει τή διδασκαλία τῆς νεότητάς σου»[11], ἀλλά μέ θέληση νά κάνεις τά πάντα καί οἱ σκέψεις σου ἄς εἶναι δίκαιες κρίσεις, γιά νά κρίνει ὁ καθένας τόν ἑαυτό του καί νά ἔχει ἀγαθή κάθε του ἐπιθυμία, γιατί «Ὅλες οἱ ἐπιθυμίες τῶν δίκαιων ἀνθρώπων εἶναι ἀγαθές καί οἱ ἐπιθυμίες τους ἐκπληρώνονται»[12]. Ὡς πρός τό θυμικό[13] ὅμως, «Νά μή γίνεσαι σύντροφος μέ ἄνθρωπο εὐέξαπτο καί νά μή συναναστρέφεσαι μέ φίλο πού εὔκολα ὀργίζεται. Γιατί ὁ ἀσύνετος ἀφήνει ἀσυγκράτητο ὅλο τό θυμό του, ἐνῶ ὁ σοφός τόν συγκρατεῖ μέσα του»[14]. Ἔτσι ὅμως ὅταν ρυθμίζει τόν ἑαυτό του ὁ ἄνθρωπος καί φυλάγει τήν ἰδιαίτερη πράξη κάθε μέρους τῆς ψυχῆς του ὑγιή καί χωρίς βλάβη, θά γνωρίσει τήν ἀληθινή δικαιοσύνη.

Τό νά ἐκφέρει κανείς δίκαιες κρίσεις σημαίνει, πρῶτα νά κρίνει δίκαια σύμφωνα μέ τό νόμο τοῦ Θεοῦ, ὅπως λέγει· «Ἄνοιγε τό στόμα σου, γιά νά λέγεις τό λόγο τοῦ Θεοῦ καί κρίνε ὅλους ὀρθά καί δίκαια. Νά ὑπερασπίζεσαι τό φτωχό καί τόν ἀδύνατο. Γιατί ἐκεῖνος πού θά βγάλει ἀπόφαση πώς ὁ ἄδικος εἶναι δίκαιος, θά εἶναι καταραμένος ἀνάμεσα στό λαό του καί μισητός στά ἔθνη. Δέν εἶναι λοιπόν σωστό νά ἐπηρεάζεστε στή δίκη ἀπό πρόσωπα»[15]. Αὐτό βέβαια πρέπει νά τό πεῖ κανείς φανερά. Ἔπειτα ὅμως γιά νά κρίνει κανείς τόν ἑαυτό του ὅπως κρίνει τούς ἄλλους, καί νά ἐλέγχει τόν ἑαυτό του, ὥστε νά ἐπιτιμᾶ τόν ἑαυτό του, ἐάν ὑπερισχύει ὁ θυμός, καί νά τόν συγκρατεῖ, ἐάν ὑπερισχύει ἡ ἐπιθυμία, καί νά τόν ξυπνάει ἐάν κοιμᾶται τό λογικό του, λέγοντας· «Μέχρι πότε, ὀκνηρέ, θά εἶσαι ξαπλωμένος στό κρεβάτι;»[16] Γιατί ἔτσι ὅταν κανείς συμπεριφέρεται δίκαια καί γίνει κατήγορος τοῦ ἑαυτοῦ του, θά μάθει νά ἐκφέρει δίκαιες κρίσεις καί δέ θ' ἀκούσει ἀπό τόν ἄλλο· «Ἐσύ πού διδάσκεις ἄλλον, τόν ἑαυτό σου δέ διδάσκεις; Ἐσύ πού λέγεις, Νά μή γίνεις μοιχός, γίνεσαι μοιχός;»[17].

μοιχεύεις;" Ὥσπερ γὰρ ὁ ὁδεύων καὶ κατευθύνων τὴν ὁδὸν φθάνει εἰς τὸ τέλος· οὕτως ὁ κατευθύνων κρίματα, δίκαιος γνωσθήσεται καὶ σοφός.

Παραβολαὶ δὲ λέγονται λόγοι, ὥσπερ εἰκόνες τῶν λεγομένων. Ἐξ αὐτῶν γὰρ διὰ τὴν ὁμοιότητα τὸ λεγόμενον καταλαμβάνεται. Οὕτω γὰρ ὁ Κύριος ἔλεγεν, ὡς ὁ Μάρκος φησί· "Τίνι ὁμοιώσω τὴν βασιλείαν τοῦ Θεοῦ, ἢ ἐν ποίᾳ παραβολῇ παραβάλωμαι αὐτήν;" ὡς τῶν κατὰ ὁμοίωσιν λεγομένων παραβολῆς οὔσης. Καὶ γὰρ λέγων, "Ὁμοία ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ", ὕστερον ἐπέφερε, "Διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ". Εἰσὶν οὖν τοιαῦται αἱ παραβολαί· "Ὥσπερ ἔξοδος χιόνος ἐν ἀμητῷ κατάκαυμα ὠφελεῖ, οὕτως ἄγγελος πιστὸς τοὺς ἀποστείλαντας αὐτόν". Καὶ πάλιν· "Ὥσπερ ἄνεμοι, καὶ νέφη, καὶ ὑετοί, οὕτως οἱ καυχώμενοι ἐπὶ δόσει ψευδεῖ"· καὶ τὰ ὅμοια τούτοις. Ῥήσεις δὲ σοφῶν εἰσι λόγοι οὐ σεσοφισμένοι, οὐδὲ ἐν τῷ πιθανῷ ἀπατῶντες, ἀλλ' ἠκριβωμένοι· οὐχ ὡς κατὰ πρόσταξιν δὲ λεγόμενοι, ἀλλ' ὡς παρ' αὐτῶν γνωσθέντες, καὶ ὡς ἀποφάσεις αὐτῶν προσφερόμενοι· οἷοί εἰσι· "Καρδίας εὐφραινομένης, πρόσωπον θάλλει· ἐν δὲ λύπαις οὔσης σκυθρωπάζει". Καί, "Καρδία ὀρθὴ ζητεῖ αἴσθησιν· στόμα δὲ ἀπαιδεύτων γνώσεται κακά". Καί, "Μῖσος ἐγείρει νεῖκος· πάντας δὲ τοὺς μὴ φιλονεικοῦντας καλύπτει φιλία". Καί, "Ὃς καταφρονεῖ πράγματος, καταφρονηθήσεται ὑπ' αὐτοῦ· ὁ δὲ φοβούμενος ἐντολήν, οὗτος ὑγιαίνει".

Τῶν μὲν γὰρ ἄλλων ἀνθρώπων οἱ λόγοι κατὰ πλεῖστον ἀμφίβολοι τυγχάνουσιν ὄντες, οἱ δὲ τῶν σοφῶν, οἷοί εἰσιν οὗτοι, ἀληθεῖς εἰσιν, καὶ πανταχόθεν ἠκρίβωνται, ὥστε μηδὲ ἀντιλέγεσθαι αὐτούς. Καὶ οἱ μὲν ἄλλοι ἄνθρωποι ἀπὸ τοῦ τέλους γνωρίζουσι τὸ πρᾶγμα· οἷόν ἐστιν, ὅτι ὁ ἄδικος φαῦλός ἐστι, καὶ ὁ μοιχὸς οὐ καλός· τοῦτο δὲ καὶ παντὶ δῆλον ἂν εἴη. Οἱ δὲ σοφοὶ τὰς ἀρχὰς τῶν πράξεων προλέγουσιν, ἵν' ἕκαστος γινώσκων τὰς ἀρχὰς τῶν κακῶν φυλάττηται ... ὥσπερ σύμβολον τῶν τῆς ψυχῆς κινημάτων παραγγέλλουσιν, οἷά ἐστι τὰ προειρημένα· "Μῖσος ἐγείρει νεῖκος, πάντας δὲ τοὺς μὴ φιλονεικοῦντας καλύπτει φιλία". Ὁ γὰρ φίλερις ἀπὸ μίσους

18. Μάρκ. 4, 30. 20. 25, 13. 21. 25, 14.
19. Ματθ. 13, 31.33.13. 22. 15, 13.14· 10, 12· 13,13.

Ὅπως λοιπόν ἐκεῖνος πού βαδίζει καί παίρνει τόν εὐθύ δρόμο φθάνει στό τέρμα, ἔτσι ἐκεῖνος πού ἐκφέρει σωστές κρίσεις, θά λογαριασθεῖ δίκαιος καί σοφός.

Παραβολές λέγονται οἱ λόγοι, σάν νά εἶναι εἰκόνες αὐτῶν πού λέγονται. Γιατί ἀπ' αὐτές, ἐξ αἰτίας τῆς ὁμοιότητας, κατανοεῖται αὐτό πού λέγεται. Ἔτσι λοιπόν ὁ Κύριος ἔλεγε, ὅπως λέγει ὁ Μάρκος· «Μέ τί νά παρομοιάσω τή βασιλεία τοῦ Θεοῦ, ἤ μέ ποιά παραβολή νά τήν συγκρίνω;»[18], ἐπειδή αὐτά πού λέγονται γιά τήν ὁμοιότητα εἶναι παραβολή. Πραγματικά, λέγοντας ὁ Κύριος, «Ὅμοια εἶναι ἡ βασιλεία τοῦ Θεοῦ», στό τέλος πρόσθετε, «Γι' αὐτό τούς μιλῶ μέ παραβολές»[19]. Εἶναι λοιπόν τέτοιες οἱ παραβολές· «Ὅπως ἡ προσφορά πάγου στήν ἐποχή τοῦ θερισμοῦ, πού ἐπικρατεῖ ζέστη, δροσίζει, ἔτσι καί ἕνας ἀξιόπιστος ἀγγελιαφόρος ἀνακουφίζει ἐκείνους πού τόν ἔστειλαν»[20]. Καί πάλι· «Ὅπως εἶναι οἱ ἄνεμοι καί τά σύννεφα καί οἱ βροχές, ἔτσι εἶναι καί ἐκεῖνοι πού καυχιοῦνται γιά ψεύτικες δωρεές»[21], καί τά ὅμοια μ' αὐτά. Ρητά σοφῶν εἶναι τά λόγια πού δέν εἶναι σοφίσματα, οὔτε αὐτά πού ἐξαπατοῦν μέ τήν πειστικότητά τους, ἀλλά τά λόγια πού εἶναι πιστά μέ κάθε λεπτομέρεια. Δέ λέγονται σάν προσταγή, ἀλλά σάν γνῶμες τους καί προσφέρονται σάν δικές τους ἰδέες. Τέτοια λόγια εἶναι· «Ὅταν ἡ καρδιά εὐφραίνεται, τό πρόσωπο εἶναι χαρούμενο. Ὅταν ὅμως ἡ καρδιά βρίσκεται σέ μεγάλη λύπη, τότε τό πρόσωπο εἶναι σκυθρωπό». Καί, «Ἡ ἀληθινή καρδιά ζητάει τήν ἐνάρετη σοφία, ἐνῶ τό στόμα τῶν ἀμόρφωτων ἀνθρώπων θά γνωρίζει νά ἐκστομίζει κακά λόγια». καί, «Τό μίσος προκαλεῖ φιλονικίες. Ἡ φιλία ὅμως περιβάλλει ὅλους ἐκείνους πού δέ φιλονικοῦν». Καί «Ἐκεῖνος πού κάνει ἄφοβα ἕνα κακό πράγμα, θά κυριευθεῖ ἀπ' αὐτό. Ἐκεῖνος ὅμως πού τηρεῖ τήν ἐντολή τοῦ Θεοῦ, αὐτός θά ἔχει ζωή καί ὑγεία»[22].

Τά λόγια λοιπόν τῶν ἄλλων ἀνθρώπων εἶναι συνήθως ἀβέβαια, ἐνῶ τῶν σοφῶν, ὅπως εἶναι αὐτοί, εἶναι ἀληθινά καί ἀπό παντοῦ ἐξακριβώνονται, ὥστε νά μήν μποροῦν ν' ἀνασκευασθοῦν. Καί οἱ ἄλλοι ἄνθρωποι γνωρίζουν τό πράγμα ἀπό τό τέλος· γιά παράδειγμα, ὅτι ὁ ἄδικος εἶναι φαῦλος καί ὅτι ὁ μοιχός δέν εἶναι καλός. Αὐτό ὅμως καί στόν καθένα θά μποροῦσε νά γίνει φανερό. Ἀλλά οἱ σοφοί προλέγουν τίς ἀρχές τῶν πράξεων, γιά νά φυλάγεται ὁ καθένας γνωρίζοντας τίς ἀρχές τῶν κακῶν, καί διδάσκουν σάν σύμβολο τῶν ἐρεθισμῶν τῆς ψυχῆς, ὅπως εἶναι αὐτά πού εἰπώθηκαν πιό πρίν· «Τό μίσος προκαλεῖ φιλονικίες, ἐνῶ ἡ φιλία περιβάλλει ὅλους ἐκείνους πού δέ φιλονικοῦν». Γιατί ὁ φιλόνικος ἀπό τό μίσος ἔχει τήν ἀρχή αὐτῆς

ἔχει τὴν ἀρχὴν τῆς τοιαύτης κακίας, καὶ οὐκ ἄν τις εἴποι ἀγαπᾶν τὸν φιλονεικοῦντα. Πάλιν δὲ ἐκ τοῦ ἐναντίου ὁ μὴ φιλονεικῶν, γνώρισμα ἀγάπης ἔχει. Καὶ οὐκ ἄν τις εἴποι φιλόνεικον τὸν ἀγαπῶντα· ὡς πάλιν τό, "Ἐν ἐπιθυμίαις ἐστὶ 5 *πᾶς ἀεργός· καὶ πᾶς ὀξύθυμος πράσσει μετὰ ἀβουλίας". Τοῦ γὰρ ἀεργοῦ ἐσήμανε τὴν ψυχὴν ἐν πάσαις ἐπιθυμίαις βεβυθίσθαι, καὶ τὸν ὀξύθυμον μηδεμίαν ἔχοντα βουλὴν ὀρθὴν ἐδήλωσε.*

Καὶ ὅλως οὗτοι τὰ ἠθικὰ μᾶλλον ἀπαγγέλλουσι, τὴν ἀρχὴν 10 *τῆς πράξεως, ὅθεν συνίστανται, λέγοντες, ὅτι τῆς μὲν φιλονεικίας προηγεῖται μῖσος, τοῦ δὲ μὴ φιλονεικεῖν προηγεῖται ἀγάπη· καὶ τῆς μὲν ἀεργίας προηγεῖται ἡδονὴ κακή, τοῦ δὲ ὀξυθύμου προηγεῖται ἀβουλία· καὶ τοῦ μὲν ἐξουδενημένου ἀρχή ἐστι τὸ καταφρονεῖν αὐτὸν τοῦ νόμου, τῆς δὲ ὑγείας* 15 *προηγεῖται ὁ φόβος τοῦ Θεοῦ· καὶ τῆς μὲν ἀπωλείας τῆς ψυχῆς ἐστιν ἀρχὴ τὸ ἀφύλακτον ἔχειν τὸ στόμα, τοῦ δὲ πτοεῖσθαί τινα προηγεῖται ἡ προπέτεια. Οὕτω δὲ ἑκάστην ῥῆσιν ἀναλύων, εὑρήσεις εἰρημένην καὶ γεγραμμένην ὑπὲρ τοῦ τοὺς ἀκούοντας καὶ μανθάνοντας τὰς ἀρχὰς τῶν κακῶν καὶ τῶν ἀγαθῶν,* 20 *φεύγειν μὲν τὰ φαῦλα, πράττειν δὲ τὰ ἀγαθά.*

Αἰνίγματα δὲ καὶ σκοτεινοὶ λόγοι, οἵτινες ἀσφαλεῖς μὲν οὕτως εἰσίν, ὥστε ἀνιᾶν τὸν ἐντυγχάνοντα τὸ μηδὲν ἐμφαίνειν, μηδέ τινα ὑπόνοιαν παρέχειν· ἐρευνώμενοι δὲ ὅμως δεικνύουσι τὸν ἐν αὐτοῖς νοῦν. Οἷοί εἰσι "Τῇ βδέλλῃ τρεῖς θυγατέρες 25 *ἦσαν, ἀγαπήσει ἀγαπώμεναι· καὶ αἱ τρεῖς αὗται οὐκ ἐνεπίμπλασαν αὐτήν, καὶ ἡ τετάρτη οὐκ ἠρκέσθη εἰπεῖν, Ἱκανόν". "Ἅδης, καὶ ἔρως γυναικός, καὶ τάρταρος, καὶ γῆ οὐκ ἐμπιπλαμένη ὕδατος, καὶ ὕδωρ καὶ πῦρ οὐ μὴ εἴπωσιν, Ἀρκεῖ". Καὶ πάλιν· "Τρία δέ ἐστιν ἀδύνατά μοι νοῆσαι, καὶ τὸ τέταρτον οὐκ* 30 *ἐπιγινώσκω· ἴχνη ἀετοῦ πετομένου, καὶ ὁδοὺς ὄφεως ἐπὶ πέτρας, καὶ τρίβους νηὸς ποντοπορούσης, καὶ ὁδοὺς ἀνδρὸς ἐν νεότητι"· καὶ ὅσα τοιαῦτά ἐστιν αἰνίγματα· ἕτερα γάρ τινα δηλοῖ, καὶ ἑτέρων ἔννοιαν παρίστησι· καὶ ἀσαφῆ μέν ἐστι, κεκρυμμένον δὲ ἔχει τὸν νοῦν. Καὶ ἡ μὲν περιοχὴ τοῦ βιβλίου* 35 *τῶν Παροιμιῶν τοῦτον ἔχει τὸν τρόπον.*

Ἡ δὲ ἀνακεφαλαίωσις ἐν τούτοις. Ἐν προοιμίοις περὶ

---

23. 13, 4· 14, 17. 24. 30, 15.16.18.9.

τῆς κακίας καί δέν εἶναι δυνατό νά πεῖ κανείς πώς ἀγαπάει ὀφιλόνικος. Πάλι ὅμως ἀπό τό ἀντίθετο ἐκεῖνος πού δέ φιλονικεῖ, ἔχει τό γνώρισμα τῆς ἀγάπης. Καί δέ θά μποροῦσε νά πεῖ κανείς πώς ἐκεῖνος πού ἀγαπάει εἶναι φιλόνικος· ὅπως εἶναι πάλι τό, «Κάθε ὀκνηρός εἶναι γεμάτος ἐπιθυμίες καί ὁ ὀξύθυμος ἐνεργεῖ χωρίς σκέψη»[23]. Φανέρωσε λοιπόν πώς ἡ ψυχή τοῦ ὀκνηροῦ ἔχει βυθισθεῖ μέσα σέ κάθε ἐπιθυμία καί ἀπέδειξε πώς ὁ ὀξύθυμος δέν ἔχει καμιά ὀρθή σκέψη.

Καί γενικά οἱ σοφοί ἀναγγέλλουν περισσότερο τά ἠθικά, τήν ἀρχή τῆς πράξης, ἀπ' ὅπου σχηματίζονται, λέγοντας, ὅτι τό μίσος προηγεῖται τῆς φιλονικίας, ἡ ἀγάπη προηγεῖται ἀπό τό νά μή φιλονικεῖ κανείς, καί ἡ κακή ἡδονή προηγεῖται τῆς ὀκνηρίας. Ἡ ἀβουλία προηγεῖται τοῦ ὀξύθυμου. Καί τοῦ καταφρονημένου ἀρχή εἶναι ἡ περιφρόνηση ἀπ' αὐτόν τοῦ νόμου, ἐνῶ ὁ φόβος τοῦ Θεοῦ προηγεῖται τῆς ὑγείας. Ἀρχή τῆς καταστροφῆς τῆς ψυχῆς εἶναι τό ὅτι δέ φυλάγει κανείς κλειστό τό στόμα του, ἐνῶ ἡ ἀπερισκεψία προηγεῖται τῆς μωρίας κάποιου. Ἐάν ὅμως ἀναλύεις ἔτσι κάθε ρητό, θά βρεῖς πώς ἔχει εἰπωθεῖ καί ἔχει γραφεῖ γιά ν' ἀποφεύγουν τά φαῦλα καί νά πράττουν τά καλά ἐκεῖνοι πού ἀκοῦν καί μαθαίνουν τίς ἀρχές τῶν κακῶν καί τῶν καλῶν.

Ὑπάρχουν ἀκόμη αἰνιγματικά ἀποφθέγματα καί ἀσαφή λόγια, πού εἶναι τόσο καθαρά, ὅσο νά στενοχωριέται αὐτός πού τά διαβάζει, γιατί δέ φανερώνουν τίποτε, οὔτε δίνουν κάποια ὑπόνοια. Ὅταν ὅμως ἐξετασθοῦν μέ προσοχή τότε δείχνουν τό νόημα πού ὑπάρχει μέσα τους. Ὅπως εἶναι· «Ἡ βδέλλα εἶχε τρεῖς πολυαγαπημένες θυγατέρες, ἀλλά δέν μποροῦσαν νά τή χορτάσουν, καί ἡ τέταρτη δέν μπόρεσε νά τήν κάνει νά πεῖ: Εἶναι ἀρκετό. Ὁ ἅδης, ὁ ἔρωτας τῆς γυναίκας, τά τάρτατα, ἡ ξερή γῆ, ἡ θάλασσα καί ἡ φωτιά δέ θά ποῦν ποτέ· Φθάνει». Καί πάλι· «Τρία πράγματα μοῦ εἶναι ἀδύνατο νά καταλάβω καί τό τέταρτο μοῦ εἶναι πιό πολύ ἀκατανόητο· τά ἴχνη τοῦ ἀετοῦ πού πετᾶ, τό δρόμο τοῦ φιδιοῦ πάνω στίς πέτρες, τά ἴχνη τοῦ πλοίου πού ταξιδεύει στό πέλαγος καί τίς νεανικές παρεκτροπές τοῦ ἀνθρώπου»[24]. Καί ὅλα τά παρόμοια εἶναι *αἰνίγματα*, γιατί κάτι ἄλλο δηλώνουν, ἐνῶ παριστάνουν τήν ἔννοια ἄλλων πραγμάτων. Εἶναι ἐπίσης καί ἀσαφή, ἔχουν ὅμως κρυμμένο τό νόημα μέσα τους. Καί τό περιεχόμενο τοῦ βιβλίου τῶν Παροιμιῶν ἔχει αὐτή τή δομή.

Ἡ περίληψη τοῦ βιβλίου εἶναι ἡ ἑξῆς. Στήν ἀρχή γιά τίς παροιμίες

αὐτῶν τῶν παροιμιῶν "Σολομῶντος υἱοῦ Δαυίδ, ὃς ἐβασίλευσε ἐν Ἱερουσαλήμ, τοῦ γνῶναι σοφίαν καὶ παιδείαν". Καὶ ὅτι "Ἀρχὴ σοφίας φόβος Κυρίου". Περὶ τοῦ ἀκούειν νόμους πατρός, καὶ μὴ ἀπώσασθαι θεσμοὺς μητρός. Περὶ τοῦ μὴ
5 *πλανηθῆναι, μηδὲ συμπορεύεσθαι ὁδοὺς μετὰ τῶν συντελούντων ἄνομα· κοινὸν γὰρ βαλάντιον κέκτηνται. Ὅτι σοφία ἐν ἐξόδοις ὑμνεῖται, ἀσεβεῖς δὲ ἐμίσησαν αἴσθησιν. Ἐπειδὴ ἐκάλουν, καὶ οὐχ ὑπήκουσάν μου, διὰ τοῦτο, ὅταν καλέσωνταί με, οὐχ ὑπακούσομαι αὐτῶν. Περὶ τοῦ, "Δέχου ῥήσεις ἐντο-*
10 *λῶν, καὶ εἰσακούσεται σοφίας τὸ οὖς σου, ἵνα συνήσῃς δικαιοσύνην καὶ κρίμα. Ὦ οἱ καταλιπόντες ὁδοὺς εὐθείας, καὶ χαίροντες ἐπὶ διαστροφῇ κακῇ". Περὶ τοῦ, "Μή σε καταλάβῃ βουλὴ κακή, ἵνα εὕρῃς τρίβους δικαιοσύνης λείας". Περὶ τοῦ μὴ ἐπιλανθάνεσθαί σε τήρησιν νόμου, ἵνα μακροβιώ-*
15 *σῃς ἐν εἰρήνῃ. Περὶ τοῦ εἶναί σε πεποιθότα ἐν ὅλῃ καρδίᾳ ἐπὶ Θεῷ, καὶ μὴ εἶναι φρόνιμον παρ' ἑαυτῷ, ἀλλὰ τιμᾷν τὸν Κύριον ἀπὸ τῶν δικαίων πόνων. Περὶ τοῦ μὴ ὀλιγωρεῖν παιδείας Κυρίου· "Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει". Καί, "Μακάριος ἄνθρωπος ὃς εὕρῃ σοφίαν".*

20 *Περὶ τοῦ μὴ παραῤῥύεσθαί σε, ἀλλὰ τηρεῖν βουλὴν καὶ ἔννοιαν, ἵνα ἔσται ἴασις τῇ σαρκί σου. Περὶ τοῦ μὴ ἀποσχέσθαι εὖ ποιεῖν ἐνδεῆ, ἡνίκα ἂν ἔχῃ ἡ χείρ σου βοηθεῖν. Καί, Μὴ τέκταινε ἐπὶ σῷ φίλῳ κακά, ὅτι ἀκάθαρτος ἐνώπιον Κυρίου πᾶς παράνομος. Ὅτι, "Κύριος ὑπερηφάνοις ἀντιτάσσεται,*
25 *ταπεινοῖς δὲ μεταδίδωσι χάριν". Καὶ περὶ τοῦ ἀκούειν παιδείας πατρός. Περὶ τοῦ, "Υἱέ, ἐμῇ ῥήσει πρόσεχε, καὶ πάσῃ φυλακῇ τήρει σὴν καρδίαν", καὶ Κύριος ὀρθὰς ποιήσει τὰς τροχιάς σου. Περὶ τοῦ μὴ προσέχειν φαύλῃ γυναικὶ· "Ὁδοὺς γὰρ ζωῆς οὐ μετέρχεται, μακρὰν ποίησον ἀπ' αὐτῆς σύνο-*
30 *δον". Περὶ τοῦ, "Πῖνε ὕδατα ἀπὸ σῶν ἀγγείων"· καὶ "Ἡ πηγὴ τοῦ ὕδατός σου ἔστω σοι ἡδεῖα. Ἐν γὰρ τῇ ταύτης σοφίᾳ συμπεριφερόμενος, πολλοστὸς ἔσῃ". "Ἴθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρὲ" νεανία, "καὶ γίνου σοφώτερος· ὅτι πολλὴν ἐν τῷ ἀμητῷ ποιεῖται τὴν παράχυσιν". Περὶ τοῦ πορεύοντος πρὸς*
35

25. 1, 1.2.7. 28. 2, 17.20. 31. 4, 20.23.27.
26. 1, 24.28. 29. 3, 12.13. 32. 5, 6.8.
27. 2, 1.2.9.13.14. 30. 3, 34. 33. 3, 15.18.19. 34. 6, 6.8.

«τοῦ Σολομώντα, υἱοῦ τοῦ Δαυΐδ, ὁ ὁποῖος ἦταν βασιλιάς στήν Ἱερουσαλήμ γιά νά κάνουν γνωστή τή σοφία καί τήν παιδεία Κυρίου». Καί ὅτι «Ἀρχή τῆς σοφίας εἶναι ὁ φόβος τοῦ Θεοῦ»[25]. Γιά τό ὅτι πρέπει νά τηροῦμε τούς νόμους τοῦ πατέρα καί νά μήν ἀπορρίπτουμε τίς στοργικές παραγγελίες τῆς μητέρας μας. Γιά τό ὅτι δέν πρέπει νά μᾶς παραπλανήσουν, οὔτε νά βαδίζουμε στόν ἴδιο δρόμο μαζί μέ τούς παράνομους, γιατί αὐτοί ἔχουν κοινό βαλάντιο. Ὅτι ἡ σοφία ἐξυμνεῖται στούς δρόμους, ἐνῶ οἱ ἀσεβεῖς μίσησαν τήν ἀληθινή γνώση. Ἐπειδή τούς καλοῦσα καί δέ μέ ὑπάκουσαν, γι' αὐτό, ὅταν θά μέ καλέσουν αὐτοί, δέ θά τούς ἀκούσω[26]. Γιά τό «Νά δέχεσαι τά λόγια τῶν ἐντολῶν, καί τότε τό αὐτί σου θ' ἀκούσει τά λόγια τῆς σοφίας, γιά νά κατανοήσεις τή δικαιοσύνη καί τήν ὀρθή κρίση. Ἀλλοίμονο σ' ἐκείνους, οἱ ὁποῖοι ἀφήνουν τόν ἴσιο δρόμο καί χαίρονται γιά τήν ἠθική διαστροφή τους»[27]. Γιά τό, «Νά μή σέ κυριεύσει κακή θέληση, γιά νά βρεῖς τούς ὁμαλούς δρόμους τῆς δικαιοσύνης»[28]. Γιά τό ὅτι δέν πρέπει νά λησμονεῖς τήν τήρηση τοῦ νόμου, γιά νά ζήσεις πολλά χρόνια εἰρηνικῆς ζωῆς. Γιά τό ὅτι πρέπει νά πιστεύεις σταθερά μέ ὅλη σου τήν καρδιά στό Θεό, καί νά μήν ἐμπιστεύεσαι τόν ἑαυτό σου, ἀλλά νά τιμᾶς τόν Κύριο μέ θυσίες ἀπό τούς δικούς σου δίκαιους κόπους. Γιά τό ὅτι δέν πρέπει νά παραμελεῖς τήν παιδαγωγία τοῦ Κυρίου, «γιατί ὁ Κύριος παιδαγωγεῖ ἐκεῖνον πού ἀγαπάει». Καί, «Εὐτυχισμένος εἶναι ὁ ἄνθρωπος πού βρῆκε τή σοφία»[29].

Γιά τό ὅτι δέν πρέπει νά παρασυρθεῖς, ἀλλά νά τηρεῖς τή συμβουλή καί τήν ὁδηγία μου, γιά νά ἔχεις ὑγεία σωματική. Νά μήν ἀποφύγεις νά βοηθήσεις τό φτωχό, ὅταν τό χέρι σου θά μπορεῖ νά βοηθεῖ. Καί, Νά μή σχεδιάζεις κακά γιά τό φίλο σου, γιατί κάθε παράνομος εἶναι ἀκάθαρτος ἐνώπιον τοῦ Κυρίου. Γιατί, «Ὁ Κύριος ἀντιτάσσεται στούς ὑπερήφανους, στούς ταπεινούς ὅμως δίνει τή χάρη του»[30]. Καί γιά τό ὅτι τά παιδιά πρέπει ν' ἀκοῦν τή διδασκαλία τοῦ πατέρα τους. Γιά τό, «Παιδί μου, πρόσεχε στά λόγια μου καί μέ κάθε προσοχή φύλαγε τήν καρδιά σου», καί ὁ Κύριος θά κάμει ἴσιο τό δρόμο σου[31]. Γιά τό ὅτι δέν πρέπει νά προσέχεις τήν ἀνήθικη γυναίκα, «Γιατί δέν ὁδηγεῖ σέ δρόμους ζωῆς, ἀπομάκρυνε ἀπ' αὐτήν τήν πορεία σου»[32]. Γιά τό, «Πίνε νερό ἀπό τά δικά σου δοχεῖα»· καί «Ἡ πηγή τοῦ νεροῦ σου ἄς εἶναι γιά σένα μόνο εὐχάριστη. Γιατί ζώντας μέ τή σοφία της θά γίνεις μεγάλος καί τρανός»[33]. Νεαρέ «ὀκνηρέ, πήγαινε στό μυρμήγκι καί νά γίνεις πιό σοφός ἀπ' αὐτό, γιατί τήν ἐποχή τοῦ θερισμοῦ κάνει μεγάλη ἀποθήκευση τροφῶν»[34]. Γιά τό ὅτι

τὴν μέλισσαν, "Καὶ μάθε ὡς ἐργάτις ἐστί". Περὶ τοῦ, "Ἕως πότε, ὀκνηρέ, κατάκεισαι". Ὀλίγον μὲν ὑπνοῖς, ὀλίγον δὲ κάθησαι. Διὰ τοῦτο ἐξαπίνης ἔρχεται ἡ ἀπώλειά σου.

Περὶ φυλακῆς νόμων πατρός· "Ὅτι λύχνος ἐντολῶν καὶ 5 *φῶς ἐστι καὶ ζωῆς ὁδός". Περὶ τοῦ, "Ἀποθέσει τις πῦρ ἐν κόλπῳ, τὰ δὲ ἱμάτια αὐτοῦ οὐ κατακαύσει; ἢ περιπατήσει ἐπ' ἀνθράκων πυρός, τοὺς δὲ πόδας οὐ κατακαύσει οὗτος; Ὁ εἰσελθὼν εἰς γυναῖκα ὕπανδρον οὐκ ἀθωωθήσεται". Περὶ τοῦ, "Οὐ θαυμαστὸν ἐὰν κλέπτων ἁλῷ τις· κλέπτει γὰρ ἵνα ἐμπλήσῃ* 10 *τὴν ψυχὴν αὐτοῦ πεινῶσαν· ὁ δὲ μοιχὸς δι' ἔνδειαν φρενῶν ἀπολεῖ τὴν ψυχὴν αὐτοῦ". Περὶ τοῦ, "Τίμα τὸν Θεόν, καὶ ἰσχύσεις, καὶ φύλασσε ἐμὰς ἐντολάς, καὶ ἐπίγραψον αὐτὰς ἐπὶ τὸ πλάτος τῆς καρδίας σου, ἵνα τηρήσωσί σε ἀπὸ γυναικὸς ἀλλοτρίας καὶ πόρνης". Περὶ τοῦ κηρῦξαί σε σοφίαν, ὅτι ἐπ'* 15 *ἄκρων τῶν ὑψηλῶν ἐστιν, ὅτι τιμιωτέρα ἐστὶν ἀργυρίου, καὶ γνησιωτέρα ὑπὲρ χρυσίον δεδοκιμασμένον, καὶ ὅτι, "Φόβος Κυρίου μισεῖ ἀδικίαν". Περὶ τοῦ, "Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ". Περὶ τοῦ, ὅτι "Ἡ σοφία ᾠκοδόμησε ἑαυτῇ οἶκον".*

20 *Περὶ τοῦ, "Ἔλεγχε σοφόν, καὶ ἀγαπήσει σε. Ἐὰν σοφὸς γένῃ, σεαυτῷ ἔσῃ, καὶ τοῖς πλησίον σου· ἐὰν δὲ κακὸς ἀποβῇς, μόνος ἀντλήσεις τὰ κακά. Ὅτι γυνὴ ἄφρων καὶ θρασεῖα, ἐνδεὴς ψωμοῦ γίνεται. Πενία ἄνδρα ταπεινοῖ· υἱὸς δὲ πεπαιδευμένος σοφὸς ἔσται. Μνήμη δικαίου μετ' ἐγκωμίων. Ὃς* 25 *πορεύεται ἁπλῶς, πορεύεται πεποιθώς. Ὃς ἐκ χειλέων προφέρει σοφίαν, ῥάβδῳ τύπτει ἄνδρα ἀκάρδιον. Ὁδοὺς ζωῆς φυλάσσει παιδεία· καλύπτουσι δὲ ἔχθραν χείλη δίκαια. Ἄφρων πράσσει κακά· στόμα δὲ δικαίου ἀποστάζει σοφίαν". Κατὰ εἰδωλολατρῶν, ἐκ χρυσοῦ καὶ ἀργύρου, ἢ λίθων, ἢ ξύλων* 30 *εἴδωλα κατασκευασαμένων. Ὅτι ἐστὶ σωτηρία διὰ ξύλου τοῖς*

---

35. 6, 8α. 38. 6, 23. 41. 7, 1.2.3.5.

36. 6, 9. 39. 6, 27.28.29. 42. 8, 1.2.10.13.

37. 6, 10.15. 40. 6, 30.32. 43. 8, 22. 44. 9, 1.

45. 9, 8.12.13· 10, 4.7.9.13.17.18.23.31. Ἐδῶ σταματάει ἡ περίληψη τοῦ βιβλίου τῶν Παροιμιῶν.

πρέπει νά πορευθεῖς στή μέλισσα, «Καί νά μάθεις πόσο ἐργατική εἶναι»[35]. Γιά τό, «Μέχρι πότε, ὀκνηρέ, θά εἶσαι ξαπλωμένος στό κρεβάτι σου;»[36]. Λίγη ὥρα κοιμᾶσαι, καί λίγη ὥρα κάθεσαι. Γι' αὐτό ξαφνικά ἔρχεται ἡ καταστροφή σου[37].

Γιά τήν τήρηση τῶν νόμων τοῦ πατέρα, «Γιατί εἶναι λυχνάρι ἐντολῶν καί φῶς καί δρόμος ζωῆς»[38]. Γιά τό, «Εἶναι δυνατό ν' ἀγκαλιάσει κανείς τή φωτιά καί νά μήν κάψει τά ροῦχα του; ἤ νά βαδίσει πάνω σ' ἀναμμένα κάρβουνα καί νά μήν κάψει τά πόδια του; 'Εκεῖνος πού θά ἔχει σχέσεις μέ παντρεμένη γυναίκα δέ θά θεωρηθεῖ ἀθῶος»[39]. Γιά τό, «Δέν εἶναι παράξενο, ἐάν συλληφθεῖ κανείς τήν ὥρα πού κλέβει, γιατί κλέβει γιά νά χορτάσει τήν κοιλιά του πού πεινάει. 'Ο μοιχός ὅμως, ἐξ αἰτίας τῆς ἀφροσύνης του, θά φέρει στή ζωή του τήν καταστροφή»[40]. Γιά τό, «Νά σέβεσαι τό Θεό καί θ' ἀποκτήσεις δύναμη, καί νά φυλάγεις τίς ἐντολές μου καί νά τίς γράψεις σέ ὅλο τό πλάτος τῆς καρδιᾶς σου, γιά νά σέ προφυλάξουν ἀπό γυναίκα ξένη καί πόρνη»[41]. Γιά τό ὅτι πρέπει νά διαλαγεῖς τή σοφία, γιατί εἶναι πάνω στίς ὑψηλές κορυφές, γιατί εἶναι πιό πολύτιμη ἀπό τά χρήματα καί πιό γνήσια ἀπό τό καθαρό χρυσάφι, καί γιατί, «'Ο φόβος τοῦ Κυρίου μισεῖ τήν ἀδικία»[42], Γιά τό, «'Ο Κύριος μέ γέννησε σάν ἀρχή πού διέπει ὅλη τήν τάξη καί τή δημιουργία του»[42]. Γιά τό ὅτι, «'Η σοφία ἔκτισε γιά τόν ἑαυτό της ἀνάκτορο»[44].

Γιά τό, «Ἔλεγχε τό σοφό, καί αὐτός θά σ' ἀγαπήσει. 'Εάν γίνεις σοφός, θά γίνεις γιά τόν ἑαυτό σου καί γιά τόν πλησίον σου. 'Εάν ὅμως γίνεις κακός, μόνος σου θά ὑπομείνεις τίς κακίες σου. Γιατί ἡ ἀσύνετη καί ἡ ἀδιάντροπη γυναίκα, στερεῖται καί τό ψωμί της ἀκόμη. 'Η φτώχεια ἐξευτελίζει τόν ἄνθρωπο. Τό παιδί πού δέχθηκε διαπαιδαγώγηση, θά γίνει σοφό. 'Η ἀνάμνηση τοῦ δίκαιου ἀνθρώπου θά συνοδεύεται ἀπό ἐπαίνους. Ὅποιος βαδίζει μέ εὐθύτητα, βαδίζει μέ θάρρος. Ὅποιος βγάζει ἀπό τά χείλη του σοφά λόγια, χτυπάει μέ ραβδί τόν ἀμόρφωτο ἄνθρωπο. 'Η παιδεία Κυρίου διατηρεῖ τήν πορεία τῆς ζωῆς μας. Τά χείλη τῶν δίκαιων ἀνθρώπων σκεπάζουν τήν ἔχθρα. 'Ο ἀσύνετος κάνει κακό στούς ἄλλους. Τό στόμα ὅμως τοῦ δίκαιου ἀνθρώπου στάζει πάντοτε σοφία»[45]. 'Εναντίον[46] τῶν εἰδωλολατρῶν πού κατασκεύασαν εἴδωλα ἀπό χρυσό, ἄργυρο, πέτρες καί ξύλα. Ὅτι ὑπάρχει σωτηρία γι' αὐτούς, πού ἐμπιστεύονται σ' ἕνα

46. Αὐτά πού ἀκολουθοῦν εἶναι ἐπανάληψη τοῦ τέλους τῆς Σοφίας τοῦ Σολομώντα.

πιστεύουσι. Τὰ περὶ εἰδωλοποιῶν, ἢ ζωγραφοῦντος εἴδωλα. Περὶ πάντων τῶν κακῶν τῶν ἐν εἰδωλολατρίᾳ. Περὶ ἀσεβοῦς θρησκείας, καὶ ὅσα ἐν αὐτῷ κακά. Περὶ τοῦ κεραμέως, καὶ τῶν κεραμικῶν εἰδώλων. Περὶ πάντων τῶν εἰδώλων τῆς τῶν ἐθνῶν λατρείας. Περὶ τῶν ἐχθίστων ζώων, ὄφεων, αἰλούρων, καὶ τῶν ὁμοίων. Ὅτι εὐηργέτησεν ὁ Θεὸς τὸν Ἰσραὴλ ἀντὶ βατράχων ὀρτυγομήτραν.

4. ΣΥΝΟΨΙΣ ΤΟΥ ΣΕΙΡΑΧ

Περὶ φόβου Θεοῦ, περὶ τοῦ μὴ θυμοῦσθαι, περὶ τοῦ δεῖν χωρὶς ὑποκρίσεως προσιέναι Θεῷ, περὶ πειρασμῶν καὶ ὑπομονῆς, περὶ τιμῆς τῆς εἰς τοὺς γονεῖς, περὶ ἐπιεικείας, περὶ τοῦ μὴ δεῖν ζητεῖν βαθύτερα τῶν προστεταγμένων, περὶ ἐλεημοσύνης καὶ ὀρφανῶν προστασίας. Περὶ σοφίας, περὶ αἰσχύνης βλαβερᾶς καὶ ἐπωφελοῦς· πολλὰ δὲ περὶ τῆς βλαβερᾶς ἐνταῦθα λέγει. Περὶ τοῦ μὴ δεῖν δεδόσθαι τῷ πόθῳ τῶν χρημάτων, μηδὲ οἴεσθαι ἀτιμωρητὶ ἁμαρτάνειν, κἂν παραυτίκα μὴ δῶμεν τὴν τιμωρίαν· μακρόθυμος γάρ ἐστιν ὁ Θεός· δεῖν δὲ ἐξιλάσασθαι αὐτόν. Περὶ φλυαρίας, περὶ ὑπερηφανίας, περὶ φίλων δοκιμασίας, περὶ παιδείας, περὶ ἀκροάσεως ἐπωφελοῦς. Περὶ τοῦ μὴ ἁμαρτάνειν, μὴ ψεύδεσθαι, μὴ φλυαρεῖν, μὴ δευτεροῦν λόγον ἐν προσευχῇ· τουτέστιν, ἐν οἷς ἂν ὑπόσχῃ Θεῷ, μὴ ὑπέρθῃ. Περὶ γυναικός, περὶ οἰκετῶν, περὶ κτηνῶν, περὶ τέκνων, περὶ πατρός, περὶ τῆς κατὰ Θεὸν εὐλαβείας, περὶ τῆς εἰς τοὺς ἱερεῖς τιμῆς, περὶ τῆς εἰς τοὺς κακουμένους ἐπισκέψεως.

Περὶ τοῦ μὴ μάχεσθαι, μὴ ὀνειδίζειν, μὴ παρορᾶν διηγημάτων σοφῶν γερόντων. Περὶ σωφροσύνης, περὶ φιλίας, περὶ τοῦ μὴ ζηλοῦν ἁμαρτωλούς. Περὶ κριτοῦ συνετοῦ καὶ ἄφρονος, περὶ ὑπερηφανίας, περὶ ἐπιεικείας, περὶ τοῦ μὴ ἀκρίτως καὶ ἀνεξετάστως μέμφεσθαι. Περὶ τοῦ φυλάττεσθαι τοὺς πονηρούς. Περὶ τῆς τῶν πλουσίων θεραπείας, ἧς παρὰ πολλῶν τυγχάνουσι, καὶ περὶ τῆς ἐνίων αὐτῶν πλεονεξίας. Περὶ

ξύλο. Τά σχετικά μέ τούς κατασκευαστές καί τούς ζωγράφους τῶν εἰδώλων. Γιά ὅλα τά κακά αὐτῶν πού ζοῦν μέσα στήν εἰδωλολατρεία. Γιά τήν ἀσεβή θρησκεία καί γιά τά κακά πού ὑπάρχουν σ' αὐτήν. Γιά τόν κεραμοποιό καί τά πήλινα εἴδωλα. Γιά ὅλα τά εἴδωλα τῆς θρησκείας τῶν ἐθνῶν. Γιά τά πιό ἀπαίσια ζῶα, τά φίδια, τίς γάτες καί τά ὅμοια. Ὅτι ὁ Θεός εὐεργέτησε τούς Ἰσραηλίτες καί τούς ἔστειλε ὀρτύκια ἀντί γιά βατράχια.

4. ΠΕΡΙΛΗΨΗ ΤΟΥ ΣΕΙΡΑΧ

Γιά τό φόβο τοῦ Θεοῦ, γιά τό ὅτι δέν πρέπει νά ὀργιζόμαστε, γιά τό ὅτι πρέπει νά προσερχόμαστε στό Θεό χωρίς ὑποκρισία, γιά τούς πειρασμούς καί τήν ὑπομονή, γιά τό σεβασμό πού ὀφείλουμε στούς γονεῖς μας, γιά τήν πραότητα, γιά τό ὅτι δέν πρέπει νά ζητοῦμε δυσκολότερες ἐντολές, γιά τήν ἐλεημοσύνη καί τήν προστασία τῶν ὀρφανῶν. Γιά τή σοφία, γιά τήν κακή καί καλή ντροπή· ἐδῶ λέγει πολλά γιά τήν κακή ντροπή. Γιά τό ὅτι δέν πρέπει νά μᾶς κυριεύει ἡ σφοδρή ἐπιθυμία τῶν χρημάτων, οὔτε νά νομίζουμε πώς ἁμαρτάνουμε ἀτιμώρητα, ἔστω καί ἄν δέν τιμωρούμαστε ἀμέσως, γιατί ὁ Θεός εἶναι μακρόθυμος καί πρέπει νά τόν ἐξιλεώνουμε. Γιά τή φλυαρία, τήν ὑπερηφάνεια, γιά τούς φίλους πού θ' ἀποκτήσουμε μέ δοκιμασία, γιά τή μόρφωση, γιά τή χρήσιμη διδασκαλία. Γιά τό ὅτι δέν πρέπει νά κάνουμε ἁμαρτίες, νά μή λέγουμε ψέματα, νά μή φλυαροῦμε, νά μήν ἐπαναλαμβάνουμε κάτι πού εἴπαμε στήν προσευχή μας. Δηλαδή αὐτά πού θά ὑποσχεθεῖς στό Θεό, νά μήν τά ἀνακοινώσεις σ' ἄλλους. Γιά τή γυναίκα, τούς ὑπηρέτες, τά ζῶα, τά παιδιά, τόν πατέρα, τήν εὐλάβεια πρός τό Θεό, τήν τιμή πρός τούς ἱερεῖς, τήν ἐπίσκεψη σ' αὐτούς πού ὑποφέρουν.

Γιά τό ὅτι δέν πρέπει νά φιλονικοῦμε, νά μήν περιπαίζουμε τούς ἄλλους, νά μήν περιφρονοῦμε τίς διηγήσεις τῶν σοφῶν γέρων. Γιά τή σωφροσύνη, τή φιλία, γιά τό ὅτι δέν πρέπει νά ζηλεύουμε τούς ἁμαρτωλούς. Γιά τό συνετό καί τόν ἀσύνετο ἄρχοντα, τήν ὑπερηφάνεια, τήν παρότητα, γιά τό ὅτι δέν πρέπει νά διατυπώνουμε κατηγορίες χωρίς κρίση καί ἐξέταση. Γιά τό ὅτι πρέπει νά προφυλαγόμαστε ἀπό τούς πονηρούς ἀνθρώπους. Γιά τήν ἐξυπηρέτηση τῶν πλουσίων, πού ἀπολαμβάνουν ἀπό πολλούς, καί γιά τήν πλεονεξία

μικρολόγων, οὓς δρῖπας καλοῦσι, τοὺς μὴ μεταδιδόντας ἑτέροις. Περὶ κτήσεως σοφίας, περὶ τοῦ αὐτεξουσίου. Περὶ τοῦ ἄπαιδα εἶναι, ἢ πονηρὰ τέκνα ἔχειν. Ὅτι οὐδὲν λανθάνει τὸν Θεόν. Περὶ τῶν κτισμάτων, περὶ τῆς τοῦ ἀνθρώπου
5 *πλάσεως, καὶ τιμῆς ἧς ἐτιμήθη. Περὶ τῆς τοῦ νόμου δόσεως, περὶ ἐλεημοσύνης καὶ μετανοίας, περὶ τοῦ μὴ ἀσωτεύεσθαι. Περὶ φυλακῆς μυστηρίων, περὶ ἄφρονος αἰσχύνης βλαβερᾶς. Περὶ τοῦ μετανοεῖν ἐπὶ ἁμαρτήμασι, περὶ τοῦ μὴ πλεονεκτεῖν, περὶ συνετοῦ καὶ ἄφρονος, περὶ θυγατρός, περὶ ἀπροσεξίας*
10 *μωροῦ, περὶ διανοίας στεῤῥᾶς, περὶ τοῦ μὴ ἀπαραφυλάκτως φθέγγεσθαι.*

Περὶ τοῦ κατανύττεσθαι τοῖς ἁμαρτήμασι, περὶ τοῦ μὴ ὀμνύναι, περὶ σοφίας. Περὶ γυναικὸς πονηρᾶς καὶ ἀγαθῆς, περὶ ἐμπόρων, περὶ ἐκλαλούντων μυστήρια. Περὶ τοῦ εἰς
15 *πρόσωπον ἐπαινοῦντος, ὕστερον δὲ χλευάζοντος. Περὶ τοῦ ἀφιέναι τῷ πλησίον τὰ εἰς αὐτὸν πλημμελούμενα. Περὶ γλώσσης δολίας, περὶ τοῦ δανείζειν τῷ πλησίον, οὐχὶ τόκους λαβεῖν, ἀλλὰ κιχρᾶν τῷ δεομένῳ. Περὶ τοῦ ἐπιστρόφως παιδεύειν τέκνα, περὶ οἰκετῶν, περὶ ἀλόγων, περὶ ἐνυπνίων.*
20 *Περὶ τῶν φοβουμένων τὸν Θεόν, περὶ τῶν ἐξ ἀδικίας θυσιῶν, περὶ προσφορῶν τῶν ἐκ δικαιοσύνης. Περὶ φιλαργυρίας, περὶ λαιμαργίας, περὶ μέθης. Ὅτι ἡ μὲν κατασκευὴ τῆς φύσεως τοῖς ἀνθρώποις μία, τὸ δὲ τῆς προαιρέσεως διάφορον, τοὺς μὲν εὐλογεῖσθαι, τοὺς δὲ καταραθῆναι ἐποίησε. Περὶ ἰα-*
25 *τρείας, περὶ τοῦ μὴ ἄγαν κρατεῖσθαι λύπῃ. Περὶ τοῦ δεῖν τῷ νόμῳ καὶ τοῖς τοῦ Θεοῦ νόμοις κρατεῖσθαι. Περὶ τῶν τοῦ Θεοῦ ἔργων, περὶ τῶν τιμωριῶν, περὶ τῆς ἀνθρωπίνης φύσεως, ὅτι πολλῶν ἐμπέπλησται φόνων καὶ φροντίδων. Περὶ τῶν τοῦ Θεοῦ ἔργων.*

μερικῶν ἀπ' αὐτούς. Γιά τούς μικροπρεπεῖς, τούς ὁποίους ὀνομάζουν φιλάργυρους, πού δέ δίνουν σέ ἄλλους τά ἀγαθά τους. Γιά τήν ἀπόκτηση τῆς σοφίας, γιά τήν ἐλευθερία. Γιά τό ὅτι εἶναι προτιμότερο νά εἶναι κανείς ἄτεκνος, παρά νά ἔχει ἁμαρτωλά παιδιά. Ὅτι τίποτε δέν ξεφεύγει ἀπό τό Θεό. Γιά τά δημιουργήματα τοῦ Θεοῦ, τήν πλάση τοῦ ἀνθρώπου καί τήν τιμή, μέ τήν ὁποία τόν τίμησε ὁ Θεός. Γιά τή χορήγηση τοῦ νόμου, τήν ἐλεημοσύνη καί τή μετάνοια, γιά τό ὅτι δέν πρέπει νά κάνουμε ἄσωτη ζωή. Γιά τή φύλαξη τῶν μυστικῶν, γιά τήν ἀσύνετη καί κακή ντροπή. Γιά τό ὅτι πρέπει νά μετανοοῦμε γιά τά ἁμαρτήματά μας, νά μήν εἴμαστε πλεονέκτες, γιά τό συνετό καί τό μωρό, γιά τήν αὐθάδη θυγατέρα, γιά τήν ἀπερισκεψία τοῦ μωροῦ ἀνθρώπου, γιά τή σταθερή διάνοια, γιά τό ὅτι δέν πρέπει νά μιλοῦμε χωρίς προφυλάξεις.

Γιά τό ὅτι πρέπει νά λυπούμαστε γιά τά ἁμαρτήματά μας, νά μήν ὁρκιζόμαστε, γιά τή σοφία. Γιά τήν καλή καί κακή γυναίκα, τούς ἐμπόρους, γι' αὐτούς πού ἀποκαλύπτουν τά μυστικά. Γιά ἐκεῖνον πού ἐπαινεῖ κάποιον μπροστά του, ὕστερα ὅμως τόν περιγελᾶ. Γιά τό ὅτι πρέπει κανείς νά συγχωρεῖ τά ἀδικήματα, πού τοῦ ἔκαμε ὁ πλησίον του. Γιά τή δόλια γλώσσα, γιά τό ὅτι πρέπει νά δανείζουμε τό πλησίον μας, χωρίς νά πάρουμε τόκους, ἀλλά νά δανείζουμε τό φτωχό. Γιά τό ὅτι πρέπει μέ ἐπιμέλεια νά διαπαιδαγωγεῖ κανείς τά παιδιά του, γιά τούς ὑπηρέτες, τά ζῶα, τά ὄνειρα. Γιά ἐκείνους πού φοβοῦνται τό Θεό, γιά τίς θυσίες πού προσφέρονται ἀπό πράγματα τά ὁποῖα ἀποκτήθηκαν ἄδικα, γιά τίς προσφορές ἀπό πράγματα πού ἀποκτήθηκαν δίκαια. Γιά τή φιλαργυρία, τή λαιμαργία, τή μέθη. Ὅτι ἡ κατασκευή τῆς φύσης στούς ἀνθρώπους εἶναι μία, ἡ διάθεσή τους ὅμως εἶναι διαφορετική, ἄλλους ἔκαμε νά τούς ἐπαινοῦν καί ἄλλους νά τούς καταριοῦνται. Γιά τήν ἰατρική, γιά τό ὅτι δέν πρέπει νά μᾶς κυριεύει ὑπερβολικά ἡ λύπη. Γιά τό ὅτι πρέπει νά μᾶς ἐξουσιάζουν ὁ νόμος καί οἱ ἐντολές τοῦ Θεοῦ. Γιά τά ἔργα τοῦ Θεοῦ, τίς τιμωρίες, τήν ἀνθρώπινη φύση, ὅτι ἔχει γεμίσει ἀπό πολλούς φόνους καί φροντίδες. Γιά τά ἔργα τοῦ Θεοῦ.

Γ΄ ΠΡΟΦΗΤΙΚΑ ΒΙΒΛΙΑ

1. ΣΥΝΟΨΙΣ ΤΩΝ ΤΩι ΠΡΟΦΗΤΗι ΗΣΑΪΑι ΕΙΡΗΜΕΝΩΝ

Κατηγορία τοῦ Ἰσραὴλ καὶ συμφορὰ καὶ παραίτησις 5 *θυσιῶν, καὶ παραίνεσις βελτίονος βίου. Προφητεία περὶ τῆς Ἐκκλησίας, καὶ τῆς ἐσομένης εἰρήνης. Κατηγορία τοῦ Ἰσραήλ, καὶ πολιορκία ἐσομένη. Κατηγορία τῆς τρυφῆς αὐτῶν καὶ τῆς ὑπερηφανίας. Ἀποβολὴ τοῦ Ἰσραὴλ διὰ τοῦ παραδείγματος τοῦ ἀμπελῶνος. Διαβάλλει τοὺς ἄρχοντας τοῦ* 10 *Ἰσραὴλ εἰς πλεονεξίαν καὶ εἰς μέθην, καὶ προλέγει αὐτοῖς ἐρήμωσιν. Καὶ ἀπειλεῖ τοῖς προτιμῶσι τοὺς ψευδοπροφήτας τῶν προφητῶν. Ἄνοδος τῶν πολεμίων αὐτῶν. Ὁρᾷ τὴν ὀπτασίαν, ἐν ᾗ ἐκαθάρθη αὐτοῦ τὰ χείλη. Ἐπιστρατεύει ὁ Σύρων βασιλεὺς μετὰ τῶν Ἰσραηλιτῶν ἐπὶ τὴν Ἰερουσαλήμ,* 15 *καὶ προφητεύει ὁ Ἠσαΐας περὶ τοῦ Χριστοῦ, καὶ περὶ τῆς ἐρημώσεως Ἰερουσαλήμ, καὶ περὶ τῆς ἀνόδου Ναβουχοδονόσορ. Προφητεία τῶν εἰς Χριστὸν πιστευόντων. Περὶ τῆς ἰσχύος καὶ ὑπερηφανίας καὶ ἀπωλείας τοῦ Ἀσσυρίου. Περὶ τῶν πιστευόντων Χριστῷ, περὶ τῆς κατὰ σάρκα γεννήσεως τοῦ* 20 *Χριστοῦ· περὶ τῆς τῶν εἰς αὐτὸν πιστευόντων ἐπιεικείας. Ἀπώλειαν Βαβυλῶνος καὶ τῶν ἀλλοφύλων προφητεύει. Ἀπώλεια Μωαβιτῶν.*

Περὶ Χριστοῦ προφητεία. Ἀπώλεια Δαμασκοῦ, καὶ τοῦ Ἰσραὴλ συμφορὰ καὶ σωτηρία. Ἀπώλεια Αἰγύπτου. Ἀλληγο- 25 *ρεῖ κάκωσιν εἰς τὰ ἔθνη τὰ μὴ πιστεύσαντα τῷ Κυρίῳ, καὶ εἰς τὴν ἐρήμωσιν τῆς ἀσεβείας αὐτῶν. Κελεύεται Ἠσαΐας γυμνὸς περιπατῆσαι. Ἐπιστρατεία Μήδων καὶ Βαβυλωνίων γενομένη κατὰ Ἰδουμαίας καὶ Ἀραβίας. Πολιορκία Ἱερουσαλὴμ ἡ ἐσχάτη ὑπὸ Ναβουχοδονόσορ. Πρόῤῥησις τῷ Σωμνᾷ τῷ ταμίᾳ* 30 *περὶ τῆς ἀπωλείας. Οἱ δὲ ταμίαι, τουτέστιν, οἱ φύλακες τῶν ἐν τῷ ἱερῷ χρημάτων, ἀπὸ τῶν ἱερέων ἦσαν. Ἀπώλεια Τύρου, καὶ ἡ μετὰ ταῦτα σωτηρία, καὶ περὶ τῶν Ἐκκλησιῶν ἀλληγορικῶς. Ἀπώλεια Βαβυλῶνος ὑπὸ Μήδων, καὶ ἐπ' αὐτῇ εὐχαριστία τῷ Θεῷ ὑπὸ τοῦ προφήτου. Καὶ περὶ τῶν Χριστῷ πιστευόντων* 35 *προφητεία, περὶ τῆς τοῦ διαβόλου ἀπωλείας τῆς ὑπὸ Χριστοῦ*

Γ΄ ΠΡΟΦΗΤΙΚΑ ΒΙΒΛΙΑ

1. ΠΕΡΙΛΗΨΗ ΤΩΝ ΛΟΓΩΝ ΤΟΥ ΠΡΟΦΗΤΗ ΗΣΑΪΑ

Κατηγορία τοῦ Ἰσραήλ καί συμφορά, ἄρνηση τῶν θυσιῶν, καί συμβουλή γιά καλύτερη ζωή. Προφητεία γιά τήν Ἐκκλησία, καί γιά τήν εἰρήνη πού θά γίνει. Κατηγορία τοῦ Ἰσραήλ καί πολιορκία πού θά γίνει. Κατηγορία τῆς καλοπέρασης καί τῆς ὑπερηφάνειάς τους. Καταστροφή τοῦ ἰσραηλιτικοῦ λαοῦ μέ τό παράδειγμα τοῦ ἀμπελιοῦ. Κατηγορεῖ τούς ἄρχοντες τοῦ Ἰσραήλ γιά πλεονεξία καί μέθη, καί προλέγει σ' αὐτούς καταστροφή. Καί ἀπειλεῖ ἐκείνους πού προτιμοῦν τούς ψευδοπροφῆτες ἀπό τούς ἀληθινούς προφῆτες. Ἐξύψωση τῶν ἐχθρῶν τους. Βλέπει τό ὅραμα, στό ὁποῖο καθαρίστηκαν τά χείλη του. Ἐκστρατεύει ὁ βασιλιάς τῆς Συρίας μαζί μέ τούς Ἰσραηλίτες ἐναντίον τῆς Ἰερουσαλήμ, καί προφητεύει ὁ Ἠσαΐας γιά τό Χριστό, καί γιά τήν καταστροφή τῆς Ἰερουσαλήμ, καί γιά τήν ἄνοδο τοῦ Ναβουχοδονόσορα. Προφητεία γι' αὐτούς πού πιστεύουν στό Χριστό. Γιά τή δύναμη καί τήν ὑπερηφάνεια καί τήν καταστροφή τῶν Ἀσσυρίων. Γι' αὐτούς πού πιστεύουν στό Χριστό, γιά τήν ἐνανθρώπιση τοῦ Χριστοῦ, γιά τήν πρατότητα τῶν πιστῶν του. Προφητεύει καταστροφή τῆς Βαβυλώνας καί τῶν ἐχθρῶν. Καταστροφή τῶν Μωαβιτῶν.

Προφητεία γιά τό Χριστό. Καταστροφή τῆς Δαμασκοῦ, συμφορά καί σωτηρία τῶν Ἰσραηλιτῶν. Καταστροφή τῆς Αἰγύπτου. Μιλάει ἀλληγορικά γιά δυστυχία στά ἔθνη πού δέν πίστεψαν στόν Κύριο καί στήν καταστροφή τῆς ἀσέβειάς τους. Παίρνει ἐντολή ὁ Ἠσαΐας νά βαδίσει γυμνός. Ἐκστρατεία τῶν Μήδων καί τῶν Βαβυλωνίων ἐναντίον τῆς Ἰδουμαίας καί τῆς Ἀραβίας. Ἡ τελευταία πολιορκία τῆς Ἰερουσαλήμ ἀπό τό Ναβουχοδονόσορα. Προφητεία στό Σωμνά τόν ταμία γιά τήν καταστροφή. Οἱ ταμίες, δηλαδή, οἱ φύλακες τῶν χρημάτων στό ναό, ἦταν ἀπό τήν τάξη τῶν ἱερέων. Καταστροφή τῆς Τύρου καί ἡ σωτηρία ὕστερα ἀπ' αὐτά, καί γιά τίς Ἐκκλησίες ἀλληγορικά. Καταστροφή τῆς Βαβυλώνας ἀπό τούς Μήδους καί εὐχαριστία γι' αὐτήν ἀπό τόν προφήτη στό Θεό. Προφητεία γι'

γενομένης· περὶ τῆς τοῦ Χριστοῦ κατὰ σάρκα παρουσίας· περί τῆς εἰς Χριστὸν πίστεως. Ἐγκαλεῖται ὁ Ἰσραήλ, ὅτι τὴν ἐλπίδα ἀπὸ Θεοῦ ἀποστήσας, ἐπὶ τοὺς Αἰγυπτίους αὐτὴν μετήγαγε· καὶ προαγορεύεται αὐτῷ κακά, καὶ εὐθηνία μετὰ ταῦτα.

Προφητεύεται δὲ ἐν τῷ αὐτῷ περὶ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, περὶ τῆς ἐπιστροφῆς τῶν ἐθνῶν τῆς εἰς Χριστόν, καὶ περὶ τῆς ἐρημώσεως Ἱερουσαλήμ. Περὶ τῆς Ἐκκλησίας ἱστορία, ὡς μὲν κατὰ τὴν πρόχειρον εἰς τὴν Ἰδουμαίαν καὶ τὴν Ἱερουσαλήμ, κατ' ἀναγωγὴν δὲ εἰς τὴν ἐρημίαν τῶν Ἰουδαίων, καὶ εἰς τὴν εὐπραγίαν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας. Τὰ κατὰ τὸν Σεναχηρείμ. Προφητεία περὶ Ἰωάννου τοῦ Προδρόμου, καὶ τῶν εἰς Χριστὸν πιστευόντων. Τῆς τοῦ Θεοῦ δυνάμεως ἔνδειξις, καὶ κατηγορία τοῦ Ἰσραήλ, ὡς εἰδωλολατροῦντος, καὶ τῶν εἰς τόν λαὸν εὐεργεσιῶν ὑπόμνησις. Περὶ τῆς ἐκκλησιαστικῆς καταστάσεως, καὶ εἰδώλων ἀσθενείας. Περὶ Χριστοῦ προφητεία, καὶ τῶν εἰς αὐτὸν πιστευόντων. Ὀνειδίζει τῷ Ἰσραὴλ ἁμαρτιῶν ἕνεκεν. Λέγει διὰ τὴν παρακοὴν αὐτῶν ἐπενηνέχθαι αὐτοῖς τὰς συμφοράς. Περὶ τῆς εἰς Χριστὸν πίστεως. Ὅτι καὶ μὴ θύοντα εἴασε τὸν λαόν, καὶ οὐκ ἀπῄτει τὴν διὰ θυσιῶν λατρείαν. Καὶ περὶ τῶν εἰς Χριστὸν πιστευόντων προφητεία. Ἔλεγχος τῆς τῶν εἰδώλων ἀσθενείας, καὶ ἔνδειξις τῆς τοῦ θεοῦ δυνάμεως.

Ἀπώλεια Βαβυλῶνος, καὶ τῆς σκληροκαρδίας Ἰουδαίων ἔλεγχος, καὶ χρηστῶν πραγμάτων προφητεία. Περὶ Χριστοῦ προφητεία καὶ παράκλησις Ἱερουσαλήμ. Περὶ τῶν ἀποστόλων καὶ περὶ Χριστοῦ προφητεία. Περὶ τῆς τοῦ Χριστοῦ κατὰ σάρκα γεννήσεως, καὶ περὶ πάθους, καὶ ἀναστάσεως, καὶ πλήθους τῶν εἰς αὐτὸν πιστευόντων. Περὶ τοῦ Χριστοῦ ἅμα καὶ περὶ τοῦ Ἰσραὴλ κατὰ ἱστορίαν, κατὰ ἀναγωγὴν περὶ τῶν εἰς Χριστὸν πιστευόντων. Κατηγορία Ἰουδαίων εἰδωλολατρίας ἕνεκεν, καὶ τῆς νηστείας αὐτῶν παραίτησις, καὶ ἑτέρας νηστείας βελτίονος ὑπόδειξις. Εἶτα κατηγορία τῶν δολερῶν αὐτῶν ἔργων καὶ βουλευμάτων, καὶ προφητεία περὶ τῶν εἰς Χριστὸν πιστευόντων. Περὶ Χριστοῦ προφητεία, καὶ περὶ τῶν ἰάσεων τῶν εἰς ψυχὴν καὶ εἰς σῶμα γενομένων ὑπ' αὐτοῦ, καὶ περὶ τῶν ἀποστόλων καὶ περὶ τῶν λοιπῶν τῶν πιστευόντων αὐτῷ. Περὶ τοῦ πάθους. Καὶ παρὰ τοῦ προφήτου, ὡς παρὰ τοῦ

αὐτούς πού πιστεύουν στό Χριστό, γιά τή συντριβή τοῦ διαβόλου ἀπό τό Χριστό. Γιά τήν ἔλευση τοῦ Χριστοῦ, γιά τήν πίστη στό Χριστό. Κατηγοροῦνται οἱ Ἰσραηλίτες, γιατί ἐγκατέλειψαν τήν ἐλπίδα τῆς σωτηρίας τους ἀπό τό Θεό καί τή στήριξαν ἐπάνω στούς Αἰγυπτίους. Προαναγγέλλονται σ' αὐτούς κακά καί εὐδαιμονία ὕστερα ἀπ' αὐτά.

Προφητεύεται στό ἴδιο σημεῖο γιά τήν Ἐκκλησία τοῦ Χριστοῦ, γιά τήν ἐπιστροφή τῶν ἐθνῶν στό Χριστό καί γιά τήν καταστροφή τῆς Ἰερουσαλήμ. Ἱστορία τῆς Ἐκκλησίας πού ἀναφέρεται πρόχειρα στήν Ἰδουμαία καί τήν Ἰερουσαλήμ, ἀλληγορικά ὅμως στήν ἀπομόνωση τῶν Ἰουδαίων καί στήν ἐπιτυχία τῆς Ἐκκλησίας τοῦ Χριστοῦ. Τά σχετικά μέ τό Σεναχηρείμ. Προφητεία γιά τόν Ἰωάννη τόν Πρόδρομο καί γι' αὐτούς πού πιστεύουν στό Χριστό. Ἀπόδειξη τῆς δύναμης τοῦ Θεοῦ, καί κατηγορία τῶν Ἰσραηλιτῶν, ἐπειδή προσκυνοῦσαν τά εἴδωλα, καί ὑπενθύμιση τῶν εὐεργεσιῶν τοῦ Θεοῦ στό λαό. Γιά τήν ἐκκλησιαστική κατάσταση καί τήν ἀδυναμία τῶν εἰδώλων. Προφητεία γιά τό Χριστό καί τῶν πιστῶν του. Ἐπικρίνει τούς Ἰσραηλίτες ἐξ αἰτίας τῶν ἁμαρτιῶν τους. Λέγει ὅτι ἐξ αἰτίας τῆς παρακοῆς τους ἔπεσαν σ' αὐτούς οἱ συμφορές. Γιά τήν πίστη στό Χριστό. Ὅτι ὁ Θεός ἐπέτρεψε τό λαό νά μή θυσιάζει καί δέ ζητοῦσε τή λατρεία μέ θυσίες. Προφητεία γι' αὐτούς πού πιστεύουν στό Χριστό. Ἔλεγχος τῆς ἀδυναμίας τῶν εἰδώλων καί ἀπόδειξη τῆς δύναμης τοῦ Θεοῦ.

Καταστροφή τῆς Βαβυλώνας, καί ἔλεγχος τῆς σκληροκαρδίας τῶν Ἰουδαίων, καί προφητεία γιά χρήσιμα πράγματα. Προφητεία γιά τό Χριστό καί παρηγοριά τῆς Ἰερουσαλήμ. Προφητεία γιά τούς ἀποστόλους καί τό Χριστό. Γιά τή γέννηση τοῦ Χριστοῦ, τά παθήματά του, τήν ἀνάστασή του καί γιά τό πλῆθος πού θά πιστέψουν σ' αὐτόν. Γιά τό Χριστό, συγχρόνως καί διήγηση γιά τούς Ἰσραηλίτες, ἀλληγορικά γιά ἐκείνους πού πιστεύουν στό Χριστό. Κατηγορία τῶν Ἰουδαίων ἐξ αἰτίας τῆς εἰδωλολατρείας, καί ἐγκατάλειψη τῆς νηστείας τους, καί ὑπόδειξη ἄλλης καλύτερης νηστείας. Ἔπειτα κατηγορία τῶν δολερῶν τους ἔργων καί σκέψεων, καί προφητεία γι' αὐτούς πού πιστεύουν στό Χριστό. Προφητεία γιά τό Χριστό, καί γιά τίς θεραπεῖες πού ἔκαμε σέ ψυχικές καί σωματικές ἀσθένειες καί γιά τούς ἀποστόλους καί γιά τούς ἄλλους πού πιστεύουν σ' αὐτόν. Γιά τό πάθος του. Καί ἐξομολόγηση τοῦ προφήτη, σάν ἐκπροσώπου τοῦ λαοῦ, καί ἔλεγχος ἀπό τόν Κύριο τῆς ἀπείθειάς τους, καί προσοικείωση ἐκείνων πού τόν

λαοῦ, ἐξομολόγησις, καὶ παρὰ τοῦ Κυρίου ἔλεγχος ἐκείνων ἀπειθείας, καὶ πρόσληψις τῶν πιστευόντων αὐτῷ, καὶ κατηγορία τῆς Ἰουδαίων εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Κατηγορία τῶν ἀπειθησάντων περὶ τῆς μελλούσης ζωῆς.

5

2. ΣΥΝΟΨΙΣ ΤΩΝ ΤΩι ΠΡΟΦΗΤΗι ΙΕΡΕΜΙΑι ΕΙΡΗΜΕΝΩΝ

Προαγόρευσις τῶν ἐσομένων κακῶν τῷ Ἰσραὴλ ὑπὸ τοῦ Ναβουχοδονόσορ. Ἔλεγχος τῆς εἰδωλολατρίας τοῦ Ἰσραήλ, καὶ ὑπόμνησις τῆς τοῦ Θεοῦ εὐεργεσίας εἰς αὐτούς, καὶ τῶν 10 *κακῶν, ἃ ἐκ τοῦ πεποιθέναι Αἰγυπτίοις ὑπέμειναν. Τῆς τῶν εἰδώλων ἀσθενείας ἔλεγχος, καὶ τῆς αὐτῶν τῶν Ἰσραηλιτῶν ἀνθρωποθυσίας κατηγορία. Τοῦ Ἰσραὴλ κατηγορία, καὶ ἀπὸ συγκρίσεως τῆς πρὸς αὐτὸν αὔξησις τῶν τοῦ Ἰούδα τολμημάτων· καὶ προαγόρευσις χρηστῶν τῷ Ἰσραήλ, εἰ ἐπιστρέψει* 15 *πρὸς τὸν Θεόν· καὶ ὑπὸ τοῦ προφήτου, ὡς παρὰ τοῦ λαοῦ, ἐξομολόγησις. Ἡ ἄνοδος τῶν Βαβυλωνίων, καὶ τοῦ προφήτου θρῆνος ἐπὶ τῇ μελλούσῃ ἐρημώσει, καὶ αὐτῆς τῆς ἐρημώσεως ὑπογραφή. Κατηγορία τοῦ λαοῦ, ὅτι οὐδένα ἔσχεν οὕτω δίκαιον, ὥστε στῆσαι τοῦ Θεοῦ τὴν ὀργήν, καὶ τῆς πονηρίας* 20 *αὐτῶν ἔλεγχος. Ὅτι οὐ μέχρι θεμελίων ἔχει καταστραφῆναι Ἰερουσαλὴμ ὑπὸ τοῦ Ναβουχοδονόσορ. Καὶ ἄνοδος τῶν Βαβυλωνίων, καὶ κατηγορία τῆς ἀπειθείας τοῦ Ἰσραήλ, ὅτι οὐκ ἠνείχοντο ἀκοῦσαι τοῦ προφήτου. Κατηγορία τῶν ψευδοπροφητῶν παραλογιζομένων τὸν λαόν· τοῦ γὰρ Ἰερεμίου* 25 *λέγοντος, ὅτι Πόλεμος ἔσται, αὐτὸς ἔλεγεν, Οὐχί, ἀλλὰ εἰρήνη ἔσται.*

Παραίτησις θυσιῶν, καὶ ἄνοδος τοῦ Βαβυλωνίου, καὶ τῆς ἀνεπιστρόφου διανοίας Ἰουδαίων ἔλεγχος. Παραινεῖ τῷ Ἰούδᾳ πρὸς τὸ γενέσθαι αὐτοὺς βελτίονας, καὶ ἀπειλεῖ, εἰ μὴ 30 *γένοιντο, τὰ αὐτὰ πείσεσθαι αὐτοὺς τῷ Ἰσραήλ· καὶ κωλύει τὸν Ἰερεμίαν δεῖσθαι ὑπὲρ αὐτῶν. Παραίτησις θυσιῶν, κατηγορία τῆς ἀπροσεξίας αὐτῶν, καὶ τῆς ἀνθρωποθυσίας, ἣν ἐποιοῦντο τοῖς δαίμοσι. Καὶ προαγόρευσις τοῦ τάφον ἔσεσθαι τὸν τόπον τοῦ εἰδώλου αὐτῶν, καὶ τοῦ μηδὲ τάφοις τινὰς τῶν* 35 *ἀναιρουμένων παραδίδοσθαι. Ἔτι περὶ τῆς ἀνόδου τῶν*

πιστεύουν, καί κατηγορία τῆς εἰδωλολατρείας τῶν 'Ιουδαίων. Γι' αὐτούς πού προέρχονται ἀπό τούς 'Ιουδαίους καί πιστεύουν στόν Κύριό μας 'Ιησοῦ Χριστό. Κατηγορία αὐτῶν πού δέ δέχονται τή μέλλουσα ζωή.

2. ΠΕΡΙΛΗΨΗ ΤΩΝ ΛΟΓΩΝ ΤΟΥ ΠΡΟΦΗΤΗ ΙΕΡΕΜΙΑ

Προαναγγελία τῶν μελλοντικῶν κακῶν στούς 'Ισραηλίτες ἀπό τό Ναβουχοδονόσορα. Ἔλεγχος τῆς εἰδωλολατρείας τῶν 'Ισραηλιτῶν, καί ὑπενθύμιση τῶν εὐεργεσιῶν τοῦ Θεοῦ σ' αὐτούς, καί τῶν κακῶν, τά ὁποῖα ἔπαθαν, ἐπειδή ἔδειξαν ἐμπιστοσύνη στούς Αἰγυπτίους. Ἔλεγχος τῆς ἀδυναμίας τῶν εἰδώλων καί κατηγορία τῆς ἀνθρωποθυσίας τῶν 'Ισραηλιτῶν. Κατηγορία τῶν 'Ισραηλιτῶν, καί συγκριτικά μέ αὐτούς αὔξηση τῶν ἀπερίσκεπτων πράξεων τῶν 'Ιουδαίων. Προαναγγελία καλῶν γιά τούς 'Ισραηλίτες, ἐάν ἐπιστρέψουν στό Θεό, καί ἐξομολόγηση τοῦ προφήτη σάν ἐκπροσώπου τοῦ λαοῦ. 'Η ἄνοδος τῶν Βαβυλωνίων, καί θρῆνος τοῦ προφήτη γιά τή μελλοντική καταστροφή καί περιγραφή αὐτῆς τῆς καταστροφῆς. Κατηγορία τοῦ λαοῦ, ὅτι δέν εἶχε κανέναν τόσο δίκαιο, ὥστε νά σταματήσει τήν ὀργή τοῦ Θεοῦ, καί ἔλεγχος τῆς πονηρίας τους. Ὅτι δέν μπορεῖ νά καταστραφεῖ ἀπό τό Ναβουχοδονόσορα ἡ 'Ιερουσαλήμ ἀπό τά θεμέλιά της. Καί ἄνοδος τῶν Βαβυλωνίων, καί κατηγορία τῆς ἀπείθειας τῶν 'Ισραηλιτῶν, ὅτι δέν ἀνέχονταν ν' ἀκούσουν τόν προφήτη. Κατηγορία τῶν ψευδοπροφητῶν πού ἐξαπατοῦν τό λαό. Γιατί ὅταν ὁ 'Ιερεμίας ἔλεγε, ὅτι «Θά γίνει πόλεμος», αὐτός ἔλεγε, «Ὄχι, δέ θά γίνει πόλεμος, ἀλλά εἰρήνη».

Ἄρνηση θυσιῶν, ἄνοδος τῶν Βαβυλωνίων καί ἔλεγχος τῆς ἀδιάφορης ψυχῆς τῶν 'Ιουδαίων. Συμβουλεύει τούς 'Ιουδαίους γιά νά γίνουν καλύτεροι, καί τούς ἀπειλεῖ, ἄν δέ θά γίνουν, ὅτι θά πάθουν τά ἴδια μέ τούς 'Ισραηλίτες. Καί ἐμποδίζει ὁ Θεός τόν 'Ιερεμία νά προσεύχεται γι' αὐτούς. Ἄρνηση θυσιῶν, κατηγορία τῆς ἀπροσεξίας τους καί τῆς ἀνθρωποθυσίας, πού πρόσφεραν στούς δαίμονες. Καί προαναγγελία ὅτι θά γίνει τάφος ὁ τόπος ὅπου ἦταν τό εἴδωλο τοῦ θεοῦ τους καί ὅτι μερικοί ἀπ' αὐτούς πού φονεύονταν θά ἔμειναν ἄταφοι. 'Ακόμη γιά τήν ἄνοδο τῶν ἐχθρῶν, καί θρῆνος τοῦ 'Ιερεμία

πολεμίων, καὶ θρῆνος Ἱερεμίου ἐπὶ ταῖς κακίαις αὐτῶν. Κατηγορία τῶν Ἰουδαίων, ὡς ἀπεριτμήτων τῇ καρδίᾳ, καὶ παραίνεσις πρὸς τὸ μὴ εἰδωλολατρεῖν, καὶ ὡς παρὰ τοῦ λαοῦ θρῆνος ἐπὶ τοῖς μέλλουσι κακοῖς, καὶ κατηγορία παρὰ τοῦ 5 *Θεοῦ. Παραίνεσις τοῦ Ἰσραὴλ πρὸς τὸ ὑπακούειν Θεῷ, καὶ κατηγορία τῶν πατέρων αὐτῶν, καὶ αὐτῶν κακὰ ἐσόμενα. Καὶ κωλύεται πάλιν Ἱερεμίας προσεύχεσθαι ὑπὲρ αὐτῶν. Ἀποδύρεται ὁ προφήτης ἐπιβουλευόμενος ὑπὸ Ἰουδαίων ἐν Ἀναθὼθ, καὶ προλέγει διὰ τοῦτο ἑπόμενον αὐτοῖς ὄλεθρον.*

10 *Τὸ περίζωμα κελεύεται κρύψαι Ἱερεμίας, καὶ προλέγει πληρωθήσεσθαι αὐτούς, καὶ μεθυσθήσεσθαι ἀπὸ κακῶν. Περὶ τῆς ἀβροχίας· καὶ κωλύεται προσεύχεσθαι ὑπὲρ αὐτῶν ὁ προφήτης, καὶ παραιτεῖται ὁ Θεὸς τὰ ὁλοκαυτώματα αὐτῶν, καὶ τὰς νηστείας, καὶ ἀπειλεῖ τοῖς ψευδοπροφήταις κακά,* 15 *ἐπειδὴ ἔλεγον ὅτι οὐκ ἔσονται συμφοραὶ τῷ λαῷ. Ἱκετεύει τὸν Θεόν· ὁ δέ φησιν, οὐκ εἰσακούσεσθαι, οὐδὲ ἐὰν Μωϋσῆς καὶ Σαμουὴλ πρεσβεύωσιν ὑπὲρ αὐτῶν, ἀλλὰ δώσειν αὐτοὺς εἰς μάχαιραν καὶ θάνατον, καὶ λιμὸν καὶ αἰχμαλωσίαν, καὶ εἰς διασπασμὸν κακῶν. Καὶ Ἱερεμίας εὔχεται τιμωρηθῆναι τοὺς* 20 *ὀνειδίζοντας αὐτόν· ὁ δὲ Θεός φησιν αὐτῷ· "Ἐὰν ἐξάγῃς τίμιον ἀπὸ ἀναξίου, ὡς στόμα μου ἔσῃ".[1] Κελεύεται μὴ γῆμαι ὁ Ἱερεμίας, μηδὲ θρηνεῖν, μηδὲ τοῦ γινομένου τοῖς ἀποθνήσκουσι κοινωνεῖν τοῖς Ἰσραηλίταις. Περὶ τῶν ἀποστόλων, περὶ Χριστοῦ προφητεία· τοὺς λόγους τῶν ἀπιστούντων αὐτῷ ὁ* 25 *προφήτης προλέγει, καὶ κατεύχεται αὐτῶν. Καὶ παραινεῖ τοῖς Ἰουδαίοις, ὥστε τὸ σάββατον τηρεῖν.*

Εἰς τὸν οἶκον τοῦ κεραμέως πέμπεται ὁ προφήτης. "Πέρας λαλήσω", φησὶν ὁ Θεός, "ἐπὶ βασιλείας, ὥστε ἀναιρεῖν αὐτήν"· καὶ ἐὰν ἐπιστρέψωσιν, οὐ μὴ ἀνέλω. "Καὶ πέρας 30 *λαλήσω", φησίν, "ἐπὶ ἔθνος ἢ βασιλείαν, τοῦ ἀνοικοδομεῖσθαι".[2] Καὶ ἐὰν ποιήσωσι τὸ πονηρόν, οὐ ποιήσω κἀγὼ περὶ τῶν ἀγαθῶν ὧν ἐλάλησα ποιῆσαι αὐτοῖς. Τοῦτο δὲ χρήσιμον πρὸς Ἰουδαίους τὸ κεφάλαιον, ὅταν λέγωσιν ὅτι ἐπηγγείλατο αὐτοῖς ἀγαθὰ ὁ Κύριος. Ἀπειθήσαντες γὰρ τῷ Κυρίῳ ἡμῶν* 35 *Ἰησοῦ Χριστῷ, αὐτοὶ ἑαυτοῖς αἴτιοι ἐγένοντο τῶν παρόντων κακῶν. Τὴν κατ' αὐτοῦ γινομένην ἐπιβουλὴν ὑπὸ Ἰουδαίων ὁ*

---

1. 15, 19. 2. 18, 7-10.

γιά τίς κακίες τους. Κατηγορία τῶν 'Ιουδαίων, ἐπειδή ἦταν ἀπερίτμητοι στήν καρδιά, καί συμβουλές νά μή λατρεύουν τά εἴδωλα καί θρῆνος τοῦ προφήτη, σάν ἐκπροσώπου τοῦ λαοῦ, γιά τίς μελλοντικές συμφορές, καί κατηγορία ἀπό τό Θεό. Συμβουλές στούς 'Ισραηλίτες γιά νά ὑπακοῦν στό Θεό, κατηγορία τῶν πατέρων τους, καί τά κακά πού θά συμβοῦν σ' αὐτούς. Καί ἐμποδίζεται πάλι ὁ 'Ιερεμίας νά προσεύχεται γιά χάρη τους. 'Οδύρεται ὁ προφήτης γιατί συνωμότησαν ἐναντίον του οἱ 'Ιουδαῖοι στήν 'Ανανώθ, καί προλέγει γι' αὐτό τήν τιμωρία τους πού θ' ἀκολουθήσει.

'Ο 'Ιερεμίας παίρνει ἐντολή νά κρύψει τή ζώνη του καί προλέγει ὅτι θά μεθύσουν αὐτοί καί θά γεμίσουν ἀπό κακά. Γιά τήν ξηρασία. 'Εμποδίζεται ὁ προφήτης νά προσευχηθεῖ γι' αὐτούς, καί ἀρνιέται ὁ Θεός τά ὁλοκαυτώματα καί τίς νηστεῖες τους, καί ἀπειλεῖ μέ τιμωρίες τούς ψευδοπροφῆτες, ἐπειδή ἔλεγαν πώς δέ θά συμβοῦν συμφορές στό λαό. 'Ικετεύει τό Θεό, αὐτός ὅμως λέγει, πώς δέ θ' ἀκούσει, οὔτε ἐάν ὁ Μωυσῆς καί ὁ Σαμουήλ μεσιτεύσουν γι' αὐτούς, ἀλλά θά τούς παραδώσει σέ σφαγή καί θάνατο καί πείνα καί αἰχμαλωσία καί σέ διαμελισμό κακῶν. Καί ὁ 'Ιερεμίας ζητάει νά τιμωρηθοῦν αὐτοί πού τόν ἐξευτελίζουν. 'Ο Θεός ὅμως τοῦ λέγει· «'Εάν ξεχωρίσεις τόν τίμιο λόγο ἀπό τόν ἀνάξιο, θά εἶσαι σάν τό δικό μου στόμα»[1]. Παίρνει ἐντολή νά μήν πάρει γυναίκα ὁ 'Ιερεμίας, οὔτε νά θρηνεῖ, οὔτε ὅταν θρηνοῦν γιά τούς νεκρούς τους νά συμμετέχει μαζί μέ τούς 'Ισραηλίτες. Προφητεία γιά τούς ἀποστόλους καί τό Χριστό. 'Ο προφήτης προλέγει τούς λόγους ἐκείνων πού δέν πιστεύουν τό Χριστό καί τούς καταριέται. Καί συμβουλεύει τούς 'Ιουδαίους νά τηροῦν τό Σάββατο.

'Ο προφήτης στέλνεται στό ἐργαστήριο τοῦ ἀγγειοπλάστη. «'Εάν προαναγγείλω», λέγει ὁ Θεός, «τό τέλος ἑνός βασιλείου, θά τό καταστρέψω». 'Εάν ὅμως μετανοήσουν, δέ θά τό καταστρέψω. «Καί ἐάν μιλήσω», λέγει, «γιά τό τέλος ἑνός ἔθνους ἤ ἑνός βασιλείου, θά ἀνοικοδομηθεῖ». Καί ἐάν οἱ ἄνθρωποι θά κάμουν τό κακό, δέ θά κάμω καί ἐγώ τά ἀγαθά, πού εἶχα προαναγγείλει πώς θά κάμω σ' αὐτούς[2]. Αὐτό τό κεφάλαιο εἶναι χρήσιμο γιά τούς 'Ιουδαίους, ὅταν λέγουν πώς ὁ Κύριος τούς ὑποσχέθηκε ἀγαθά. Γιατί, ἀφοῦ δέν ὑπάκουσαν στόν Κύριό μας 'Ιησοῦ Χριστό, ἔγιναν μόνοι τους αἴτιοι γιά τά παρόντα κακά. Τήν ἐπιβουλή πού ἔγινε ἀπό τούς 'Ιουδαίους

προφήτης προλέγει, καὶ κατεύχεται αὐτῶν, ὅτι πονηρὰ ἀντὶ ἀγαθῶν ἀποδεδώκασι. Κελεύεται ὁ Ἱερεμίας βικὸν ὀστράκινον λαβών, καὶ διαμαρτυράμενος τὰ κακὰ τοῦ λαοῦ, συντρῖψαι τὸν βικὸν κατ' ὀφθαλμοὺς αὐτῶν, καὶ εἰπεῖν· Οὕτω 5 συντριβήσεται Ἱερουσαλήμ. Καὶ ἐμβληθεὶς ὑπὸ τοῦ Πασχὼρ εἰς τὸν καταράκτην, προφητεύει τῷ Πασχὼρ τὰ ἐκδεξόμενα αὐτῷ κακά. Εἶτα ἀσχάλλει ἐπὶ τοῖς διασύρουσιν αὐτόν, καὶ κατεύχεται αὐτῶν, καὶ καταρᾶται τῇ ἡμέρᾳ τῇ ἑαυτοῦ.

Πέμπει Σεδεκίας ὁ βασιλεὺς μαθεῖν παρὰ Ἱερεμίου, εἰ 10 ἀπελεύσεται ἀπ' αὐτοῦ Ναβουχοδονόσορ. Ὁ δέ φησιν, ὅτι ὁ Θεὸς πολεμήσει τοὺς Ἰουδαίους, καὶ τὸν βασιλέα Σεδεκίαν. Εἰ δὲ βούλοιτο ὁ λαὸς ἑκὼν προσχωρῆσαι τῷ Ναβουχοδονόσορ, σωθήσεσθαι αὐτόν, καὶ τὸν βασιλέα δὲ οὐκ ἀπολεῖσθαι, εἰ τῆς οἰκείας ἀποστὰς κακίας, τοῖς τοῦ Θεοῦ προστάγμασι 15 προσέχειν ἐθέλοι. Κατὰ τοῦ Ἰωακεὶμ καὶ τοῦ Ἰεχονίου, καὶ κατὰ τῶν ποιμένων εἰς τὸν Κύριον προφητεία, καὶ τῶν ψευδοπροφητῶν κατηγορία. Χρηστὰ τῷ Ἰούδᾳ προφητεύει. Τῷ δὲ ὑπολειφθέντι λαῷ ἐν Ἱερουσαλὴμ μετὰ Σεδεκίου διὰ τοῦ ὑποδείγματος τῶν συκῶν προφητεύει τοῦ Ναβουχοδονό-20 σορ τὴν ἄνοδον, καὶ πάντων τῶν ἐθνῶν τὴν ἀπώλειαν διὰ τοῦ ποτηρίου τούτου δηλῶν. Προαγορεύει ἀπώλειαν τῆς Ἱερουσαλήμ. Καὶ συλλαμβάνεται ἐπὶ θανάτῳ Ἱερεμίας ὑπὸ τῶν ἱερέων, καὶ ἐκφεύγει τὸν κίνδυνον. Κελεύεται ὁ προφήτης περιθεῖναι ἑαυτῷ δεσμούς, καὶ τοῖς πρέσβεσι τῶν ἀλλοφύλων 25 εἰπεῖν, ὥστε ἀπαγγεῖλαι τοῖς βασιλεῦσιν αὐτοῖς ὑποταγῆναι τῷ Ναβουχοδονόσορ· ἀπειλεῖν γὰρ τὸν Θεὸν θάνατον τοῖς μὴ ὑποτασσομένοις αὐτῷ.

Παραινεῖ δὲ ταύτην τὴν παραίνεσιν καὶ τῷ Σεδεκίᾳ, καὶ τῷ λαῷ, καὶ τοῖς ἱερεῦσιν. Ὁ δὲ ψευδοπροφήτης Ἀνανίας 30 ἀνθίστατο Ἱερεμίᾳ τῷ προφήτῃ, λέγων, τὰ σκεύη τὰ ἱερὰ ἐπανήξειν, καὶ τὸν Ἰεχονίαν, ὃς ἦν υἱὸς Ἰωακεὶμ ἀδελφοῦ Σεδεκίου. Καὶ συνέτριψε καὶ τοὺς κλοιοὺς τοῦ προφήτου. Πέμπεται τοίνυν ὁ Ἱερεμίας θάνατον αὐτῷ προλέγων ἐν αὐτῷ ἐκείνῳ τῷ ἐνιαυτῷ, ὡς καὶ συνέβη. Τὰ κακὰ τοῖς ἐν Βαβυλῶνι 35 ψευδοπροφήταις προλέγει, καὶ τῷ λαῷ μακρὸν τὸν τῆς αἰχμαλωσίας χρόνον, ἀλλ' ὅμως ἔσεσθαι ἐπάνοδον. Ἐπὶ τούτοις ἠγανάκτει Σαμέας, καὶ ἐπιτιμᾷ τῷ ἱερεῖ, ὅτι οὐκ ἐκώλυσε τὸν Ἱερεμίαν τοιαῦτα προφητεῦσαι. Διὰ τοῦτο

ἐναντίον του προλέγει ὁ προφήτης καί ἐκφέρει κατάρες ἐναντίον τους, γιατί εἶχαν ἀνταποδώσει κακά ἀντί γιά καλά. Προστάζεται ὁ Ἱερεμίας νά πάρει πήλινη στάμνα καί, ἀφοῦ ἀνακοινώσει τίς συμφορές τοῦ λαοῦ, νά σπάσει τή στάμνα μπροστά στά μάτια τους καί νά πεῖ· «Ἔτσι θά καταστραφεῖ ἡ Ἱερουσαλήμ». Καί ὅταν ὁ Πασχώρ τόν ἔβαλε στό βασανιστικό ξύλο, ὁ Ἱερεμίας προφητεύει σ' αὐτόν τά κακά πού τόν περιμένουν. Ἔπειτα στενοχωριέται γιατί τόν ἐξευτελίζουν καί ἐκφέρει κατάρες ἐναντίον τους καί καταριέται τήν ἡμέρα πού γεννήθηκε.

Ὁ βασιλιάς Σεδεκίας στέλνει νά μάθει ἀπό τόν Ἱερεμία, ἐάν θ' ἀναχωρήσει ἀπ' αὐτούς ὁ Ναβουχοδονόσορας. Αὐτός ὅμως ἀπαντάει, ὅτι ὁ Θεός θά πολεμήσει τούς Ἰουδαίους καί τό βασιλιά Σεδεκία. Ἐάν ὅμως θά ἤθελε ὁ λαός νά προσχωρήσει μέ τή θέλησή του στό Ναβουχοδονόσορα, θά μποροῦσε νά σωθεῖ, καί ὁ βασιλιάς δέ θά χαθεῖ, ἐάν ἐγκαταλείψει τήν κακία του καί θελήσει νά προσέχει τίς ἐντολές τοῦ Θεοῦ. Προφητεία ἐναντίον τοῦ Ἰωακείμ καί τοῦ Ἰεχονία καί ἐναντίον τῶν ποιμένων στόν Κύριο, καί κατηγορία τῶν ψευδοπροφητῶν. Προφητεύει καλά στούς Ἰουδαίους. Στό λαό πού παρέμεινε στήν Ἱερουσαλήμ μαζί μέ τό Σεδεκία, προφητεύει μέ τό παράδειγμα τῶν σύκων τήν ἄνοδο τοῦ Ναβουχοδονόσορα καί δηλώνει μέ τό ποτήρι τοῦ οἴνου τήν καταστροφή ὅλων τῶν ἐθνῶν. Προαναγγέλλει τήν καταστροφή τῆς Ἱερουσαλήμ. Οἱ ἱερεῖς συλλαμβάνουν τόν Ἱερεμία νά τόν θανατώσουν, ἀλλά ξεφεύγει τόν κίνδυνο. Παίρνει ἐντολή ὁ προφήτης νά περιτυλιχθεῖ μέ ἁλυσίδες καί νά πεῖ στούς πρεσβευτές τῶν ἀλλοφύλων, ὥστε ν' ἀνακοινώσουν στούς βασιλεῖς τους, νά ὑποταχθοῦν στό Ναβουχοδονόσορα, γιατί θ' ἀπειλήσει μέ θάνατο ὁ Θεός ἐκείνους πού δέν ὑποτάσσονται σ' αὐτόν.

Τήν ἴδια συμβουλή δίνει καί στό Σεδεκία καί στό λαό καί στούς ἱερεῖς. Ὁ ψευδοπροφήτης ὅμως Ἀνανίας ἐναντιωνόταν στόν προφήτη Ἱερεμία, λέγοντας ὅτι θά ἐπαναφέρει τά ἱερά σκεύη καί τόν Ἰεχονία, ὁ ὁποῖος ἦταν υἱός τοῦ Ἰωακείμ τοῦ ἀδελφοῦ τοῦ Σεδεκία. Καί ἔσπασε καί τίς ἁλυσίδες τοῦ προφήτη. Στέλνεται λοιπόν ὁ Ἱερεμίας γιά νά προαναγγείλει τό θάνατο τοῦ Ἀνανία κατά τό ἔτος ἐκεῖνο, ὅπως πραγματικά καί ἔγινε. Προλέγει τά κακά στούς ψευδοπροφῆτες πού ζοῦσαν στή Βαβυλώνα καί τά πολλά χρόνια τῆς αἰχμαλωσίας στό λαό, ἀλλ' ὅμως θά ἐπιστρέψουν στήν πατρίδα τους. Γι' αὐτά ἀγανακτοῦσε ὁ Σαμέας, καί ἐπιτιμᾶ τόν ἱερέα, γιατί δέν ἐμπόδισε τόν Ἱερεμία νά κάμει τέτοιες προφητεῖες. Γι' αὐτό ὁ Θεός

ἀπειλεῖ ὁ Θεὸς ἀπολέσειν αὐτόν. Εἶτα λόγος παρακλητικὸς τῷ Ἰσραήλ. Δηλοῖ τὸν καιρόν, καθ' ὃν ἔμελλον ἐπανέρχεσθαι ἐκ Βαβυλῶνος. Οὗτος δὲ ἦν ὁ τοῦ φασέκ, καθὼς καὶ ἐν τῷ Ἔσδρᾳ ἔστιν εὑρεῖν, ὅτι τῇ ἑορτῇ τῶν ἀζύμων ἐπανῆλθον.
5 *Ὥστε φανερῶς ἐλέγχονται ψευδόμενοι Ἰουδαῖοι. Τὰ γὰρ ἐν τῷ τόπῳ τούτῳ γεγραμμένα περὶ αὐτῶν ἀγαθὰ ἔτι προσδοκῶσιν, ἅπερ ἦλθον. Περὶ τῶν ἀναιρεθέντων παιδίων ὑπὸ Ἡρώδου. Περὶ τῆς Νέας Διαθήκης προφητεία. Καὶ τὴν ἐν τῷ τόπῳ δὲ τούτῳ οἰκοδομὴν γεγραμμένην τῆς πόλεως ἔτι προσδοκῶ-*
10 *σιν Ἰουδαῖοι. Καὶ αὕτη δὲ τέλος ἔσχεν, ὅτε ἀνῆλθον ἐκ Βαβυλῶνος γενομένη.*

Κελεύεται ὁ Ἰερεμίας ἀγοράσαι τὸν ἀγρὸν τοῦ πατραδέλφου αὐτοῦ, καὶ ἀγοράσας λέγει, ὅτι ἡ πόλις παρεδόθη, καὶ κελεύειν ἀγοράσαι ἀγρόν. Ὁ δὲ Θεός φησι πρὸς αὐτόν· Τὰ
15 *μὲν παρόντα κακὰ διὰ τὰς ἁμαρτίας τοῦ λαοῦ· ἔσται καιρός, ὅτε πάλιν κατοικηθήσεται ἡ πόλις. Προλέγει τῷ Σεδεκίᾳ, ὅτι ἁλώσεται, καὶ ἐγκαλεῖ τοὺς δούλους, οὓς ἠλευθέρωσαν, πάλιν καταδουλωσαμένοις, καὶ ἀπειλεῖ μεγάλην ἔσεσθαι συμφοράν. Διὰ τοῦτο κελεύει τοὺς υἱοὺς Ἰωναδὰβ ποιεῖν οἶκον. Οἱ δὲ*
20 *παραιτοῦνται. Κελεύεται ὁ Ἰερεμίας γράψαι, ὅσα προεφήτευσεν ἐπὶ Ἰσραήλ, ἵνα οὕτω γοῦν φοβηθῶσιν, ἀκούσαντες πάλιν τὰ μέλλοντα αὐτοὺς διαδέχεσθαι κακά. Ὁ δὲ προστάσσει τῷ Βαρούχ, τοῦ ποιῆσαι, καὶ ἐποίησε. Καὶ γράψας ἀνέγνω τοῖς Ἰουδαίοις. Ὡς δὲ ἤκουσαν οἱ ἄρχοντες, ἀνήγγειλαν τῷ*
25 *βασιλεῖ Ἰωακείμ. Ὁ δὲ λαβὼν τὸ βιβλίον κατέκαυσε. Καὶ κελεύεται Ἰερεμίας ἕτερον γράψαι βιβλίον τοιοῦτον. Καὶ προφητεύει τῷ βασιλεῖ συμφορὰς διὰ τὸ τόλμημα τοῦτο.*

Προφητεύει τὴν ἅλωσιν Ἰερουσαλήμ· καὶ συλλαμβάνεται καὶ ἐμβάλλεται εἰς δεσμωτήριον ὁ Ἰερεμίας, καὶ μεταπεμ-
30 *φθεὶς ἐκεῖθεν ὑπὸ Σεδεκίου, λέγει αὐτῷ, ὅτι ἁλώσεται, καὶ ἀξιοῖ ὥστε μὴ παραπεμφθῆναι εἰς τὸ δεσμωτήριον. Καὶ λαβόντες αὐτὸν οἱ ἄρχοντες ἐνέβαλον εἰς τὸν λάκκον τοῦ βορβόρου. Καὶ ἀνήγαγεν αὐτὸν ἐκεῖθεν ὁ Ἀβδαμελέκ. Καὶ μεταπεμφθεὶς πάλιν ὑπὸ τοῦ βασιλέως, προαγορεύει αὐτῷ*
35 *σωτηρίαν, εἰ βουληθείη ἑκὼν ἐξελθεῖν πρὸς τοὺς πολεμίους· εἰ δὲ μὴ βουληθείη, ὄλεθρον πάσῃ τῇ πόλει, καὶ αὐτῷ μεγάλα κακὰ ἔσεσθαι. Ὡς δὲ οὐκ ἔπεισεν ἐξελθεῖν, ἀνῆλθεν ὁ βάρβα-*

τόν ἀπειλεῖ πώς θά τόν ἐξοντώσει. Ἔπειτα λόγος παρηγορητικός γιά τούς Ἰσραηλίτες. Φανερώνει τόν καιρό, πού ἐπρόκειτο νά ἐπιστρέψουν ἀπό τή Βαβυλώνα. Καί αὐτός ἦταν τό Πάσχα, ὅπως καί στόν Ἔσδρα μποροῦμε νά τόν βροῦμε, γιατί ἐπέστρεψαν τήν ἑορτή τῶν ἀζύμων. Συνεπῶς ἐλέγχονται φανερά πώς λέγουν ψέματα οἱ Ἰουδαῖοι. Γιατί τά ἀγαθά πού εἶναι γραμμένα στό σημεῖο τοῦτο γι' αὐτούς τά περιμένουν ἀκόμη, τά ὁποῖα βέβαια ἦρθαν. Γιά τά παιδιά πού σκότωσε ὁ Ἡρώδης. Προφητεία γιά τή Νέα Διαθήκη. Καί τήν ἀνοικοδόμηση τῆς πόλης, πού ἀναφέρεται στό σημεῖο αὐτό, ἀκόμη τήν περιμένουν οἱ Ἰουδαῖοι. Καί αὐτή ἐκπληρώθηκε, ἀφοῦ ἔγινε, ὅταν ἐπέστρεψαν ἀπό τή Βαβυλώνα.

Διατάσσεται ὁ Ἱερεμίας ν' ἀγοράσει τό χωράφι τοῦ ἀδελφοῦ τοῦ πατέρα του, καί ἀφοῦ τό ἀγόρασε λέγει, ὅτι ἡ πόλη παραδόθηκε στούς ἐχθρούς καί διατάσσεις ν' ἀγοράσω χωράφι. Ὁ Θεός ὅμως τοῦ ἀπαντάει· «Τά παρόντα κακά συμβαίνουν ἐξ αἰτίας τῶν ἁμαρτιῶν τοῦ λαοῦ· θά ἔρθει καιρός, πού θά κατοικηθεῖ πάλι ἡ πόλη». Προλέγει στό Σεδεκία, ὅτι θά κυριευθεῖ ἡ πόλη, καί κατηγορεῖ γιά τούς δούλους, πού τούς ἐλευθέρωσαν καί πάλι τούς ἔκαμαν δούλους, καί ἀπειλεῖ πώς θά ἔρθει μεγάλη συμφορά. Γι' αὐτό διατάσσει τούς ἀπογόνους τοῦ Ἰωναδάβ νά κτίσουν σπίτι. Αὐτοί ὅμως ἀρνιοῦνται. Παίρνει ἐντολή ὁ Ἱερεμίας νά γράψει, ὅσα προφήτεψε στούς Ἰσραηλίτες, γιά νά φοβηθοῦν λοιπόν αὐτοί ἔτσι, ὅταν ἀκούσουν πάλι τά μελλοντικά κακά πού θά ἔρθουν σ' αὐτούς. Αὐτός ὅμως προστάζει τόν Βαρούχ νά τό κάνει αὐτό, πράγμα τό ὁποῖο καί ἔκαμε. Καί ὅταν τά ἔγραψε, τά διάβασε στούς Ἰουδαίους. Μόλις τά ἄκουσαν οἱ ἄρχοντες, τά ἀνακοίνωσαν στό βασιλιά Ἰωακείμ. Αὐτός ὅμως πῆρε τό βιβλίο καί τό ἔκαψε. Ὁ Ἱερεμίας παίρνει πάλι ἐντολή νά γράψει ἄλλο τέτοιο βιβλίο. Καί προφητεύει συμφορές στό βασιλιά γιά τήν πράξη του αὐτή.

Προφητεύει τήν ἅλωση τῆς Ἱερουσαλήμ ὁ Ἱερεμίας, πού συλλαμβάνεται καί φυλακίζεται, καί ὅταν τόν κάλεσε μέ ἄνθρωπό του ἀπό ἐκεῖ ὁ Σεδεκίας, τοῦ λέγει ὅτι θά πέσει στά χέρια τοῦ ἐχθροῦ καί παρακαλάει νά μήν τόν στείλει στή φυλακή. Οἱ ἄρχοντες τόν πῆραν καί τόν ἔριξαν μέσα σέ λάκκο μέ βοῦρκο. Ἀπό ἐκεῖ τόν ἔβγαλε ὁ Ἀβδαμελέκ. Καί ὅταν τόν κάλεσε πάλι ὁ βασιλιάς, προαναγγέλλει σ' αὐτόν τή σωτηρία του, ἐάν θά ἤθελε νά βγεῖ μέ τή θέλησή του καί νά μεταβεῖ στούς ἐχθρούς. Ἐάν ὅμως δέ θά ἤθελε, θά γίνει μεγάλη καταστροφή σ' ὁλόκληρη τήν πόλη καί σ' αὐτόν μεγάλα κακά. Ὅταν ὅμως δέν τόν ἔπεισε νά βγεῖ, ἀνέβηκε ὁ ἐχθρός καί ἔπεσε ἡ πόλη μαζί

ρος, καὶ ἑάλω ἡ πόλις μετὰ Σεδεκίου. Καὶ τῷ Ἱερεμίᾳ εὖ ἐχρήσαντο οἱ ἄρχοντες τοῦ Ναβουχοδονόρ. Τῷ Ἀβδεμελὲκ προαγορεύει σωτηρίαν. Αὐτοὺς δὲ λαβόντας αἵρεσιν παρὰ τοῦ ἀρχιμαγείρου, ὥστε ἀπελθεῖν ὅπου βούλοιντο, ἔρχεται πρὸς 5 Γοδολίαν, ὃν κατέστησεν ἄρχοντα τοῖς ὑπολειφθεῖσιν ἐν τῇ Ἰουδαίᾳ. Συνήχθησαν πρὸς Γοδολίαν οἱ διεσπαρμένοι ἐν τοῖς ἀγροῖς Ἰουδαῖοι.

Ἰσμαὴλ ἀναιρεῖ τὸν Γοδολίαν, καὶ ἑτέρους τινάς, καὶ λαβὼν τὸν λαὸν τοῦ Γοδολίου, ἐπορεύθη εἰς τὴν Ἀμμωνῖτιν 10 χώραν ὁ Ἰσμαήλ. Ὡς δὲ εἶδεν αὐτὸν ὁ Ἰωάνναν, εἷς τις τῶν ἀρχόντων, εὐνοϊκῶς διακείμενος πρὸς Γοδολίαν, ἔφυγε μετὰ τῶν ὀκτὼ μόνων ἀνδρῶν ὁ Ἰσμαήλ, καὶ τὸν λαὸν ἔλαβεν ὁ Ἰωάνναν. Ὥστε δεηθῆναι τοῦ Θεοῦ περὶ αὐτῶν δεηθείς, καὶ συμβουλεύσας αὐτοῖς μὴ εἰσελθεῖν εἰς Αἴγυπτον (θάνατον γὰρ 15 ἀπειλεῖν τὸν Θεόν, εἰ μετοικήσαιεν ἐκεῖ), οὐκ ἔπεισεν. Ἐπεὶ δὲ ἦλθον ἕως Τάφνας, παραινεῖ αὐτοῖς μὴ εἰδωλολατρεῖν. Ὡς δὲ ἀντέλεγον, προαγορεύει αὐτοῖς ὄλεθρον μέγαν, καὶ τῷ βασιλεῖ τῶν Αἰγυπτίων τὴν ἀπώλειαν Αἰγύπτου προλέγει, καὶ τῶν ἀλοφύλων, τὴν ἀπώλειαν Μωαβιτῶν λέγει, καὶ Ἀμμανιτῶν 20 καὶ Ἰδουμαίων, τὴν ἀπώλειαν Δαμασκοῦ καὶ Ἐλὰμ προλέγει, καὶ τὴν ἀπώλειαν Βαβυλῶνος, καὶ τὴν ἄνοδον τῶν Ἰουδαίων τὴν ἐκεῖθεν. Πῶς ἑάλω Ἱερουσαλὴμ προλέγει, καὶ ἀπὸ ἀτιμίας εἰς τιμὴν ἦλθε Ἰωακείμ, ὁ ἑκὼν προσχωρήσας τῷ Ναβουχοδονόσορ μετὰ τῆς μητρὸς αὐτοῦ.

25

3. ΣΥΝΟΨΙΣ
ΤΩΝ ΤΩι ΠΡΟΦΗΤΗι ΙΕΖΕΚΙΗΛ ΕΙΡΗΜΕΝΩΝ

30 *Ὁρᾷ τὴν ὀπτασίαν τῶν Χερουβὶμ ὁ προφήτης, καὶ κελεύεται λαλῆσαι τοῖς Ἰσραηλίταις παρὰ τοῦ Θεοῦ. Φέρεται ὑπὸ τοῦ Πνεύματος εἰς τὴν αἰχμαλωσίαν, καὶ παρορμᾶται ὑπὸ τοῦ Θεοῦ πρὸς τὸ μετὰ παῤῥησίας καὶ ἀόκνως τοῖς τε ἀνόμοις καὶ τοῖς δικαίοις τὴν εἰς τὴν ζωὴν φέρουσαν διαγγέλλειν, καὶ τὰς 35 τοῦ Θεοῦ προμηνύειν ἐντολάς. Κελεύεται ἐγκλεῖσαι ἑαυτόν, καὶ τῆς Ἱερουσαλὴμ πολιορκίαν προμηνῦσαι διὰ τοῦ ὑποδείγματος τῆς πλίνθου καὶ τοῦ τηγάνου. Καλεύεται δὲ καὶ ἐπὶ ἓν*

μέ τό Σεδεκία. Οἱ ἄρχοντες τοῦ Ναβουχοδονόσορα κακομεταχειρίστηκαν τόν 'Ιερεμία. Προαναγγέλλει σωτηρία στόν 'Αβδεμελέκ. 'Αφοῦ ὁ ἀρχιμάγειρος τούς ἄφησε γιά νά διαλέξουν καί νά μεταβοῦν ὅπου θά ἤθελαν, ὁ 'Ιερεμίας ἔρχεται στό Γοδολία, πού ἐγκατέστησε ἄρχοντα σ' ἐκείνους πού παρέμειναν στήν 'Ιουδαία. Οἱ 'Ιουδαῖοι πού ἦταν διασκορπισμένοι στά χωράφια συγκεντρώθηκαν στό Γοδολία.

'Ο 'Ισμαήλ σκοτώνει τό Γοδολία καί μερικούς ἄλλους, καί παίρνοντας μαζί του τό λαό τοῦ Γοδολία πῆγε στή χώρα τῶν 'Αμμωνιτῶν. Ὅταν ὅμως τόν εἶδε ὁ 'Ιωάνναν, ἕνας ἀπό τούς ἄρχοντες καί φίλος τοῦ Γοδολία, ὁ 'Ισμαήλ ἔφυγε μαζί μέ ὀκτώ μόνο ἄνδρες καί πῆρε τό λαό ὁ 'Ιωάνναν. Ὅταν παρακάλεσαν τόν 'Ιερεμία νά προσευχηθεῖ γι' αὐτούς στό Θεό τούς συμβούλεψε νά μή φύγουν στήν Αἴγυπτο (γιατί ὁ Θεός τούς ἀπειλεῖ μέ θάνατο, ἐάν μεταβοῦν νά κατοικήσουν ἐκεῖ), ἀλλά δέν τούς ἔπεισε. Ὅταν ὅμως ἔφθασαν μέχρι τήν πόλη Τάφνας, τούς συμβουλεύει νά μήν προσκυνήσουν τά εἴδωλα. 'Επειδή ὅμως ἀντιδροῦσαν, προαναγγέλλει σ' αὐτούς μεγάλη καταστροφή, καί προλέγει στό βασιλιά τῶν Αἰγυπτίων τήν καταστροφή τῆς Αἰγύπτου καί τῶν ἐχθρῶν, λέγει τήν καταστροφή τῶν Μωαβιτῶν καί τῶν 'Αμμανιτῶν καί τῶν 'Ιδουμαίων, προλέγει τήν καταστροφή τῆς Δαμασκοῦ καί τῆς 'Ελάμ, καί τήν καταστροφή τῆς Βαβυλώνας καί τήν ἐπιστροφή τῶν 'Ιουδαίων ἀπό ἐκεῖ. Προλέγει πῶς ἔπεσε ἡ 'Ιερουσαλήμ καί πῶς ὁ 'Ιωακείμ, πού μέ τή θέλησή του προσχώρησε στό Ναβουχοδονόσορα, μαζί μέ τή μητέρα του, τιμήθηκε ἐνῶ ἦταν χωρίς καμιά τιμή.

3. ΠΕΡΙΛΗΨΗ ΤΩΝ ΛΟΓΩΝ ΤΟΥ ΠΡΟΦΗΤΗ ΙΕΖΕΚΙΗΛ

'Ο προφήτης βλέπει τό ὅραμα τῶν Χερουβίμ καί παίρνει τήν ἐντολή νά μιλήσει στούς 'Ισραηλίτες σάν ἐκπρόσωπος τοῦ Θεοῦ. Φέρεται ἀπό τό Πνεῦμα τοῦ Θεοῦ στήν αἰχμαλωσία καί παρακινιέται ἀπό τό Θεό νά κάνει γνωστό μέ θάρρος καί χωρίς φόβο καί στούς παράνομους καί στούς δίκαιους τό δρόμο πού ὁδηγεῖ στήν ἀληθινή ζωή καί νά προαναγγέλλει τίς ἐντολές τοῦ Θεοῦ. Διατάσσεται νά κλεισθεῖ μέσα στό σπίτι του καί νά προαναγγείλει τήν πολιορκία τῆς 'Ιερουσαλήμ μέ τό σημεῖο τοῦ τούβλου καί τοῦ τηγανιοῦ. Διατάσσεται ἀκόμη νά κοιμηθεῖ πάνω στό ἕνα πλευρό του γιά ἀρκετές ἡμέρες,

πλευρὸν κοιμηθῆναι ἡμερῶν ἀριθμόν, φανερῶν τὴν ἐν τῇ αἰχμαλωσίᾳ ἐσομένην τῷ λαῷ θλίψιν. Προλέγει διὰ τῶν ἄρτων, οὓς ἐπὶ βολβίτων ποιεῖ, καὶ διὰ τοῦ μερισμοῦ τῶν τριχῶν τὸν θάνατον αὐτῶν καὶ τὴν διασποράν· καὶ τὴν ἐρήμωσιν τῆς
5 *πόλεως καὶ τῶν εἰδώλων προστίθησιν. Ὁρᾷ τὰς ἀνομίας τοῦ λαοῦ καὶ τὴν εἰδωλολατρίαν. Μετὰ ταῦτα τοὺς ἕως ὀλέθρου τῆς πόλεως ἐλθόντας. Ὁρᾷ δὲ πάλιν τὰ Χερουβὶμ, καὶ προλέγει τῇ πόλει κακά. Περὶ τῶν εἰς Χριστὸν πιστευόντων. Προμηνύει τὴν αἰχμαλωσίαν αὖθις τοῦ λαοῦ τὴν ἐπὶ Σεδεκίου,*
10 *καὶ τὴν αὐτοῦ Σεδεκίου τύφλωσιν τὴν ὑπό τοῦ Ναβουχοδονόσορ γενομένην. Προλέγει, μὴ εἰς μακρὸν χρόνον ἐκβήσεσθαι τὰ κακά, ἀλλ' ἐγγὺς εἶναι.*

Ἀπειλεῖ τοῖς ψευδοπροφήταις, καὶ ἀπαραίτητα αὐτῶν φησι τὰ κακὰ εἶναι, ἅπερ ὑποστήσονται· ὡς μηδὲ Ἰώβ, ἢ
15 *Δανιήλ, ἢ Νῶε τοὺς υἱοὺς αὐτῶν δύνασθαι ῥύσασθαι· καὶ τὴν εἰς τέλος ἐρήμωσιν αὐτῶν διὰ τῆς κληματίδος τῆς ἀμπέλου δηλοῖ. Διηγεῖται τὴν ἀσχημοσύνην τοῦ λαοῦ τὴν ἐξ ἀρχῆς, πρὶν ἢ προσλαβέσθαι αὐτὸν τὸν Θεόν, καὶ τὴν εὐπρέπειαν τὴν μετὰ τὸ προσλαβέσθαι· καὶ τὴν εἰδωλολατρίαν αὐτοῦ, καὶ τὴν διὰ*
20 *ταύτην αὐτοὺς διαδεξαμένην ἅλωσιν, καὶ μεγάλας δείκνυσιν αὐτῆς τὰς ἀνομίας ἀπὸ συγκρίσεως Σοδόμων καὶ Σαμαρείας, οὔσας καὶ καθ' ἑαυτὰς μεγάλας. Δύναται δὲ τὰ χρηστά, ἃ προλέγει, τό, "Ἀναστήσω τὴν διαθήκην μου μετὰ σοῦ", περὶ τῶν εἰς Χριστὸν πιστευόντων λέγεσθαι. Τὴν ἄνοδον τοῦ*
25 *Ναβουχοδονόσορ προλέγει. Πρὸς τοὺς λέγοντας· "Οἱ πατέρες ἔφαγον τὸν ὄμφακα, καὶ οἱ ὀδόντες τῶν τέκνων ὡμοδίασαν". Περὶ τῆς μητρὸς τῶν περὶ Σεδεκίαν τὸν βασιλέα. Διαμαρτύρεται τοῖς πρεσβυτέροις τὰς ἀνομίας τῶν πατέρων αὐτῶν. Τὸ δέ, "Διότι ἐπὶ τοῦ ὄρους μου τοῦ ἁγίου", ἐπ' ὄρους ὑψηλοῦ*
30 *Ἰσραὴλ λέγει· "Ἀδωναΐ, Κύριε, ἐκεῖ δουλεύσουσί μοι πᾶς οἶκος Ἰσραὴλ εἰς τέλος", εἰς τοὺς πιστεύοντας τῷ Χριστῷ δύνασθαι λαμβάνεσθαι. Ἐπὶ Θεμάν, καὶ ἐπὶ Ἰσραήλ, καὶ ἐπὶ υἱοὺς Ἀμμών.*

Καὶ τὰς ἀνομίας καὶ τὰς ἁμαρτίας λέγει τοῦ Ἰσραήλ, καὶ
35 *τῶν ἱερέων, καὶ τῶν ἀρχόντων καὶ ψευδοπροφητῶν. "Καὶ ἐζήτουν", φησίν, "ἄνδρα ἀναστρεφόμενον ὀρθῶς, καὶ ἑστῶτα*

1. 16, 62. 2. 18, 2. 3. 20, 40.

φανερώνοντας τή μελλοντική θλίψη τοῦ λαοῦ κατά τήν αἰχμαλωσία. Προλέγει μέ τά ψωμιά, πού ψήνει πάνω σέ φωτιά ἀπό κοπριές, καί μέ τό χώρισμα τῶν τριχῶν του τό θάνατο καί τή διασπορά τους. Καί προσθέτει τήν καταστροφή τῆς πόλης καί τῶν εἰδώλων. Βλέπει τίς παρανομίες τοῦ λαοῦ καί τήν εἰδωλολατρεία. Ὕστερα ἀπ' αὐτά βλέπει ἐκείνους πού ἦρθαν γιά τήν καταστροφή τῆς πόλης. Βλέπει πάλι τά Χερουβίμ, καί προλέγει συμφορές στήν πόλη. Γι' αὐτούς πού πιστεύουν στό Χριστό. Προαναγγέλλει στή συνέχεια τήν αἰχμαλωσία τοῦ λαοῦ πού ἔγινε στά χρόνια τοῦ Σεδεκία καί τήν τύφλωση αὐτοῦ ἀπό τό Ναβουχοδονόσορα. Προλέγει, ὅτι τά κακά δέ θά συμβοῦν ὕστερα ἀπό πολύ καιρό, ἀλλ' ὅτι πλησιάζουν.

'Απειλεῖ τούς ψευδοπροφῆτες, καί λέγει πώς εἶναι ἀναγκαῖα τά κακά, τά ὁποῖα θά ὑποστοῦν αὐτοί· οὔτε ὁ 'Ιώβ ἤ ὁ Δανιήλ ἤ ὁ Νῶε μποροῦν νά σώσουν τά παιδιά τους. Καί δηλώνει τήν καταστροφή τους τήν ὁλοκληρωτική μέ τήν κληματόβεργα. 'Αναφέρει τήν ἀσχομοσύνη τοῦ λαοῦ πού εἶχε ἀπό τήν ἀρχή, προτοῦ τόν βοηθήσει ὁ Θεός, καί τήν εὐπρέπειά του ὕστερα ἀπό τή βοήθεια τοῦ Θεοῦ. 'Αναφέρει ἐπίσης τήν εἰδωλολατρεία τοῦ λαοῦ καί τήν καταστροφή τους πού θά ἔρθει ἐξ αἰτίας τῆς εἰδωλολατρείας καί δείχνει πόσο μεγάλες εἶναι οἱ ἁμαρτίες τῆς 'Ιερουσαλήμ συγκριτικά μέ τίς ἁμαρτίες τῶν Σοδόμων καί τῆς Σαμάρειας, οἱ ὁποῖες καί ἀπό μόνες τους εἶναι μεγάλες. Μπορεῖ ὅμως νά κάνει τά καλά, πού προλέγει, τό, «Θά συνάψω τή διαθήκη μου μαζί μέ σένα»[1], πού λέγεται γιά ἐκείνους πού πιστεύουν στό Χριστό. Προλέγει τήν ἄνοδο τοῦ Ναβουχοδονόσορα. Σ' αὐτούς πού λέγουν· «Οἱ πατέρες ἔφαγαν τά ἄγουρα σταφύλια καί μούδιασαν τά δόντια τῶν παιδιῶν τους»[2]. Γιά τή μητέρα αὐτῶν πού εἶναι γύρω ἀπό τό βασιλιά Σεδεκία. Διαμαρτύρεται στούς πρεσβυτέρους γιά τίς παρανομίες τῶν πατέρων τους. Τό, «Γιατί ἐπάνω στό ἅγιο ὄρος μου», ἐπάνω στό ὑψηλό ὄρος ὁ 'Ισραήλ λέγει· «Κύριε, Κύριε, ἐκεῖ θά μέ ὑπηρετοῦν ὅλοι οἱ 'Ισραηλίτες ὁλοκληρωτικά»[3], μπορεῖ νά θεωρηθεῖ ὅτι λέγεται γι' αὐτούς πού πιστεύουν στό Χριστό. Προφητεία ἐναντίον τῆς Θεμάν, ἐναντίον τῆς χώρας τοῦ 'Ισραήλ καί ἐναντίον τῶν 'Αμμωνιτῶν.

Λέγει τίς παρανομίες καί τίς ἁμαρτίες τῶν 'Ισραηλιτῶν καί τῶν ἱερέων καί τῶν ἀρχόντων καί τῶν ψευδοπροφητῶν. «Καί ζητοῦσα», λέγει, «ἄνθρωπο νά συμπεριφέρεται σωστά καί νά σταθεῖ ἀκατηγόρη-

ἐν διακοπῇ φραγμοῦ πρὸ προσώπου μου ἐν καιρῷ τῆς γῆς, τοῦ μὴ εἰς τέλος ἐξαλεῖψαι αὐτόν· καὶ οὐχ εὗρον". Περὶ τῆς εἰδωλολατρίας τοῦ λαοῦ Ἰσραὴλ τῆς ἐν Αἰγύπτῳ, καὶ τῆς μετὰ ταῦτα, καὶ τῶν συμφορῶν. Καὶ ἔτι οὔτε πένθος ποιῆσαι 5 συγχωρηθήσονται ἐπὶ τοῖς συμβαίνουσι χαλεποῖς. Κατὰ Ἀμμανιτῶν καὶ Ἰδουμαίων, καὶ ἀλλοφύλων, καὶ τῆς Σώρ, ἣν Τύρον λέγουσιν εἶναι. Προλέγει συμφορὰς μεγάλας, κατὰ τοῦ ἄρχοντος Τύρου καὶ Σιδῶνος, καὶ Αἰγύπτου, καὶ τοῦ Αἰγυπτίων βασιλέως. Ἀπειλεῖ τῷ σκοπῷ τοῦ λαοῦ, εἰ μὴ προείποι 10 τῷ λαῷ, οὗ τέθειται σκοπὸς πρὸς τὰς παρὰ τοῦ Θεοῦ ἐπιφερομένας συμφοράς. Καὶ λέγει, ὡς μήτε ἄνομον ἀπόλλυσθαι διὰ τὰς προτέρας ἀνομίας, ἐὰν ἐπιστρέψῃ τοῦ ποιῆσαι τὰ ἀρεστὰ τῷ Θεῷ· μήτε δίκαιον σώζεσθαι, διὰ τὰς προτέρας δικαιοσύνας, ἐὰν μεταβληθεὶς γένηται ἄνομος καὶ ἄδικος. 15 Ἦλθέ τις πρὸς τὸν προφήτην ἀπαγγέλλων, ὅτι ἑάλω Ἱερουσαλήμ· λέγει δὲ καὶ περὶ τούτου ἐγκαλῶν, ὅτι μὴ προσέχωσι τοῖς προφητευομένοις. Προφητεύει δὲ καὶ κατὰ τῶν ποιμένων τοῦ Ἰσραήλ· καὶ ἐπαγγέλλεται δώσειν αὐτοῖς ἕνα ποιμένα· ὅπερ ἐπὶ τοῦ Ζοροβάβελ γέγονεν, ὅπερ καὶ αὐτὸ ἀναισχυντοῦντες 20 Ἰουδαῖοι οὔπω γεγενῆσθαί φασι· γέγονε δέ, ὡς ἔφην, ἐπὶ Ζοροβάβελ.

Προφητεύει κατὰ Ἰδουμαίων καὶ τοῖς Ἰσραηλίταις χρηστά, ἅπερ φησὶν ὁ Θεὸς ποιήσειν Ἰουδαίοις, οὐκ ἐπειδὴ ἄξιοί εἰσιν, ἀλλ' ἵνα μὴ τὸ ὄνομα αὐτοῦ βεβηλωθῇ. Ἄγεται 25 ὁ προφήτης εἰς τὸ πεδίον, καὶ προφητεύει ἐπὶ τὰ ὀστᾶ τὰ ξηρά. Προφητεύει δὲ καὶ περὶ τοῦ Ζοροβάβελ, ὅτι εἷς ἄρχων ἔσται Ἰουδαίων· δύναται δὲ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν λαμβάνεσθαι. Προφητεύει καὶ περὶ Γὼγ καὶ Μαγὼγ ἐπελθόντων τοῖς Ἰουδαίοις μετὰ τὴν ἐπάνοδον τὴν ἐκ Βαβυλῶνος, καὶ 30 ἡττηθέντων. Τινὲς δὲ ἀλληγορικῶς λαμβάνουσιν εἰς τὰς Ἐκκλησίας, καὶ εἰς τὸν διάβολον, καὶ τοὺς κατὰ καιρὸν διωγμοὺς ἐπενεχθέντας ὑπὸ ἀσεβῶν βασιλέων. Προφητεύει δὲ τοῦ ναοῦ τὴν οἰκοδομήν, καὶ τὴν ἀποκατάστασιν τῆς νομικῆς λατρείας· ἅπερ καὶ αὐτὰ προσδοκῶσι μὲν ἔτι Ἰουδαῖοι· ἐξέβη 35 δὲ ἐπὶ Ἔσδρα καὶ Ζοροβάβελ. Τὴν δὲ οἰκοδομὴν τῆς πόλεως, ἣν προλέγει, καὶ τὸ ὕδωρ τὸ κατὰ μικρὸν ἐκπορευόμενον καὶ αὐξανόμενον, δύναται ἐπὶ τοὺς ἐπιστρέφοντας ἐπὶ τὸν Χρι-

---

4. 22, 30.

τος μπροστά μου κατά τήν κρίσιμη ἐποχή τῆς χώρας αὐτῆς, γιά νά μήν τήν καταστρέψω τελείως, καί δέ βρῆκα»[4]. Γιά τήν είδωλολατρεία τοῦ ἰσραηλιτικοῦ λαοῦ, ὅταν ἦταν στήν Αἴγυπτο, καί γιά τήν είδωλολατρεία του ἀργότερα, καί γιά τίς συμφορές του. Καί ἀκόμη δέ θά τούς ἐπιτρέψει νά πενθήσουν γιά τά φοβερά πού τούς συμβαίνουν. Προφητεία ἐναντίον τῶν 'Αμμωνιτῶν καί τῶν 'Ιδουμαίων καί τῶν Φιλισταίων καί τῆς Σώρ, πού λέγουν πώς εἶναι ἡ Τύρος. Προλέγει μεγάλες συμφορές ἐναντίον τοῦ ἄρχοντα τῆς Τύρου καί τῆς Σιδώνας, καί τῆς Αἰγύπτου καί τοῦ βασιλιᾶ τῶν Αἰγυπτίων. 'Απειλεῖ τό φρουρό τοῦ λαοῦ, ἐάν δέ θά προαναγγείλει στό λαό, στόν ὁποῖο τοποθετήθηκε φρουρός γιά τίς συμφορές πού στέλνει ὁ Θεός. Καί λέγει, ὅτι οὔτε ὁ παράνομος θά χαθεῖ γιά τίς προηγούμενες παρανομίες του, ἐάν ἐπιστρέψει γιά νά κάμει τά εὐάρεστα στό Θεό, οὔτε ὁ δίκαιος θά σωθεῖ, γιά τίς προηγούμενες ἀρετές του, ἐάν ἀλλάξει καί γίνει παράνομος καί ἄδικος. Ἦρθε κάποιος στόν προφήτη γιά νά τοῦ ἀναγγείλλει, ὅτι ἔπεσε ἡ πόλη· λέγει καί τούς κατηγορεῖ καί γι' αὐτό, ὅτι δέν προσέχουν τίς προφητεῖες. Προφητεύει ἀκόμη καί ἐναντίον τῶν ποιμένων τοῦ 'Ισραήλ καί ὑπόσχεται νά δώσει σ' αὐτούς ἕναν ποιμένα. Αὐτό ἔγινε στήν ἐποχή τοῦ Ζοροβάβελ, πράγμα πού καί αὐτό οἱ ἀναίσχυντοι 'Ιουδαῖοι λέγουν πώς δέν ἔγινε ἀκόμη· ἔγινε ὅμως, ὅπως εἶπα, στήν ἐποχή τοῦ Ζοροβάβελ.

Προφητεύει ἐναντίον τῶν 'Ιδουμαίων καί καλά γιά τούς 'Ισραηλίτες, πού λέγει ὁ Θεός νά κάμει στούς 'Ιουδαίους, ὄχι ἐπειδή εἶναι ἄξιοι, ἀλλά γιά νά μή βεβηλωθεῖ τό ὄνομά του. 'Οδηγεῖται ὁ προφήτης στήν πεδιάδα καί προφητεύει γιά τά κόκκαλα τά ξηρά. Προφητεύει καί γιά τό Ζοροβάβελ, ὅτι θά εἶναι ἕνας ἄρχοντας τῶν 'Ιουδαίων· μπορεῖ νά θεωρηθεῖ ὅτι ἀναφέρεται στόν Κύριό μας 'Ιησοῦ Χριστό. Προφητεύει καί γιά τό Γώγ καί τό Μαγώγ πού ἐπιτέθηκαν ἐναντίον τῶν 'Ιουδαίων μετά τήν ἐπιστροφή τους ἀπό τή Βαβυλώνα καί νικήθηκαν. Μερικοί ἀναφέρουν ἀλληγορικά τίς προφητεῖες στίς 'Εκκλησίες καί στό διάβολο καί στούς κατά τίς διάφορες ἐποχές διωγμούς πού ἔκαμαν οἱ ἀσεβεῖς βασιλεῖς. Προφητεύει τήν ἀνοικοδόμηση τοῦ ναοῦ καί τήν ἀποκατάσταση τῆς λατρείας τοῦ νόμου, πού καί αὐτά περιμένουν ἀκόμη οἱ 'Ιουδαῖοι, ἐνῶ πραγματοποιήθηκαν στήν ἐποχή τοῦ Ἔσδρα καί τοῦ Ζοροβάβελ. 'Η ἀνοικοδόμηση τῆς πόλης, πού προλέγει, καί τό νερό, πού τρέχει λίγο-λίγο καί δυναμώνει, μποροῦν ν' ἀναφερθοῦν σ' ἐκείνους πού ἐπιστρέφουν στό Χριστό, οἱ

στὸν λαμβάνεσθαι, νεκροὺς ὄντας πρὶν ἢ πιστεῦσαι, μετὰ δὲ τὸ πιστεῦσαι ζωοποιουμένους.

4. ΣΥΝΟΨΙΣ ΤΩΝ ΤΩ ΠΡΟΦΗΤΗ ΔΑΝΙΗΛ ΕΙΡΗΜΕΝΩΝ

5 *Ἐκλέγονται οἱ περὶ τὸν Δανιήλ, καὶ παραδίδονται τῷ ἀρχιευνούχῳ, καὶ σιτοῦνται σπέρματα· καὶ παραστάντες τῷ βασιλεῖ, πάντων ἀνεδείχθησαν σοφώτεροι. Ὁρᾷ τὸ ἐνύπνιον Ναβουχοδονόσορ, καὶ τοὺς μάγους, ἀπορήσαντας γνωρίσαι καὶ ἐπιλῦσαι αὐτό, κελεύει σφαγῆναι. Κινδυνεύσαντας δὲ καὶ*
10 *τοὺς περὶ Δανιὴλ ἔσωσεν ὁ Θεός, ἀποκαλύψας αὐτῷ τῷ Δανιὴλ τὴν εἴδησιν τοῦ ἐνυπνίου. Ὁ Δανιὴλ εἰσαχθεὶς λέγει τὸ ἐνύπνιον τῷ βασιλεῖ καὶ τὴν σύγκρισιν αὐτοῦ. Ὁ δὲ λίθος ὁτμηθεὶς ἄνευ χειρῶν ὁ Χριστός ἐστι· τὸ δὲ ἄνευ χειρῶν, τὸ χωρὶς συνουσίας ἐκ τῆς Παρθένου αὐτὸν τεχθῆναι. Στήσας*
15 *τὴν εἰκόνα Ναβουχοδονόσορ, κελεύει προσκυνεῖν πάντας, καὶ τοὺς τρεῖς παῖδας εἰς τὴν κάμινον ἐμβάλλει μὴ προσκυνήσαντας. Ὡς δὲ οἱ περὶ τὴν κάμινον ἀνηρέθησαν, καὶ ὕμνουν οἱ παῖδες τὸν Θεόν, καλέσας αὐτούς, καὶ ἰδὼν σώους, τόν τε Θεὸν ἐξεπλάγη, καὶ αὐτοὺς ἀρχῇ τῇ τῶν Ἰουδαίων ἐτίμησε,*
20 *καὶ δόγμα ἔθηκε, τὸν βλασφημοῦντα εἰς τὸν Θεὸν ἀπόλλυσθαι.*
Ὁρᾷ ἐνύπνιον Ναβουχοδονόσορ· καὶ τῶν σοφῶν Βαβυλῶνος πάλιν διαπορησάντων, ἐπιλύει αὐτὸ ὁ Δανιήλ, συμβουλεύει τε τῷ βασιλεῖ, τὰς ἀνομίας αὐτοῦ ἐν ἐλεημοσύναις λυτρώσασθαι. Καὶ οὐ μετ' οὐ πολὺν χρόνον ἐξέβη τὸ ἐνύπνιον·
25 *καὶ ᾔνεσε τὸν Θεὸν ὁ Ναβουχοδονόσορ. Τῶν σκευῶν τῶν ἱερατικῶν ἐξενεχθέντων κατὰ πρόσταξιν τοῦ βασιλέως υἱοῦ Ναβουχοδονόσορ, καὶ τῶν ἑστιωμένων εἰς αὐτὰ πινόντων, ἐξῆλθεν ἀστράγαλος χειρός, καὶ ἔγραψεν ἐν τῷ τοίχῳ γραφήν, ἣν καὶ αὐτὴν τῶν σοφῶν Βαβυλῶνος ἀπορούντων ἐπιγνῶσαι,*
30 *ὁ Δανιὴλ ἐπέγνω, καὶ ἐπέλυσε, καὶ ἐνεδύθη πορφύραν, καὶ περιέθηκαν αὐτῷ μανιάκην χρυσοῦν, καὶ ἐκήρυξαν αὐτὸν τρίτον ἄρχοντα εἶναι ἐν τῇ βασιλείᾳ. Βασιλεύσας Δαρεῖος ὁ Μῆδος, καὶ καταστήσας ἄρχοντα τὸν Δανιήλ, ἀναγκάζεται*

1. Πρόκειται γιά τούς Ἀνανία, Ἀζαρία καί Μισαήλ.

ὁποῖοι πρίν πιστέψουν ἦταν νεκροί καί μετά τήν πίστη τους ἀνασταίνονται.

4. ΠΕΡΙΛΗΨΗ ΤΩΝ ΛΟΓΩΝ ΤΟΥ ΔΑΝΙΗΛ

Ἐκλέγονται οἱ νέοι[1] πού ἦταν μαζί μέ τό Δανιήλ καί παραδίνονται στόν ἀρχιευνοῦχο, καί τρώγουν μόνο ὄσπρια. Ὅταν παρουσιάστηκαν στό βασιλιά, ἀναδείχτηκαν ἀπ' ὅλους οἱ πιό σοφοί. Βλέπει τό ὄνειρο ὁ Ναβουχοδονόσορας καί διατάζει νά σφάξουν τούς μάγους, ἐπειδή δέν ἦταν σέ θέση ν' ἀποκαλύψουν καί νά ἑρμηνεύσουν τό ὄνειρο. Ἐπειδή κινδύνεψαν ὁ Δανιήλ καί αὐτοί πού ἦταν μαζί του, τούς ἔσωσε ὁ Θεός, ἀποκαλύπτοντας στόν ἴδιο τό Δανιήλ τήν ἐξήγηση τοῦ ὀνείρου. Ὁ δανιήλ ὁδηγήθηκε στό βασιλιά καί τοῦ λέγει τό ὄνειρο καί τήν ἐξήγησή του. Ἡ πέτρα πού κόπηκε χωρίς τήν ἐπέμβαση ἀνθρώπινων χεριῶν εἶναι ὁ Χριστός, ἐνῶ τό «χωρίς τήν ἐπέμβαση ἀνθρώπινων χεριῶν» ἐννοεῖ τό ὅτι γεννήθηκε αὐτός ἀπό τήν Παρθένο χωρίς συνουσία. Ὅταν ἔστησε τό ἄγαλμά του ὁ Ναβουχοδονόσορας, προστάζει νά τό προσκυνήσουν ὅλοι, καί ρίχνει στό καμίνι τούς τρεῖς νέους, ἐπειδή δέν τό προσκύνησαν. Ὅταν θανατώθηκαν αὐτοί πού ἦταν κοντά στό καμίνι καί οἱ νέοι ὑμνοῦσαν τό Θεό, τότε ὁ βασιλιάς τούς κάλεσε καί βλέποντας πώς ἦταν σῶοι, καί τό Θεό τους θαύμασε καί αὐτούς τούς τίμησε μέ τήν ἀρχηγία στούς Ἰουδαίους καί ἔβγαλε διαταγή, νά θανατώνεται κάθε ἄνθρωπος πού θά βλασφημεῖ τό Θεό τους.

Βλέπει ὄνειρο ὁ Ναβουχοδονόσορας καί, ἐπειδή οἱ σοφοί τῆς Βαβυλώνας ἀδυνατοῦσαν πάλι, τό ἑρμηνεύει ὁ Δανιήλ, καί συμβουλεύει τό βασιλιά ν' ἀπαλλαγεῖ ἀπό τίς παρανομίες του μέ ἐλεημοσύνες. Καί ὕστερα ἀπό λίγο πραγματοποιήθηκε τό ὄνειρο καί ὁ Ναβουχοδονόσορας δόξασε τό Θεό. Ὅταν ἔφεραν τά ἱερά σκεύη, ὕστερα ἀπό διαταγή τοῦ βασιλιᾶ, υἱοῦ τοῦ Ναβουχοδονόσορα, καί αὐτοί πού κάθονταν στό δεῖπνο ἔπιναν μέσα σ' αὐτά, βγῆκαν δάκτυλα χεριοῦ καί ἔγραψαν στόν τοῖχο ἐπιγραφή, πού καί αὐτήν, ἐπειδή οἱ σοφοί τῆς Βαβυλώνας ἀδυνατοῦσαν νά κατανοήσουν, τήν διάβασε καί τήν ἐξήγησε ὁ Δανιήλ, καί τόν ἔντυσαν τή βασιλική πορφύρα καί ἔβαλαν γύρω ἀπό τό λαιμό του τό χρυσό περιδέραιο καί ἀνακοίνωσαν μέ κήρυκα ὅτι ὁ Δανιήλ εἶναι ὁ τρίτος ἄρχοντας στό βασίλειο. Ὅταν πῆρε τή βασιλεία ὁ Δαρεῖος ὁ Μῆδος καί ἐγκατέστησε ἄρχοντα τό Δανιήλ,

ὑπὸ τῶν τακτικῶν καὶ σατραπῶν δόγμα κυρῶσαι, ὥστε τὸν αἰτοῦντα παρὰ ἀνθρώπου ἢ Θεοῦ αἴτημα, πλὴν παρὰ τοῦ βασιλέως, εἴσω τριάκοντα ἡμερῶν, ἐμβληθῆναι εἰς τὸν λάκκον τῶν λεόντων.

5 *Καὶ τούτου γενομένου, παρατηρήσαντες τὸν Δανιὴλ εὐχόμενον τῷ Θεῷ, διαβάλλουσι, καὶ καταναγκάζουσι τὸν βασιλέα ἐμβαλεῖν αὐτὸν εἰς τὸν λάκκον. Ἐμβαλὼν δέ, καὶ προσελθών, καὶ σῶον εὑρών, τὸν μὲν ἀνήγαγε τοῦ λάκκου, τοὺς δὲ βάλλοντας αὐτὸν μετὰ τῶν γυναικῶν ἀπώλεσε τοῖς λέουσι* 10 *παραδούς. Καὶ δόγμα ἔθηκε, πάντας φοβεῖσθαι τὸν Θεόν. Ὁρᾷ τὴν ὅρασιν τῶν θηρίων, διὰ μὲν τῆς λεαίνης, τὴν Ἀσσυρίων βασιλείαν, διὰ δὲ τῆς ἄρκτου, τῶν Μήδων καὶ Περσῶν, διὰ δὲ τῆς παρδάλεως, τῶν Μακεδόνων, διὰ δὲ τοῦ τετάρτου θηρίου, τῶν Ῥωμαίων. Προφητεύει δὲ καὶ περὶ τοῦ* 15 *Χριστοῦ, καὶ περὶ Ἀντιόχου τοῦ ἀσεβοῦς. Οὗτος γάρ ἐστι τὸ κέρας τὸ μικρόν, τὸ ἐκτινάξαν τρία τῶν ἔμπροσθεν. Προφητεύει πῶς Ἀλέξανδρος ὁ Μακεδὼν κατέλυσε τὴν βασιλείαν Περσῶν· τὸν μὲν κριὸν τὸν βασιλέα Περσῶν λέγων, τὸν δὲ τράγον Ἀλέξανδρον τὸν Μακεδόνα. Ἡ δὲ ἐσχάτη ὅρασις* 20 *ἐνταῦθα, περὶ τῆς βασιλίσσης νότου φησὶν ἐν τῷ βιβλίῳ τῶν Μακκαβαίων εὑρίσκεσθαι. Τὸν Βὴλ κατασπᾷ, καὶ τὸν δράκοντα ἀναιρεῖ· εἰς τὸν λάκκον ἐμβάλλεται καὶ διασώζεται, καὶ οἱ αἴτιοι τοῦ ἐμβληθῆναι αὐτὸν ἐμβάλλονται καὶ ἀναλίσκονται ὑπὸ τῶν λεόντων.*

25 5. ΩΣΗΕ

Κελεύεται λαβεῖν γυναῖκα πόρνην, καὶ τὰ τικτόμενα παιδία ὀνομάσαι "Ἰεζραήλ", "Οὐκ ἠλεημένην", καὶ "Οὐ λαός μου". Καὶ ἐγκαλεῖ τῷ λαῷ πορνείαν· καὶ προλέγει αὐτῷ ἀπώλειαν, καὶ χρήματά τινα μετὰ τὴν ἀπώλειαν. Τὸ δέ, 30 *"Διαθήσομαι διαθήκην μετὰ τῶν θηρίων τοῦ ἀγροῦ, καὶ μνηστεύσομαι ἐν πίστει", δύναται λαμβάνεσθαι εἰς τοὺς πιστεύοντας τῷ Χριστῷ. Προστάσσεται λαβεῖν γυναῖκα μοιχαλίδα, μηνύων τὴν ἐρήμωσιν τῶν Ἰουδαίων, καὶ ἐγκαλεῖ αὐτοῖς*

ἀναγκάζεται ἀπό τούς ἀνώτατους διοικητές καί σατράπες νά βγάλει διάταγμα, ὥστε ὅποιος θά ζητήσει κάτι ἀπό ἄνθρωπο ἤ Θεό, ἐκτός ἀπό τό βασιλιά, μέσα σέ τριάντα ἡμέρες, θά ρίχνεται στό λάκκο τῶν λεονταριῶν.

Καί ὅταν ἔγινε αὐτό, ἀφοῦ παρακολούθησαν τό Δανιήλ νά προσεύχεται στό Θεό, τόν συκοφαντοῦν καί ἀναγκάζουν τό βασιλιά νά τόν ρίξει στό λάκκο. Ὅταν τόν ἔριξε ὅμως, καί ἦρθε καί τόν βρῆκε σῶο, ἔβγαλε τό Δανιήλ ἀπό τό λάκκο, ἐνῶ θανάτωσε ἐκείνους πού τόν συκοφάντησαν μαζί μέ τίς γυναῖκες τους ρίχνοντας αὐτούς στά λεοντάρια. Καί ἔβγαλε διάταγμα, νά φοβοῦνται ὅλοι τό Θεό. Βλέπει τό ὅραμα τῶν θηρίων, μέ τή λέαινα ἐννοεῖ τήν αὐτοκρατορία τῶν Ἀσσυρίων, μέ τήν ἀρκούδα τήν αὐτοκρατορία τῶν Μήδων καί Περσῶν, μέ τή λεοπάρδαλη τήν αὐτοκρατορία τῶν Μακεδόνων καί μέ τό τέταρτο θηρίο ἐννοεῖ τήν αὐτοκρατορία τῶν Ρωμαίων. Προφητεύει ἀκόμη καί γιά τό Χριστό καί γιά τόν Ἀντίοχο τόν ἀσεβή. Γιατί αὐτός εἶναι τό μικρό κέρατο, πού ξερρίζωσε τά τρία προηγούμενα. Προφητεύει πῶς ὁ Ἀλέξανδρος ὁ Μακεδόνας κατέλυσε τήν αὐτοκρατορία τῶν Περσῶν, λέγοντας κριάρι τό βασιλιά τῶν Περσῶν καί τράγο τόν Ἀλέξανδρο τό Μακεδόνα. Τό τελευταῖο ὅραμα ἐδῶ, γιά τή βασίλισσα τοῦ νότου λέγει ὅτι βρίσκεται στό βιβλίο τῶν Μακκαβαίων. Ὁ Δανιήλ καταστρέφει τό Βήλ καί σκοτώνει τό μεγάλο φίδι, ρίχνεται στό λάκκο τῶν λεονταριῶν καί σώζεται καί οἱ ὑπεύθυνοι, πού ἔριξαν τό Δανιήλ, ρίχνονται στό λάκκο καί κατασπαράζονται ἀπό τά λεοντάρια.

5. Ω Σ Η Ε

Παίρνει ἐντολή νά πάρει γυναίκα πόρνη καί τά παιδιά πού θά γεννηθοῦν νά ὀνομάσει «Ἰεζραήλ», «Οὐκ ἠλεημένη» καί «Οὐ λαός μου»[1]. Καί καταγγέλλει τό λαό γιά πορνεία καί προλέγει στό λαό τήν καταστροφή καί μερικά γεγονότα μετά τήν καταστροφή. Τό, «Θά συνάψω διαθήκη μέ τά θηρία τῆς ὑπαίθρου, καί θά σέ μνηστευθῶ σάν πιστή»[2], μπορεῖ νά θεωρηθεῖ πώς ἀναφέρεται σ' ἐκείνους πού πιστεύουν στό Χριστό. Προστάζεται νά πάρει γυναίκα μοιχαλίδα, προαναγγέλλοντας τήν καταστροφή τῶν Ἰουδαίων καί τούς κατηγο-

1. 4.6.9. 2. 2, 20.22.

πολλὰ καὶ μεγάλα ἁμαρτήματα, τῷ τε λαῷ καὶ τοῖς ἱερεῦσι. Διαβάλλει τε αὐτοὺς καὶ εἰς μέθην, καὶ εἰς μοιχείαν, καὶ εἰς θυμόν. Ἐγκαλεῖ ὅτι τὴν ἐλπίδα ἀπὸ τοῦ Θεοῦ μεταγαγόντες, ἐπὶ Ἀσσυρίου ἤλπιζον, καὶ Αἰγυπτίοις ἐθάῤῥουν. Καὶ προλέ- 5 *γει αὐτοῖς τιμωρίας. Λέγει ὅτι διὰ τὸ βοηθεῖσθαι γενόμενος ἰσχυρὸς ὁ Ἐφραΐμ, οὐκ εἰς δέον ἐχρήσατο τῇ εὐπραγίᾳ. Δείκνυσιν ὁ Θεὸς τήν τε ἑαυτοῦ περὶ τοὺς Ἰσραηλίτας κηδεμονίαν, καὶ τὴν ἐκείνων περὶ αὐτὸν ἀγνωμοσύνην· καὶ προλέγει αὐτοῖς συμφοράς.*

10

6. Ι Ω Η Λ

Διαφθορὰν λέγει τῶν τῆς γῆς καρπῶν, καὶ παραινεῖ ἐξιλεώσασθαι τὸν Θεόν. Τὴν ἄνοδον τοῦ Ἀσσυρίου προλέγει· προφητεύει δὲ καὶ μετὰ ταῦτα χρηστά τινα. Τὸ συμβὰν ἐπὶ τῶν ἀποστόλων τὸ τῶν γλωσσῶν προλέγει. Προφητεύει δὲ καὶ τῶν 15 *ἐθνῶν ἀπώλειαν τὴν γενομένην μετὰ τὴν ἐπάνοδον τὴν ἐκ Βαβυλῶνος ἐπὶ Ζοροβάβελ. Ἔχει δὲ καὶ ἀλληγορίαν τὸ χωρίον τοῦτο.*

7. Α Μ Ω Σ

Τὰς ἀνομίας Δαμασκοῦ, Γάζης, Τύρου, Ἰδουμαίων, 20 *Ἀμμανιτῶν, Μωαβιτῶν, Ἰούδα καὶ Ἰσραὴλ προλέγει, καὶ τὰς διαδεξομένας αὐτοὺς τιμωρίας. Τὰς εὐεργεσίας τὰς εἰς τοὺς Ἰουδαίους γενομένας ὑπὸ τοῦ Θεοῦ ἀπαριθμεῖται, καὶ τὴν αὐτῶν ὀλιγωρίαν καὶ καταφρόνησιν, καὶ τὰ περιμένοντα αὐτοὺς χαλεπά. Πρὸς τὰς γυναῖκας τῆς Σαμαρείας εἰς μέθην,* 25 *εἰς ἁρπαγὴν διαβάλλων προλέγει. Προλέγει λιμὸν καὶ διάλυσιν διὰ τὸ ἀνεπίστροφον, καὶ ὅτι πολλὰ πληγέντες, οὐκ ἐγένοντο βελτίους. Ἐγκαλεῖ τῷ Ἰσραήλ, ὅτι πρὸς τοὺς ἐλέγχοντας αὐτοὺς ἐδυσχέραινον, καὶ παραινεῖ ἐπιστρέψαι πρὸς τὸν Θεόν. Ἀπειλεῖ δὲ καὶ τοῖς ἀπιστοῦσι, ὅτι ἥξει τὰ κακά. Περὶ* 30 *αὐτῶν γάρ φησιν· "Οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν Κυρίου". Τινὲς δὲ αὐτὸ ἐξέλαβον εἰς τὴν μέλλουσαν κρίσιν· ὡς καὶ νῦν*

ρεῖ γιά πολλά καί μεγάλα ἁμαρτήματα, καί τό λαό καί τούς ἱερεῖς. Καί τούς κατηγορεῖ γιά μέθη καί μοιχεία καί ὀργή. Καταγγέλλει ὅτι μεταφέροντας τήν ἐλπίδα τους ἀπό τό Θεό, τή στήριξαν στούς 'Ασσυρίους καί εἶχαν ἐμπιστοσύνη στούς Αἰγυπτίους. Καί προλέγει σ' αὐτούς τιμωρίες. Λέγει ὅτι ὁ ἰσραηλιτικός λαός, ἐπειδή βοηθήθηκε, ἔγινε δυνατός, ἀλλά δέ χρησιμοποίησε ὅπως ἔπρεπε τίς εὐεργεσίες. 'Αποδείχνει ὁ Θεός τή φροντίδα του γιά τούς 'Ισραηλίτες καί τήν ἀχαριστία τους γι' αὐτόν. Καί προλέγει συμφορές σ' αὐτούς.

6. Ι Ω Η Λ

Λέγει τήν καταστροφή τῶν καρπῶν τῆς γῆς καί συμβουλεύει νά ἐξιλεώσουν τό Θεό. Προλέγει τήν ἄνοδο τῶν 'Ασσυρίων καί προφητεύει ὕστερα ἀπ' αὐτά κάποια καλά. Προλέγει τό γεγονός μέ τίς πύρινες γλῶσσες πού συνέβηκε στούς ἀποστόλους. Προφητεύει καί τήν καταστροφή τῶν ἐθνῶν, πού ἔγινε μετά τήν ἐπιστροφή ἀπό τή Βαβυλώνα στήν ἐποχή τοῦ Ζοροβάβελ. 'Ερμηνεύεται ὅμως καί ἀλληγορικά τό σημεῖο αὐτό.

7. Α Μ Ω Σ

Προλέγει τίς ἁμαρτίες τῆς Δαμασκοῦ, τῆς Γάζας, τῆς Τύρου, τῶν 'Ιδουμαίων, τῶν 'Αμμωνιτῶν, τῶν Μωαβιτῶν, τῶν 'Ιουδαίων καί τῶν 'Ισραηλιτῶν καί τίς τιμωρίες πού θ' ἀκολουθήσουν σ' αὐτούς. 'Αριθμεῖ τίς εὐεργεσίες, πού ἔκαμε ὁ Θεός στούς 'Ιουδαίους, καί τήν ἀδιαφορία καί περιφρόνηση τῶν 'Ιουδαίων, καί τίς φοβερές τιμωρίες πού τούς περιμένουν. Προλέγει γιά τίς γυναῖκες τῆς Σαμάρειας καί τίς κατακρίνει γιά μέθη καί ἁρπαγή. Προλέγει πείνα καί καταστροφή γιατί εἶναι ἀμετανόητοι καί γιατί δέν ἔγιναν καλύτεροι, ἐνῶ ἔπαθαν πολλά. Κατακρίνει τούς 'Ισραηλίτες, ὅτι δυσανασχετοῦσαν σ' αὐτούς πού τούς ἔκαναν ἔλεγχο καί τούς συμβουλεύει νά ἐπιστρέψουν στό Θεό. 'Απειλεῖ ὅμως καί τούς ἄπιστους, ὅτι θά ἔρθουν τά κακά. Γιατί γι' αὐτούς λέγει· «'Αλλοίμονο σ' ἐκείνους πού θέλουν νά ἔρθει ἡ

τῶν ἀπίστων λεγόντων, ὅτι οὐκ ἔσται κρίσις· εἰ δέ ἐστιν, ἐλθέτω. Παραίτησις τῶν ἑορτῶν αὐτῶν, καὶ τῶν θυσιῶν καὶ ψαλτηρίων.

Ἄστρον θεοῦ Ῥαφὰν τὸν Κρόνον λέγει· ἐπειδὴ οἱ Ἕλλη-
5 *νες τῷ θεῷ αὐτῶν Κρόνῳ καὶ ἄστρον εἶναί φασιν ἐν οὐρανῷ, καὶ αὐτὸ Κρόνον καλοῦσι. Λέγει δέ, "Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα;". Οὐδὲ γὰρ προσήνεγκεν ὁ δῆμος, ἀλλὰ μόνοι οἱ ἄρχοντες, ὅτε ἔστη ἡ σκηνή. Ἐνταῦθα τὰ περὶ παντὸς τοῦ λαοῦ λέγει. Διαβάλλει δὲ αὐτοὺς*
10 *καὶ εἰς ἄμετρον τροφήν, καὶ προλέγει αὐτοῖς συμφοράς. Διὰ τῶν ἀκρίδων, καὶ τῆς διαθήκης, καὶ τοῦ ἀδάμαντος, τὴν σφαγὴν αὐτῶν προφητεύει, καὶ δηλώσας Ἀμεσίας τῷ βασιλεῖ ταῦτα, βιάζεται τὸν προφήτην καὶ ἀπελαύνει. Ὁ δὲ καὶ αὐτῷ προλέγει κακὰ καὶ τῷ λαῷ. Καὶ ὁρᾷ ἄγγος ἰξευτοῦ, καὶ διὰ*
15 *τούτου τὴν σύλληψιν αὐτῶν. Τὰς ἀδικίας αὐτῶν καὶ τὰς βίας ἀπαριθμεῖται, καὶ τὰ μέλλοντα διαδέξεσθαι αὐτοὺς κακά. Τὸ δέ, "Δύσεται ἥλιος μεσημβρίας", εἰς τὸν καιρὸν τοῦ πάθους τοῦ Χριστοῦ προλέγει. Περὶ τῶν εἰς Χριστὸν πιστευόντων προλέγει.*

20

8. Α Β Δ Ι Ο Υ

Τὴν τιμωρίαν τῶν Ἰδουμαίων προλέγει, ἣν ὑπέστησαν διὰ τὸ συνεπιθέσθαι τοῖς Ἰσραηλίταις μετὰ καὶ τῶν λοιπῶν πολεμίων. Περὶ Ἐκκλησίας.

9. Ι Ω Ν Α Σ

Ἰωνᾶς ὁ προφήτης τὴν εἰς Θαρσεῖς φυγήν, τὸν κλύδωνα, τὴν ὑπὸ τοῦ κήτους κατάποσιν, καὶ τὴν ἐκβολήν, τὴν μετάνοιαν τῶν Νινευϊτῶν, τὴν σωτηρίαν τῆς κολοκύνθης, τὴν ἀνάδοσιν, καὶ τὴν ἀπώλειαν περιέχει.

---

1. 5, 18. 2. 5, 25. 3. 8, 9.

ἡμέρα τοῦ Κυρίου»[1]. Μερικοί ὅμως θεώρησαν πώς αὐτό ἀναφέρεται στή μέλλουσα κρίση. Ὅπως καί τώρα οἱ ἄπιστοι λέγουν, πώς δέ θά ὑπάρξει κρίση· ἐάν ὅμως ὑπάρχει, ἅς ἔρθει.

Ἄρνηση τῶν ἑορτῶν τους καί τῶν θυσιῶν καί τῶν ψαλτηρίων. Ἄστρο τοῦ θεοῦ Ραφάν ὀνομάζει τόν Κρόνο, ἐπειδή οἱ Ἕλληνες λέγουν ὅτι ὁ θεός τους Κρόνος εἶναι ἄστρο στόν οὐρανό καί τό ἄστρο αὐτό τό ὀνομάζουν Κρόνο. Λέγει ὅμως, «Μήπως μοῦ προσφέρατε ζῶα καί ἄλλες θυσίες στά σαράντα χρόνια;»[2]. Γιατί δέν πρόσφερε ὁ λαός, ἀλλά μόνο οἱ ἄρχοντες, ὅταν στήθηκε ἡ σκηνή. Ἐδῶ λέγει τά σχετικά γιά ὅλο τό λαό. Κατακρίνει αὐτούς καί γιά τήν ὑπερβολική τροφή τους καί προλέγει σ' αὐτούς συμφορές. Μέ τίς ἀκρίδες, τή διαθήκη καί τό διαμάντι προφητεύει τή σφαγή τους, καί φανερώνοντας αὐτά στό βασιλιά ὁ Ἀμεσίας, τόν πιέζει καί διώχνει τόν προφήτη. Αὐτός ὅμως προλέγει κακά καί σ' αὐτόν καί στό λαό. Καί βλέπει τό δοχεῖο τοῦ κυνηγοῦ πουλιῶν, καί μέ αὐτό τή σύλληψη τῶν Ἰσραηλιτῶν. Ἀριθμεῖ τίς ἀδικίες καί τίς αὐθαιρεσίες τους, καθώς καί τά μελλοντικά κακά πού θά τούς ἀκολουθήσουν. Τό «θά δύσει ὁ ἥλιος τό μεσημέρι»[3], τό προλέγει γιά τήν ὥρα τοῦ πάθους τοῦ Χριστοῦ. Προφητεύει γι' αὐτούς πού πιστεύουν στό Χριστό.

8. Α Β Δ Ι Ο Υ

Προλέγει τήν τιμωρία τῶν Ἰδουμαίων, πού θά ὑποστοῦν ἐπειδή ἐπιτέθηκαν ἐναντίον τῶν Ἰσραηλιτῶν μαζί καί μέ τούς ἄλλους ἐχθρούς. Γιά τήν Ἐκκλησία.

9. Ι Ω Ν Α Σ

Ὁ προφήτης Ἰωνᾶς περιέχει τή φυγή του στούς Θαρσεῖς, τήν τρικυμία, τήν κατάποσή του ἀπό τό κῆτος καί τήν ἔξοδό του, τή μετάνοια τῶν Νινευϊτῶν, τή σωτηρία τους, τή βλάστηση τῆς κολοκυθιᾶς καί τήν καταστροφή της.

10. ΜΙΧΑΙΑΣ

Τὴν ἐσομένην ἐρήμωσιν Σαμαρείας καὶ Ἱερουσαλὴμ προλέγει, καὶ τὴν αἰτίαν προστίθησι. Συνάπτει δὲ καὶ τὴν ἄνοδον αὐτῶν τὴν ἐκ Βαβυλῶνος, ἐγκλήματα, κατηγορίας τῶν
5 *ἀρχόντων τοῦ λαοῦ καὶ τῶν ἱερέων, καὶ ψευδοπροφητῶν. Περὶ τῆς Ἐκκλησίας τῆς πιστευούσης εἰς τὸν Κύριον ἡμῶν, καὶ περὶ τῆς Νέας Διαθήκης. Ὁ γὰρ πρότερος νόμος ἐκεῖνα ἐξῆλθε· καὶ περὶ τῆς εἰρήνης. Καὶ κακὰ πάλιν τοῖς Ἰουδαίοις προλέγεται. Περὶ τῆς κατὰ σάρκα τοῦ Χριστοῦ γεννήσεως, καὶ*
10 *περὶ τῶν εἰς αὐτὸν πιστευόντων. "Καὶ ἔσται τὸ ὑπόλειμμα τοῦ Ἰακώβ"· ὃ λέγει Παῦλος ὁ ἀπόστολος, "Τὸ ἐγκατάλειμμα σωθήσεται". Κρίσις τῷ Κυρίῳ πρὸς τὸν λαὸν αὐτοῦ, καὶ τῶν εὐεργεσιῶν αὐτοῦ ἀπαρίθμησις, καὶ παραίτησις θυσιῶν. Ἀποδύρεται ὁ προφήτης ὡς τῶν δικαίων καὶ ἀγαθῶν ἀνδρῶν*
15 *ἐκλειπόντων. Καὶ πρὸς τῷ τέλει μετὰ τὸ ἐγκαλέσαι καὶ ἀπειλῆσαι συμφορὰς μεγάλας, χρηστὰ προμηνύει τῷ Ἰσραήλ.*

11. ΝΑΟΥΜ

Περὶ τῆς τοῦ Θεοῦ δυνάμεως διαλέγεται· περὶ τῶν ἀποστόλων προλέγει. Προστίθησι δὲ καὶ τὴν ἄνοδον Βαβυλωνίων κα-
20 *τὰ Νινευϊτῶν κατακράτος αἰχμαλωσίαν. Λέγει δὲ καὶ τὴν δύναμιν αὐτῆς καὶ τὸν πλοῦτον, ὃν εἶχε πρὶν αἰχμαλωτευθῆναι.*

1. 5, 7.

2. Ρωμ. 9, 27.

10. Μ Ι Χ Α Ι Α Σ

Προφητεύει τή μελλοντική καταστροφή τῆς Σαμάρειας καί τῆς Ἰερουσαλήμ καί προσθέτει τήν αἰτία. Προσθέτει ἀκόμη τήν ἐπιστροφή τῶν Ἰσραηλιτῶν ἀπό τή Βαβυλώνα, τά ἀδικήματα, τίς κατηγορίες τῶν ἀρχόντων τοῦ λαοῦ καί τῶν ἱερέων καί τῶν ψευδοπροφητῶν. Γιά τήν Ἐκκλησία πού πιστεύει στόν Κύριό μας καί γιά τή Νέα Διαθήκη. Γιατί ὁ πρῶτος νόμος ἐκπληρώθηκε· καί γιά τήν εἰρήνη. Προφητεύονται πάλι κακά γιά τούς Ἰουδαίους. Γιά τήν ἐνανθρώπιση τοῦ Χριστοῦ καί γιά ἐκείνους πού πιστεύουν σ' αὐτόν. «Καί θά εἶναι ἰσχυροί οἱ ὑπόλοιποι ἀπό τόν ἰσραηλιτικό λαό»[1], πράγμα πού λέγει ὁ ἀπόστολος Παῦλος, «Οἱ ὑπόλοιποι θά σωθοῦν»[2]. Κρίση τοῦ Κυρίου στό λαό του καί ἀρίθμηση τῶν εὐεργεσιῶν του καί ἄρνηση τῶν θυσιῶν. Θρηνεῖ ὁ προφήτης, ἐπειδή χάθηκαν οἱ δίκαιοι καί ἀγαθοί ἄνθρωποι. Καί τελειώνοντας, προαναγγέλλει καλά στούς Ἰσραηλίτες, ἀφοῦ πρῶτα τούς κατηγόρησε καί τούς ἀπείλησε μέ μεγάλες συμφορές.

11. Ν Α Ο Υ Μ

Μιλάει γιά τή δύναμη τοῦ Θεοῦ. Προφητεύει γιά τούς ἀποστόλους. Προσθέτει καί τήν ἐπίθεση τῶν Βαβυλωνίων ἐναντίον τῶν Νινευϊτῶν καί τήν ὁλοκληρωτική αἰχμαλωσία τους. Ἀναφέρει ἀκόμη καί τή δύναμη καί τόν πλοῦτο, πού εἶχε ἡ Νινευΐ προτοῦ νά καταστραφεῖ[1].

1. Μέχρι ἐδῶ εἶχε τό χειρόγραφο πού χρησιμοποίησε γιά τήν ἔκδοσή του ὁ Migne.

ΕΥΡΕΤΗΡΙΑ

1. Εὑρετήριο χωρίων τῆς Γραφῆς

Γένεσις

Ἔξοδος

Κορινθίους Β΄

Γαλάτας Α΄

Ἐφεσίους

Φιλιππησίους

Κολοσσαεῖς

Θεσσαλονικεῖς Α΄

Θεσσαλονικεῖς Β΄

Τιμόθεον Α΄

2. Εὑρετήριο ὀνομάτων καί πραγμάτων

Α

Δ

Ε

Ι

Κ

Ρ

Σ

» 12ος α) Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Δ΄ (Ὁμιλίαι ΟΣΤ΄—ϞΑ΄)
β) Ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον (Ὁμιλίαι Α΄—ΙΘ΄)
» 13ος Ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον (Ὁμιλίαι Κ΄—ΝΔ΄).
» 14ος Ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον (Ὁμιλίαι ΝΕ΄—ΠΗ΄)
» 15ος Ὑπόμνημα εἰς τὰς Πράξεις (Ὁμιλίαι Α΄—ΚΓ΄)
» 18ος Ὑπόμνημα εἰς τὴν πρὸς Κορινθίους Α΄ (Ὁμιλίαι Α΄—ΚΒ΄).
» 18Α Ὑπόμνημα εἰς τὴν Α΄ πρὸς Κορινθίους (Ὁμιλίαι ΚΒ΄—ΜΔ΄).
» 20ός Ὑπόμνημα εἰς τὴν πρὸς Κορινθίους Β΄, (Ὁμιλίαι ΚΕ΄—Λ΄), εἰς τὴν πρὸς Γαλάτας καὶ εἰς τὴν πρὸς Ἐφεσίους (Ὁμιλίαι Α΄—ΙΑ΄).
» 21ος Ὑπόμνημα εἰς τὴν πρὸς Ἐφεσίους (Ὁμιλίαι ΙΒ΄—ΚΔ΄), εἰς τὴν πρὸς Φιλιππησίους (Ὁμιλίαι Α΄—ΙΒ΄).
» 28ος Ποιμαντικὰ καὶ Ἀσκητικὰ Α΄.
» 29ος Ἀσκητικὰ Β΄
» 31ος Κατηχητικαὶ καὶ ἠθικὰ Β΄ - Περιστατικὰ Α΄.
» 32ος Ὁμιλίαι Περιστατικαὶ Β΄.
» 36ος Ὁμιλίαι ἑορταστικαὶ - ἐγκωμιαστικαὶ

Ζ΄ ΦΙΛΟΚΑΛΙΑ

Τόμος 1ος Ἀποφθέγματα Γερόντων.
» 12ος Ἀββᾶ Ἡσαΐου, Ἀσκητικοὶ Λόγοι, ἀββᾶ Ζωσιμᾶ, Κεφάλαια ὠφέλιμα, ἀββᾶ Δωροθέου, Πραγματεῖαι καὶ Ἐπιστολαί.
» 19Α Συμεὼν ὁ Νέος Θεολόγος, Βίος Συμεὼν ὑπὸ Νικήτα Στηθάτου, Κεφάλαια, Εὐχαριστίαι, Διάλογος μετὰ Σχολαστικοῦ.
» 22ος Νικ. Καβάσιλα, Ἑρμηνεία εἰς τὴν Θ. Λειτουργίαν - Περὶ τῆς ἐν Χριστῷ Ζωῆς.

Η΄ ΤΑ ΜΑΡΤΥΡΙΑ ΤΩΝ ΑΡΧΑΙΩΝ ΧΡΙΣΤΙΑΝΩΝ

Θ΄ ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ

Τόμος 1ος Δογματικὰ Α΄ (Πῶς τρία πρόσωπα λέγοντες, Κατὰ Εἱμαρμένης, Διάλογος περὶ ψυχῆς καὶ Ἀναστάσεως, Λόγος Κατηχητικὸς μέγας).

Διακονία Β' (ὑπὸ ἔκδοσιν)
» 3ος Ἀπολογητικὰ ἔργα
» 4ος Δογματικὰ
» 5ος Ὁμιλίαι
» 6ος Ἐγκωμιαστικοὶ καὶ Ἐπιτάφιοι Λόγοι
» 7ος Ἐπιστολαὶ (ὑπὸ ἔκδοσιν)
» 8ος Ἔπη Δογματικὰ
» 9ος Ἔπη Ἠθικὰ (ὑπὸ ἔκδοσιν)
» 10ος Ἔπη εἰς Ἑαυτὸν (ὑπὸ ἔκδοσιν)
» 11ος Ἔπη εἰς Ἑτέρους (ὑπὸ ἔκδοσιν)

Δ' ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ

Τόμος 1ος Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Α'—Γ')
» 2ος Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Δ'—ΣΤ')
» 3ος Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Ζ'—Ι').
» 4ος Εἰς Κωνσταντῖνον Τριακονταετηρικός, Εἰς τὸν Βίον Κων)τίνου, Κων)τίνου Λόγος εἰς τὸν σύλλογον τῶν ἁγίων.

Ε' ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

Τόμος 1ος Δογματικὰ Α' (Ἔκδ. ἀκριβὴς τῆς Ὀρθ. πίστεως)

ΣΤ' ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Τόμος 1ος Διάλογος Παλλαδίου, Περὶ τῆς ἀσαφείας τῶν προφητειῶν, Σύνοψις Π. Διαθήκης
» 2ος Ὁμιλίαι εἰς τὴν Γένεσιν (Α'—ΚΓ')
» 3ος Ὁμιλίαι εἰς τὴν Γένεσιν (ΚΔ'—ΜΑ').
» 4ος Ὁμιλίαι εἰς τὴν Γένεσιν ΜΒ'—ΞΔ'
» 5ος Ὁμιλίαι εἰς τὴν Γένεσιν ΞΕ'—ΞΖ' καὶ εἰς τοὺς Ψαλμοὺς Γ'—ΙΒ', ΜΑ'—ΜΓ'.
» 6ος Ὁμιλίαι εἰς Ψαλμοὺς ΜΔ'—ΡΚΓ'.
» 7ος Ὁμιλίαι εἰς τοὺς Ψαλμοὺς ΡΚΔ'—ΡΝ', ὁμιλίαι εἰς τὸν Δαυὶδ καὶ Σαούλ.
» 8ος Ὁμιλίαι εἰς τὴν Γένεσιν Α'—Θ' Ὑπόμνημα στὸν Ἠσαΐα, Ὑπόμνημα στὸν Δανιὴλ (κεφ. Ι'—ΙΓ')
» 9ος Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Α' (Ὁμιλίαι Α'—Κ')
» 10ος Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Β' (Ὁμιλίαι ΚΑ'—ΜΗ').
» 11ος Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Γ' (Ὁμιλίαι ΜΘ'—ΟΕ').

Φωτοστοιχειοθεσία: Κ. ΚΟΡΔΑΛΗΣ & ΣΙΑ ο.ε.,

'Αχειροποιήτου 6, τηλ. 279.202, Θεσσαλονίκη

Βιβλιοδεσία:
'Αφοὶ ΒΑΡΟΥΣΙΑΔΗ

Κεντρική πώλησις:
Βιβλιοπωλεῖον «ΒΥΖΑΝΤΙΟΝ»
ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
'Αρμενοπούλου 30 — Θεσσαλονίκη — Τηλ. 200-621